# DIODORI

# BIBLIOTHECA HISTORICA

EX RECENSIONE

LVDOVICI DINDORFII.

VOL. I. PARS I.

L. I. — V.

1615
LEHRER-BIBLIOTHEK

LIPSIAE

SVMPTIBVS C. H. F. HARTMANNI.

MDCCCXXVIII.

## PRAEFATIO.

Diodori codices qui superstitem universi operis partem totam teneant nulli exstare videntur; qui libros quinque priores, de quibus solis nunc agam, aut integros aut ex parte haberent editoribus ante me praesto fuerunt decem, quibus ullos superesse dubito multo emendatiores. Eorum

A Coislinianus CXLIX. praeter l. I. — V. libros XI. — XV. complexus saeculi est iudice Montefalconio Biblioth. Coisl. p. 213. quinti decimi, bombycinus, foliorum formae maximae 780. Contulit Camusatus, de quo infra dicam.

B Mutinensis librorum I. — V. ab Michaele Apostolio post captam Cpolin scriptus. In usum Camusati comparavit L. A. Muratorius.

C Vaticanus CXXX. saeculi duodecimi, bombycinus, a Britanno quodam iussu Wesselingii collatus. Insunt l. I. — V.

D Vindobonensis LXXIX. libros I. — V. tenens, olim Augustinianorum S. Ioannis de Carbonaria Neapolitanorum, ab his Carolo VI. Neapolis domino oblatus in bibliothecam Vindobonensem transiit. Est membranaceus foliorum formae quartae 297., saeculi undecimi visus Montefalconio Diar. Ital. p. 310. et Kollario Supplem. Lambecii p. 488. Folia viginti duo

priora supplevit manus saeculi, ut Kollarius iudicabat, tertii decimi, quo factum ut periret libri primi summarium. Eadem secundi supplevit folia novem novissima tertiique centesimum vigesimum sextum cum sequentibus uno et viginti, quorum chartacea sunt 145. 146. Ducta esse supplementa ex ipsius archetypi laceris fortasse et marcescentibus foliis fidem facit non imminuta per omnia libri praestantia. Varietatis scripturae specimina pauca acceperat Wesselingius, integram dedit editio Bipontina, cuius in gratiam codicem cum ed. Wesselingii commiserat I. B. Bolla bibliothecae scriptor, functus hoc munere, ut videtur, non indiligenter, quamvis nec Wesselingianorum excerptorum in quibusdam dissensum illorum semper vitio imputaverim nec credam quod credi illius silentium iubet, sphalmata ed. Amstelodamensis nonnulla codici cum ea communia esse. Ego ne quem inscius fallerem, ubi ex silentio scripturam codicis coniicerem, uncis circumdedi indicem litteram.

E Parisinus regius librorum I.—V., numeratus olim MMLXII., nunc, nisi fallor, MDCLIX. catalogi vol. II. p. 383., chartaceus, saeculi sexti decimi, versibus in fine nonnullis mancus, summario etiam libri primi defectus. Wesselingio excussit De la Barre.

F Claromontanus l. I.—V. circa saeculi duodecimi finem, ut fertur, scriptus.

G ipse quoque Claromontanus saeculi circiter quinti decimi, libros tenens I.—V. Vtrumque contulit Camusatus, adhibuerat parandae editioni suae H. Stephanus.

M Venetus Dominicanorum S. Ioannis et Paulli, manu Caesaris Strategi scriptus saeculo quinto decimo.



Varietatem l. I.—V. Wesselingio suppeditavit Blasius Caryophilus.

N Vindobonensis LXXXI. chartaceus foliorum formae maximae 83. Initio saeculi sexti decimi secundum Kollarium p. 496. exaratus tenet librum quintum cum primi principio. In usum ed. Bipontinae comparavit Carolus Weigelius med. D.

U et V dixi varietates quas ex libro incognito ab Fulvio Vrsino Stephanianae marginibus allitas Roma accepit Wesselingius. Quae quum nonnullis aliunde petitis permistae viderentur, prout quamque codicis aut ducerem aut non ducerem, aut V aut U posui. Wesselingii (ad p. 71. 94.) sententia, librum quem Vrsinus tractavit C Vaticanum esse, probari non potest.

Praeter hos libros specimina acceperat Wesselingius

L Florentinorum unius ab initio libri primi ad p. 21. 56.

O Vaticani indidem ad p. 12. 15., tum ad p. 399. 24.

P Vaticani DCCCC. a p. 391. 22. ad finem usque libri quinti.

Gemisti Plethonis e libro secundo (p. 113. 21.—148. 75.) excerptorum apographum Camusati, ex codice bibliothecae Leidensis ut putabat descriptum, versavit Wesselingius. Mihi quod ipsius libri Leidensis, qui chartaceus est saeculi circiter XVI., varietatem per I. Geelii viri doctissimi liberalitatem dare licuit eo gratius accidit quo minori cum cura apographum Camusati aut factum fuit aut ab Wesselingio adhibitum. Fuerat autem ille quem saepius dixi Camusatus ipse olim editionem Diodori molitus, collectumque eo con-

silio apparatum criticum mandaverat exemplari quod Wesselingio commodavit Dorvillius. Id exemplar Rhodomanni an Stephani editionis fuerit incertum reliquit Wesselingius: sed Rhodomannianam mihi prodiderunt varietates quaedam in corrigendis meris Rhodomannianae vitiis, quibus caret Stephaniana, occupatae, suspectamque reddiderunt Camusati Muratoriique fidem tot eiusdem editionis alia, quae si ex Camusati codicibus correcta vidisset Wesselingius, non ita dormitaturus erat ut, quod fecit, in suam transferret.

Superest ut de editionibus dicam quae codicum instar sunt duabus, latina librorum I. — V. Poggii et graeca totius Diodori ab H. Stephano facta. Poggianae interpretationis, quam auctor moriens manuscriptam reliquit, princeps eaque perrara editio est Bononiensis anni 1472.: quam aspicere nec mihi contigit nec Wesselingio an licuerit scio: sed utebar ego ab initio, immo in quartum usque librum Parisina anni incerti, quam ex bibliotheca Cizensi humanissime concesserat Kiesslingius. Postea nactus proximas principi Venetas a. 1476. et 1481. tertiamque a. 1496. a Merula castigatam, differre illas quidem a Parisina illatis sublatisve operarum peccatis vidi, caeterum cum ea qua Wesselingius usus est non magis consentire. Qui dissensus unde repetendus sit editione principe destitutus dicere non possum: sed vel illam qui inspexerit mirabor si omnia quae Wesselingius protulit reperiat. Venetarum autem princeps quid differat ab iis quae ex Parisina, quo usque ea usus sum, attuli tabula infra posita indicat *). Criticum libri

*) P. ed. Wessel. 3. 8. inscriptio deest  23. 42. *loci*  26. 61. *Dionysia*  30. 95. *milia*, unde patet excidisse *tria* nihilque



usum quantum imminuunt consuetudo interpretis, qui se ait *consulto brevitati consulentem aliqua omisisse quae satietatem orationi peperissent potius quam venustatem*, et eruditio, qua fuit, huic labori plane impar, tantum eundem auget caeca fides qua plerumque sequutus videtur codicem ut dissimilem caeteris ita saepe praestantem: de quo id unum constat non esse quem Wesselingius ad p. 266. 86. opinabatur L Florentinum.

Graecos eosdem quinque libros primus protulit a. 1559. H. Stephanus, cuius editio propter summam pro illa aetate diligentiam, fidem, ac religionem non sine insigni laude commemoranda est. Codices habuit praeter Claromontanum utrumque et, quae verisimilis Wesselingii ad p. 68. 82. coniectura est, E Parisinum alios plures, sed minus omnes bonos: quorum scripturas, ut quamque aut probaret aut notabilem falsamve duceret, aut recepit aut in margine (qui nobis est Q) posuit vel silentio pressit (v. eius annot.

dissentire Poggium  37. 45. *mater* deest  45. 16. *Gnephactum*  62. 33. *Sesoosis* constanter praeter 105. 46., ubi *Soosim*  70. 36. *Rhinocieram*  59. *Mridim*  71. 77. *Caetem*  72. 76. *Chempis*  74. 78. *effugerent*  77. 86. *Psammiticus* constanter  95. 22. *Miridem*  102. 27. *cynnamonio*  105. 21. *Minam et Zatrasten*  109. 96. *Polimnea*  115. 87. *Coromneos Rhombos*  127. 74. *larcicum*  146. 5. *Artecarmim*  150. 68. *Gandaricos* ubi Par. *Gangaricos* et *Gandaros* ubi *Gangaros*  157. 54. *Themistyram:* margo autem Venetae nullus est  168. 7. *qua*] *q̄* i. e. *quae*  187. 79. *Simmiam*  190. 40. *psalientium*  206. 52. *ischicphagi*  213. 48. *cassia*  221. 90. *Athlantidae* hoc loco: nam infra et ipsa *Athlantides*  223. 74. *Ninam, Cimem, Pytanem, Pyrneam*  228. 83. *Tamyrus*  237. 90. *Amalthiam* et 97. 100. *Amalthiae*  259. 92. *Egei*  262. 99. *Euribiam* (sic enim Par.)] *Eribiam*  269. 21. *Glychatas*  273. 34. *lamonem*  277. 47. *Tripolemum*  278. 13. *Tipheus*  282. 100. *Oechaliam*  283. 5. *Cincum*

ad vol. II. p. 150. 75.). Ipsam orationem graecam asteriscis aliisque signis distinxit, quibus deesse notata uni aut pluribus de libris suis aut alioqui varietatis aliquid ab se repertum indicaret. Librorum ipse suorum raro mentionem fecit, rationem singulorum nusquam reddidit.

Emendationibus praeter editas Reiskii (in eius *Animadversionum ad Graecos auctores* vol. I.) manuscriptis usus sum nonnullis Reinesii, a Kiesslingio perhumaniter impertitis, pluribus autem Schaeferi, non minus doctis et acutis quam quibus in scriptis suis dudum de Diodoro optime meritus est vir mihi amicissimus.

De reliquarum partium libris aliorum meisque suis locis dicetur.

---

P. ed. Wess. vol. I. 1

# ΤΑΔΕ ΠΕΡΙΕΧΕΙ
# Η ΠΡΩΤΗ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

α'. *Προοίμιον τῆς ὅλης πραγματείας.*
β'. *Περὶ τῶν παρ' Αἰγυπτίοις λεγομένων περὶ τῆς τοῦ κόσμου γενέσεως.*

Pag. ed. Wessel. 1. inscr. *τάδε περιέχει ἡ πρώτη* Wolfius: libri *τάδε ἔνεστιν ἐν τῇ πρώτῃ* praeter A qui *ἔλεγχος τῆς πρώτης βίβλου*, tum sic pergens; *ἐν ᾗ κεφαλαιωδῶς συμπεριλαμβάνεται τὰ κατ' Αἴγυπτον ἀρχαιολογούμενα. περὶ τῆς τοῦ κόσμου γενέσεως καὶ τῆς τῶν ὅλων ἐξ ἀρχῆς συστάσεως. περὶ τῆς πρώτης τῶν ἀνθρώπων γενέσεως καὶ παλαιοτάτου βίου. ὡς Αἰγύπτιοι ἐξιδιάζονται τὴν τοῦ γένους ἀρχαιότητα. περὶ τῶν θεῶν οὐρανίων καὶ γένεσιν ἀΐδιον ἐσχηκότων. περὶ θεῶν ἐπιγείων ἤτοι ἡρώων, ὧν ἔνιοι καὶ βασιλεῖς Αἰγύπτου γεγόνασι. περὶ γενέσεως Ἴσιδος καὶ Ὀσίριδος, καὶ ὡς εὑρεταὶ τοῦ πυρίνου καὶ κριθίνου καρποῦ ἐγένοντο. ναῶν χρυσῶν κατασκευὴ ὑπὸ τῶν περὶ τὸν Ὄσιριν. πόθεν ἔσχε τὴν τοῦ Διονύσου προσηγορίαν ὁ Ὄσιρις. ὡς εὑρετὴς ἐγένετο τῆς ἀμπέλου καὶ ἐστρατεύσατο ἐφ' ἅπασαν οἰκουμένην ὁ Ὄσιρις. Ὀσίριδος καὶ Ἴσιδος τελευτὴ καὶ ταφή, καὶ ὡς ὁ Ἆπις καὶ ὁ Μέμφις (Μνεῦις* Wesselingius) *τῷ Ὀσίριδι καθιερώθησαν. διὰ τί παρ' Ἕλλησιν ἐν ταῖς Διονυσιακαῖς τελεταῖς ὁ φαλλὸς ἠξιώθη τιμῆς. ὡς σχεδιάζουσιν οἱ λέγοντες τὸν Διόνυσον ἐκ Σεμέλης καὶ Διὸς ἐν Θήβαις τῆς Βοιωτίας γεγονέναι. ὡς Ἡρακλῆς καὶ Πρεσβεὺς (Περσεὺς* Wesselingius) *τὸ γένος Αἰγύπτιοι. ὡς εὑρέτις τοῦ τῆς ἀθανασίας φαρμάκου ἡ Ἶσις ἐγένετο καὶ Ἀπόλλων ὁ Ὧρός ἐστι μεθερμηνευόμενος. χρόνων συγκεφαλαίωσις ἀπὸ τῆς Ἡλίου βασιλείας μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν. περὶ τῆς τῶν γιγάντων γενέσεως καὶ διὰ τί παρ' Αἰγυπτίοις νενομοτέθηται (νενομοθέτηται) γαμεῖν ἀδελφάς. ἀποικίαι Αἰγυπτίων ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης. τοποθεσία τῆς κατ' Αἴγυπτον χώρας. ἀπαγγελία τῶν κατὰ τὸν Νεῖλον ποταμὸν παραδοξολογουμένων. αἰτίαι τῆς τοῦ Νείλου πληρώσεως καὶ ἀποφάσεις ἱστορικῶν τε καὶ φιλοσόφων καὶ πρὸς ἑκάστην τούτων ἀντιῤῥήσεις τοῦ συγγραφέως.* Poggii interpretationem, quae partim cum A partim cum reliquis libris consentit, totam apposui. *Provemium totius operis. quae de mundi creatione deque omnium prima origine ab Aegyptiis traduntur. quae de diis fabulosa Aegyptii ferunt, et quae in Aegypto ab eis urbes sint conditae. de primo hominum ortu et eorum priori vita. de honore immortalium et templorum aedificatione. de situ Aegypti, et quae de Nilo praeter opinionem dicuntur. de causa inundationis Nili, et quae de illa tum historici tum philosophi sentiunt, eorumque contradictionem.* Reliquorum quae libro primo continentur indicem capiti 42. praemisit Poggius: ubi vide appositum.

γ'. Περὶ τῶν θεῶν ὅσοι πόλεις ἔκτισαν κατ' Αἴγυπτον.
δ'. Περὶ τῶν πρώτων γενομένων ἀνθρώπων καὶ τοῦ παλαιοτάτου βίου.
ε'. Περὶ τῆς τῶν ἀθανάτων τιμῆς καὶ τῆς τῶν ναῶν κατασκευῆς.
ς'. Περὶ τῆς τοποθεσίας τῆς κατ' Αἴγυπτον χώρας καὶ τῶν
περὶ τὸν Νεῖλον ποταμὸν παραδοξολογουμένων, τῆς τε 2
τούτου πληρώσεως τὰς αἰτίας καὶ τῶν ἱστορικῶν καὶ φιλοσόφων ἀποφάσεις.
ζ'. Περὶ τῶν πρώτων γενομένων κατ' Αἴγυπτον βασιλέων καὶ τῶν κατὰ μέρος αὐτῶν πράξεων.
η'. Περὶ κατασκευῶν τῶν πυραμίδων τῶν ἀναγραφομένων ἐν τοῖς ἑπτὰ θαυμαζομένοις ἔργοις.
θ'. Περὶ τῶν νόμων καὶ τῶν δικαστηρίων.
ι'. Περὶ τῶν ἀφιερωμένων ζῴων παρ' Αἰγυπτίοις.
ια'. Περὶ τῶν νομίμων τῶν περὶ τοὺς τετελευτηκότας παρ' Αἰγυπτίοις γενομένων.
ιβ'. Περὶ τῶν Ἑλλήνων ὅσοι τῶν ἐπὶ παιδείᾳ θαυμαζομένων παραβαλόντες εἰς Αἴγυπτον καὶ πολλὰ τῶν χρησίμων μαθόντες μετήνεγκαν εἰς τὴν Ἑλλάδα.

---

# ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ
# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ
## ΒΙΒΛΟΣ ΠΡΩΤΗ.

Τοῖς τὰς κοινὰς ἱστορίας πραγματευσαμένοις μεγάλας 1
χάριτας ἀπονέμειν δίκαιον πάντας ἀνθρώπους, ὅτι τοῖς ἰδίοις πόνοις ὠφελῆσαι τὸν κοινὸν βίον ἐφιλοτιμήθησαν. ἀκίνδυνον γὰρ διδασκαλίαν τοῦ συμφέροντος εἰσηγησάμενοι καλλίστην ἐμπειρίαν διὰ τῆς πραγματείας ταύτης περιποιοῦσι τοῖς ἀναγινώσκουσιν. ἡ μὲν γὰρ ἐκ τῆς πείρας ἑκάστου μάθησις μετὰ πολλῶν πόνων καὶ κινδύνων ποιεῖ τῶν χρησίμων ἕκαστα διαγινώσκειν· καὶ γὰρ ἐκ τούτου τῶν ἡρώων ὁ πολυπειρότατος μετὰ μεγάλων ἀτυχημάτων

πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω·

3. inscr. τοῦ Σικελ.] Σικελ. DO   βιβλ. ἱστορ. βίβλος πρώτη] ἀπογραφαὶ ἤτοι ἱστορικῆς βιβλιοθήκης βιβλ. α' D, βιβλ. ἱστορικῆς πρώτη A, βιβλ. ἱστορικῆς α', ascripto ab rec. manu βίβλος ά, N, ἱστοριῶν ά O: *Diodori Siculi a Pogio Florentino in Latinum sermonem traducti de antiquorum gestis fabulosis. Lib. I.* Poggius. Βιβλιοθήκας totum opus aliquoties vocarunt Eusebius et Iustinus Martyr more recentiorum, secundum quem Platonis ἀπολογίας et πολιτείας citat Favorinus in Aldi Hort. Adon. p. 126. r., Xenophontis ἀναβάσεις Scholiasta Thucyd. II. 65. et alia alii: βιβλιοθήκης *historiam suam inscripsit* de Diodoro ait Plinius Praef. H. N. p. 5. 5., quod βιβλιοθήκην, non βιβλιοθήκας scribendum esse apparet: βιβλιοθήκας tacito scripsit H. Stephanus in Tractatu de Diodoro: *bibliothecis* scriptum in edd. vetustissimis. τῶν ἱστοριῶν βιβλιοθήκην dicit Schol. Aristoph. Plut. v. 9.   3. ἀνθρώπους] ἀνθρώπων ABEN   τοῖς] τοῖς μὲν N   6. εἰσηγησάμενοι] ἡγησάμενοι AEQ   11. ἕκαστα omisit F   καὶ γὰρ ἐκ τούτου ABENQ, caeteri καὶ διὰ τοῦτο   12. μεγάλων] τῶν μεγάλων N   13. ἴδεν] εἶδεν FG, omisit A

ἡ δὲ διὰ τῆς ἱστορίας περιγινομένη σύνεσις τῶν ἀλλοτρίων ἀποτευγμάτων τε καὶ κατορθωμάτων ἀπείρατον κακῶν ἔχει τὴν διδασκαλίαν. ἔπειτα παντας ἀνθρώπους, μετέχοντας μὲν τῆς πρὸς ἀλλήλους συγγενείας, τόποις δὲ καὶ χρόνοις διεστηκότας, ἐφιλοτιμήθησαν ὑπὸ μίαν καὶ τὴν αὐτὴν σύνταξιν ἀγαγεῖν, ὥςπερ τινὲς ὑπουργοὶ τῆς θείας προνοίας γενηθέντες. ἐκείνη τε γὰρ τὴν τῶν ὁρωμένων ἄστρων διακόσμησιν καὶ τὰς τῶν ἀνθρώπων φύσεις εἰς κοινὴν ἀναλογίαν συνθεῖσα κυκλεῖ συνεχῶς ἅπαντα τὸν αἰῶνα, τὸ ἐπιβάλλον ἑκάστοις ἐκ τῆς πεπρω- 4
μένης μερίζουσα, οἵ τε τὰς κοινὰς τῆς οἰκουμένης πράξεις καθάπερ μιᾶς πόλεως ἀναγράψαντες ἕνα λόγον καὶ κοινὸν χρηματιστήριον τῶν συντετελεσμένων ἀπέδειξαν τὰς ἑαυτῶν πραγματείας. καλὸν γὰρ τὸ δύνασθαι τοῖς τῶν ἄλλων ἀγνοήμασι πρὸς διόρθωσιν χρῆσθαι παραδείγμασι, καὶ πρὸς τὰ συγκυροῦντα ποικίλως κατὰ τὸν βίον ἔχειν μὴ ζήτησιν τῶν πραττομένων ἀλλὰ μίμησιν τῶν ἐπιτετευγμένων. καὶ γὰρ τοὺς πρεσβυτάτους ταῖς ἡλικίαις ἅπαντες τῶν νεωτέρων προκρίνουσιν ἐν ταῖς συμβουλίαις διὰ τὴν ἐκ τοῦ χρόνου περιγεγενημένην αὐτοῖς ἐμπειρίαν· ἧς τοσοῦταν ὑπερέχειν συμβέβηκε τὴν ἐκ τῆς ἱστορίας μάθησιν ὅσον καὶ τῷ πλήθει τῶν πραγμάτων προτεροῦσαν αὐτὴν ἐπεγνώκαμεν. διὸ καὶ πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην ἄν τις εἶναι νομίσειε τὴν ταύτης ἀνάληψιν. τοῖς μὲν γὰρ νεωτέροις τὴν τῶν γεγηρακότων περιποιεῖ σύνεσιν, τοῖς δὲ πρεσβυτέροις πολλαπλασιάζει τὴν ὑπάρχουσαν ἐμπειρίαν, καὶ τοὺς μὲν ἰδιώτας ἀξίους ἡγεμονίας κατασκευάζει, τοὺς δ᾽ ἡγεμόνας τῷ διὰ τῆς δόξης ἀθανατισμῷ προτρέπεται τοῖς καλλίστοις τῶν ἔργων ἐπιχειρεῖν, χωρὶς δὲ τούτων τοὺς μὲν στρατιώτας τοῖς μετὰ τὴν τελευτὴν ἐπαίνοις ἑτοιμοτέρους κατασκευάζει πρὸς τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους, τοὺς δὲ πονηροὺς τῶν ἀνθρώπων

14. περιγινομένη] περιγενομένη GMO 15. ἀποτευγμάτων] ἀποταγμάτων GMN 16. ἔχει] ἔχειν ABN τὴν διδασκαλίαν ABCDEFN, caeteri διδασκαλίαν 23. κυκλεῖ] κυκλοῖ DEN
4. 24. ἑκάστοις] ἑκάστῳ GMO 25. οἵ τε] οἵτινες BGN 27. ἕνα λόγον] ἀνάλογον Reiskius χρηματιστήριον] πραγματιστήριον ABENQ 29. τὰς] τῆς N ἑαυτῶν] ἐκείνων ABEN 31. ἔχειν] ἔχει FG et M vel O 32. πραττομένων] πρασσομένων omnes 34. προκρίνουσιν ἐν ταῖς] προκρίνουσι ταῖς EN 35. περιγεγενημένην] περιηγεμένην A, περιηγμένην B, D in marg. correctus, E 36. ὑπερέχειν] ὑπάρχειν N 37. μάθησιν] μίμησιν CFGLMOQ 38. προτεροῦσαν] ὑπερτεροῦσαν CFGLMO 44. δ᾽ ἡγεμόνας] δέ



ταῖς αἰωνίαις βλασφημίαις ἀποτρέπει τῆς ἐπὶ τὴν κακίαν ὁρμῆς· καθόλου δὲ διὰ τὴν ἐκ ταύτης ἐπ᾽ ἀγαθῷ μνή- 2
μην οἱ μὲν κτίσται πόλεων γενέσθαι προεκλήθησαν, οἱ δὲ νόμους εἰςηγήσασθαι περιέχοντας τῷ κοινῷ βίῳ τὴν ἀσφάλειαν, πολλοὶ δ᾽ ἐπιστήμας καὶ τέχνας ἐξευρεῖν ἐφιλοτιμήθησαν πρὸς εὐεργεσίαν τοῦ γένους τῶν ἀνθρώπων. ἐξ ἁπάντων δὲ συμπληρουμένης τῆς εὐδαιμονίας ἀποδοτέον τῶν ἐπαίνων τὸ πρωτεῖον τῇ τούτων μάλιστ᾽ αἰτίᾳ ἱστορίᾳ. ἡγητέον γὰρ εἶναι ταύτην φύλακα μὲν τῆς τῶν ἀξιολόγων ἀρετῆς, μάρτυρα δὲ τῆς τῶν φαύλων κακίας, εὐεργέτιν δὲ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων. εἰ γὰρ
5 ἡ τῶν ἐν Ἅιδου μυθολογία τὴν ὑπόθεσιν πεπλασμένην ἔχουσα πολλὰ συμβάλλεται τοῖς ἀνθρώποις πρὸς εὐσέβειαν καὶ δικαιοσύνην, πόσῳ μᾶλλον ὑποληπτέον τὴν προφῆτιν τῆς ἀληθείας ἱστορίαν τῆς ὅλης φιλοσοφίας οἱονεὶ μητρόπολιν οὖσαν ἐπισκευάσαι δύνασθαι τὰ ἤθη μᾶλλον πρὸς καλοκἀγαθίαν; πάντες γὰρ ἄνθρωποι διὰ τὴν τῆς φύσεως ἀσθένειαν βιοῦσι μὲν ἀκαριαῖόν τι μέρος τοῦ παντὸς αἰῶνος, τετελευτήκασι δὲ πάντα τὸν ὕστερον χρόνον, καὶ τοῖς μὲν ἐν τῷ ζῆν μηδὲν ἀξιόλογον πράξασιν ἅμα ταῖς τῶν σωμάτων τελευταῖς συναποθνήσκει καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὸν βίον, τοῖς δὲ δι᾽ ἀρετὴν περιποιησαμένοις δόξαν αἱ πράξεις ἅπαντα τὸν αἰῶνα μνημονεύονται διαβοώμεναι τῷ θειοτάτῳ τῆς ἱστορίας στόματι. καλὸν δ᾽ οἶμαι τοῖς εὖ φρονοῦσι θνητῶν πόνων ἀντικαταλλάξασθαι τὴν ἀθάνατον εὐφημίαν. Ἡρακλῆς μὲν γὰρ ὁμολογεῖται πάντα τὸν γενόμενον αὐτῷ κατ᾽ ἀνθρώπους χρόνον ὑπομεῖναι μεγάλους καὶ συνεχεῖς πόνους καὶ κινδύνους ἑκουσίως, ἵνα τὸ γένος τῶν ἀνθρώπων εὐεργετήσας τύχῃ τῆς ἀθανασίας· τῶν δὲ ἄλλων ἀγαθῶν ἀνδρῶν οἱ μὲν ἡρωικῶν οἱ δὲ ἰσοθέων τιμῶν ἔτυχον, πάντες δὲ μεγάλων ἐπαίνων ἠξιώθησαν, τὰς ἀρετὰς αὐτῶν τῆς ἱστορίας ἀπαθανατιζούσης. τὰ μὲν γὰρ ἄλλα μνημεῖα διαμένει χρόνον ὀλίγον, ὑπὸ πολλῶν ἀναιρούμενα περιστάσεων, ἡ δὲ

γε N 49. αἰωνίαις] αἰωνίως FM 51. ἀγαθῷ] ἄπειρον CFGLMOQ 52. κτίσται] πρὸς CFGLMO γενέσθαι] γένεσιν CO, γίνεσθαι FGLM 57. τῇ] τι N 58. τούτων] τοῦτονN αἰτίᾳ om. CLMO, in marg. supplent FG
59. φύλακα G, custos Poggius, caeteri φυλακὴν 61. ἡ — μυθολογία] αἱ — μυθολογίαι N
5. 62. ὑπόθεσιν] ὑπόμνησιν ABDEGN ἔχουσα] ἔχουσαι N 64. μᾶλλον om. CFGLMO, servat hic Poggius, omittens v. 67., unde non sequitur semel ab eo lectum esse 67. ἤθη DEMNO, caeteri ἔθη 72. πάντα τὰ] πάντα Maximus p. 164. ed. Gesn. 76. ἀντικαταλλάξασθαι] ἀνταλλάξασθαι ABDEN

τῆς ἱστορίας δύναμις ἐπὶ πᾶσαν τὴν οἰκουμένην διή-
κουσα τὸν πάντα τἄλλα λυμαινόμενον χρόνον ἔχει φύ-
λακα τῆς αἰωνίου παραδόσεως τοῖς ἐπιγινομένοις. συμ-
βάλλεται δ' αὕτη καὶ πρὸς λόγου δύναμιν, οὗ κάλ-
λιον ἕτερον οὐκ ἄν τις ῥᾳδίως εὕροι. τούτῳ γὰρ οἱ
μὲν Ἕλληνες τῶν βαρβάρων, οἱ δὲ πεπαιδευμένοι τῶν
ἀπαιδεύτων προέχουσι, πρὸς δὲ τούτοις διὰ μόνου τού-
του δυνατόν ἐστιν ἕνα τῶν πολλῶν περιγενέσθαι· κα-
θόλου δὲ φαίνεται πᾶν τὸ προτεθὲν τοιοῦτον ὁποῖον ἂν
ἡ τοῦ λέγοντος δύναμις παραστήσῃ· καὶ τοὺς ἀγαθοὺς
ἄνδρας ἀξίους λόγου προςαγορεύομεν, ὡς τούτους τὸ
πρωτεῖον τῆς ἀρετῆς περιπεποιημένους. εἰς πλείω δὲ
μέρη τούτου διῃρημένου συμβαίνει τὴν μὲν ποιητικὴν
τέρπειν μᾶλλον ἤπερ ὠφελεῖν, τὴν δὲ νομοθεσίαν κολά-
ζειν, οὐ διδάσκειν, παραπλησίως δὲ καὶ τἄλλα μέρη τὰ 6
μὲν μηδὲν συμβάλλεσθαι πρὸς εὐδαιμονίαν, τὰ δὲ με-
μιγμένην ἔχειν τῷ συμφέροντι τὴν βλάβην, ἔνια δὲ κα-
τεψεῦσθαι τῆς ἀληθείας, μόνην δὲ τὴν ἱστορίαν, συμ-
φωνούντων ἐν αὐτῇ τῶν λόγων τοῖς ἔργοις, ἅπαντα
τἄλλα χρήσιμα τῇ γραφῇ περιειληφέναι. ὁρᾶσθαι γὰρ
αὐτὴν προτρεπομένην ἐπὶ δικαιοσύνην, κατηγοροῦσαν
τῶν φαύλων, ἐγκωμιάζουσαν τοὺς ἀγαθούς, τὸ σύνο-
λον ἐμπειρίαν μεγίστην περιποιοῦσαν τοῖς ἐντυγχάνουσι.
3 διὸ καὶ θεωροῦντες ἡμεῖς δικαίας ἀποδοχῆς τυγχάνον-
τας τοὺς ταύτην πραγματευσαμένους προήχθημεν ἐπὶ
τὸν ὅμοιον τῆς ὑποθέσεως ζῆλον. ἐπιστήσαντες δὲ τὸν
νοῦν τοῖς πρὸ ἡμῶν συγγραφεῦσιν ἀπεδεξάμεθα μὲν
ὡς ἔνι μάλιστα τὴν προαίρεσιν αὐτῶν, οὐ μὴν ἐξειργά-
σθαι πρὸς τὸ συμφέρον καὶ τὸ δυνατὸν τὰς πραγματείας
αὐτῶν ὑπελάβομεν. κειμένης γὰρ τοῖς ἀναγινώσκουσι

89. τοῖς omittunt EN ἐπιγινομένοις] ἐπιγινομένης B, ἐπὶ γενομένοις N 93. ἕνα] τὸν ἕνα [CFLMO 95. προτεθὲν Wesselingius, προςταχθὲν FGLMO, πραχθὲν margo G, προςτεθὲν margo F cum caeteris: *res* Poggius 96. ἄνδρας ἀξίους λόγου προςαγορεύομεν] ἄνδρας προςαγορεῦσαι LM 97. τούτους τὸ] τοῦτο τὸ C, τὸ LMO 98. περιπεποιημένους] πεποιημένους FG πλείω] πλείονα FGLMO

6. 5. ἅπαντ' ἄλλα FL 6. τἄλλα χρήσιμα] τὰ καλὰ καὶ χρήσιμα Rhodomannus: sententia τὰ τῶν ἄλλων χρήσιμα postulare videtur: *omnem utilitatem* Poggius χρήσιμα om. FL, asterisco notavit Stephanus 7. προτρεπομένην — ἀγαθούς] haec de suo amplificasse videtur Poggius, qui *ad honestum impellit: detestatur vitia: probos extollit: deprimit improbos* 9. περιποιοῦσαν] ποιοῦσαν BN 15. ἔνι] ἔνιοι N 16. ἐξειργάσθαι] ἐξείργεσθαι ABDEFN, ἐξειργάσασθαι G καὶ] κατὰ Stephanus 17. αὐτῶν om. EN, asterisco notavit Stephanus 18. τοῖς Wesselingius, ἐπὶ τοῖς CLMO et qui in margine ἐν FG, caeteri ἐν τοῖς



τῆς ὠφελείας ἐν τῷ πλείστας καὶ ποικιλωτάτας περιστά-
σεις λαμβάνειν, οἱ πλεῖστοι μὲν ἔθνους ἢ μιᾶς πόλεως
αὐτοτελεῖς πολέμους ἀνέγραψαν, ὀλίγοι δ' ἀπὸ τῶν ἀρ-
χαίων χρόνων ἀρξάμενοι τὰς κοινὰς πράξεις ἐπεχείρη-
σαν ἀναγράφειν μέχρι τῶν καθ' αὐτοὺς καιρῶν, καὶ
τούτων οἱ μὲν τοὺς οἰκείους χρόνους ἑκάστοις οὐ πα-
ρέζευξαν, οἱ δὲ τὰς τῶν βαρβάρων πράξεις ὑπερέβησαν,
ἔτι δ' οἱ μὲν τὰς παλαιὰς μυθολογίας διὰ τὴν δυςχέ-
ρειαν τῆς πραγματείας ἀπεδοκίμασαν, οἱ δὲ τὴν ὑπό-
στασιν τῆς ἐπιβολῆς οὐ συνετέλεσαν μεσολαβηθέντες
τὸν βίον ὑπὸ τῆς πεπρωμένης. τῶν δὲ τὴν ἐπιβολὴν
ταύτης τῆς πραγματείας πεποιημένων οὐδεὶς προεβί-
βασε τὴν ἱστορίαν κατωτέρω τῶν Μακεδονικῶν καιρῶν·
οἱ μὲν γὰρ εἰς τὰς Φιλίππου πράξεις, οἱ δ' εἰς τὰς Ἀλε-
ξάνδρου, τινὲς δ' εἰς τοὺς διαδόχους ἢ τοὺς ἐπιγόνους
κατέστρεψαν τὰς συντάξεις· πολλῶν δὲ καὶ μεγάλων τῶν
μετὰ ταῦτα πράξεων ἀπολελειμμένων μέχρι τοῦ καθ'
ἡμᾶς βίου τῶν ἱστοριογράφων οὐδεὶς ἐπεβάλετο αὐτὰς
μιᾶς συντάξεως περιγραφῇ πραγματεύσασθαι διὰ τὸ
μέγεθος τῆς ὑποθέσεως. διὸ καὶ ἐῤῥιμμένων τῶν τε χρό-
νων καὶ τῶν πράξεων ἐν πλείοσι πραγματείαις καὶ δια-
7 φόροις συγγραφεῦσι δυςπερίληπτος ἡ τούτων ἀνάληψις
γίνεται καὶ δυςμνημόνευτος. ἐξετάσαντες οὖν τὰς ἑκά-
στου τούτων διαθέσεις ἐκρίναμεν ὑπόθεσιν ἱστορικὴν
πραγματεύσασθαι τὴν πλεῖστα μὲν ὠφελῆσαι δυναμένην,
ἐλάχιστα δὲ τοὺς ἀναγινώσκοντας ἐνοχλήσουσαν. εἰ γάρ
τις τὰς εἰς μνήμην παραδεδομένας τοῦ σύμπαντος κό-
σμου πράξεις ὥςπερ τινὸς μιᾶς πόλεως ἀρξάμενος ἀπὸ
τῶν ἀρχαιοτάτων χρόνων ἀναγράψαι κατὰ τὸ δυνατὸν
μέχρι τῶν καθ' αὑτὸν καιρῶν, πόνον μὲν ἂν πολὺν
ὑπομεῖναι δῆλον ὅτι, πραγματείαν δὲ πασῶν εὐχρηστο-
τάτην συντάξαιτο τοῖς φιλαναγνωστοῦσιν. ἐξέσται γὰρ
ἐκ ταύτης ἕκαστον πρὸς τὴν ἰδίαν ὑπόστασιν ἑτοίμως
λαμβάνειν τὸ χρήσιμον ὥςπερ ἐκ μεγάλης ἀρυόμενον

20. ἔθνους] ἑνὸς praeponunt Porsonus Advers. p. 261. et Schaeferus ad Dionysium p. 11., quod in simili loco addit Dionysius vol. VI. p. 820. 9. R. 22. πράξεις] πραγματείας A 25. οὐ omittunt FLMO, asterisco notavit Stephanus 28. ἐπιβολῆς] ἐπιβουλῆς EN 30. ἐπιβολὴν] ἐπιβουλὴν E 32. πράξεις] πραγματείας EN 34. συντάξεις] πράξεις FGL 37. μιᾶς] μιᾷ FGLMO περιγραφῇ] ἐπιγραφῇ BEN 40. καὶ διαφόροις ABC(D)E(N), caeteri praeponunt καὶ πλείασι, quae asterisco notavit Stephanus

7. 46. παραδεδομένας] παραδιδομένας D, παραδιδιδομένας N 48. ἀναγράψαι] ἀναγράψας AN 49. πόνον] πόνων N 50. πολὺν om. BDN, asterisco notavit Stephanus ὑπομεῖναι] ὑπομείνας FGLMO 51. εὐχρηστοτάτην] εὐχρηστοτέραν ABN

πηγῆς. τοῖς μὲν γὰρ ἐπιβαλλομένοις διεξιέναι τὰς τῶν τοσούτων συγγραφέων ἱστορίας πρῶτον μὲν οὐ ῥᾴδιον εὐπορῆσαι τῶν εἰς τὴν χρείαν πιπτουσῶν βίβλων, ἔπειτα διὰ τὴν ἀνωμαλίαν καὶ τὸ πλῆθος τῶν συνταγμάτων δυςκατάληπτος γίνεται τελείως ἡ τῶν πεπραγμένων ἀνάληψις· ἡ δ' ἐν μιᾶς συντάξεως περιγραφῇ πραγματεία τὸ τῶν πράξεων εἱρόμενον ἔχουσα τὴν μὲν ἀνάγνωσιν ἑτοίμην παρέχεται, τὴν δ' ἀνάληψιν ἔχει παντελῶς εὐπαρακολούθητον· καθόλου δὲ τῶν ἄλλων τοσοῦτον ὑπερέχειν ταύτην ἡγητέον ὅσῳ χρησιμώτερόν ἐστι τὸ πᾶν τοῦ μέρους καὶ τὸ συνεχὲς τοῦ διῃρημένου, πρὸς δὲ τούτοις τὸ διηκριβωμένον τοῖς χρόνοις τοῦ μηδὲ γι-
4 νωσκομένου τίσιν ἐπράχθη καιροῖς. διόπερ ἡμεῖς ὁρῶν-
τες ταύτην τὴν ὑπόθεσιν χρησιμωτάτην μὲν οὖσαν, πολλοῦ δὲ πόνου καὶ χρόνου προςδεομένην, τριάκοντα μὲν ἔτη περὶ αὐτὴν ἐπραγματεύθημεν, μετὰ δὲ πολλῆς κακοπαθείας καὶ κινδύνων ἐπήλθομεν πολλὴν τῆς τε Ἀσίας καὶ τῆς Εὐρώπης, ἵνα τῶν ἀναγκαιοτάτων καὶ πλείστων μερῶν αὐτόπται γενηθῶμεν· πολλὰ γὰρ παρὰ τὰς ἀγνοίας τῶν τόπων διήμαρτον οὐχ οἱ τυχόντες μόνον τῶν συγγραφέων ἀλλά τινες καὶ τῶν τῇ δόξῃ πεπρωτευκότων. ἀφορμῇ δὲ πρὸς τὴν ἐπιβολὴν ταύτην ἐχρησάμεθα μάλιστα μὲν τῇ πρὸς τὴν πραγματείαν ἐπιθυμίᾳ, δι' ἣν πᾶσιν ἀνθρώποις τὸ δοκοῦν ἄπορον εἶναι τυγχάνει συντελείας, ἔπειτα καὶ διὰ τὴν ἐν Ῥώμῃ χορηγίαν τῶν πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν ἀνηκόντων.
ἡ γὰρ ταύτης τῆς πόλεως ὑπεροχὴ διατείνουσα τῇ δυ- 8
νάμει πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἑτοιμοτάτας καὶ πλείστας ἡμῖν ἀφορμὰς παρέσχετο παρεπιδημήσασιν ἐν αὐτῇ πλείω χρόνον. ἡμεῖς γὰρ ἐξ Ἀγυρίου τὸ γένος τῆς

57. εὐπορῆσαι ABC(D)ELNO, caeteri subiiciunt καὶ, quod asterisco notat Stephanus τῶν om. BEN πιπτουσῶν] τυπτουσῶν LM 58. συνταγμάτων] συγγραμμάτων FLMQ τελείως] τελέως FLO ἡ AE(N), caeteri praeponunt καὶ δυςέφικτος, quae asterisco notat Stephanus 59. πεπραγμένων] πεπραγματευμένων FLOQ μιᾶς] μιᾷ omnes: correxerat etiam Schaeferus 60. εἱρόμενον] ἐῤῥομένον FG, ἐῤῥωμένον CLM 62. εὐπαρακολούθητον] ἀπαρακολούθητον marg. FG 64. διῃρημένου] διεῤῥηγμένου ADG, διεῤῥιμένου margo G 74. μόνον omittunt BCDMN τινὲς post δόξῃ ponunt LNO 75. ἐπιβολὴν] ἐπιβουλὴν L et Stephani nescio qui 79. Ῥώμῃ] τῇ Ῥώμῃ (D)FLMO ὑποκειμένην] ὑποκειμένων D

8. 82. παρέσχετο] παρέχετο N 84. Ἀγυρίου Photius haec verba spectans cod. LXX., Stephanus, Ἀγγυρίου BDEGNQ, *Argira* Poggius, caeteri Ἀργυρίου, quod habuit hic Tzetzes ad Lycophronis v. 1017. εἰς Ἀργυρίνους καὶ Κεραυνίων νάπας] οἱ σχολιασταὶ



Σικελίας ὄντες, καὶ διὰ τὴν ἐπιμιξίαν τοῖς ἐν τῇ νήσῳ πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων διαλέκτου περιπεποιημένοι, πάσας τὰς τῆς ἡγεμονίας ταύτης πράξεις ἀκριβῶς ἀνελάβομεν ἐκ τῶν παρ' ἐκείνοις ὑπομνημάτων ἐκ πολλῶν χρόνων τετηρημένων. πεποιήμεθα δὲ τὴν ἀρχὴν τῆς ἱστορίας ἀπὸ τῶν μυθολογουμένων παρ' Ἕλλησί τε καὶ βαρβάροις, ἐξετάσαντες τὰ παρ' ἑκάστοις ἱστορούμενα κατὰ τοὺς ἀρχαίους χρόνους ἐφ' ὅσον ἡμῖν δύναμις. ἐπεὶ δ' ἡ μὲν ὑπόθεσις ἔχει τέλος, αἱ βίβλοι δὲ μέχρι τοῦ νῦν ἀνέκδοτοι τυγχάνουσιν οὖσαι, βούλομαι βραχέα προδιορίσαι περὶ ὅλης τῆς πραγματείας. τῶν γὰρ βίβλων ἡμῖν ἓξ μὲν αἱ πρῶται περιέχουσι τὰς πρὸ τῶν Τρωικῶν πράξεις καὶ μυθολογίας, καὶ τούτων αἱ μὲν προηγούμεναι τρεῖς τὰς βαρβαρικάς, αἱ δ' ἑξῆς σχεδὸν τὰς τῶν Ἑλλήνων ἀρχαιολογίας· ἐν δὲ ταῖς μετὰ ταύτας ἕνδεκα τὰς ἀπὸ τῶν Τρωικῶν κοινὰς πράξεις ἀναγεγράφαμεν ἕως τῆς Ἀλεξάνδρου τελευτῆς. ἐν δὲ ταῖς ἑξῆς εἴκοσι καὶ τρισὶ βίβλοις τὰς λοιπὰς ἁπάσας κατετάξαμεν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις πρὸς Κελτούς, καθ' ὃν ἡγούμενος Γάιος Ἰούλιος Καῖσαρ ὁ διὰ τὰς πράξεις προςαγορευθεὶς θεὸς κατεπολέμησε μὲν τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη, προεβίβασε δὲ τὴν ἡγεμονίαν τῆς Ῥώμης μέχρι τῶν Βρεττανικῶν νήσων· τούτου δ' αἱ πρῶται πράξεις ἐπετελέσθησαν Ὀλυμπιάδος τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς κατὰ τὸ πρῶτον ἔτος ἐπ' ἄρχοντος Ἀθή-
9 νησιν Ἡρώδου. τῶν δὲ χρόνων τούτων περιειλημμένων 5
ἐν ταύτῃ τῇ πραγματείᾳ τοὺς μὲν πρὸ τῶν Τρωικῶν οὐ διοριζόμεθα βεβαίως διὰ τὸ μηδὲν παράπηγμα

σφάλλονται — Ἠπειρωτικὸν ἔθνος αὐτοὺς λέγουσιν, οὐκ εἰδότες ὅτι τὸ Ἀργύῤῥιον πολίχνη Σικελίας ἐστίν, ὅθεν ἦν ὁ συγγραφεὺς Διόδωρος, εἰ μή που οὐδ' αὐτὸς τὴν ἑαυτοῦ πατρίδα ἐγίνωσκεν ὅπως καλοῖτο τὸ γένος om. DN, asterisco notavit Stephanus

86. τῆς ἡγεμονίας ταύτης πράξεις] ἡγεμονίας ταύτης καὶ πράξεις BDEN 87. ἀνελάβομεν] ἐλάβομεν ABN: Photius hunc locum respiciens cod. LXX. πάσας τὰς — πράξεις καὶ πάθη ἀκριβῶς ἀνελάβετο 88. ἐκ πολλῶν] εἰς πολλῶν BN, εἰς πολλὺν A χρόνων] χρόνον A 92. δύναμις CDN, caeteri ἡ δύναμις 95. προδιορίσαι] προςδιορίσαι D 96. ἓξ μὲν] ἓξ AB(D)E(N) 99. ἀρχαιολογίας] περιειλήφασιν subiiciunt FGLMO, quod asterisco notavit Stephanus 1. Ἀλεξάνδρου] *Alexandri Macedonis* Poggius 5. Ἰούλιος] ὁ Ἰούλιος AN 7. καὶ μαχ.] μαχ. LMO 9. πράξεις C(D)FG LM(N)O, caeteri praeponunt τάξεις καὶ, quae asterisco notavit Stephanus ἐπετελέσθησαν ABD, ἀπετελέσθη L, caeteri ἀπετελέσθησαν 11. ἐπ' ἄρχοντος] ἐπάρχοντος D, ἐπαρχοῦντος LO Ἀθήνησιν] Ἀθήνῃσιν omnes et hic et infra

παρειληφέναι περὶ τούτων πιστευόμενον, ἀπὸ δὲ τῶν Τρωικῶν ἀκολούθως Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ τίθεμεν ὀγδοήκοντ' ἔτη πρὸς τὴν κάθοδον τῶν Ἡρακλειδῶν, ἀπὸ δὲ ταύτης ἐπὶ τὴν πρώτην Ὀλυμπιάδα δυσὶ λείποντα τῶν τριακοσίων καὶ τριάκοντα, συλλογιζόμενοι τοὺς χρόνους ἀπὸ τῶν ἐν Λακεδαίμονι βασιλευσάντων, ἀπὸ δὲ τῆς πρώτης Ὀλυμπιάδος εἰς τὴν ἀρχὴν τοῦ Κελτικοῦ πολέμου, ἣν τελευτὴν πεποιήμεθα τῆς ἱστορίας, ἑπτακόσια καὶ τριάκοντα· ὥςτε τὴν ὅλην πραγματείαν ἡμῶν τετταράκοντα βίβλων οὖσαν περιέχειν ἔτη δυσὶ λείποντα τῶν χιλίων ἑκατὸν τετταράκοντα χωρὶς τῶν χρόνων τῶν περιεχόντων τὰς πρὸ τῶν Τρωικῶν πράξεις. ταῦτα μὲν οὖν ἀκριβῶς προδιωρισάμεθα, βουλόμενοι τοὺς μὲν ἀναγινώσκοντας εἰς ἔννοιαν ἀγαγεῖν τῆς ὅλης προθέσεως, τοὺς δὲ διασκευάζειν εἰωθότας τὰς βίβλους ἀποτρέψαι τοῦ λυμαίνεσθαι τὰς ἀλλοτρίας πραγματείας. ἡμῖν δὲ παρ' ὅλην τὴν ἱστορίαν τὰ μὲν γραφέντα καλῶς μὴ μετεχέτω φθόνου, τὰ δὲ ἀγνοηθέντα τυγχανέτω διορθώσεως ὑπὸ τῶν δυνατωτέρων. διεληλυθότες δὲ ὑπὲρ ὧν προηρούμεθα τὴν ἐπαγγελίαν τῆς γραφῆς βεβαιοῦν ἐγχειρήσομεν.

6 Περὶ μὲν οὖν θεῶν τίνας ἐννοίας ἔσχον οἱ πρῶτοι καταδείξαντες τιμᾶν τὸ θεῖον, καὶ περὶ τῶν μυθολογουμένων ἑκάστου τῶν ἀθανάτων, τὰ μὲν πολλὰ συντάξασθαι πειρασόμεθα κατ' ἰδίαν διὰ τὸ τὴν ὑπόθεσιν ταύτην πολλοῦ λόγου προςδεῖσθαι, ὅσα δ' ἂν ταῖς προκειμέναις ἱστορίαις ἐοικότα δόξωμεν ὑπάρχειν, παραθήσομεν ἐν κεφαλαίοις, ἵνα μηδὲν τῶν ἀκοῆς 10 ἀξίων ἐπιζητῆται. περὶ δὲ τοῦ γένους τῶν ἁπάντων ἀνθρώπων καὶ τῶν πραχθέντων ἐν τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης ὡς ἂν ἐνδέχηται περὶ τῶν οὕτω παλαιῶν ἀκριβῶς ἀναγράψομεν ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἀρξάμενοι. περὶ τῆς πρώτης τοίνυν γενέσεως

9. 14. παρειληφέναι] περιειληφέναι A 16. ὀγδοήκοντ' B, caeteri ὀγδοήκοντα 23. τριάκοντα] v. annotationem 24. τετταράκοντα CDL, caeteri τεσσαράκοντα 25. τετταράκοντα D, caeteri τεσσαράκοντα: v. annotat. 27. προδιωρ.] προςδιωρ. ABDN 28. ἀγαγεῖν] ἀναγαγεῖν EN 30. ἀποτρέψαι] ἀποστρέψαι FGLM 34. προηρούμεθα] προηγούμεθα GM, illud margo G 35. βεβαιοῦν] βεβαίαν LMO 36. ἔσχον] ἔχον N πρῶτοι] ἄνθρωποι FGMO 37. τιμᾶν om. ABDEN περὶ] aut transferendum post μυθολογ. videtur aut illic cum Reiskio iterandum: nihil mutandum putabat Schweighaeus. ad Polyb. vol. VI. p. 527. s. 41. προκειμέναις] προςκειμέναις E δόξωμεν] δοξάζομεν FGLO 42. παραθήσομεν] παραμυθήσομεν ABDE



τῶν ἀνθρώπων διτταὶ γεγόνασιν ἀποφάσεις παρὰ τοῖς νομιμωτάτοις τῶν τε φυσιολόγων καὶ τῶν ἱστορικῶν· οἱ μὲν γὰρ αὐτῶν ἀγέννητον καὶ ἄφθαρτον ὑποστησάμενοι τὸν κόσμον ἀπεφήναντο καὶ τὸ γένος τῶν ἀνθρώπων ἐξ αἰῶνος ὑπάρχειν, μηδέποτε τῆς αὐτῶν τεκνώσεως ἀρχὴν ἐσχηκυίας, οἱ δὲ γεννητὸν καὶ φθαρτὸν εἶναι νομίσαντες ἔφησαν ὁμοίως ἐκείνοις τοὺς ἀνθρώπους τυχεῖν τῆς πρώτης γενέσεως ὡρισμένοις χρόνοις.

7 κατὰ γὰρ τὴν ἐξ ἀρχῆς τῶν ὅλων σύστασιν μίαν ἔχειν ἰδέαν οὐρανόν τε καὶ γῆν, μεμιγμένης αὐτῶν τῆς φύσεως· μετὰ δὲ ταῦτα διαστάντων τῶν σωμάτων ἀπ' ἀλλήλων τὸν μὲν κόσμον περιλαβεῖν ἅπασαν τὴν ὁρωμένην ἐν αὐτῷ σύνταξιν, τὸν δ' ἀέρα κινήσεως τυχεῖν συνεχοῦς, καὶ τὸ μὲν πυρῶδες αὐτοῦ πρὸς τοὺς μετεωροτάτους τόπους συνδραμεῖν, ἀνωφεροῦς οὔσης τῆς τοιαύτης φύσεως διὰ τὴν κουφότητα· ἀφ' ἧς αἰτίας τὸν μὲν ἥλιον καὶ τὸ λοιπὸν πλῆθος τῶν ἄστρων ἐναποληφθῆναι τῇ πάσῃ δίνῃ· τὸ δὲ ἰλυῶδες καὶ θολερὸν μετὰ τῆς τῶν ὑγρῶν συγκρίσεως ἐπὶ ταὐτὸ καταστῆναι διὰ τὸ βάρος. εἰλούμενον δ' ἐν ἑαυτῷ καὶ συστρεφόμενον συνεχῶς ἐκ μὲν τῶν ὑγρῶν τὴν θάλατταν, ἐκ δὲ τῶν στερεμνιωτέρων ποιῆσαι τὴν γῆν πηλώδη καὶ παντελῶς ἁπαλήν. ταύτην δὲ τὸ μὲν πρῶτον τοῦ περὶ τὸν ἥλιον πυρὸς καταλάμψαντος πῆξιν λαβεῖν, ἔπειτα διὰ τὴν θερμασίαν ἀναζυμουμένης τῆς ἐπιφανείας συνοιδῆσαί τινα τῶν ὑγρῶν κατὰ πολλοὺς τόπους, καὶ γενέσθαι περὶ αὐτὰ σηπεδόνας ὑμέσι λεπτοῖς περιεχομένας· ὅπερ ἐν τοῖς ἕλεσι καὶ τοῖς λιμνάζουσι τῶν τόπων ἔτι καὶ νῦν ὁρᾶσθαι γινόμενον, ἐπειδὰν τῆς χώρας κατεψυγμέ- 11 νης ἄφνω διάπυρος ὁ ἀὴρ γένηται, μὴ λαβὼν τὴν με-

10. 48. ἀποφάσεις] ἀποφάνσεις G Eusebius 49. νομιμωτάτοις CFGL Eusebius, caeteri praemittunt ὀνομαστοτάτοις καί, quae asterisco notavit Stephanus 50. ὑποστησάμενοι] ἀποφηνάμενοι FGLMO 53. καὶ φθαρτὸν] καὶ ἄφθαρτον C Eusebius, asterisco notat Stephanus, om. FLM 63. συνδραμεῖν] συναναδραμεῖν Eusebius 65. λοιπὸν asterisco notavit Stephanus, omisit N, τὸ λοιπὸν om. AB 67. ταὐτὸ] τὸ αὐτὸ ADEN et margo G καταστῆναι] κατενεχθῆναι CGLO 68. εἰλούμενον] εἰλούμενον DN Eusebius συστρεφόμενον] στρεφόμενον N συνεχῶς post ἑαυτῷ ponit D, omisit N 69. θάλατταν D, θάλαττα CF, caeteri θάλασσαν στερεμνιωτέρων] στερεμνωτέρων Eusebius, στρεμιωτέρων N 73. ἀναζυμουμένης] ἀναζεομένης Eusebius: sed illud liber eius Montacutianus συνοιδῆσαι] ἀνοιδῆσαι Reiskius 75. λεπτοῖς] λεπταῖς ABDEN 76. ὅπερ ABC(D)EFG(N), caeteri ὅπερ ἐστὶν ἐν τοῖς] ἐν Eusebius 78. ὁ ἀὴρ] ἀὴρ BDFL Eusebius

ταβολὴν ἐκ τοῦ κατ' ὀλίγον. ζωογονουμένων δὲ τῶν ὑγρῶν διὰ τῆς θερμασίας τὸν εἰρημένον τρόπον τὰς μὲν νύκτας λαμβάνειν αὐτίκα τὴν τροφὴν ἐκ τῆς πιπτούσης ἀπὸ τοῦ περιέχοντος ὁμίχλης, τὰς δ' ἡμέρας ὑπὸ τοῦ καύματος στερεοῦσθαι· τὸ δ' ἔσχατον τῶν κυοφορουμένων τὴν τελείαν αὔξησιν λαβόντων καὶ τῶν ὑμένων διακαυθέντων τε καὶ περιῤῥαγέντων ἀναφυῆναι παντοδαποὺς τύπους ζῴων. τούτων δὲ τὰ μὲν πλείστης θερμασίας κεκοινωνηκότα πρὸς τοὺς μετεώρους τόπους ἀπελθεῖν γενόμενα πτηνά, τὰ δὲ γεώδους ἀντεχόμενα συγκρίσεως ἐν τῇ τῶν ἑρπετῶν καὶ τῶν ἄλλων τῶν ἐπιγείων τάξει καταριθμηθῆναι, τὰ δὲ φύσεως ὑγρᾶς μάλιστα μετειληφότα πρὸς τὸν ὁμογενῆ τόπον συνδραμεῖν ὀνομασθέντα πλωτά. τὴν δὲ γῆν ἀεὶ μᾶλλον στερεουμένην ὑπό τε τοῦ περὶ τὸν ἥλιον πυρὸς καὶ τῶν πνευμάτων τὸ τελευταῖον μηκέτι δύνασθαι μηδὲν τῶν μειζόνων ζωογονεῖν, ἀλλ' ἐκ τῆς πρὸς ἄλληλα μίξεως ἕκαστα γεννᾶσθαι τῶν ἐμψύχων. ἔοικε δὲ περὶ τῆς τῶν ὅλων φύσεως οὐδ' Εὐριπίδης διαφωνεῖν τοῖς προειρημένοις, μαθητὴς ὢν Ἀναξαγόρου τοῦ φυσικοῦ. ἐν γὰρ τῇ Μελανίππῃ τίθησιν οὕτως,

ὡς οὐρανός τε γαῖά τ' ἦν μορφὴ μία.
ἐπεὶ δ' ἐχωρίσθησαν ἀλλήλων δίχα,
τίκτουσι πάντα κἀνέδωκαν εἰς φάος
δένδρη, πετεινά, θῆρας, οὕς θ' ἅλμη τρέφει,
γένος τε θνητῶν.

8 Καὶ περὶ μὲν τῆς πρώτης τῶν ὅλων γενέσεως τοιαῦτα παρειλήφαμεν. τοὺς δὲ ἐξ ἀρχῆς γεννηθέντας τῶν

11. 81. ἐκ] ἀπὸ ἐκ C 84. λαβόντων] λαμβανόντων Eusebius 85. ἀναφυῆναι CFGL Eusebius, caeteri subiiciunt καὶ φανῆναι, quae asterisco notavit Stephanus 88. γεώδους] γεώδη FGM 89. τῶν ἄλλων] τῇ τῶν ἄλλων Eusebius, ἄλλων ABE 90. μετειληφότα] μετειληχότα Eusebius 91. ὁμογενῆ] ὁμοιογενῆ B, μονογενῆ AN 92. ἀεὶ] αἰεὶ D ὑπό] ἀπό FG, illud margo G 95. μίξεως] μείξεως FGL 98. Μελανίππῃ] Menalippe Poggius 2. δένδρη] δένδρα Eusebius πετεινά] πτηνά Eusebius 4. 5. τῆς πρώτης τῶν ὅλων γενέσεως τοιαῦτα (ταῦτα Eusebius) παρειλήφαμεν. τοὺς δὲ ἐξ ἀρχῆς CFGLMOQ Eusebius, τῆς πρώτης (τῶν ὅλων ἀλόγων γενέσεως τοιαῦτα περιειλήφαμεν. addit D) τοῦ (περὶ δὲ τοῦ D) ζωογονεῖν τὴν γῆν, εἰ καὶ παράδοξον εἶναί τισι φαίνεται, τὴν τότε ἐνέργειάν φασι καὶ τὰ μέχρι νῦν γινόμενα (γενόμενα ABE) μαρτυρεῖν ἑαυτοῖς. κατὰ γὰρ τὴν Θηβαΐδα τῆς Αἰγύπτου καθ' οὓς ἂν καιροὺς πλεονάσῃ τὴν ἀνάβασιν ὁ Νεῖλος, καὶ τῆς μὲν γῆς διὰ τοῦτο καθύγρου γινομένης, τῆς δὲ περὶ τὸν ἥλιον θερμασίας ἄφνω προσπεσούσης, καὶ διὰ τοῦτο κατὰ πολλοὺς τόπους τῆς ἐπιφανείας σήψεως γινομένης (γενομένης D), πλῆθος μυῶν ἐκ γῆς ἀναρίθμητον γεννᾶσθαι. ὑπό τ' οὖν τῆς γῆς σκληρᾶς γεγενημένης καὶ



ἀνθρώπων φασὶν ἐν ἀτάκτῳ καὶ θηριώδει βίῳ καθεστῶτας σποράδην ἐπὶ τὰς νομὰς ἐξιέναι, καὶ προσφέρεσθαι τῆς τε βοτάνης τὴν προσηνεστάτην καὶ τοὺς αὐτομάτους ἀπὸ τῶν δένδρων καρπούς. καὶ πολεμουμένους μὲν ὑπὸ τῶν θηρίων ἀλλήλοις βοηθεῖν ὑπὸ τοῦ συμφέροντος διδασκομένους, ἀθροιζομένους δὲ διὰ τὸν φόβον ἐπιγινώσκειν ἐκ τοῦ κατὰ μικρὸν τοὺς ἀλλήλων τύπους. τῆς φωνῆς δ' ἀσήμου καὶ συγκεχυμένης οὔσης
12 ἐκ τοῦ κατ' ὀλίγον διαρθροῦν τὰς λέξεις, καὶ πρὸς ἀλλήλους τιθέντας σύμβολα περὶ ἑκάστου τῶν ὑποκειμένων γνώριμον σφίσιν αὐτοῖς ποιῆσαι τὴν περὶ πάντων ἑρμηνείαν. τοιούτων δὲ συστημάτων γινομένων καθ' ἅπασαν τὴν οἰκουμένην οὐχ ὁμόφωνον πάντας ἔχειν τὴν διάλεκτον, ἑκάστων ὡς ἔτυχε συνταξάντων τὰς λέξεις· διὸ καὶ παντοίους τε ὑπάρξαι χαρακτῆρας διαλέκτων καὶ τὰ πρῶτα γενόμενα συστήματα τῶν ἁπάντων ἐθνῶν ἀρχέγονα γενέσθαι. τοὺς οὖν πρώτους τῶν ἀνθρώπων μηδενὸς τῶν πρὸς βίον χρησίμων εὑρημένου ἐπιπόνως διάγειν, γυμνοὺς μὲν ἐσθῆτος ὄντας, οἰκήσεως δὲ καὶ πυρὸς ἀήθεις, τροφῆς δ' ἡμέρου παντελῶς ἀνεννοήτους. καὶ γὰρ τὴν συγκομιδὴν τῆς ἀγρίας τροφῆς ἀγνοοῦντας μηδεμίαν τῶν καρπῶν εἰς τὰς ἐνδείας ποιεῖσθαι παράθεσιν· διὸ καὶ πολλοὺς αὐτῶν ἀπόλλυσθαι κατὰ τοὺς χειμῶνας διά τε τὸ ψῦχος καὶ τὴν σπάνιν τῆς τροφῆς. ἐκ δὲ τοῦ κατ' ὀλίγον ὑπὸ τῆς πείρας διδασκομένους εἴς τε τὰ σπήλαια καταφεύγειν ἐν τῷ χειμῶνι καὶ τῶν καρπῶν τοὺς φυλάττεσθαι δυναμένους ἀποτί-

τοῦ περιέχοντος ἀέρος οὐκέτι διατηροῦντος τὴν ἐξ ἀρχῆς εὐταξίαν καὶ (haec duo om. D) εὐκρασίαν φύεσθαι (φύεται DN) ζῷα, φανερὸν εἶναι λέγουσι διότι κατὰ τὴν ἐξ ἀρχῆς τῶν ὅλων γένεσιν ἐκ τῆς γῆς συνέβαινε ζωογονεῖσθαι παντοίας φύσεις ἐμψύχων. τοὺς δὲ ἐξ ἀρχῆς caeteri 6. βίῳ] γνώμῃ G correctus in margine 7. ἐξιέναι] διεξιέναι BEN 10. ἀλλήλοις] ἀλλήλους N βοηθεῖν CFG Eusebius, caeteri δὲ βοηθεῖν 12. ἀλλήλων] ἀλλήλους N τύπους] τόπους FGLN 13. οὔσης] ὑπαρχούσης CFGL Eusebius

12. 15. περὶ ἑκάστου τῶν ὑποκ. omisit G, ante πρὸς ἀλλήλους ponunt LMO 16. σφίσιν] φασὶ G correctus in margine, M, φωνὴ L et φασὶ in margine πάντων] ἁπάντων D Eusebius 17. γινομένων] γενομένων N 19. ὡς] δ' ὡς ABDN ἔτυχε] ἔτυχεν G Eusebius 20. χαρακτῆρας διαλέκτων] διαλέκτους καὶ χαρακτῆρας διαλέκτων ABE et qui — διάλεκτον N 22. μηδενὸς] μηδὲν AN 23. τῶν] πω τῶν Eusebius εὑρημένου] εὑρημένων ABDLN Eusebius 24. οἰκήσεως] ὑήσεως Eusebius 26. ἀγνοοῦντας] ἀγνοοκότας N 27. ποιεῖσθαι] ποιῆσαι L 28. ἀπόλλυσθαι] ἀπόλλυσαι FGL

30. τοῦ Schaeferus ad Gregor. p. 186.: libri τούτου 31. καταφεύγειν] καταφυγεῖν DN

θεσθαι. γνωσθέντος δὲ τοῦ πυρὸς καὶ τῶν ἄλλων τῶν
χρησίμων κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι καὶ
τἄλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι. καθόλου
γὰρ πάντων τὴν χρείαν αὐτὴν διδάσκαλον γενέσθαι τοῖς
ἀνθρώποις ὑφηγουμένην οἰκείως τὴν ἑκάστου μάθησιν
εὐφυεῖ ζῴῳ καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ
λόγον καὶ ψυχῆς ἀγχίνοιαν.

Καὶ περὶ μὲν τῆς πρώτης γενέσεως τῶν ἀνθρώπων
καὶ τοῦ παλαιοτάτου βίου τοῖς ῥηθεῖσιν ἀρκεσθησόμεθα
9 στοχαζόμενοι τῆς συμμετρίας. περὶ δὲ τῶν πράξεων τῶν
παραδεδομένων μὲν εἰς μνήμην, γενομένων δὲ ἐν τοῖς
γνωριζομένοις τόποις τῆς οἰκουμένης, διεξιέναι πειρασό-
μεθα. τοὺς μὲν οὖν πρώτους ὑπάρξαντας βασιλεῖς οὔτ'
αὐτοὶ λέγειν ἔχομεν οὔτε τῶν ἱστορικῶν τοῖς ἐπαγγελλο-
μένοις εἰδέναι συγκατατιθέμεθα. ἀδύνατον γὰρ τὴν εὕ-
ρεσιν τῶν γραμμάτων οὕτως εἶναι παλαιὰν ὥςτε τοῖς
πρώτοις βασιλεῦσιν ἡλικιῶτιδα γενέσθαι· εἰ δέ τις καὶ
τοῦτο συγχωρήσαι, τό γε τῶν ἱστοριογράφων γένος
παντελῶς φαίνεται νεωστὶ τῷ κοινῷ βίῳ συνεσταμένον.
περὶ δὲ τῆς τοῦ γένους ἀρχαιότητος οὐ μόνον ἀμφις-
βητοῦσιν Ἕλληνες ἀλλὰ καὶ πολλοὶ τῶν βαρβάρων, ἑαυ- 13
τοὺς αὐτόχθονας λέγοντες καὶ πρώτους τῶν ἁπάντων
ἀνθρώπων εὑρετὰς γενέσθαι τῶν ἐν τῷ βίῳ χρησίμων,
καὶ τὰς γενομένας παρ' αὐτοῖς πράξεις ἐκ πλείστων
χρόνων ἀναγραφῆς ἠξιῶσθαι. ἡμεῖς δὲ περὶ μὲν τῆς
ἑκάστων παλαιότητος τἀκριβὲς καὶ τίνων προτερεῖ τὰ
ἔθνη τῶν ἄλλων τοῖς χρόνοις καὶ πόσοις ἔτεσιν οὐκ ἂν
διορισαίμεθα, τὰ δὲ λεγόμενα παρ' ἑκάστοις περὶ τῆς
ἀρχαιότητος καὶ τῶν παλαιῶν πράξεων ἐν κεφαλαίοις
ἀναγράψομεν στοχαζόμενοι τῆς συμμετρίας. περὶ πρώ-
των δὲ τῶν βαρβάρων διέξιμεν, οὐκ ἀρχαιοτέρους αὐ-
τοὺς ἡγούμενοι τῶν Ἑλλήνων, καθάπερ Ἔφορος εἴρηκεν,
ἀλλὰ προδιελθεῖν βουλόμενοι τὰ πλεῖστα τῶν περὶ αὐ-
τούς, ὅπως ἀρξάμενοι τῶν παρὰ τοῖς Ἕλλησιν ἱστορου-

33. ἄλλων τῶν] ἄλλων BE Eusebius 34. εὑρεθῆναι] ἐξευρεθῆναι C Eusebius, εὑρεθήσεσθαι D 35. τἄλλα] τὰ ἄλλα Eusebius 39. περὶ μὲν] περὶ FL 42. μὲν om. BDN 44. οὖν om. ABDN πρώτους] πρῶτον F 47. γραμμάτων B(D)E(N)U, caeteri πραγμάτων 48. ἡλικιῶτιδα γενέσθαι] ἡλικιῶτιν διαγενέσθαι L 49. συγχωρήσαι A(D)E(N), συγχωρήσει C, caeteri συγχωρήσῃ 51. γένους C(D)FGLM, caeteri praemittunt βίου ἤγουν, quae asterisco notavit Stephanus 13. 54. ἁπάντων om. CL εὑρετὰς] ἀρετὰς N 56. ἠξιῶσθαι] ἀξιῶσθαι C 58. τἀκριβὲς] ἀκριβὲς ABEN 59. πόσοις] ὁπόσοις CL et correctus in marg. G. 63. ἀρχαιοτέρους] ἀρχαιοτέρας D 65. αὐτοὺς] αὐτοῖς N



μένων μηδεμίαν ἐν ταῖς ἀρχαιολογίαις ἑτερογενῆ πρᾶξιν
παρεμβάλωμεν. ἐπεὶ δὲ κατὰ τὴν Αἴγυπτον θεῶν τε γε-
νέσεις ὑπάρξαι μυθολογοῦνται, αἵ τε τῶν ἄστρων ἀρ-
χαιόταται παρατηρήσεις εὑρῆσθαι λέγονται, πρὸς δὲ
τούτοις πράξεις ἀξιόλογοι καὶ πολλαὶ μεγάλων ἀνδρῶν
ἱστοροῦνται, ποιησόμεθα τῆς ἱστορίας τὴν ἀρχὴν διὰ
τῶν κατ' Αἴγυπτον πραχθέντων.

Φασὶ τοίνυν Αἰγύπτιοι κατὰ τὴν ἐξ ἀρχῆς τῶν ὅλων 10
γένεσιν πρώτους ἀνθρώπους γενέσθαι κατὰ τὴν Αἴγυ-
πτον διά τε τὴν εὐκρασίαν τῆς χώρας καὶ διὰ τὴν φύ-
σιν τοῦ Νείλου. τοῦτον γὰρ πολύγονον ὄντα καὶ τὰς
τροφὰς αὐτοφυεῖς παρεχόμενον ῥᾳδίως ἐκτρέφειν τὰ
ζωογονηθέντα· τήν τε γὰρ τοῦ καλάμου ῥίζαν καὶ τὸν
λωτὸν ἔτι δὲ τὸν Αἰγύπτιον κύαμον καὶ τὸ καλούμενον
κορσαῖον καὶ πολλὰ τοιαῦθ' ἕτερα τροφὴν ἑτοίμην παρέ-
χεσθαι τῷ γένει τῶν ανθρώπων. τῆς δ' ἐξ ἀρχῆς παρ'
αὐτοῖς ζωογονίας τεκμήριον πειρῶνται φέρειν τὸ καὶ
νῦν ἔτι τὴν ἐν τῇ Θηβαΐδι χώραν κατά τινας καιροὺς
τοσούτους καὶ τηλικούτους μῦς γεννᾶν ὥςτε τοὺς ἰδόν-
τας τὸ γινόμενον ἐκπλήττεσθαι. ἐνίους γὰρ αὐτῶν ἕως
μὲν τοῦ στήθους καὶ τῶν ἐμπροσθίων ποδῶν διατετυ-
πῶσθαι καὶ κίνησιν λαμβάνειν, τὸ δὲ λοιπὸν τοῦ σώ-
ματος ἔχειν ἀδιατύπωτον, μενούσης ἔτι κατὰ φύσιν τῆς
βώλου. ἐκ τούτου δ' εἶναι φανερὸν ὅτι κατὰ τὴν ἐξ ἀρ-
χῆς τοῦ κόσμου σύστασιν τῆς γῆς εὐκράτου καθεστώ-
14 σης μάλιστ' ἂν ἔσχε τὴν γένεσιν τῶν ἀνθρώπων ἡ κατ'
Αἴγυπτον χώρα. καὶ γὰρ νῦν οὐδαμοῦ τῆς ἄλλης γῆς
φυούσης οὐδὲν τῶν τοιούτων ἐν μόνῃ ταύτῃ θεωρεῖσθαί
τινα τῶν ἐμψύχων παραδόξως ζωογονούμενα. καθόλου
δὲ λέγουσιν, εἴτε κατὰ τὸν ἐπὶ Δευκαλίωνος γενόμενον
κατακλυσμὸν ἐφθάρη τὰ πλεῖστα τῶν ζῴων, εἰκὸς μά-
λιστα διασεσῶσθαι τοὺς κατὰ τὴν Αἴγυπτον ὑπὸ τὴν
μεσημβρίαν κατοικοῦντας, ὡς ἂν τῆς χώρας αὐτῶν οὔ-
σης ἀνόμβρου κατὰ τὸ πλεῖστον, εἴτε, καθάπερ τινές
φασι, παντελοῦς γενομένης τῶν ἐμψύχων φθορᾶς ἡ γῆ

67. παρεμβάλωμεν] παρεμβάλλωμεν A 68. κατὰ] κατὰ τὰ C 72. διὰ] ἀπὸ G 73. τοίνυν] τινες ABN 74. ἀνθρώπους] τοὺς ἀνθρώπους Eusebius 77. ζωογονηθέντα] ζωογαφέντα (sic) E, γεννηθέντα C 79. τὸ] τὸν FL 80. κορσαῖον ADEN, caeteri κόρσεον 82. αὐτοῖς] αὐτῆς D τεκμήριον] ἀπόδειξιν subiiciunt ABDEN 83. τὴν addunt BC(D)E(N) ἐν τῇ] ἐν BCDE χώραν BC(D)E(N), caeteri χώρα 87. καὶ κίνησιν CFL, caeteri praeponunt καὶ καρίζειν (σκαρίζειν D), quae asterisco notavit Stephanus

πάλιν ἐξ ἀρχῆς καινὰς ἤνεγκε τῶν ζῴων φύσεις, ὅμως καὶ κατὰ τοῦτον τὸν λόγον πρέπειν τὴν ἀρχηγὸν τῶν ἐμψύχων γένεσιν προςάπτειν ταύτῃ τῇ χώρᾳ. τῆς γὰρ παρὰ τοῖς ἄλλοις ἐπομβρίας τῷ παρ' αὐτοῖς γινομένῳ καύματι μιγείσης εἰκὸς εὐκρατότατον γενέσθαι τὸν ἀέρα πρὸς τὴν ἐξ ἀρχῆς τῶν πάντων ζωογονίαν. καὶ γὰρ ἐν τοῖς καθ' ἡμᾶς ἔτι χρόνοις κατὰ τὴν ἐπίκλυστον Αἴγυπτον ἐν τοῖς ὀψίμοις τῶν ὑδάτων φανερῶς ὁρᾶσθαι γεννωμένας φύσεις ἐμψύχων. ὅταν γὰρ τοῦ ποταμοῦ τὴν ἀναχώρησιν ποιουμένου τὴν πρώτην τῆς ἰλύος ὁ ἥλιος διαξηράνῃ, φασὶ συνίστασθαι ζῷα, τινὰ μὲν εἰς τέλος ἀπηρτισμένα, τινὰ δὲ ἡμιτελῆ καὶ πρὸς αὐτῇ συμφυῆ τῇ γῇ.

11 Τοὺς δ' οὖν κατ' Αἴγυπτον ἀνθρώπους τὸ παλαιὸν γενομένους ἀναβλέψαντας εἰς τὸν κόσμον καὶ τὴν τῶν ὅλων φύσιν καταπλαγέντας καὶ θαυμάσαντας ὑπολαβεῖν εἶναι δύο θεοὺς ἀϊδίους τε καὶ πρώτους, τόν τε ἥλιον καὶ τὴν σελήνην, ὧν τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν ὀνομάσαι, ἀπό τινος ἐτύμου τεθείσης ἑκατέρας τῆς προςηγορίας ταύτης. μεθερμηνευομένων γὰρ τούτων εἰς τὸν Ἑλληνικὸν τῆς διαλέκτου τρόπον εἶναι τὸν μὲν Ὄσιριν πολυόφθαλμον, εἰκότως· πανταχῇ γὰρ ἐπιβάλλοντα τὰς ἀκτῖνας ὥςπερ ὀφθαλμοῖς πολλοῖς βλέπειν ἅπασαν γῆν καὶ θάλατταν. καὶ τὸν ποιητὴν δὲ λέγειν σύμφωνα τούτοις

ἠέλιός θ', ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.

τῶν δὲ παρ' Ἕλλησι παλαιῶν μυθολόγων τινὲς τὸν Ὄσιριν Διόνυσον προςονομάζουσι καὶ Σείριον παρωνύμως· 15
ὧν Εὔμολπος μὲν ἐν τοῖς Βακχικοῖς ἔπεσί φησιν

ἀστροφαῆ Διόνυσον ἐν ἀκτίνεσσι πυρωπόν,

Ὀρφεὺς δὲ

14. 1. ὅμως] ὅμως δὲ FL 4. αὐτοῖς] ἑαυτοῖς C, ἑαυτῆς BDN 6. πάντων] ἁπάντων CFGL 7. ἐπίκλυστον AB (D)EG(N)Q, caeteri ἐπίκαυστον 12. τέλος] τέλος γινόμενα AB, τέλος γενόμενα N 13. αὐτῇ συμφυῆ τῇ γῇ CFGLM, βώλῳ συμφυῆ τῆς γῆς N, caeteri βώλῳ αὐτῇ συμφυῆ τῆς γῆς 16. καὶ] τε καὶ D Eusebius 18. ὀνομάσαι] ὠνόμασαν AGL 19. ἐτύμου] ἑτοίμου CL 20. μεθερμηνευομένων] καθερμηνευομένων B 21. τὸν μὲν] μὲν τὸν Eusebius 22. πανταχῇ ABDEN, παντὶ Eusebius, caeteri πάντῃ 24. θάλατταν D, caeteri θάλασσαν 27. παλαιῶν] πάλαι Eusebius μυθολόγων] μυθολογουμένων AN τὸν Ὄσιριν om. DN 28. προςονομάζουσι ABDEN, προςαγορεύουσι Eusebius, caeteri ἐπονομάζουσι Σείριον] Σίριον ADGN, Σύριον Poggius, Eusebius
15. 30. φησιν omisit F 31. ἀστροφαῆ] ἀστροφανῆ BCD LM Διόνυσον] Διόνυσσον B et mox iterum πυρωπόν] πυρὸς πόνων FGL



τοὔνεκά μιν καλέουσι Φάνητά τε καὶ Διόνυσον.

φασὶ δέ τινες καὶ τὸ ἔναμμα αὐτῷ τὸ τῆς νεβρίδος ἀπὸ τῆς τῶν ἄστρων ποικιλίας περιῆφθαι. τὴν δὲ Ἶσιν μεθερμηνευομένην εἶναι παλαιάν, τεθειμένης τῆς προςηγορίας ἀπὸ τῆς ἀϊδίου καὶ παλαιᾶς γενέσεως. κέρατα δ' αὐτῇ ἐπιτιθέασιν ἀπό τε τῆς ὄψεως ἣν ἔχουσα φαίνεται καθ' ὃν ἂν χρόνον ὑπάρχῃ μηνοειδὴς καὶ ἀπὸ τῆς καθιερωμένης αὐτῇ βοὸς παρ' Αἰγυπτίοις. τούτους δὲ τοὺς θεοὺς ὑφίστανται τὸν σύμπαντα κόσμον διοικεῖν τρέφοντάς τε καὶ αὔξοντας πάντα τριμερέσιν ὥραις ἀοράτῳ κινήσει τὴν περίοδον ἀπαρτιζούσαις, τῇ τε ἐαρινῇ καὶ θερινῇ καὶ χειμερινῇ· ταύτας δ' ἐναντιωτάτην ἀλλήλαις τὴν φύσιν ἐχούσας ἀπαρτίζειν τὸν ἐνιαυτὸν ἀρίστῃ συμφωνίᾳ. φύσιν δὲ συμβάλλεσθαι πλείστην εἰς τὴν τῶν ἁπάντων ζωογονίαν τῶν θεῶν τούτων τὸν μὲν πυρώδους καὶ πνεύματος, τὴν δὲ ὑγροῦ καὶ ξηροῦ, κοινῇ δ' ἀμφοτέρους ἀέρος· καὶ διὰ τούτων πάντα γεννᾶσθαι καὶ τρέφεσθαι. διὸ καὶ τὸ μὲν ἅπαν σῶμα τῆς τῶν ὅλων φύσεως ἐξ ἡλίου καὶ σελήνης ἀπαρτίζεσθαι, τὰ δὲ τούτων μέρη πέντε τὰ προειρημένα, τό τε πνεῦμα καὶ τὸ πῦρ καὶ τὸ ξηρὸν ἔτι δὲ τὸ ὑγρὸν καὶ τὸ τελευταῖον τὸ ἀερῶδες, ὥςπερ ἐπ' ἀνθρώπου κεφαλὴν καὶ χεῖρας καὶ πόδας καὶ τἄλλα μέρη καταριθμοῦμεν, τὸν αὐτὸν τρόπον τὸ σῶμα τοῦ κόσμου συγκεῖσθαι πᾶν ἐκ τῶν προειρημένων. τούτων δ' ἕκαστον θεὸν νομίσαι καὶ προςηγο- 12
ρίαν ἰδίαν ἑκάστῳ θεῖναι κατὰ τὸ οἰκεῖον τοὺς πρώτους διαλέκτῳ χρησαμένους διηρθρωμένῃ τῶν κατ' Αἴγυπτον ἀνθρώπων. τὸ μὲν οὖν πνεῦμα Δία προςαγορεῦσαι, μεθερμηνευομένης τῆς λέξεως, ὃν αἴτιον ὄντα τοῦ ψυχι-

34. ἔναμμα] ὄνομα AN, cognomen Poggius νεβρίδος] νεβρεῖδος Eusebius 35. περιῆφθαι] διῆφθαι ABDN 37. ἀϊδίου] αἰδοίου N 38. ἐπιτιθέασιν ABDEN, caeteri περιτιθέασιν 41. ὑφίστανται] ὑφίστανται ἄν τις προβάλλονται BD, ἐπιστάτας προβάλλονται AE, ἐπιστάτας προςβάλλονται N 42. τρέφοντάς — αὔξοντας] τρέφοντές — αὔξοντες AN 43. ἀπαρτιζούσαις] ἀπαρτιζούσης C 45. ἀλλήλαις τὴν φύσιν BL Eusebius, τὴν ἀλλήλαις τὴν φύσιν D, caeteri τὴν φύσιν ἀλλήλαις 47. πλείστην] πλεῖστα (N) Eusebii MS. Paris. regius 48. τὸν] τὸ C πυρώδους] πυρὸς C, πυρώδη G correctus in margine 49. ἀμφοτέρους] ἀμφότερα GL 50. πάντα] πάντων BN et qui in margine corrigit A 53. τὸ πῦρ] πῦρ D 55. καὶ χεῖρας BCDL Eusebius, caeteri χεῖρας τἄλλα] τὰ ἄλλα AE Eusebius 56. τοῦ κόσμου om. AN 58. νομίσαι] νομίσασθαι FGL προςηγορίαν] προςηγορίας N 59. ἰδίαν post θεῖναι ponunt DN πρώτους] πρώτως L 60. διαλέκτῳ] διαλέκτοις A 61. Δία προςαγορεῦσαι] Δία ἀγορεῦσαι D, Δι' ἀγορεῦσαι N et qui in margine corrigit A

κοῦ τοῖς ζῴοις ἐνόμισαν ὑπάρχειν πάντων οἱονεί τινα πατέρα. συμφωνεῖν δὲ τούτοις φασὶ καὶ τὸν ἐπιφανέστατον τῶν παρ' Ἕλλησι ποιητῶν ἐπὶ τοῦ θεοῦ τούτου λέγοντα

πατὴρ ἀνδρῶν τε θεῶν τε.

16 τὸ δὲ πῦρ μεθερμηνευόμενον Ἥφαιστον ὀνομάσαι νομίσαντας μέγαν εἶναι θεὸν καὶ πολλὰ συμβάλλεσθαι πᾶσιν εἰς γένεσίν τε καὶ τελείαν αὔξησιν. τὴν δὲ γῆν ὥσπερ ἀγγεῖόν τι τῶν φυομένων ὑπολαμβάνοντας μητέρα προσαγορεῦσαι· καὶ τοὺς Ἕλληνας δὲ ταύτην παραπλησίως Δήμητραν καλεῖν, βραχὺ μετατεθείσης διὰ τὸν χρόνον τῆς λέξεως· τὸ γὰρ παλαιὸν ὀνομάζεσθαι γῆν μητέρα, καθάπερ καὶ τὸν Ὀρφέα προσμαρτυρεῖν λέγοντα

γῆ μήτηρ πάντων, Δημήτηρ πλουτοδότειρα.

τὸ δ' ὑγρὸν ὀνομάσαι λέγουσι τοὺς παλαιοὺς Ὠκεάνην, ὃ μεθερμηνευόμενον μὲν εἶναι τροφὴν μητέρα, παρ' ἐνίοις δὲ τῶν Ἑλλήνων Ὠκεανὸν ὑπάρχειν ὑπειλῆφθαι, περὶ οὗ καὶ τὸν ποιητὴν λέγειν

Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν.

οἱ γὰρ Αἰγύπτιοι νομίζουσιν Ὠκεανὸν εἶναι τὸν παρ' αὐτοῖς ποταμὸν Νεῖλον, πρὸς ᾧ καὶ τὰς τῶν θεῶν γενέσεις ὑπάρξαι. τῆς γὰρ πάσης οἰκουμένης κατὰ μόνην τὴν Αἴγυπτον εἶναι πόλεις πολλὰς ὑπὸ τῶν ἀρχαίων θεῶν ἐκτισμένας, οἷον Διός, Ἡλίου, Ἑρμοῦ, Ἀπόλλωνος, Πανός, Εἰλειθυίας, ἄλλων πλειόνων. τὸν δ' ἀέρα προσαγορεῦσαί φασιν Ἀθηνᾶν μεθερμηνευομένης τῆς λέξεως, καὶ Διὸς θυγατέρα νομίσαι ταύτην, καὶ παρθένον ὑποστήσασθαι διά τε τὸ ἄφθορον εἶναι φύσει τὸν ἀέρα καὶ τὸν ἀκρότατον ἐπέχειν τόπον τοῦ σύμπαντος κόσμου· διόπερ ἐκ τῆς κορυφῆς τοῦ Διὸς μυθολογηθῆναι ταύτην γενέσθαι. ὠνομάσθαι δὲ αὐτὴν Τριτογένειαν ἀπὸ τοῦ τρὶς μεταβάλλειν αὐτῆς τὴν φύσιν κατ' ἐνιαυτόν, ἔαρος καὶ θέρους καὶ χειμῶνος. λέ-

64. φασὶ] φησὶ C     τὸν omisit B     65. τῶν omisit N

16. 72. ταύτην om. FGL     73. Δήμητραν BCDE Eusebius, Δῆ μήτραν N, caeteri Δήμητρα     75. προσμαρτυρεῖν] προσμαρτυρεῖ D     77. πλουτοδότειρα] πλούτου δότειρα L     78. Ὠκεάνην Wesselingius, Ὠκέλμην FGL et nescio quis Stephani, caeteri Ὠκεανόν     79. τροφὴν] τροφῆς Eusebius     83. οἱ γὰρ Αἰγύπτιοι] οὗτοι γὰρ EN, οὐ γὰρ B     88. Εἰλειθυίας] Εἰληθυίας Eusebius     91. ἄφθορον ABC(D)E(N) Eusebius, caeteri ἄφθαρτον     92. φύσει τὸν ἀέρα] τὸν ἀέρα φύσει GL     94. post μυθολογηθῆναι omisit συνέβη CL Eusebius     γενέσθαι omittunt ABDN, ante ταύτην ponit Eusebius     95. Τριτογ.] καὶ Τριτογ. Eusebius     τρὶς] τρεῖς FG     96. καὶ θέρους] θέρους FL Eusebius



γεσθαι δ' αὐτὴν καὶ Γλαυκῶπιν, οὐχ, ὥσπερ ἔνιοι τῶν Ἑλλήνων ὑπέλαβον, ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς ἔχειν γλαυκούς· τοῦτο μὲν γὰρ εὔηθες ὑπάρχειν· ἀλλ' ἀπὸ τοῦ τὸν ἀέρα τὴν πρόσοψιν ἔχειν ἔγγλαυκον. φασὶ δὲ τοὺς πέντε θεοὺς τοὺς προειρημένους πᾶσαν τὴν οἰκουμένην ἐπιπορεύεσθαι φανταζομένους τοῖς ἀνθρώποις ἐν ἱερῶν ζῴων μορφαῖς. ἔστι δ' ὅτε εἰς ἀνθρώπων ἰδέας ἤ τινων ἄλλων μεταβάλλοντας· καὶ τοῦτο μὴ μυθῶδες ὑπάρχειν ἀλλὰ δυνατόν, εἴπερ οὗτοι πρὸς ἀλήθειάν εἰσιν οἱ πάντα γεννῶντες. καὶ τὸν ποιητὴν δὲ εἰς Αἴγυπτον παραβαλόντα καὶ μετασχόντα παρὰ τῶν ἱερέων τῶν τοιούτων λόγων θεῖναί που κατὰ τὴν ποίησιν τὸ προειρημένον ὡς γινόμενον,

17 καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι
παντοῖοι τελέθοντες ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐσορῶντες.

περὶ μὲν οὖν τῶν ἐν οὐρανῷ θεῶν καὶ γένεσιν ἀΐδιον ἐσχηκότων τοσαῦτα λέγουσιν Αἰγύπτιοι.

13 Ἄλλους δ' ἐκ τούτων ἐπιγείους γενέσθαι φασίν, ὑπάρξαντας μὲν θνητούς, διὰ δὲ σύνεσιν καὶ κοινὴν ἀνθρώπων εὐεργεσίαν τετευχότας τῆς ἀθανασίας, ὧν ἐνίους καὶ βασιλεῖς γεγονέναι κατὰ τὴν Αἴγυπτον. μεθερμηνευομένων δ' αὐτῶν τινὰς μὲν ὁμωνύμους ὑπάρχειν τοῖς οὐρανίοις, τινὰς δ' ἰδίαν ἐσχηκέναι προσηγορίαν, Ἥλιόν τε καὶ Κρόνον καὶ Ῥέαν ἔτι δὲ Δία τὸν ὑπό τινων Ἄμμωνα προσαγορευόμενον, πρὸς δὲ τούτοις Ἥραν καὶ Ἥφαιστον ἔτι δ' Ἑστίαν καὶ τελευταῖον Ἑρμῆν. καὶ πρῶτον μὲν Ἥλιον βασιλεῦσαι τῶν κατ' Αἴγυπτον ὁμώνυμον ὄντα τῷ κατ' οὐρανὸν ἄστρῳ. ἔνιοι δὲ τῶν ἱερέων φασὶ πρῶτον Ἥφαιστον βασιλεῦσαι, πυρὸς εὑρετὴν γενόμενον καὶ διὰ τὴν εὐχρηστίαν ταύτην τυχόντα τῆς ἡγεμονίας. γενομένου γὰρ ἐν τοῖς ὄρεσι κεραυνοβόλου δένδρου καὶ τῆς πλησίον ὕλης καιομένης

99. ἔχειν γλαυκοὺς] γλαυκοὺς ἔχειν FGL, καὶ γλαυκοὺς ἔχειν Eusebius     τοῦτο — ὑπάρχειν omisit FLM     100. πρόσοψιν] ὄψιν ABDEGN     ἔγγλαυκον C(D)G(N) Eusebius, *glauci aspectus* Poggius, caeteri ἄγλαυκον     1. πᾶσαν τὴν] τὴν πᾶσαν D Eusebius     4. τοῦτο] τοῦ N     μὴ omittunt GL     9. γινόμενον] γενόμενον AN

17. 11. πόληας] πόλιας D     12. ἐσορῶντες] εἰσορῶντες D, ἐσορόωντες FGL, ἐφορῶντες Eusebius     17. τετευχότας ABCDEN Eusebius, caeteri τετυχηκότας     19. ὁμωνύμους] ὁμωνύμως ABC Eusebius, ὁμονύμως D, ἀνωνύμους L     20. οὐρανίοις] ἐν (τοῖς addit N) οὐρανοῖς ABEGN     ἰδίαν — προσηγορίαν] ἰδίας — προσηγορίας N     21. Ἥλιόν τε καὶ BC(D)EL(N) Eusebius, caeteri Ἥλιον καὶ     26. Ἥφαιστον] τὸν Ἥφαιστον L     29. καιομένης omisit ABDN

προσελθόντα τὸν Ἥφαιστον κατὰ τὴν χειμέριον ὥραν ἡσθῆναι διαφερόντως ἐπὶ τῇ θερμασίᾳ, λήγοντος δὲ τοῦ πυρὸς ἀεὶ τῆς ὕλης ἐπιβάλλειν, καὶ τούτῳ τῷ τρόπῳ διατηροῦντα τὸ πῦρ προςκαλεῖσθαι τοὺς ἄλλους ἀνθρώπους πρὸς τὴν ἐξ αὐτοῦ γινομένην εὐχρηστίαν. μετὰ δὲ ταῦτα τὸν Κρόνον ἄρξαι, καὶ γήμαντα τὴν ἀδελφὴν Ῥέαν γεννῆσαι κατὰ μέν τινας τῶν μυθολόγων Ὄσιριν καὶ Ἶσιν, κατὰ δὲ τοὺς πλείστους Δία τε καὶ Ἥραν, οὓς δι' ἀρετὴν βασιλεῦσαι τοῦ σύμπαντος κόσμου. ἐκ δὲ τούτων γενέσθαι πέντε θεούς, καθ' ἑκάστην τῶν ἐπαγομένων παρ' Αἰγυπτίοις πένθ' ἡμερῶν ἑνὸς γεννηθέντος· ὀνόματα δὲ ὑπάρξαι τοῖς τεκνωθεῖσιν Ὄσιριν καὶ Ἶσιν ἔτι δὲ Τυφῶνα καὶ Ἀπόλλωνα καὶ Ἀφροδίτην. καὶ τὸν μὲν Ὄσιριν μεθερμηνευόμενον εἶναι Διόνυσον, τὴν δὲ Ἶσιν ἔγγιστά πως Δήμητραν. ταύτην δὲ γήμαντα τὸν Ὄσιριν καὶ τὴν βασιλείαν διαδεξάμενον πολλὰ πρά-
14 ξαι πρὸς εὐεργεσίαν τοῦ κοινοῦ βίου. πρῶτον μὲν γὰρ παῦσαι τῆς ἀλληλοφαγίας τὸ τῶν ἀνθρώπων γένος, εὑρούσης μὲν Ἴσιδος τόν τε τοῦ πυροῦ καὶ τῆς κριθῆς καρπόν, φυόμενον μὲν ὡς ἔτυχε κατὰ τὴν χώραν μετὰ τῆς ἄλλης βοτάνης, ἀγνοούμενον δὲ ὑπὸ τῶν ἀνθρώ- 18
πων, τοῦ δὲ Ὀσίριδος ἐπινοησαμένου καὶ τὴν τούτων κατεργασίαν τῶν καρπῶν ἡδέως μεταθέσθαι πάντας τὴν τροφὴν διά τε τὴν ἡδονὴν τῆς φύσεως τῶν εὑρεθέντων καὶ διὰ τὸ φαίνεσθαι συμφέρον ὑπάρχειν ἀπέχεσθαι τῆς κατ' ἀλλήλων ὠμότητος. μαρτύριον δὲ φέρουσι τῆς εὑρέσεως τῶν εἰρημένων καρπῶν τὸ τηρούμενον παρ' αὐτοῖς ἐξ ἀρχαίων νόμιμον· ἔτι γὰρ καὶ νῦν κατὰ τὸν θερισμὸν τοὺς πρώτους ἀμηθέντας στάχυς θέντας τοὺς ἀνθρώπους κόπτεσθαι πλησίον τοῦ δράγματος καὶ τὴν Ἶσιν ἀνακαλεῖσθαι· καὶ τοῦτο πράττειν ἀπονέμοντας τιμὴν τῇ θεῷ τῶν εὑρημένων κατὰ τὸν ἐξ ἀρχῆς τῆς εὑρέσεως καιρόν. παρ' ἐνίαις δὲ τῶν πόλεων καὶ τοῖς Ἰσείοις ἐν τῇ πομπῇ μετὰ τῶν ἄλλων φέρεσθαι καὶ πυθμένας πυρῶν καὶ κριθῶν, ἀπομνημόνευμα τῶν ἐξ ἀρχῆς τῇ θεῷ φιλοτέχνως εὑρεθέντων. θεῖναι δέ φασι καὶ νόμους τὴν Ἶσιν, καθ' οὓς ἀλλήλοις διδόναι τοὺς ἀνθρώπους τὸ δίκαιον καὶ τῆς ἀθέσμου βίας καὶ ὕβρεως παύσασθαι διὰ τὸν ἀπὸ τῆς τιμωρίας φόβον. διὸ καὶ τοὺς παλαιοὺς Ἕλληνας τὴν Δήμητραν θεσμοφόρον ὀνομάζειν, ὡς τῶν νόμων πρῶτον ὑπ' αὐτῆς τεθειμένων.
κτίσαι δέ φασι τοὺς περὶ τὸν Ὄσιριν πόλιν ἐν τῇ Θη- 15
βαΐδι τῇ κατ' Αἴγυπτον ἑκατόμπυλον, ἣν ἐκείνους μὲν ἐπώνυμον ποιῆσαι τῆς μητρός, τοὺς δὲ μεταγενεστέρους αὐτὴν ὀνομάζειν Διὸς πόλιν, ἐνίους δὲ Θήβας. ἀμφισβητεῖται δ' ἡ κτίσις τῆς πόλεως ταύτης οὐ μόνον παρὰ τοῖς συγγραφεῦσιν ἀλλὰ καὶ παρ' αὐτοῖς τοῖς κατ' Αἴγυπτον ἱερεῦσι. πολλοὶ γὰρ ἱστοροῦσιν οὐχ ὑπὸ τῶν περὶ τὸν Ὄσιριν κτισθῆναι τὰς Θήβας, ἀλλὰ πολλοῖς ὕστερον ἔτεσιν ὑπό τινος βασιλέως, περὶ οὗ τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν. ἱδρύσασθαι δὲ καὶ ἱερὸν τῶν γονέων Διός τε καὶ Ἥρας ἀξιόλογον τῷ τε μεγέθει καὶ τῇ λοιπῇ πολυτελείᾳ, καὶ ναοὺς χρυσοῦς δύο Διός, τὸν μὲν μείζονα τοῦ οὐρανίου, τὸν δὲ ἐλάττονα τοῦ βεβασιλευκότος καὶ πατρὸς αὐτῶν, ὅν
19 τινες Ἄμμωνα καλοῦσι. κατασκευάσαι δὲ καὶ τῶν ἄλλων θεῶν τῶν προειρημένων ναοὺς χρυσοῦς, ὧν ἑκάστῳ τιμὰς ἀπονεῖμαι καὶ καταστῆσαι τοὺς ἐπιμελουμένους ἱερεῖς. προτιμᾶσθαι δὲ παρὰ τῷ Ὀσίριδι καὶ τῇ Ἴσιδι τοὺς τὰς τέχνας ἀνευρίσκοντας ἢ μεθοδεύοντάς τι τῶν χρησίμων. διόπερ ἐν τῇ Θηβαΐδι χαλκουργείων εὑρεθέντων καὶ χρυσείων ὅπλα τε κατασκευάσασθαι, δι' ὧν τὰ θηρία κτείνοντας καὶ τὴν γῆν ἐργαζομένους φιλοτίμως ἐξημερῶσαι τὴν χώραν, ἀγάλματά τε καὶ χρυσοῦς ναοὺς κατασκευάσασθαι τῶν θεῶν διαπρεπεῖς. γενέσθαι δὲ καὶ φιλογεωργὸν τὸν Ὄσιριν, καὶ τραφῆναι μὲν τῆς εὐδαι-

30. προςελθόντα] προςεξελθόντα L 35. ἄρξαι omisit ADN
40. πένθ' ἡμερῶν] πενθημέρων DEG, πεντημέρων N ἑνὸς —
41. τε κνωθεῖσιν om. EN, καὶ Ἶσιν om. Poggius γεννηθέντος]
γενηθέντος A 41. ὀνόματα — τεκνωθεῖσιν om. A 43.
μεθερμηνευόμενον] ἑρμηνευόμενον BEN 44. ἔγγιστά] ἐγγύς
LM 47. ἀλληλοφαγίας] ἀλλήλων σφαγῆς FGL, *mutuae cibi gratia caedes* Poggius 50. ἀγνοούμενον] ἀγνοούμενα FG
18. 51. καὶ servarunt BDEN 52. ἡδέως B(D)E(N), caeteri ἡδέως δὲ 58. θέντας τοὺς ἀνθρώπους] τοὺς ἀνθρώπους θέντας C 60. ἀπον. τιμὴν] invertunt BDL 61. θεῷ]
θεᾷ B (?) L 62. Ἰσείοις] Ἰσίοις FGL 63. ἐν om. DN
καὶ πυθμένας B(D)E(N), caeteri πυθμένας

64. ἀπομνημόνευμα] ἀπομνημονεύματα CFGL 65. τῇ] τῷ
D 66. ἀλλήλοις] ἀλλήλους N τοὺς ἀνθρώπους] τοῖς
ἀνθρώποις FGL 67. καὶ ὕβρεως] ὕβρεως F 69. τὴν
Δήμητραν θεσμοφόρον] θεσμοφόρον τὴν Ἶσιν ABEGN, *Isidem legiferam* Poggius 70. πρῶτον] πρώτων EN ὑπ' αὐτῆς] ὑφ' αὐτῆς A, ὑπὸ ταύτης BCDFGL: quod verum videtur
71. Ὄσιριν] *Isidem* ponit Poggius 76. παρὰ omisit N παρ'
αὐτοῖς] παρὰ C, omittunt FGL 77. τοῖς omittunt FG
πολλοὶ] πολλὰς FG(?)L, *plures* Poggius 79. βασιλέως] βασιλέα N τὰ om. BCN μέρος] μέρους D 82. πολυτελείᾳ] πολιτείᾳ DN 83. τοῦ οὐρανίου] τὸν οὐρανόν FGL
19. 87. ἐπιμελουμένους] ἐπιμελομένους E Eusebius 88.
προτιμᾶσθαι] προςτιμᾶσθαι N 89. τοὺς τὰς τέχνας] τούς τε
στάχυας FGL 90. χαλκουργείων] χαλκουργίων FGL 91.
χρυσείων] χρυσίων D 96. τῆς om. F

μονος Ἀραβίας ἐν Νύσῃ πλησίον Αἰγύπτου Διὸς ὄντα παῖδα, καὶ τὴν προςηγορίαν ἔχειν παρὰ τοῖς Ἕλλησιν ἀπό τε τοῦ πατρὸς καὶ τοῦ τόπου Διόνυσον μετονομασθέντα. μεμνῆσθαι δὲ τῆς Νύσης καὶ τὸν ποιητὴν ἐν τοῖς ὕμνοις, ὅτι περὶ τὴν Αἴγυπτον γέγονεν, ἐν οἷς λέγει

ἔστι δέ τις Νύση, ὕπατον ὄρος ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

εὑρετὴν δ' αὐτὸν γενέσθαι φασὶ τῆς ἀμπέλου περὶ τὴν Νῦσαν, καὶ τὴν κατεργασίαν τοῦ ταύτης καρποῦ προςεπινοήσαντα πρῶτον οἴνῳ χρήσασθαι, καὶ διδάξαι τοὺς ἄλλους ἀνθρώπους τήν τε φυτείαν τῆς ἀμπέλου καὶ τὴν χρῆσιν τοῦ οἴνου καὶ τὴν συγκομιδὴν αὐτοῦ καὶ τήρησιν. τιμᾶσθαι δ' ὑπ' αὐτοῦ μάλιστα πάντων τὸν Ἑρμῆν, διαφόρῳ φύσει κεχορηγημένον πρὸς ἐπίνοιαν τῶν δυ-
16 ναμένων ὠφελῆσαι τὸν κοινὸν βίον. ὑπὸ γὰρ τούτου πρῶτον μὲν τήν τε κοινὴν διάλεκτον διαρθρωθῆναι καὶ πολλὰ τῶν ἀνωνύμων τυχεῖν προςηγορίας, τήν τε εὕρεσιν τῶν γραμμάτων γενέσθαι καὶ τὰ περὶ τὰς τῶν θεῶν τιμὰς καὶ θυσίας διαταχθῆναι· περί τε τῆς τῶν ἄστρων τάξεως καὶ περὶ τῆς τῶν φθόγγων ἁρμονίας καὶ φύσεως τοῦτον πρῶτον γενέσθαι παρατηρητήν, καὶ παλαίστρας εὑρετὴν ὑπάρξαι, καὶ τῆς εὐρυθμίας καὶ τῆς 20
περὶ τὸ σῶμα πρεπούσης πλάσεως ἐπιμεληθῆναι· λύραν τε νευρίνην ποιῆσαι τρίχορδον μιμησάμενον τὰς κατ' ἐνιαυτὸν ὥρας· τρεῖς γὰρ αὐτὸν ὑποστήσασθαι φθόγγους, ὀξὺν καὶ βαρὺν καὶ μέσον, ὀξὺν μὲν ἀπὸ τοῦ θέρους, βαρὺν δὲ ἀπὸ τοῦ χειμῶνος, μέσον δὲ ἀπὸ τοῦ ἔαρος. καὶ τοὺς Ἕλληνας διδάξαι τοῦτον τὰ περὶ τὴν ἑρμηνείαν, ὑπὲρ ὧν Ἑρμῆν αὐτὸν ὠνομάσθαι. καθόλου δὲ τοὺς περὶ τὸν Ὄσιριν τοῦτον ἔχοντας ἱερογραμματέα ἅπαντ' αὐτῷ προςανακοινοῦσθαι καὶ μάλιστα χρῆσθαι τῇ τούτου συμβουλίᾳ. καὶ τῆς ἐλαίας δὲ τὸ φυτὸν αὐ-

96. *Νύσῃ*] *Νούσῃ* N semper 99. *μετονομασθέντα*] *ὀνομασθέντα* ACEN *Νύσης*] per σσ L hic et infra 100 *ὅτι* BCGLQ, caeteri *ὅτε*: *poeta qui in Aegypto fuit* Poggius 2. *ἀνθέον*] *ἀνθέων* DN *ὕλῃ*] *ὕλης* N, *ὕλη* D 5. *Νῦσαν*] *Νύσαν* omnes, nisi quod *Νύσην* ed. Wess. errore typothetae, ad quem tacet N *κατεργασίαν* CDFGL, caeteri *ἐργασίαν* 6. *οἴνῳ*] *οἴνου* AG, *φιλῷ* Eusebius 10. *φύσει*] *χρήσει* BEN 13. *ἀνωνύμων*] *ἀνθρωπίνων* GL 14. *τὰ περὶ τὰς*] *τὰς περὶ* FGL 15. *διαταχθῆναι*] *διαπραχθῆναι* AB

20. 20. *νευρίνην*] *νευρινὴν* ADEN, *lyrae insuper ex nervis trium chordarum — repertorem tradunt* Poggius, caeteri *εὑρεῖν*, *ἣν* 21. *ὑποστήσασθαι*] *ἱστορήσασθαι* LM 24. *διδάξαι τοῦτον*] *τοῦτον διδάξαι* FGL 26. *ἱερογραμματέα*] *γραμματέα* ACGLMQ 28. *καὶ* et *αὐτὸν* om. FGL



τὸν εὑρεῖν, ἀλλ' οὐκ Ἀθηνᾶν, ὥςπερ Ἕλληνές φασι. 17
τὸν δὲ Ὄσιριν λέγουσιν, ὥςπερ εὐεργετικὸν ὄντα καὶ φιλόδοξον, στρατόπεδον μέγα συστήσασθαι, διανοούμενον ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην καὶ διδάξαι τὸ γένος τῶν ἀνθρώπων τήν τε τῆς ἀμπέλου φυτείαν καὶ τὸν σπόρον τοῦ τε πυρίνου καὶ κριθίνου καρποῦ. ὑπολαμβάνειν γὰρ αὐτὸν ὅτι παύσας τῆς ἀγριότητος τοὺς ἀνθρώπους καὶ διαίτης ἡμέρου μεταλαβεῖν ποιήσας τιμῶν ἀθανάτων τεύξεται διὰ τὸ μέγεθος τῆς εὐεργεσίας. ὅπερ δὴ καὶ γενέσθαι· οὐ μόνον γὰρ τοὺς κατ' ἐκείνους τοὺς χρόνους τυχόντας τῆς δωρεᾶς ταύτης ἀλλὰ καὶ πάντας τοὺς μετὰ ταῦτα ἐπιγενομένους διὰ τὴν ἐν ταῖς εὑρεθείσαις τροφαῖς χάριτα τοὺς εἰςηγησαμένους ὡς ἐπιφανεστάτους θεοὺς τετιμηκέναι. τὸν δ' οὖν Ὄσιρίν φασι τὰ κατὰ τὴν Αἴγυπτον καταστήσαντα, καὶ τὴν τῶν ὅλων ἡγεμονίαν Ἴσιδι τῇ γυναικὶ παραδόντα, ταύτῃ μὲν παρακαταστῆσαι σύμβουλον τὸν Ἑρμῆν διὰ τὸ φρονήσει τοῦτον διαφέρειν τῶν ἄλλων φίλων, καὶ στρατηγὸν μὲν ἀπολιπεῖν ἁπάσης τῆς ὑφ' αὐτὸν χώρας Ἡρακλέα γένει τε προςήκοντα καὶ θαυμαζόμενον ἐπ' ἀνδρείᾳ τε καὶ σώματος ῥώμῃ, ἐπιμελητὰς δὲ τάξαι τῶν μὲν πρὸς Φοινίκην κεκλιμένων μερῶν καὶ τῶν ἐπὶ θαλάττῃ τόπων Βούσιριν, τῶν δὲ κατὰ τὴν Αἰθιοπίαν καὶ Λιβύην Ἀνταῖον, αὐτὸν δ' ἐξ Αἰγύπτου μετὰ τῆς δυνάμεως ἀναζεῦξαι πρὸς τὴν στρατείαν ἔχοντα μεθ' ἑαυτοῦ καὶ τὸν
21 ἀδελφόν, ὃν οἱ Ἕλληνες Ἀπόλλωνα καλοῦσιν. εὑρετὴν δὲ καὶ τοῦτόν φασι γενέσθαι τοῦ φυτοῦ τῆς δάφνης, ἣν καὶ περιτιθέασι τούτῳ τῷ θεῷ μάλιστα πάντες ἄνθρωποι. τοῦ δὲ κιττοῦ τὴν εὕρεσιν ἀνατιθέασιν Ὀσίριδι, καὶ καθιεροῦσιν αὐτὸν τούτῳ τῷ θεῷ, καθάπερ οἱ Ἕλληνες Διονύσῳ, καὶ κατὰ τὴν Αἰγυπτίων διάλεκτον ὀνομάζεσθαί φασι τὸν κιττὸν φυτὸν Ὀσίριδος. προκεκρίσθαι δὲ τῆς ἀμπέλου τοῦτον πρὸς τὴν ἀφιέρωσιν διὰ τὸ τὴν μὲν φυλλοῤῥοεῖν, τὸν δὲ πάντα τὸν χρόνον ἀειθαλῆ

30. *εὐεργετικὸν*] *εὑρετικὸν* CL, quod et Stephanus repererat 36. *διαίτης*] *διὰ τῆς* FGL 41. *τροφαῖς*] *τιμαῖς* AGN 44. *τῇ*] *τῷ* D 46 *φίλων*] *φίλον* D 47. *ἁπάσης*] *πάσης* F 49. *τε καὶ* om. AGN *ῥώμῃ* om. N et fortasse AG, ante *σώματος* ponit D 50. *Φοινίκην* B(D)FLN, caeteri *Φοινίκῃ* 52. *Ἀνταῖον*] *Ἀντάλιον* AFL *δ'*] *δὲ* D *ἐξ*] *ἐκ τῆς* CDFL 53. *τὴν στρατείαν* ed. Wesselingii (N), *τῇ στρατείᾳ* FGL, caeteri *τὴν στρατιὰν*

21. 54. *ἑαυτοῦ*] *αὐτοῦ* D *καὶ* omisit D 56. *μάλιστα* — 58. *θεῷ* om. GL 58. *καθάπερ*] *καθάπερ καὶ* DFL 59. *Αἰγυπτίων*] *Αἰγυπτίων μὲν* ADE 60. *ὀνομάζεσθαί φασι*] *φησι* D 62. *φυλλοῤῥοεῖν*] *φυλλοῤοεῖν* D *πάντα τὸν* CDEN, caeteri *πάντα*

διαμένειν· ὅπερ τοὺς παλαιοὺς καὶ ἐφ' ἑτέρων φυτῶν
ἀεὶ θαλλόντων πεποιηκέναι, τῇ μὲν Ἀφροδίτῃ τὴν μυρ-
σίνην, τῷ δ' Ἀπόλλωνι τὴν δάφνην προςάψαντας, τῇ
18 δ' Ἀθηνᾷ τὴν ἐλαίαν. τῷ δ' οὖν Ὀσίριδι συνεστρατεῦ-
σθαι δύο λέγουσιν υἱοὺς Ἄνουβίν τε καὶ Μακεδόνα
διαφέροντας ἀνδρείᾳ. ἀμφοτέρους δὲ χρήσασθαι τοῖς
ἐπισημοτάτοις ὅπλοις ἀπό τινων ζῴων οὐκ ἀνοικείων τῇ
περὶ αὐτοὺς εὐτολμίᾳ· τὸν μὲν γὰρ Ἄνουβιν περιθέ-
σθαι κυνῆν, τὸν δὲ Μακεδόνα λύκου προτομήν· ἀφ' ἧς
αἰτίας καὶ τὰ ζῷα ταῦτα τιμηθῆναι παρὰ τοῖς Αἰγυ-
πτίοις. παραλαβεῖν δ' ἐπὶ τὴν στρατείαν καὶ τὸν Πᾶνα,
διαφερόντως ὑπὸ τῶν Αἰγυπτίων τιμώμενον· τούτῳ γὰρ
τοὺς ἐγχωρίους οὐ μόνον ἀγάλματα πεποιηκέναι κατὰ
πᾶν ἱερόν, ἀλλὰ καὶ πόλιν ἐπώνυμον κατὰ τὴν Θηβαΐ-
δα, καλουμένην μὲν ὑπὸ τῶν ἐγχωρίων Χεμμώ, μεθερ-
μηνευομένην δὲ Πανὸς πόλιν. συνέπεσθαι δὲ καὶ τοὺς
τῆς γεωργίας ἐμπειρίαν ἔχοντας, τῆς μὲν περὶ τὴν ἄμ-
πελον φυτείας Μάρωνα, τοῦ δὲ κατὰ τὸν σῖτον σπόρου
καὶ τῆς ὅλης συγκομιδῆς Τριπτόλεμον. πάντων δ' εὐ-
τρεπῶν γενομένων τὸν Ὄσιριν εὐξάμενον τοῖς θεοῖς
θρέψειν τὴν κόμην μέχρι ἂν εἰς Αἴγυπτον ἀνακάμψῃ
τὴν πορείαν ποιεῖσθαι δι' Αἰθιοπίας· δι' ἣν αἰτίαν μέχρι
τῶν νεωτέρων χρόνων ἐνισχῦσαι τὸ περὶ τῆς κόμης νό-
μιμον παρ' Αἰγυπτίοις, καὶ τοὺς ποιουμένους τὰς ἀπο-
δημίας μέχρι τῆς εἰς οἶκον ἀνακομιδῆς κομοτροφεῖν.
ὄντι δ' αὐτῷ περὶ τὴν Αἰθιοπίαν ἀχθῆναι λέγουσι πρὸς 22
αὐτὸν τὸ τῶν Σατύρων γένος, οὓς φασιν ἐπὶ τῆς ὀσφύος
ἔχειν κόμας. εἶναι γὰρ τὸν Ὄσιριν φιλογέλωτά τε καὶ
χαίροντα μουσικῇ καὶ χοροῖς· διὸ καὶ περιάγεσθαι πλῆ-
θος μουσουργῶν, ἐν οἷς παρθένους ἐννέα δυναμένας
ᾄδειν καὶ κατὰ τὰ ἄλλα πεπαιδευμένας, τὰς παρὰ τοῖς

66. τῇ δ' Ἀθηνᾷ τὴν ἐλαίαν om. ACDEN Poggius 67. συνε-στρατεῦσθαι] συστρατεῦσθαι A, συστρατεύεσθαι EN, συστρατεῦ-σθαι (?) F 69. χρήσασθαι] χρῆσθαι CG 70. εὐτολμίᾳ] τολμίᾳ N 72. προτομὴν] προτρομὴν D ἀφ' ἧς — 73. Αἰγυπτίοις] *qua ex re haec animalia Aegyptii summo in honore habent: et horum animantium formis apud Aegyptios coluntur* Poggius, qui eadem bis reddidisse videtur, ut mox διαφερόντως τιμώ-μενον *diversis modis praecipuus honor habitus est* 75. τῶν om. CFG 78. Χεμμώ CF, *Chemmin* Poggius, caeteri prae-ponunt Χέμμιν ἤ, quae asterisco notavit Stephanus 79. τοὺς om. ADEN 80. ἐμπειρίαν] ἐμπειρίας N 82. εὐτρεπῶν] εὐπρεπῶν BCN 83. θρέψειν] θρέψαι ABEGN Poggius 84. μέχρι] μέχρις omnes 85. ποιεῖσθαι] ποιῆσαι G 88. μέχρι] μέχρις CFG εἰς D, caeteri ἐς
22. 91. φιλογέλωτά τε C(DN), φιλογελώτατον FGM, caeteri φιλογέλωτα



Ἕλλησιν ὀνομαζομένας Μούσας· τούτων δ' ἡγεῖσθαι τὸν
Ἀπόλλωνα λέγουσιν, ἀφ' οὗ καὶ Μουσηγέτην αὐτὸν ὠνο-
μάσθαι. τούς τε Σατύρους πρὸς ὄρχησιν καὶ μελῳδίαν
καὶ πᾶσαν ἄνεσιν καὶ παιδιὰν ὄντας εὐθέτους παραλη-
φθῆναι πρὸς τὴν στρατείαν· οὐ γὰρ πολεμικὸν εἶναι τὸν
Ὄσιριν οὐδὲ παρατάξεις συνίστασθαι καὶ κινδύνους, ἅτε
παντὸς ἔθνους ὡς θεὸν ἀποδεχομένου αὐτὸν διὰ τὰς
εὐεργεσίας. κατὰ δὲ τὴν Αἰθιοπίαν διδάξαντα τοὺς ἀν-
θρώπους τὰ περὶ τὴν γεωργίαν καὶ πόλεις ἀξιολόγους
κτίσαντα καταλιπεῖν τοὺς ἐπιμελησομένους τῆς χώρας
καὶ τοὺς φόρους εἰςπραξομένους. τούτων δ' ὄντων περὶ 19
ταῦτα τὸν Νεῖλόν φασι κατὰ τὴν τοῦ σειρίου ἄστρου
ἐπιτολήν, ἐν ᾧ καιρῷ μάλιστα εἴωθε πληροῦσθαι, ῥα-
γέντα κατακλύσαι πολλὴν τῆς Αἰγύπτου. καὶ μάλιστα
τοῦτο τὸ μέρος ἐπελθεῖν οὗ Προμηθεὺς εἶχε τὴν ἐπιμέ-
λειαν· διαφθαρέντων δὲ σχεδὸν ἁπάντων τῶν κατὰ
ταύτην τὴν χώραν τὸν Προμηθέα διὰ τὴν λύπην κιν-
δυνεύειν ἐκλιπεῖν τὸν βίον ἑκουσίως. διὰ δὲ τὴν ὀξύ-
τητα καὶ τὴν βίαν τοῦ κατενεχθέντος ῥεύματος τὸν
μὲν ποταμὸν Ἀετὸν ὀνομασθῆναι, τὸν δ' Ἡρακλέα με-
γαλεπίβολον ὄντα καὶ τὴν ἀνδρείαν ἐζηλωκότα τό τε γε-
νόμενον ἔκρηγμα ταχέως ἐμφράξαι καὶ τὸν ποταμὸν ἐπὶ
τὴν προϋπάρξασαν ῥύσιν ἀποστρέψαι. διὸ καὶ τῶν παρ'
Ἕλλησι ποιητῶν τινας εἰς μῦθον ἀγαγεῖν τὸ πραχθέν,
ὡς Ἡρακλέους τὸν ἀετὸν ἀνῃρηκότος τὸν τὸ τοῦ Προ-
μηθέως ἧπαρ ἐσθίοντα. τὸν δὲ ποταμὸν ἀρχαιότατον μὲν
ὄνομα σχεῖν Ὠκεάνην, ὅς ἐστιν ἑλληνιστὶ Ὠκεανός· ἔπει-
τα διὰ τὸ γενόμενον ἔκρηγμά φασιν Ἀετὸν ὀνομασθῆναι,
23 ὕστερον δ' Αἴγυπτον ἀπὸ τοῦ βασιλεύσαντος τῆς χώρας
προςαγορευθῆναι· μαρτυρεῖν δὲ καὶ τὸν ποιητὴν λέ-
γοντα

96. αὐτὸν ὠνομάσθαι] ὠνομάσθαι αὐτὸν ADE, ὠνομάσθαι N 99. στρατείαν] στρατίαν E, στρατιάν D 1. post κινδύνους addit Poggius *sed ocio et hominum saluti* (deditus fuit) ἅτε] ὅτε N αὐτὸν om. BCD 5. τοὺς φόρους] φόρους BCDEN, om. A εἰςπραξομένους] πραξομένους BCDEN fortasse verius 7. τοῦ σειρίου CFGM, caeteri τοῦ κυνὸς praeponunt, quae asterisco notavit Stephanus: *circa syrii canis exortum* Poggius 8. εἴωθε] εἰώθει ABD πληροῦσθαι] πρηροῦσθαι AB 9. μέρος] γένος ABFGN 10. διαφθαρέντων] διαφερέντων C δὲ σχεδὸν D Poggius, caeteri σχεδὸν 11. τὸν DFG Poggius, caeteri τὸν δὲ 15. μεγαλεπίβολον] μεγαλεπίβουλον BGN, caeteri μεγαλεπήβολον 17. τὴν] καὶ τὴν FG 19. μῦθον] μυθολογίαν G correctus in margine ἀγαγεῖν] ἀναγαγεῖν D 20. τοῦ om. BE 21. Ὠκεάνην AB(DN), caeteri Ὠκεάμην: Poggius pro his τὸν — Ὠκεανός *fluvii nomen vetus Oceanus fuit*

στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας·
κατὰ γὰρ τὴν καλουμένην Θῶνιν ἐμβάλλοντος εἰς θά-
λατταν τοῦ ποταμοῦ τοῦτον τὸν τόπον ἐμπόριον εἶναι
τὸ παλαιὸν τῆς Αἰγύπτου· τελευταίας δὲ τυχεῖν αὐτὸν
ῆς νῦν ἔχει προςηγορίας ἀπὸ τοῦ βασιλεύσαντος Νει-
λέως. τὸν δ' οὖν Ὄσιριν παραγενόμενον ἐπὶ τοὺς τῆς
Αἰθιοπίας ὅρους τὸν ποταμὸν ἐξ ἀμφοτέρων τῶν μερῶν
χώμασιν ἀναλαβεῖν, ὥςτε κατὰ τὴν πλήρωσιν αὐτοῦ
τὴν χώραν μὴ λιμνάζειν παρὰ τὸ συμφέρον, ἀλλὰ διά
τινων κατεσκευασμένων θυρῶν εἰςαφίεσθαι τὸ ῥεῦμα
πρᾴως καθ' ὅσον ἂν ᾖ χρεία. ἔπειτα ποιήσασθαι τὴν
πορείαν δι' Ἀραβίας παρὰ τὴν ἐρυθρὰν θάλατταν ἕως
Ἰνδῶν καὶ τοῦ πέρατος τῆς οἰκουμένης. κτίσαι δὲ καὶ
πόλεις οὐκ ὀλίγας ἐν Ἰνδοῖς, ἐν αἷς καὶ Νῦσαν ὀνο-
μάσαι, βουλόμενον μνημεῖον ἀπολιπεῖν ἐκείνης καθ' ἣν
ἐτράφη κατ' Αἴγυπτον. φυτεῦσαι δὲ καὶ κιττὸν ἐν τῇ
παρ' Ἰνδοῖς Νύσῃ, καὶ διαμένειν τοῦτο τὸ φυτὸν ἐν
ἐκείνῳ μόνῳ τῷ τόπῳ τῶν τε κατὰ τὴν Ἰνδικὴν καὶ
τὴν ὅμορον χώραν. πολλὰ δὲ καὶ ἄλλα σημεῖα τῆς ἑαυ-
τοῦ παρουσίας ἀπολελοιπέναι κατ' ἐκείνην τὴν χώραν,
δι' ὧν προαχθέντας τοὺς μεταγενεστέρους τῶν Ἰνδῶν
ἀμφιςβητῆσαι τοῦ θεοῦ, λέγοντας Ἰνδὸν εἶναι τὸ γένος.
20 γενέσθαι δὲ καὶ περὶ τὴν τῶν ἐλεφάντων θήραν, καὶ
στήλας καταλιπεῖν πανταχοῦ τῆς ἰδίας στρατείας. ἐπελ-
θεῖν δὲ καὶ τἄλλα τὰ κατὰ τὴν Ἀσίαν ἔθνη, καὶ περαι-
ωθῆναι κατὰ τὸν Ἑλλήςποντον εἰς τὴν Εὐρώπην. καὶ
κατὰ μὲν τὴν Θρᾴκην Λυκοῦργον τὸν βασιλέα τῶν βαρ-
βάρων ἐναντιούμενον τοῖς ὑπ' αὐτοῦ πραττομένοις ἀπο-
κτεῖναι, Μάρωνα δὲ γηραιὸν ἤδη καθεστῶτα καταλιπεῖν
ἐπιμελητὴν τῶν ἐν ταύτῃ τῇ χώρᾳ φυτευομένων, καὶ
κτίστην αὐτὸν ποιῆσαι τῆς ἐπωνύμου πόλεως, ἣν ὀνο-
μάσαι Μαρώνειαν. καὶ Μακεδόνα μὲν τὸν υἱὸν ἀπολι-
πεῖν βασιλέα τῆς ἀπ' ἐκείνου προςαγορευθείσης Μακε-

23. 26. στῆσα (N) Homerus, στῆσαι A, caeteri στῆσε ποταμῷ omisit C 28. Θῶνιν] Θεώνην FG, Θέωνιν C, Theonim Poggius ἐπιβάλλοντος] ἐκβάλλοντος BE θάλατταν D, caeteri θάλασσαν 29. ἐμπόριον] τὸ παλαιὸν ἐμπόριον FG, omissis, ut videtur, εἶναι τὸ παλαιὸν 31. νῦν ἔχει] νῦν μέχει FG, νυνὶ ἔχει B 32. Νειλέως] Νηλέως G correctus in margine 38. θάλατταν D, caeteri θάλασσαν 40. Νῦσαν] Νύσην ABDN, caeteri Νύσαν 42. κατ' Αἴγυπτον om. Poggius, sed mox pro illis 43. καὶ διαμένειν — 45. χώραν quae sola eo loco alitur et in Nysa Aegypti 44. τὴν om. N ὅμορον] ὅρον AB, ὅρον N 47. προαχθέντας] πραχθέντας A correctus in marg., BN 48. τοῦ ABDN, caeteri περὶ τοῦ 50. καταλιπεῖν πανταχοῦ] invertit D στρατείας] στρατιᾶς DE ἐπελθεῖν] καὶ ἐπελθεῖν D 56. ταύτῃ] αὐτῇ BD 57. πόλεως] χώρας G 59. ἀπ'] ὑπ' D



24 δονίας, Τριπτολέμῳ δ' ἐπιτρέψαι τὰς κατὰ τὴν Ἀττικὴν
γεωργίας. τέλος δὲ τὸν Ὄσιριν πᾶσαν τὴν οἰκουμένην
ἐπελθόντα τὸν κοινὸν βίον τοῖς ἡμερωτάτοις καρποῖς
εὐεργετῆσαι. εἰ δέ τις χώρα τὸ φυτὸν τῆς ἀμπέλου μὴ
προςδέχοιτο, διδάξαι τὸ ἐκ τῆς κριθῆς κατασκευαζόμε-
νον πόμα, λειπόμενον οὐ πολὺ τῆς περὶ τὸν οἶνον εὐω-
δίας τε καὶ δυνάμεως. ἐπανελθόντα δ' εἰς τὴν Αἴγυπτον
συναποκομίσαι δῶρά τε πανταχόθεν τὰ κράτιστα καὶ
διὰ τὸ μέγεθος τῶν εὐεργεσιῶν συμπεφωνημένην λαβεῖν
παρὰ πᾶσι τὴν ἀθανασίαν καὶ τὴν ἴσην τοῖς οὐρανίοις
τιμήν. μετὰ δὲ ταῦτα ἐξ ἀνθρώπων εἰς θεοὺς μεταστάντα
τυχεῖν ὑπὸ Ἴσιδος καὶ Ἑρμοῦ θυσιῶν καὶ τῶν ἄλλων
τῶν ἐπιφανεστάτων θεῶν τιμῶν. τούτους δὲ καὶ τελε-
τὰς καταδεῖξαι καὶ πολλὰ μυστικῶς εἰςηγήσασθαι μεγα- 21
λύνοντας τοῦ θεοῦ τὴν δύναμιν. τῶν δ' ἱερέων περὶ
τῆς Ὀσίριδος τελευτῆς ἐξ ἀρχαίων ἐν ἀποῤῥήτοις παρει-
ληφότων τῷ χρόνῳ ποτὲ συνέβη διά τινων εἰς τοὺς πολ-
λοὺς ἐξενεχθῆναι τὸ σιωπώμενον. φασὶ γὰρ νομίμως
βασιλεύοντα τῆς Αἰγύπτου τὸν Ὄσιριν ὑπὸ Τυφῶνος
ἀναιρεθῆναι τοῦ ἀδελφοῦ βιαίου καὶ ἀσεβοῦς ὄντος· ὃν
διελόντα τὸ σῶμα τοῦ φονευθέντος εἰς ἓξ καὶ εἴκοσι
μέρη δοῦναι τῶν συνεπιθεμένων ἑκάστῳ μερίδα, βου-
λόμενον πάντας μετασχεῖν τοῦ μύσους, καὶ διὰ τοῦτο
νομίζοντα συναγωνιστὰς ἕξειν καὶ φύλακας τῆς βασι-
λείας βεβαίους. τὴν δὲ Ἶσιν ἀδελφὴν οὖσαν Ὀσίριδος
καὶ γυναῖκα μετελθεῖν τὸν φόνον συναγωνιζομένου τοῦ
παιδὸς αὐτῆς Ὥρου· ἀνελοῦσαν δὲ τὸν Τυφῶνα καὶ
τοὺς συμπράξαντας βασιλεῦσαι τῆς Αἰγύπτου. γενέσθαι
δὲ τὴν μάχην παρὰ τὸν ποταμὸν πλησίον τῆς νῦν Ἀν-
ταίου κώμης καλουμένης, ἣν κεῖσθαι μὲν λέγουσιν ἐν
τῷ κατὰ τὴν Ἀραβίαν μέρει, τὴν προςηγορίαν δ' ἔχειν
ἀπὸ τοῦ κολασθέντος ὑφ' Ἡρακλέους Ἀνταίου τοῦ κατὰ
τὴν Ὀσίριδος ἡλικίαν γενομένου. τὴν δ' οὖν Ἶσιν πάντα
τὰ μέρη τοῦ σώματος πλὴν τῶν αἰδοίων ἀνευρεῖν· βου-
λομένην δὲ τὴν τἀνδρὸς ταφὴν ἄδηλον ποιῆσαι καὶ τι-
μωμένην παρὰ πᾶσι τοῖς τὴν Αἴγυπτον κατοικοῦσι συν-

24. 66. ἐπανελθόντα] ἐπελθόντα B 70. μετὰ δὲ] μετὰ A 72 θεῶν om DFM et qui in marg. supplet G, asterisco notavit Stephanus, agnoscit Eusebius, qui ἐν θεοῖς τούτους] τούτου Eusebius, τούτοις N 75. ἱερέων] ἱερῶν FG 76. ποτὲ] πότε G(N), caeteri τότε 83. τοῦτο] τούτου D 86. φόνον — Ὥρου] φόβον συναγωνιζόμενον C 87. βασιλεῦσαι] βασιλεύειν ABCDN 89. Ἀνταίου BC(D)E(N) Poggius, Eusebius, caeteri Ἀνταίας 91. ἀπὸ] ὑπὸ B 94. ἀνευρεῖν ABCDEN, caeteri εὑρεῖν

τελέσαι τὸ δόξαν τοιούτῳ τινὶ τρόπῳ. ἑκάστῳ τῶν με-
ρῶν περιπλάσαι λέγουσιν αὐτὴν τύπον ἀνθρωποειδῆ πα-
ραπλήσιον Ὀσίριδι τὸ μέγεθος ἐξ ἀρωμάτων καὶ κηροῦ.
εἰςκαλεσαμένην δὲ κατὰ γένη τῶν ἱερέων ἐξορκίσαι πάν-
τας μηδενὶ δηλώσειν τὴν δοθησομένην αὐτοῖς πίστιν,
κατ' ἰδίαν δὲ ἑκάστοις εἰπεῖν ὅτι μόνοις ἐκείνοις παρα- 25
τίθεται τὴν τοῦ σώματος ταφήν, καὶ τῶν εὐεργεσιῶν
ὑπομνήσασαν παρακαλέσαι θάψαντας ἐν τοῖς ἰδίοις τό-
ποις τὸ σῶμα τιμᾶν ὡς θεὸν τὸν Ὄσιριν, καθιερῶσαι δὲ
καὶ τῶν γινομένων παρ' αὐτοῖς ζῴων ἓν ὁποῖον ἂν
βουληθῶσι, καὶ τοῦτ' ἐν μὲν τῷ ζῆν τιμᾶν, καθάπερ
καὶ πρότερον τὸν Ὄσιριν, μετὰ δὲ τὴν τελευτὴν τῆς
ὁμοίας ἐκείνῳ κηδείας ἀξιοῦν. βουλομένην δὲ τὴν Ἶσιν
καὶ τῷ λυσιτελεῖ προτρέψασθαι τοὺς ἱερεῖς ἐπὶ τὰς προ-
ειρημένας τιμὰς τὸ τρίτον μέρος τῆς χώρας αὐτοῖς δοῦ-
ναι πρὸς τὰς τῶν θεῶν θεραπείας τε καὶ λειτουργίας.
τοὺς δὲ ἱερεῖς λέγεται μνημονεύοντας τῶν Ὀσίριδος εὐ-
εργεσιῶν καὶ τῇ παρακαλούσῃ βουλομένους χαρίζεσθαι,
πρὸς δὲ τούτοις τῷ λυσιτελεῖ προκληθέντας, πάντα πρᾶ-
ξαι κατὰ τὴν Ἴσιδος ὑποθήκην. διὸ καὶ μέχρι τοῦ νῦν
ἑκάστους τῶν ἱερέων ὑπολαμβάνειν παρ' ἑαυτοῖς τεθά-
φθαι τὸν Ὄσιριν, καὶ τά τε ἐξ ἀρχῆς ἀφιερωθέντα ζῷα
τιμᾶν καὶ τελευτησάντων αὐτῶν ἐν ταῖς ταφαῖς ἀνα-
νεοῦσθαι τὸ τοῦ Ὀσίριδος πένθος. τοὺς δὲ ταύρους τοὺς
ἱεροὺς τόν τε ὀνομαζόμενον Ἆπιν καὶ τὸν Μνεῦιν Ὀσί-
ριδι καθιερωθῆναι, καὶ τούτους σέβεσθαι καθάπερ θεοὺς
κοινῇ καταδειχθῆναι πᾶσιν Αἰγυπτίοις. ταῦτα γὰρ τὰ
ζῷα τοῖς εὑροῦσι τὸν τοῦ σίτου καρπὸν συνεργῆσαι μά-
λιστα πρός τε τὸν σπόρον καὶ τὰς κοινὰς ἁπάντων ἐκ
22 τῆς γεωργίας ὠφελείας. τὴν δὲ Ἶσίν φασι μετὰ τὴν Ὀσί-
ριδος τελευτὴν ὀμόσαι μηδενὸς ἀνδρὸς ἔτι συνουσίαν
προςδέξασθαι, διατελέσαι δὲ τὸν λοιπὸν τοῦ βίου χρό-
νον βασιλεύουσαν νομιμώτατα καὶ ταῖς εἰς τοὺς ἀρχο-
μένους εὐεργεσίαις ἅπαντας ὑπερβαλλομένην. ὁμοίως δὲ

96. τοιούτῳ] τοιῷδέ CD, τοιῷ FG 99. εἰςκαλεσαμένην] ἐκ-καλεσαμένην A, εἰςκαλεσαμένη D 100. ἐξορκίσαι] ἐξορκίαις N, ἐξ ὀρχίαις A 1. ἑκάστοις] ἑκάστῳ FG

25. 7. τοῦτ' A, caeteri τοῦτο 11. δοῦναι CFG Poggius, caeteri praemittunt εἰς προςόδους, quae asterisco notavit Stephanus 14. τῷ λυσιτελεῖ] τὰ λυσιτελῆ M 15. προκληθέντας] προςκληθέντας BE 18. ἐξ ἀρχῆς omittunt FG, τε ἐξ ἀρχῆς asterisco notavit Stephanus ἀφιερωθέντα] καθιερωθέντα BCD 21. Μνεῦιν] Μέμφιν ABDN Poggius 24. μάλιστα] ἁπάντων M, πάντων FGN et Stephanianus 28. μηδενὸς G Eusebius, caeteri μηθενὸς ἀνδρὸς om. G, Poggius, qui tamen pro Osiride posuerat *virum*, asterisco notavit Stephanus 30. εὐεργεσίαις] εὐεργεσίας FG



καὶ ταύτην μεταστᾶσαν ἐξ ἀνθρώπων τυχεῖν ἀθανάτων
τιμῶν, καὶ ταφῆναι κατὰ τὴν Μέμφιν, ὅπου δείκνυται
μέχρι τοῦ νῦν αὐτῆς ὁ σηκός, ὑπάρχων ἐν τῷ τεμένει
τοῦ Ἡφαίστου. ἔνιοι δέ φασιν οὐκ ἐν Μέμφει κεῖσθαι τὰ
σώματα τούτων τῶν θεῶν, ἀλλ' ἐπὶ τῶν ὅρων τῆς Αἰθιοπίας
καὶ τῆς Αἰγύπτου κατὰ τὴν ἐν τῷ Νείλῳ νῆσον, κειμένην
μὲν πρὸς ταῖς καλουμέναις Φίλαις, ἔχουσαν δὲ προςηγορίαν
ἀπὸ τοῦ συμβεβηκότος ἱεροῦ πεδίου. σημεῖα δὲ τούτου
δεικνύουσιν ἐν τῇ νήσῳ ταύτῃ διαμένοντα τόν τε τάφον
τὸν κατεσκευασμένον Ὀσίριδι, κοινῇ τιμώμενον ὑπὸ
26 τῶν κατ' Αἴγυπτον ἱερέων, καὶ τὰς περὶ τοῦτον κει-
μένας ἑξήκοντα καὶ τριακοσίας χοάς. ταύτας γὰρ καθ'
ἑκάστην ἡμέραν γάλακτος πληροῦν τοὺς πρὸς τούτοις
ταχθέντας ἱερεῖς, καὶ θρηνεῖν ἀνακαλουμένους τὰ τῶν
θεῶν ὀνόματα. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ τὴν νῆσον
ταύτην ἄβατον εἶναι πλὴν τοῖς ἱερεῦσι, καὶ πάντας τοὺς
τὴν Θηβαΐδα κατοικοῦντας, ἥπερ ἐστὶν ἀρχαιοτάτη τῆς
Αἰγύπτου, μέγιστον ὅρκον κρίνειν, ὅταν τις τὸν Ὄσιριν
τὸν ἐν Φίλαις κείμενον ὀμόσῃ. τὰ μὲν οὖν ἀνευρεθέντα
τοῦ Ὀσίριδος μέρη ταφῆς ἀξιωθῆναί φασι τὸν εἰρημέ-
νον τρόπον, τὸ δὲ αἰδοῖον ὑπὸ μὲν Τυφῶνος εἰς τὸν
ποταμὸν ῥιφῆναι λέγουσι διὰ τὸ μηδένα τῶν συνεργη-
σάντων αὐτὸ λαβεῖν βουληθῆναι, ὑπὸ δὲ τῆς Ἴσιδος
οὐδὲν ἧττον τῶν ἄλλων ἀξιωθῆναι τιμῶν ἰσοθέων· ἔν
τε γὰρ τοῖς ἱεροῖς εἴδωλον αὐτοῦ κατασκευάσασαν τιμᾶν
καταδεῖξαι καὶ κατὰ τὰς τελετὰς καὶ τὰς θυσίας τὰς
τῷ θεῷ τούτῳ γινομένας ἐντιμότατον ποιῆσαι καὶ πλεί-
στου σεβασμοῦ τυγχάνειν. διὸ καὶ τοὺς Ἕλληνας ἐξ
Αἰγύπτου παρειληφότας τὰ περὶ τοὺς ὀργιασμοὺς καὶ
τὰς Διονυσιακὰς ἑορτὰς τιμᾶν τοῦτο τὸ μόριον ἔν τε

33. μέχρι τοῦ νῦν omisit A 34. αὐτῆς om. ADN et libri qui haec repetunt infra p. 31. 36. ὁ σηκός] omisit N 36. ὅρων] ὀρῶν Poggius 38. Φίλαις] Φέλαις AN, πύλαις *portae* vertit Poggius 39. ἱεροῦ πεδίου AB(D)E Poggius, ἱεροῦ παιδίου N, caeteri ἱερὸν πεδίον 42. καὶ] καί φασι AN τὰς om. N et fortasse A: v. ad p. 31. 36. τοῦτον] τούτων DN

26. 43. κειμένας] κειμένων N χοὰς τὰς ante περὶ (25. 42.) ponit B, χοὰς omisit D 47. ἄβατον] ἄβαντον N πλὴν τοῖς ἱερεῦσι] τοῖς παριοῦσι BCDFGMQ, *transeuntibus* Poggius, τοῖς βωμοῖς A 50. Φίλαις] Φέλαις AN, νεφέλαις (*nubibus*) Poggius 52. ὑπὸ] οἱ CFG 53. τὸν ποταμὸν D Eusebius, caeteri ποταμὸν λέγουσι om. D μηδένα B(N), caeteri μηθένα 55. οὐδὲν] οὐθὲν BDG 57. τιμᾶν] τιμὰς ABEN Eusebius καὶ τὰς θυσίας omisit E 58. θυσίας τὰς C Eusebius, caeteri θυσίας 60. τὰ περὶ τοὺς ὀργιασμοὺς om. FGM, τὰ περὶ τοὺς ὀ. καὶ om. liber Stephani, asterisco notavit Stephanus 61. ὀργιασμοὺς] ὀργισμοὺς N τὰς Διον.

23 τοῖς μυστηρίοις καὶ ταῖς τοῦ θεοῦ τούτου τελεταῖς τε καὶ θυσίαις, ὀνομάζοντας αὐτὸ φαλλόν. εἶναι δὲ ἔτη φασὶν ἀπὸ Ὀσίριδος καὶ Ἴσιδος ἕως τῆς Ἀλεξάνδρου βασιλείας τοῦ κτίσαντος ἐν Αἰγύπτῳ τὴν ἐπώνυμον αὐτοῦ πόλιν πλείω τῶν μυρίων, ὡς δ' ἔνιοι γράφουσι, βραχὺ λείποντα τῶν δισμυρίων καὶ τρισχιλίων. τοὺς δὲ λέγοντας ἐν Θήβαις τῆς Βοιωτίας γεγονέναι τὸν θεὸν ἐκ Σεμέλης καὶ Διός φασι σχεδιάζειν. Ὀρφέα γὰρ εἰς Αἴγυπτον παραβαλόντα καὶ μετασχόντα τῆς τελετῆς καὶ τῶν Διονυσιακῶν μυστηρίων μεταλαβόντα, τοῖς τε Καδμείοις φίλον ὄντα καὶ τιμώμενον ὑπ' αὐτῶν, μεταθεῖναι τοῦ θεοῦ τὴν γένεσιν ἐκείνοις χαριζόμενον· τοὺς δ' ὄχλους τὰ μὲν διὰ τὴν ἄγνοιαν, τὰ δὲ διὰ τὸ βούλεσθαι 27
τὸν θεὸν Ἕλληνα νομίζεσθαι, προσδέξασθαι προσηνῶς τὰς τελετὰς καὶ τὰ μυστήρια. ἀφορμὰς δ' ἔχειν τὸν Ὀρφέα πρὸς τὴν μετάθεσιν τῆς τοῦ θεοῦ γενέσεώς τε τε καὶ τελετῆς τοιαύτας. Κάδμον ἐκ Θηβῶν ὄντα τῶν Αἰγυπτίων γεννῆσαι σὺν ἄλλοις τέκνοις καὶ Σεμέλην· ταύτην δὲ ὑφ' ὅτου δήποτε φθαρεῖσαν ἔγκυον γενέσθαι, καὶ τεκεῖν ἑπτὰ μηνῶν διελθόντων βρέφος τὴν ὄψιν οἷόνπερ οἱ κατ' Αἴγυπτον τὸν Ὄσιριν γεγονέναι νομίζουσι· ζωογονεῖσθαι δ' οὐκ εἰωθέναι τὸ τοιοῦτον, εἴτε τῶν θεῶν μὴ βουλομένων εἴτε τῆς φύσεως μὴ συγχωρούσης. Κάδμον δὲ αἰσθόμενον τὸ γεγονός, καὶ χρησμὸν ἔχοντα διατηρεῖν τὰ τῶν πατέρων νόμιμα, χρυσῶσαί τε τὸ βρέφος καὶ τὰς καθηκούσας αὐτῷ ποιήσασθαι θυσίας, ὡς ἐπιφανείας τινὸς κατ' ἀνθρώπους Ὀσίριδος γεγενημένης.

ἑορτὰς C Eusebius, τὰς Διον. ἑορτὰς τελεταῖς ABDEN, caeteri τὰ περὶ τὰς Διον. τελετὰς καὶ τὰ ὄργια: Poggius pro his 60. τὰ περὶ — 61. ἑορτὰς *orgia sacraque Dionysii* τιμᾶν om. C 63. φαλλόν] φαλόν N 65. καὶ Ἴσιδος asterisco notavit Stephanus 66. τῆς omisit B Ἀλεξάνδρου] *Alexandrum Macedonem* Poggius 67. πλείω] μείω M μυρίων] μυριάδων FG 68. γράφουσι] γράφοντι N 69. τῆς Βοιωτίας] τῆς (?) Βοιωτίαις C: v. argumentum huius libri ex A appositum: ταῖς Βοιωτικαῖς Eusebius 71. παραβαλόντα] παραλαβόντα G correctus in margine, μεταβαλόντα Eusebius 72. μεταλαβόντα A(D)E(N), caeteri μεταλαβεῖν 73. τοῖς τε A(DN) Eusebius, τοῖς δὲ caeteri 75. τὰ δὲ] τὸ δὲ C

27. 76. νομίζεσθαι] ὀνομάζεσθαι Eusebius 79. τελετῆς B(DN) Eusebius, *sacrorum* Poggius, caeteri τελευτῆς 81. ὑφ' ὅτου δήποτε Stephanus, ὑπὸ τοῦ Διός ποτε FG Eusebius, ὑπό του δήποτε E, caeteri ὑπὸ τοῦ δήποτε 83. τὸν om. AN 85. θεῶν] νεῶν N 86. αἰσθόμενον] ἀχθόμενον ABEN, *aegre ferens* Poggius 88. χρυσῶσαί C(D)FGM Eusebius, χρυσώσας B, caeteri χρυσώσασθαί 89. ποιήσασθαι] ποιῆσαι FG ὡς om. A ἀνθρώπους] ἀνθρώπου C 90. γεγενημένης] γεγενημένου FG



ἀνάψαι δὲ καὶ τὴν γένεσιν εἰς Δία, σεμνύνοντα τὸν Ὄσιριν καὶ τῆς φθαρείσης τὴν διαβολὴν ἀφαιρούμενον· διὸ καὶ παρὰ τοῖς Ἕλλησιν ἐκδοθῆναι λόγον ὡς ἡ Κάδμου Σεμέλη τέτοκεν ἐκ Διὸς Ὄσιριν. ἐν δὲ τοῖς ὕστερον χρόνοις Ὀρφέα, μεγάλην ἔχοντα δόξαν παρὰ τοῖς Ἕλλησιν ἐπὶ μελῳδίᾳ καὶ τελεταῖς καὶ θεολογίαις, ἐπιξενωθῆναι τοῖς Καδμείοις καὶ διαφερόντως ἐν ταῖς Θήβαις τιμηθῆναι. μετεσχηκότα δὲ τῶν παρ' Αἰγυπτίοις θεολογουμένων μετενεγκεῖν τὴν Ὀσίριδος τοῦ παλαιοῦ γένεσιν ἐπὶ τοὺς νεωτέρους χρόνους· χαριζόμενον δὲ τοῖς Καδμείοις ἐνστήσασθαι καινὴν τελετήν, καθ' ἣν παραδοῦναι τοῖς μυουμένοις ἐκ Σεμέλης καὶ Διὸς γεγεννῆσθαι τὸν Διόνυσον. τοὺς δὲ ἀνθρώπους τὰ μὲν διὰ τὴν ἄγνοιαν ἐξαπατωμένους, τὰ δὲ διὰ τὴν Ὀρφέως ἀξιοπιστίαν καὶ δόξαν ἐν τοῖς τοιούτοις προσέχοντας, τὸ δὲ μέγιστον ἡδέως προσδεχομένους τὸν θεὸν Ἕλληνα νομιζόμενον, καθάπερ προείρηται, χρήσασθαι ταῖς τελεταῖς. ἔπειτα
28 παραλαβόντων τῶν μυθογράφων καὶ ποιητῶν τὸ γένος ἐμπεπλῆσθαι τὰ θέατρα, καὶ τοῖς ἐπιγινομένοις ἰσχυρὰν πίστιν καὶ ἀμετάθετον γενέσθαι. καθόλου δέ φασι τοὺς Ἕλληνας ἐξιδιάζεσθαι τοὺς ἐπιφανεστάτους ἥρωάς τε καὶ θεούς, ἔτι δ' ἀποικίας τὰς παρ' ἑαυτῶν. καὶ γὰρ 24
Ἡρακλέα τὸ γένος Αἰγύπτιον ὄντα δι' ἀνδρείαν ἐπελθεῖν πολλὴν τῆς οἰκουμένης, καὶ τὴν ἐπὶ τῆς Λιβύης θέσθαι στήλην· ὑπὲρ οὗ πειρῶνται τὰς ἀποδείξεις παρὰ τῶν Ἑλλήνων λαμβάνειν. ὁμολογουμένου γὰρ ὄντος παρὰ πᾶσιν ὅτι τοῖς Ὀλυμπίοις θεοῖς Ἡρακλῆς συνηγωνίσατο τὸν πρὸς τοὺς γίγαντας πόλεμον, φασὶ τῇ γῇ μηδαμῶς ἁρμόττειν γεγεννηκέναι τοὺς γίγαντας κατὰ τὴν ἡλικίαν ἣν οἱ Ἕλληνές φασιν Ἡρακλέα γενέσθαι, γενεᾷ πρότε-

91. post Ὄσιριν omittunt τε καὶ τὸ γεγονὸς CFGM Eusebius, quae asterisco notavit Stephanus 94. Ὄσιριν ABCD Eusebius, caeteri τὸν Ὄσιριν ὕστερον] ὑστέροις ADN 96. Καδμείοις] Καδμίοις D 97. μετεσχηκότα] μετεσχηκότος B 1. καινὴν] κενὴν D μυουμένοις] μυθουμένοις ADN, *quod fabulis causam praebuit* Poggius 2. γεγεννῆσθαι] γεγενῆσθαι D 5. προσέχοντας CGQ, *Orphei fama et opinione moti* Poggius, caeteri καιροῖς ἔχοντος

28. 9. ἐμπεπλῆσθαι] ἐμπεπληρῶσθαι E, ἐμπλῆσαι CFG Eusebius, qui pro παραλαβόντων τῶν μυθογράφων καὶ ποιητῶν τὸ γένος posuerat παρελθόντων τῶν μυθογράφων: *postea adhibitis poetarum (quas theatra comprobabant) fabulis certa est praebita huic generi fides* Poggius: παραλαβὸν τῶν μ. καὶ π. τὸ γένος ἐμπλῆσαι coniiciebat Wesselingius ἐπιγινομένοις] ἐπιγενομένοις A 10. γενέσθαι] γεννῆσαι G correctus in margine, ἐγγενῆσθαι C, ἐγγενέσθαι Eusebius 12. δ' A, caeteri δὲ παρ' omisit M, asterisco notavit Stephanus 21. γενέσθαι] γεγενῆσθαι BCDG γενεᾷ] γενεαῖς FG

ρον τῶν Τρωικῶν, ἀλλὰ μᾶλλον, ὡς αὐτοὶ λέγουσι, κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν τῶν ἀνθρώπων. ἀπ᾽ ἐκείνης μὲν γὰρ παρ᾽ Αἰγυπτίοις ἔτη καταριθμεῖσθαι πλείω τῶν μυρίων, ἀπὸ δὲ τῶν Τρωικῶν ἐλάττω τῶν χιλίων καὶ διακοσίων. ὁμοίως δὲ τό τε ῥόπαλον καὶ τὴν λεοντῆν τῷ παλαιῷ πρέπειν Ἡρακλεῖ διὰ τὸ κατ᾽ ἐκείνους τοὺς χρόνους μήπω τῶν ὅπλων εὑρημένων τοὺς ἀνθρώπους τοῖς μὲν ξύλοις ἀμύνεσθαι τοὺς ἀντιταττομένους, ταῖς δὲ δοραῖς τῶν θηρίων σκεπαστηρίοις ὅπλοις χρῆσθαι. καὶ Διὸς μὲν υἱὸν αὐτὸν ἀναγορεύουσι, μητρὸς δὲ ἧς ἐστιν οὔ φασι γινώσκειν. τὸν δὲ ἐξ Ἀλκμήνης γενόμενον ὕστερον πλείοσιν ἔτεσιν ἢ μυρίοις Ἀλκαῖον ἐκ γενετῆς καλούμενον ὕστερον Ἡρακλέα μετονομασθῆναι, οὐχ ὅτι δι᾽ Ἥραν ἔσχε κλέος, ὥς φησιν ὁ Μάτρις, ἀλλ᾽ ὅτι τὴν αὐτὴν ἐζηλωκὼς προαίρεσιν Ἡρακλεῖ τῷ παλαιῷ τὴν ἐκείνου δόξαν ἅμα καὶ προσηγορίαν ἐκληρονόμησε. συμφωνεῖν δὲ τοῖς ὑφ᾽ ἑαυτῶν λεγομένοις καὶ τὴν παρὰ τοῖς Ἕλλησιν ἐκ πολλῶν χρόνων παραδεδομένην φήμην, ὅτι καθαρὰν τὴν γῆν τῶν θηρίων ἐποίησεν Ἡρακλῆς· ὅπερ μηδαμῶς ἁρμόττειν τῷ γεγονότι σχεδὸν κατὰ τοὺς Τρωικοὺς χρόνους, ὅτε τὰ πλεῖστα μέρη τῆς οἰκουμένης ἐξημέρωτο 29
γεωργίαις καὶ πόλεσι καὶ πλήθει τῶν κατοικούντων τὴν χώραν πανταχοῦ. μᾶλλον οὖν πρέπειν τῷ γεγονότι κατὰ τοὺς ἀρχαίους χρόνους τὴν ἡμέρωσιν τῆς χώρας, κατισχυομένων ἔτι τῶν ἀνθρώπων ὑπὸ τοῦ πλήθους τῶν θηρίων, καὶ μάλιστα κατὰ τὴν Αἴγυπτον, ἧς τὴν ὑπερκειμένην χώραν μέχρι τοῦ νῦν ἔρημον οὖσαν καὶ θηριώδη. εἰκὸς γὰρ ταύτης ὡς πατρίδος προνοηθέντα τὸν Ἡρακλέα, καὶ καθαρὰν τὴν γῆν τῶν θηρίων ποιήσαντα, παραδοῦναι τοῖς γεωργοῖς τὴν χώραν, καὶ διὰ τὴν εὐεργεσίαν τυχεῖν ἰσοθέου τιμῆς. φασὶ δὲ καὶ τὸν Περσέα γεγονέναι κατ᾽ Αἴγυπτον, καὶ τῆς Ἴσιδος τὴν γένεσιν ὑπὸ τῶν Ἑλλήνων εἰς Ἄργος μεταφέρεσθαι, μυθολο-

23. μὲν om. C 26. πρέπειν] τρέπειν N 28. τοὺς ἀνθρώπους omisit CFG ἀμύνεσθαι] ἀμύνασθαι AD 29. ἀντιτ.] τῶν ἀνθρώπων subiiciunt CFG et qui ἀντιτεταγμένους M σκεπαστηρίοις ὅπλοις ABCE, *ferarum pellibus tegebant pro armis corpora* Poggius, caeteri σκεπαστηρίοις 32. μυρίοις] *mille* Poggius 34. ὁ Μάτρις] *Omitres* Poggius 36. δόξαν ἅμα] δύναμιν FGMQ 37. ὑφ᾽ ἑαυτῶν ABDEN, caeteri ὑπ᾽ αὐτῶν 38. ἐκ πολλῶν] ἐκ παλαιῶν C, ἐκ τῶν παλαιῶν Q et aliquis fortasse Wesselingii

29. 44. πρέπειν] τρέπειν N ἀρχαίους] ἀρχαιοτάτους CFQ et qui in marg. corrigit G 47. ἧς G(N) Stephanianus, caeteri εἰς, cui congruit 48. οὖσαν, recepto ἧς in εἶναι mutandum: Poggius *cuius nunc quoque regiones desertae sunt* 52. φασὶ] φησὶ FG



γούντων τὴν Ἰὼ τὴν εἰς βοὸς τύπον μεταποιηθεῖσαν. καθόλου δὲ πολλή τίς ἐστι διαφωνία περὶ τούτων τῶν θεῶν. τὴν αὐτὴν γὰρ οἱ μὲν Ἶσιν, οἱ δὲ Δήμητραν, οἱ δὲ Θεσμοφόρον, οἱ δὲ Σελήνην, οἱ δὲ Ἥραν, οἱ δὲ πάσαις ταῖς προσηγορίαις ὀνομάζουσι. τὸν δὲ Ὄσιριν οἱ μὲν Σάραπιν, οἱ δὲ Διόνυσον, οἱ δὲ Πλούτωνα, οἱ δὲ Ἄμμωνα, τινὲς δὲ Δία, πολλοὶ δὲ Πᾶνα νενομίκασι· λέγουσι δέ τινες Σάραπιν εἶναι τὸν παρὰ τοῖς Ἕλλησι Πλούτωνα ὀνομαζόμενον. φασὶ δ᾽ Αἰγύπτιοι τὴν Ἶσιν φαρμάκων τε πολλῶν πρὸς ὑγίειαν εὑρέτιν γεγονέναι καὶ τῆς ἰατρικῆς ἐπιστήμης μεγάλην ἔχειν ἐμπειρίαν. διὸ καὶ τυχοῦσαν τῆς ἀθανασίας ἐπὶ ταῖς θεραπείαις τῶν ἀνθρώπων μάλιστα χαίρειν, καὶ κατὰ τοὺς ὕπνους τοῖς ἀξιοῦσι διδόναι βοηθήματα φανερῶς ἐπιδεικνυμένην τήν τε ἰδίαν ἐπιφάνειαν καὶ τὸ πρὸς τοὺς δεομένους τῶν ἀνθρώπων εὐεργετικόν. ἀποδείξεις δὲ τούτων φασὶ φέρειν ἑαυτοὺς οὐ μυθολογίας ὁμοίως τοῖς Ἕλλησιν ἀλλὰ πράξεις ἐναργεῖς· πᾶσαν γὰρ σχεδὸν τὴν οἰκουμένην μαρτυρεῖν ἑαυτοῖς εἰς τὰς ταύτης τιμὰς φιλοτιμουμένην διὰ τὴν ἐν ταῖς θεραπείαις ἐπιφάνειαν. κατὰ γὰρ τοὺς ὕπνους ἐφισταμένην διδόναι τοῖς κάμνουσι βοηθήματα πρὸς τὰς νόσους, καὶ τοὺς ὑπακούσαντας αὐτῇ παρα-
30 δόξως ὑγιάζεσθαι· καὶ πολλοὺς μὲν ὑπὸ τῶν ἰατρῶν διὰ τὴν δυσκολίαν τοῦ νοσήματος ἀπελπισθέντας ὑπὸ ταύτης σῴζεσθαι, συχνοὺς δὲ παντελῶς πηρωθέντας τὰς ὁράσεις ἤ τινα τῶν ἄλλων μερῶν τοῦ σώματος, ὅταν πρὸς ταύτην τὴν θεὸν καταφύγωσιν, εἰς τὴν προϋπάρξασαν ἀποκαθίστασθαι τάξιν. εὑρεῖν δ᾽ αὐτὴν καὶ τὸ τῆς ἀθανασίας φάρμακον, δι᾽ οὗ τὸν υἱὸν Ὧρον ὑπὸ τῶν Τιτάνων ἐπιβουλευθέντα καὶ νεκρὸν εὑρεθέντα καθ᾽ ὕδατος μὴ μόνον ἀναστῆσαι δοῦσαν τὴν ψυχήν, ἀλλὰ καὶ τῆς ἀθανασίας ποιῆσαι μεταλαβεῖν. δοκεῖ δὲ ὕστατος τῶν θεῶν οὗτος βασιλεῦσαι μετὰ τὴν τοῦ πατρὸς Ὀσίριδος ἐξ ἀνθρώπων μετάστασιν. τὸν δὲ Ὧρον μεθερ-

54. τὴν Ἰὼ τὴν AB(D)EGN, Ἰὼ τὴν CF, αὐτὴν εἶναι Ἰὼ τὴν Eusebius, caeteri τὴν Ἰὼ 55. μεταποιηθεῖσαν] μεταμορφωθεῖσαν CDFGQ Eusebius: *mutatam* Poggius 56. δὲ omittunt FG 59. ὀνομάζουσι] νομίζουσι C 61. νενομίκασι] τὸν αὐτὸν νενομίκασι ABDE, *alii Pana eundem vocant* Poggius 63. ὀνομαζόμενον FG, caeteri νομιζόμενον 64. ὑγίειαν D, caeteri ὑγείαν 66. ante διὸ omittunt καὶ τὸ σύνολον πολλὰ μηχανήσασθαι CFGM Poggius, quae asterisco notavit Stephanus καὶ CFG Poggius, caeteri subiiciunt νῦν, quod asterisco notavit Stephanus τῆς ἀθανασίας CDFGN, caeteri ἀθανασίας 70. εὐεργετικὸν] εὑρετικὸν G

30. 81. καταφύγωσιν BCDGN, caeteri καταφεύγωσιν

μηνευόμενόν φασιν Ἀπόλλωνα ὑπάρχειν, καὶ τήν τε ἰατρικὴν καὶ τὴν μαντικὴν ὑπὸ τῆς μητρὸς Ἴσιδος διδαχθέντα διὰ τῶν χρησμῶν καὶ τῶν θεραπειῶν εὐεργετεῖν τὸ τῶν ἀνθρώπων γένος.

26 οἱ δ' ἱερεῖς τῶν Αἰγυπτίων τὸν χρόνον ἀπὸ τῆς Ἡλίου βασιλείας συλλογιζόμενοι μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν φασὶν ὑπάρχειν ἐτῶν μάλιστά πως δισμυρίων καὶ τρισχιλίων. μυθολογοῦσι δὲ καὶ τῶν θεῶν τοὺς μὲν ἀρχαιοτάτους βασιλεῦσαι πλείω τῶν χιλίων καὶ διακοσίων ἐτῶν, τοὺς δὲ μεταγενεστέρους οὐκ ἐλάττω τῶν τριακοσίων. ἀπίστου δ' ὄντος τοῦ πλήθους τῶν ἐτῶν, ἐπιχειροῦσί τινες λέγειν ὅτι τὸ παλαιὸν οὔπω τῆς περὶ τὸν ἥλιον κινήσεως ἐπεγνωσμένης συνέβαινε κατὰ τὴν τῆς σελήνης περίοδον ἄγεσθαι τὸν ἐνιαυτόν. διόπερ τῶν ἐτῶν τριακονθημέρων ὄντων οὐκ ἀδύνατον εἶναι βεβιωκέναι τινὰς ἔτη χίλια καὶ διακόσια· καὶ γὰρ νῦν δυοκαίδεκα μηνῶν ὄντων τῶν ἐνιαυτῶν οὐκ ὀλίγους ὑπὲρ ἑκατὸν ἔτη ζῆν. παραπλήσια δὲ λέγουσι καὶ περὶ τῶν τριακόσια ἔτη δοκούντων ἄρξαι. κατ' ἐκείνους γὰρ τοὺς χρόνους τὸν ἐνιαυτὸν ἀπαρτίζεσθαι τέτταρσι μησὶ τοῖς γινομένοις κατὰ τὰς ἑκάστων τῶν χρόνων ὥρας, οἷον ἔαρος, θέρους, χειμῶνος· ἀφ' ἧς αἰτίας καὶ παρ' ἐνίοις τῶν Ἑλλήνων τοὺς ἐνιαυτοὺς ὥρους καλεῖσθαι καὶ τὰς κατ' ἔτος ἀναγραφὰς ὡρογραφίας προσαγορεύεσθαι. οἱ δ' οὖν Αἰγύπτιοι μυθολογοῦσι κατὰ τὴν Ἴσιδος ἡλικίαν γεγονέναι 31 τινὰς πολυσωμάτους τοὺς ὑπὸ μὲν τῶν Ἑλλήνων ὀνομαζομένους γίγαντας, ὑφ' ἑαυτῶν δὲ διακοσμουμένους τερατωδῶς ἐπὶ τῶν ἱερῶν καὶ τυπτομένους ὑπὸ τῶν περὶ τὸν Ὄσιριν. ἔνιοι μὲν οὖν αὐτοὺς γηγενεῖς φασιν ὑπάρξαι, προσφάτου τῆς τῶν ζῴων γενέσεως ἐκ τῆς γῆς ὑπαρχούσης, ἔνιοι δὲ λέγουσι σώματος ῥώμῃ διενεγκόντας καὶ πολλὰς πράξεις ἐπιτελεσαμένους ἀπὸ τοῦ συμβεβηκότος μυθολογηθῆναι πολυσωμάτους. συμφωνεῖται δὲ παρὰ τοῖς πλείστοις ὅτι τοῖς περὶ τὸν Δία καὶ τὸν Ὄσι-

88. φασιν] φησι G correctus in margine  89. τε om. D  τὴν om. AB Eusebius  95. δισμυρίων καὶ τρισχιλίων] mille et viginti Poggius  100. κατὰ τὴν τῆς] τῆς κατὰ τὴν A  1. ἄγεσθαι] γενέσθαι CM, γίνεσθαι FG  2. βεβιωκέναι om. FG  3. διακόσια] διακόσια ζῆν FG  4. ἐνιαυτῶν] ἐτῶν CDFG  6. τριακόσια] τριακοσίων G correctus in margine  7. τέτταρσι] τέτρασι ABDN  8. μησὶ] μησὶν DN  10. ὥρους] ὥρας BEN Poggius  11. κατ' ἔτος] κατὰ μέρος FM et correctus in margine G  12. ὡρογραφίας om. F  31. 16. ἐπὶ] ὑπὸ FG  τυπτομένους] τυπωμένους AN, τυπουμένους E, margo A  18. γενέσεως] ὑπάρξεως ABDN  21. συμφωνεῖται] συμφωνεῖσθαι A(N), συμφωνῆσαι B



ριν θεοῖς πόλεμον ἐνστησάμενοι πάντες ἀνῃρέθησαν.

27 νομοθετῆσαι δέ φασι τοὺς Αἰγυπτίους παρὰ τὸ κοινὸν ἔθος τῶν ἀνθρώπων γαμεῖν ἀδελφὰς διὰ τὸ γεγονὸς ἐν τούτοις τῆς Ἴσιδος ἐπίτευγμα. ταύτην γὰρ συνοικήσασαν Ὀσίριδι τῷ ἀδελφῷ, καὶ ἀποθανόντος ὀμόσασαν οὐδενὸς ἔτι συνουσίαν ἀνδρὸς προσδέξασθαι, μετελθεῖν τόν τε φόνον τἀνδρὸς καὶ διατελέσαι βασιλεύουσαν νομιμώτατα, καὶ τὸ σύνολον πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίαν γενέσθαι πᾶσιν ἀνθρώποις. διὰ δὴ ταύτας τὰς αἰτίας καταδειχθῆναι μείζονος ἐξουσίας καὶ τιμῆς τυγχάνειν τὴν βασίλισσαν τοῦ βασιλέως, καὶ παρὰ τοῖς ἰδιώταις κυριεύειν τὴν γυναῖκα τἀνδρός, ἐν τῇ τῆς προικὸς συγγραφῇ προσομολογούντων τῶν γαμούντων ἅπαντα πειθαρχήσειν τῇ γαμουμένῃ. οὐκ ἀγνοῶ δὲ διότι τινὲς τῶν συγγραφέων ἀποφαίνονται τοὺς τάφους τῶν θεῶν τούτων ὑπάρχειν ἐν Νύσῃ τῆς Ἀραβίας, ἀφ' ἧς καὶ Νυσαῖον τὸν Διόνυσον ὠνομάσθαι. εἶναι δὲ καὶ στήλην ἑκατέρου τῶν θεῶν ἐπιγεγραμμένην τοῖς ἱεροῖς γράμμασιν. ἐπὶ μὲν οὖν τῆς Ἴσιδος ἐπιγεγράφθαι Ἐγὼ Ἶσις

25. τῶν CFG, quod caeteri addunt ἄλλων asterisco notavit Stephanus  26. ἐπίτευγμα] ἐπίταγμα ABN  29. βασιλεύουσαν] βασιλεύσασαν ABCDEN  32. καταδειχθῆναι (D)EG(N), caeteri καταδεχθῆναι  34. παρὰ] πᾶσι M  36. γαμουμένῃ CFGM Poggius, γαμουμένῃ. ταφῆναι δὲ λέγουσι τὴν Ἶσιν ἐν Μέμφει, καθ' ἣν μέχρι τοῦ νῦν δείκνυσθαι τὸν σηκὸν ἐν τῷ τεμένει τοῦ Ἡφαίστου· ἔνιοι δέ φασιν τὰ σώματα τῶν θεῶν τούταν ἐπὶ τῶν ὁρῶν (sic) κεῖσθαι τῆς Αἰθιοπίας καὶ τῆς Αἰγύπτου κατὰ τὴν ἐν τῷ Νείλῳ νῆσον τὴν κειμένην μὲν ἐπὶ ταῖς καλουμένεις Φίλαις, ἔχουσαν δὲ τὸ προσαγορευόμενον ἀπὸ τοῦ συμβεβηκότος ἱερὸν πεδίον· σημεῖον δὲ τούτου δεικνύουσιν ἐν τῇ νήσῳ ταύτῃ διαμένοντα τόν τε τάφον κατεσκευασμένον Ὀσίριδι, κοινῇ τιμώμενον ὑπὸ τῶν κατ' Αἴγυπτον ἱερέων, καί φασι περὶ τοῦτον κειμένος χοὰς ἑξήκοντα καὶ τ'. ταύτας γὰρ καθ' ἑκάστην ἡμέραν γάλακτος πληροῦν τοὺς πρὸς τούτοις ταχθέντας ἱερεῖς καὶ θρηνεῖν ἀνακαλουμένους τὰ τῶν θεῶν ὀνόματα. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ τὴν νῆσον ἄβατον εἶναι πλὴν τοῖς ἱερεῦσι, καὶ πάντας τοὺς τὴν Θηβαΐδα κατοικοῦντας, ἥπερ ἐστὶν ἀρχαιοτάτη τῆς Αἰγύπτου, μέγιστον ὅρκον κρίνειν, ὅταν τις Ὄσιριν τὸν ἐν Φίλαις κείμενον ὀμόσῃ D, quam c. 22. particulam repetit et B, nisi quod omnia, ut videtur, quemadmodum ibi scripta sunt exhibet, κεῖσθαι post Αἰγύπτου posito: caeteri γαμουμένῃ. ταφῆναι δὲ λέγουσι τὴν Ἶσιν ἐν Μέμφει, καθ' ἣν μέχρι τοῦ νῦν δείκνυσθαι τὸν σηκὸν ἐν τῷ τεμένει τοῦ Ἡφαίστου· ἔνιοι δέ φασι τὰ σώματα τῶν θεῶν τούτων κεῖσθαι κατὰ τὴν ἐν Φίλαις (Φέλαις N) τοῦ Νείλου νῆσον, ὥσπερ προείρηταί μοι, quae inde a ταφῆναι asterisco notavit Stephanus  37. τοὺς τάφους] τὰς ταφὰς F et correctus in marg. G  40. ἑκατέρου] ἑκατέρων FG  ἐπιγεγραμμένην] ἔχουσαν ἐγγεγραμμένα ταῦτα AEN, ἐπιγ. — 41. Ἴσιδος omisit B  41. μὲν οὖν CD, caeteri μὲν

εἰμι ἡ βασίλισσα πάσης χώρας, ἡ παιδευθεῖσα ὑπὸ Ἑρμοῦ, καὶ ὅσα ἐγὼ ἐνομοθέτησα οὐδεὶς αὐτὰ δύναται λῦσαι. ἐγώ εἰμι ἡ τοῦ νεωτάτου Κρόνου θεοῦ θυγάτηρ πρεσβυτάτη. ἐγώ εἰμι γυνὴ καὶ ἀδελφὴ Ὀσίριδος βασιλέως. ἐγώ εἰμι ἡ πρώτη καρπὸν ἀνθρώποις εὑροῦσα. ἐγώ εἰμι μήτηρ Ὥρου τοῦ βασιλέως. ἐγώ εἰμι ἡ ἐν τῷ ἄστρῳ τῷ κυνὶ ἐπιτέλλουσα. ἐμοὶ Βούβαστος ἡ πόλις 32
ᾠκοδομήθη. χαῖρε χαῖρε Αἴγυπτε ἡ θρέψασά με. ἐπὶ δὲ τοῦ Ὀσίριδος ἐπιγεγράφθαι λέγεται Πατὴρ μέν ἐστί μοι Κρόνος νεώτατος θεῶν ἁπάντων, εἰμὶ δὲ Ὄσιρις ὁ βασιλεύς, ὁ στρατεύσας ἐπὶ πᾶσαν χώραν ἕως εἰς τοὺς ἀοικήτους τόπους τῶν Ἰνδῶν καὶ τοὺς πρὸς ἄρκτον κεκλιμένους μέχρι τῶν τοῦ Ἴστρου ποταμοῦ πηγῶν, καὶ πάλιν ἐπὶ τἆλλα μέρη ἕως Ὠκεανοῦ. εἰμὶ δὲ υἱὸς Κρόνου πρεσβύτατος, καὶ βλαστὸς ἐκ καλοῦ τε καὶ εὐγενοῦς ᾠοῦ σπέρμα συγγενὲς ἐγεννήθην ἡμέρας. καὶ οὐκ ἔστι τόπος τῆς οἰκουμένης εἰς ὃν ἐγὼ οὐκ ἀφῖγμαι, διαδοὺς πᾶσιν ὧν ἐγὼ εὑρετὴς ἐγενόμην. τοσαῦτα τῶν γεγραμμένων ἐν ταῖς στήλαις φασὶ δύνασθαι ἀναγνῶναι, τὰ δ' ἄλλα ὄντα πλείω κατεφθάρθαι διὰ τὸν χρόνον. τὰ μὲν οὖν περὶ τῆς ταφῆς τῶν θεῶν τούτων διαφωνεῖται παρὰ τοῖς πλείστοις διὰ τὸ τοὺς ἱερεῖς ἐν ἀποῤῥήτοις παρειληφότας τὴν περὶ τούτων ἀκρίβειαν μὴ βούλεσθαι τἀληθὲς ἐκφέρειν εἰς τοὺς πολλούς, ὡς ἂν καὶ κινδύνων ἐπικειμένων τοῖς τἀπόῤῥητα περὶ τῶν θεῶν τούτων μηνύσασιν εἰς τοὺς ὄχλους.

28 Οἱ δ' οὖν Αἰγύπτιοί φασι καὶ μετὰ ταῦτα ἀποικίας πλείστας ἐξ Αἰγύπτου κατὰ πᾶσαν διασπαρῆναι τὴν

42. πάσης] τῆς FMQ: idem videtur exprimere Poggii *Aegypti regina* 43. ἐνομοθέτησα ABC(D)E(N)Q, *legibus statui* Poggius, caeteri δήσω οὐδεὶς αὐτὰ ABDE, caeteri οὐδεὶς 44. ἐγώ — 45. πρεσβυτάτη om. Poggius 45. γυνὴ καὶ ἀδελφὴ] *mater* Poggius 46. ἀνθρώποις] ἀνθρώπων ABEGN 48. τῷ κυνὶ] τῷ ἐν τῷ κυνὶ C, ἐν τῷ κυνὶ D Βουβαστὸς ed. Stephani 32. 50. τοῦ] τῆς D ἐπιγεγράφθαι] ἐπιγέγραπται G correctus in marg. 52. ἁπάντων] πάντων AB 54. τῶν om. ABN 55. μέχρι BCDFG, caeteri μέχρις τῶν τοῦ om. BCDFGN, asterisco notavit Stephanus 57. βλαστὸς] ἔβλαστον FGMQ, εὔλαστον C ᾠοῦ] ᾠοῦ Wesselingius, ᾠίου C, ᾧ οὐ G, *cui non* Poggius, ᾧ Q, σωοῦ M, caeteri σώου 58. σπέρμα C(D)GQ Poggius, caeteri σπέρματος συγγενὲς C(D)GMQ, *genus fuit* Poggius, caeteri συγγενὴς 59. διαδοὺς] διδοὺς F 60. εὑρετὴς] *inventor* Poggius, libri εὐεργέτης: corrigendum viderat Wesselingius Poggio non consulto 61. φασὶ] φησὶ FG 62. κατεφθάρθαι] διεφθάρθαι F et correctus in marg. G 63. διαφωνεῖται] *consentiunt* Poggius 64. παρὰ] πᾶσι F et correctus in marg. G 68. μηνύσασιν] μηκύσας F 69. Αἰγύπτιοι om. C φασι] φησι FG



οἰκουμένην. εἰς Βαβυλῶνα μὲν γὰρ ἀγαγεῖν ἀποίκους Βῆλον τὸν νομιζόμενον Ποσειδῶνος εἶναι καὶ Λιβύης· ὃν παρὰ τὸν Εὐφράτην ποταμὸν καθιδρυθέντα τούς τε ἱερεῖς καταστήσασθαι παραπλησίως τοῖς κατ' Αἴγυπτον ἀτελεῖς καὶ πάσης λειτουργίας ἀπολελυμένους, οὓς Βαβυλώνιοι καλοῦσι Χαλδαίους. τάς τε παρατηρήσεις τῶν ἄστρων τούτους ποιεῖσθαι μιμουμένους τοὺς παρ' Αἰγυπτίοις ἱερεῖς καὶ φυσικοὺς ἔτι δὲ ἀστρολόγους. λέγουσι δὲ καὶ τοὺς περὶ τὸν Δαναὸν ὁρμηθέντας ὁμοίως ἐκεῖ-
33 θεν συνοικίσαι τὴν ἀρχαιοτάτην σχεδὸν τῶν παρ' Ἕλλησι πόλεων Ἄργος, τό τε τῶν Κόλχων ἔθνος ἐν τῷ Πόντῳ καὶ τὸ τῶν Ἰουδαίων ἀνὰ μέσον Ἀραβίας καὶ Συρίας οἰκίσαι τινὰς ὁρμηθέντας παρ' ἑαυτῶν. διὸ καὶ παρὰ τοῖς γένεσι τούτοις ἐκ παλαιοῦ παραδεδόσθαι τὸ περιτέμνειν τοὺς γεννωμένους παῖδας, ἐξ Αἰγύπτου μετενηνεγμένου τοῦ νομίμου. καὶ τοὺς Ἀθηναίους δέ φασιν ἀποίκους εἶναι Σαϊτῶν τῶν ἐξ Αἰγύπτου, καὶ πειρῶνται τῆς οἰκειότητος ταύτης φέρειν ἀποδείξεις. παρὰ μόνοις γὰρ τῶν Ἑλλήνων τὴν πόλιν ἄστυ καλεῖσθαι, μετενηνεγμένης τῆς προσηγορίας ἀπὸ τοῦ παρ' αὐτοῖς Ἄστεος. ἔτι δὲ τὴν πολιτείαν τὴν αὐτὴν ἐσχηκέναι τάξιν καὶ διαίρεσιν τῇ παρ' Αἰγυπτίοις, εἰς τρία μέρη διανεμηθείσῃ. καὶ πρώτην μὲν ὑπάρξαι μερίδα τοὺς εὐπατρίδας καλουμένους, οἵτινες ὑπῆρχον ἐν παιδείᾳ μάλιστα διατετριφότες καὶ τῆς μεγίστης ἠξιωμένοι τιμῆς παραπλησίως τοῖς κατ' Αἴγυπτον ἱερεῦσι· δευτέραν δὲ τάξιν γενέσθαι τὴν τῶν γεωμόρων τῶν ὀφειλόντων ὅπλα κεκτῆσθαι καὶ πολεμεῖν ὑπὲρ τῆς πόλεως ὁμοίως τοῖς κατ' Αἴγυπτον ὀνομαζομένοις γεωργοῖς καὶ τοὺς μαχίμους παρεχομένοις· τελευταίαν δὲ μερίδα καταριθμηθῆναι τὴν τῶν δημιουργῶν τῶν τὰς βαναύσους τέχνας μεταχειριζομένων καὶ λειτουργίας τελούντων τὰς ἀναγκαιοτάτας,

71. Βαβυλῶνα] *Babyloniam* Poggius, nec tamen legit Βαβυλωνίαν: sic idem 49. *Bubastia* pro Βούβαστος 73. καθιδρυθέντα] κατιδρυθέντα D, caeteri καθιδρυνθέντα 74. τοῖς] τοὺς A 75. οὓς] ἃς F 77. ποιεῖσθαι ABDE, caeteri ποιῆσαι 79. τὸν Δαναὸν AB(DN), caeteri Δαναὸν 33. 80. συνοικίσαι Stephanus (N), caeteri συνοικῆσαι, omisit A 81. Ἄργος] ἀρχηγὸς G correctus in margine 82. Ἰουδαίων] Ἰσοῤῥεπῶν C, Ἰσοῤῥαίων FMQ et G correctus in marg. ἀνὰ] ὄντας ἀνὰ ABDE μέσον] μέσων ABΞ 83. οἰκίσαι Stephanus (N), caeteri οἰκῆσαι 87. φασιν] φησι FG Σαϊτῶν] Σάτων BDN et correctus in marg. A 89. μόνοις] μόνων FG 91. δὲ] τε omnes 94. οἵτινες] οἵτινες Ἰσόῤῥοποι B, οἵτινες Ἰσοῤῥαπίῳ ADEN, οἵτινες ἱεροποιοὶ Wesselingius 95. διατετριφότες] διατετραφότες ABN

τὸ παραπλήσιον ποιούσης τῆς τάξεως ταύτης παρ' Αἰγυπτίοις. γεγονέναι δὲ καὶ τῶν ἡγεμόνων τινὰς Αἰγυπτίους παρὰ τοῖς Ἀθηναίοις. τὸν γὰρ Πέτην τὸν πατέρα Μενεσθέως τοῦ στρατεύσαντος εἰς Τροίαν φανερῶς Αἰγύπτιον ὑπάρξαντα τυχεῖν ὕστερον Ἀθήνησι πολιτείας τε καὶ βασιλείας. διφυοῦς δ' αὐτοῦ γεγονότος τοὺς μὲν Ἀθηναίους μὴ δύνασθαι κατὰ τὴν ἰδίαν ὑπόστασιν ἀποδοῦναι περὶ τῆς φύσεως ταύτης τὰς ἀληθεῖς αἰτίας, ἐν μέσῳ κειμένου πᾶσιν ὅτι δυοῖν πολιτειῶν μετασχών, 34
Ἑλληνικῆς καὶ βαρβάρου, διφυὴς ἐνομίσθη, τὸ μὲν
29 ἔχων μέρος θηρίου, τὸ δὲ ἀνθρώπου. ὁμοίως δὲ τούτῳ καὶ τὸν Ἐρεχθέα λέγουσι τὸ γένος Αἰγύπτιον ὄντα βασιλεῦσαι τῶν Ἀθηνῶν, τοιαύτας τινὰς φέροντες ἀποδείξεις. γενομένων γὰρ ὁμολογουμένως αὐχμῶν μεγάλων κατὰ πᾶσαν σχεδὸν τὴν οἰκουμένην πλὴν Αἰγύπτου διὰ τὴν ἰδιότητα τῆς χώρας, καὶ φθορᾶς ἐπιγενομένης τῶν τε καρπῶν καὶ πλήθους ἀνθρώπων, ἐξ Αἰγύπτου τὸν Ἐρεχθέα κομίσαι διὰ τὴν συγγένειαν σίτου πλῆθος εἰς τὰς Ἀθήνας· ἀνθ' ὧν τοὺς εὖ παθόντας βασιλέα καταστῆσαι τὸν εὐεργέτην. τοῦτον δὲ παραλαβόντα τὴν ἡγεμονίαν καταδεῖξαι τὰς τελετὰς τῆς Δήμητρος ἐν Ἐλευσῖνι καὶ τὰ μυστήρια ποιῆσαι, μετενεγκόντα τὸ περὶ τούτων νόμιμον ἐξ Αἰγύπτου. καὶ τῆς θεοῦ δὲ παρουσίαν εἰς τὴν Ἀττικὴν γεγονυῖαν κατὰ τούτους τοὺς χρόνους παραδεδόσθαι κατὰ λόγον, ὡς ἂν τῶν ἐπωνύμων ταύτης καρπῶν κομισθέντων τότε εἰς τὰς Ἀθήνας, καὶ διὰ τοῦτο δόξαι πάλιν ἐξ ἀρχῆς τὴν εὕρεσιν γεγονέναι τοῦ σπέρματος, δωρησαμένης τῆς Δήμητρος. ὁμολογεῖν δὲ καὶ τοὺς Ἀθηναίους ὅτι βασιλεύοντος Ἐρεχθέως καὶ τῶν καρπῶν διὰ τὴν ἀνομβρίαν προηφανισμένων ἡ τῆς Δήμητρος ἐγένετο παρουσία πρὸς αὐτοὺς καὶ ἡ δωρεὰ τοῦ σίτου. πρὸς δὲ τούτοις αἱ τελεταὶ καὶ τὰ μυστήρια ταύτης τῆς θεοῦ τότε κατεδείχθησαν ἐν Ἐλευσῖνι. τά τε περὶ τὰς θυσίας καὶ τὰς ἀρχαιότητας ὡσαύτως ἔχειν Ἀθηναίους καὶ τοὺς Αἰγυπτίους· τοὺς μὲν γὰρ Εὐμολπίδας

3. ταύτης om. FG 5. Πέτην] Διπέτην FGM Stephanianus, Dipetes Poggius, Πετεῶ Scaliger Anim. ad Euseb. p. 27. et Is Vossius: in sequentibus lacunam agnovit Palmerius 9. ἰδίαν] οἰκείαν C 11. δυοῖν CFG, caeteri δυεῖν

34. 12. ἐνομίσθη BCDFGMQ, caeteri ὠνομάσθη 15. Ἀθηνῶν BCDFGMQ, caeteri Ἀθηναίων 16. τινὰς om. N 17. μεγάλων omisit N, asterisco notavit Stephanus τὴν omisit BN 26. δὲ om. DN παρουσίαν] παρουσίας C 29. τότε om. ABN, ante κομισθέντων ponit D 33. ἡ om. FG 37. ἀρχαιότητας] ἀρχαιότητος G correctus in marg.



ἀπὸ τῶν κατ' Αἴγυπτον ἱερέων μετενηνέχθαι, τοὺς δὲ Κήρυκας ἀπὸ τῶν παστοφόρων. τήν τε Ἶσιν μόνους τῶν Ἑλλήνων ὀμνύειν, καὶ ταῖς ἰδέαις καὶ τοῖς ἤθεσιν ὁμοιοτάτους εἶναι τοῖς Αἰγυπτίοις. πολλὰ δὲ καὶ ἄλλα τούτοις παραπλήσια λέγοντες φιλοτιμότερον ἤπερ ἀληθινώτερον, ὥς γέ μοι φαίνεται, τῆς ἀποικίας ταύτης ἀμφισβητοῦσι διὰ τὴν δόξαν τῆς πόλεως. καθόλου δὲ πλείστας ἀποικίας Αἰγύπτιοί φασιν ἐκπέμψαι τοὺς ἑαυτῶν προγόνους ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης διά τε τὴν ὑπεροχὴν τῶν βασιλευσάντων παρ' αὐτοῖς καὶ διὰ τὴν ὑπερβολὴν τῆς πολυανθρωπίας. ὑπὲρ ὧν μήτε ἀποδείξεως φερομένης μηδεμιᾶς ἀκριβοῦς μήτε συγγραφέως ἀξιοπίστου μαρτυροῦντος, οὐκ ἐκρίναμεν ὑπάρχειν τὰ λεγόμενα γραφῆς ἄξια. καὶ περὶ μὲν τῶν θεολογουμέ-
35 νων παρ' Αἰγυπτίοις τοσαῦτ' εἰπεῖν ἔχομεν· περὶ δὲ τῆς χώρας καὶ τοῦ Νείλου καὶ τῶν ἄλλων τῶν ἀκοῆς ἀξίων ἐν κεφαλαίοις ἕκαστα διεξιέναι πειρασόμεθα.

Ἡ γὰρ Αἴγυπτος κεῖται μὲν μάλιστά πως κατὰ με- 30
σημβρίαν, ὀχυρότητι δὲ φυσικῇ καὶ κάλλει χώρας οὐκ ὀλίγῳ δοκεῖ προέχειν τῶν εἰς βασιλείαν ἀφωρισμένων τόπων. ἀπὸ μὲν γὰρ τῆς δύσεως ὠχύρωκεν αὐτὴν ἡ ἔρημος καὶ θηριώδης τῆς Λιβύης, ἐπὶ πολὺ μὲν παρεκτείνουσα, διὰ δὲ τὴν ἀνυδρίαν καὶ τὴν σπάνιν τῆς ἁπάσης τροφῆς ἔχουσα τὴν διέξοδον οὐ μόνον ἐπίπονον ἀλλὰ καὶ παντελῶς ἐπικίνδυνον, ἐκ δὲ τῶν πρὸς νότον μερῶν οἵ τε καταράκται τοῦ Νείλου καὶ τῶν ὀρῶν τὰ συνορίζοντα τούτοις. ἀπὸ γὰρ τῆς Τρωγλοδύτιδος καὶ τῶν ἐσχάτων τῆς Αἰθιοπίας μερῶν ἐντὸς σταδίων πενταкισχιλίων καὶ πεντακοσίων οὔτε πλεῦσαι διὰ τοῦ πο-

39 μετενηνέχθαι] μετενεχθῆναι F et G correctus in marg. 43. φιλοτιμότερον] φιλοτιμώτερον A 46. ἑαυτῶν] ἐξ ἑαυτῶν CFG 48. βασιλευσάντων] βασιλέων F et G correctus in marg.

50. ἀκριβοῦς μήτε συγγραφέως ἀξιοπίστου μαρτυροῦντος ABDENQ, *de quibus cum neque certis vestigiis scriptorum testimonio constet* Poggius, caeteri ἀξιολόγου μήτε συγγραφέων νομίμων μαρτυρούντων 51. ὑπάρχειν τὰ λεγόμενα γραφῆς ἄξια] γράφειν BEGN Stephanianus 52. καὶ περὶ μὲν τῶν θεολογουμένων παρ' Αἰγυπτίοις omittunt BEGN Stephanianus

35. 53. τοσαῦτ' εἰπεῖν ἔχομεν] ἀλλὰ (om. D) τοσαῦθ' ἡμῖν εἰρήσθω (εἰρῆσθαι EGN Stephanianus) μόνον (om. D) στοχαζομένοις (στοχαζόμενοι DEGN Stephanianus) τῆς συμμετρίας BDEGN Stephanianus 54. τῶν ἄλλων om. ADN 56. μάλιστα] μέγιστα F 57. ὀχυρότητι] ἰσχυρότητι FM δὲ φυσικῇ καὶ κάλλει χώρας] καὶ καλληχωρίᾳ M 59. ἡ] ἥ τε CFG 60. καὶ] καὶ ἡ CFG 65. Τρωγλοδύτιδος] Τρωγλοδυτικῆς CFGQ, Τρωγοδυτικῆς D 66. πεντακισχιλίων καὶ omisit ABDEN, asterisco notavit Stephanus

ταμοῦ ῥᾴδιον οὔτε πεζῇ πορευθῆναι μὴ τυχόντα βασιλικῆς ἢ παντελῶς μεγάλης τινὸς χορηγίας. τῶν δὲ πρὸς τὴν ἀνατολὴν νευόντων μερῶν τὰ μὲν ὁ ποταμὸς ὠχύρωκε, τὰ δ' ἔρημος περιέχει καὶ πεδία τελματώδη τὰ προςαγορευόμενα βάραθρα. ἔστι γὰρ ἀνὰ μέσον τῆς τε κοίλης Συρίας καὶ τῆς Αἰγύπτου λίμνη τῷ μὲν πλάτει στενὴ παντελῶς, τῷ δὲ βάθει θαυμάσιος, τῷ δὲ μήκει ἐπὶ διακοσίους παρήκουσα σταδίους, ἣ προςαγορεύεται μὲν Σερβωνίς, τοῖς δ' ἀπείροις τῶν προςπελαζόντων ἀνελπίστους ἐπιφέρει κινδύνους. στενοῦ γὰρ τοῦ ῥεύματος ὄντος καὶ ταινίᾳ παραπλησίου, θινῶν τε μεγάλων πάντῃ περικεχυμένων, ἐπειδὰν νότοι συνεχεῖς πνεύσωσιν, ἐπισείεται πλῆθος ἄμμου. αὕτη δὲ τὸ μὲν ὕδωρ κατὰ τὴν ἐπιφάνειαν ἄσημον ποιεῖ, τὸν δὲ τῆς λίμνης τύπον συμφυῆ τῇ χέρσῳ καὶ κατὰ πᾶν ἀδιάγνωστον. διὸ καὶ πολλοὶ τῶν ἀγνοούντων τὴν ἰδιότητα τοῦ τόπου μετὰ στρατευμάτων ὅλων ἠφανίσθησαν τῆς ὑποκειμένης ὁδοῦ διαμαρτόντες. ἡ μὲν γὰρ ἄμμος ἐκ τοῦ κατ' ὀλίγον πατουμένη τὴν ἔνδοσιν λαμβάνει, καὶ τοὺς ἐπιβάλλοντας ὥςπερ προνοίᾳ τινὶ πονηρᾷ παρακρούεται, μέχρι ἂν ὅτου λαβόντες ὑπόνοιαν τοῦ συμβησομένου βοηθήσωσιν ἑαυτοῖς οὐκ οὔσης ἔτι φυγῆς οὐδὲ σωτηρίας. ὁ γὰρ ὑπὸ τοῦ τέλματος καταπινόμενος οὔτε νήχεσθαι δύναται παραιρουμένης τῆς ἰλύος τὴν τοῦ σώματος κίνησιν, οὔτ' ἐκβῆναι κατισχύει μηδὲν ἔχων στερέμνιον εἰς ἐπίβασιν. μεμιγμένης γὰρ τῆς ἄμμου τοῖς ὑγροῖς, καὶ διὰ τοῦτο τῆς ἑκατέρων φύσεως ἠλλοιωμένης, συμβαίνει τὸν τόπον 36
μήτε πορευτὸν εἶναι μήτε πλωτόν. διόπερ οἱ τοῖς μέρεσι τούτοις ἐπιβάλλοντες φερόμενοι πρὸς τὸν βυθὸν οὐδεμίαν ἀντίληψιν βοηθείας ἔχουσι, συγκατολισθαινούσης τῆς ἄμμου τῆς παρὰ τὰ χείλη. τὰ μὲν οὖν προειρημένα πεδία τοιαύτην ἔχοντα τὴν φύσιν οἰκείας ἔτυχε προς-
31 ηγορίας, ὀνομασθέντα βάραθρα. ἡμεῖς δ' ἐπεὶ τὰ περὶ

69. ἀνατολὴν] ἀνατολικὴν A 71. καὶ om. CFG 72. τῆς τε] τῆς BDEFG 74. τῷ δὲ — θαυμάσιος om. M τῷ δὲ μήκει] τὸ δὲ μῆκος BCDFG 76. Σερβωνίς] Σέρωνις nescio quis Wesselingii, caeteri Σέρβωνις 78. ταινίᾳ] τενίᾳ D 79. πνεύσωσιν ABC(D)FG, πλεύσωσιν N, πνέωσιν margo G cum caeteris 80. αὕτη] ἡ FG 81. ἄσημον] βάσιμον FG 82. τύπον AB(D)G(N)Q, caeteri τόπον 85. διαμαρτόντες] διαμαρτῶντες D 87. μέχρι D, caeteri μέχρις 89. ἔτι] ἐπὶ G correctus in margine 92. κατισχύει] ἰσχύει GM 93. ὑγροῖς] ἀγροῖς F

36 96. ἐπιβάλλοντες CFGM, caeteri subiiciunt καὶ πελάζοντες, quae asterisco notavit Stephanus 99. τὴν om. A 1. τὰ περὶ om. A



τῶν ἀπὸ τῆς χέρσου τριῶν μερῶν τῶν ὀχυρούντων τὴν Αἴγυπτον διήλθομεν, προςθήσομεν τοῖς εἰρημένοις τὸ λειπόμενον. ἡ τετάρτη τοίνυν πλευρὰ πᾶσα σχεδὸν ἀλιμένῳ θαλάττῃ προςκλυζομένη προβέβληται τὸ Αἰγύπτιον πέλαγος, ὃ τὸν μὲν παράπλουν ἔχει μακρότατον, τὴν δ' ἀπόβασιν τὴν ἐπὶ τὴν χώραν δυςπροςόρμιστον. ἀπὸ γὰρ Παραιτονίου τῆς Λιβύης ἕως Ἰόπης τῆς ἐν τῇ κοίλῃ Συρίᾳ ὄντος τοῦ παράπλου σταδίων σχεδὸν πεντακιςχιλίων οὐκ ἔστιν εὑρεῖν ἀσφαλῆ λιμένα πλὴν τοῦ Φάρου. χωρὶς δὲ τούτων ταινία παρ' ὅλην σχεδὸν τὴν Αἴγυπτον παρήκει τοῖς ἀπείροις τῶν προςπλεόντων ἀθεώρητος. διόπερ οἱ τὸν ἐκ πελάγους κίνδυνον ἐκπεφευγέναι νομίζοντες καὶ διὰ τὴν ἄγνοιαν ἄσμενοι πρὸς τὴν γῆν καταπλέοντες ἐξαίφνης ἐποκελλόντων τῶν σκαφῶν ἀνελπίστως ναυαγοῦσιν. ἔνιοι δὲ διὰ τὴν ταπεινότητα τῆς χώρας οὐ δυνάμενοι προϊδέσθαι τὴν γῆν λανθάνουσιν ἑαυτοὺς ἐκπίπτοντες οἱ μὲν εἰς ἑλώδεις καὶ λιμνάζοντας τόπους, οἱ δ' εἰς χώραν ἔρημον. ἡ μὲν οὖν Αἴγυπτος πανταχόθεν φυσικῶς ὠχύρωται τὸν εἰρημένον τρόπον. τῷ δὲ σχήματι παραμήκης οὖσα διςχιλίων μὲν σταδίων ἔχει τὴν παραθαλάττιον πλευράν, εἰς μεσόγειον δ' ἀνήκει σχεδὸν ἐπὶ σταδίους ἑξακιςχιλίους. πολυανθρωπίᾳ δὲ τὸ μὲν παλαιὸν πολὺ προέσχε πάντων τῶν γνωριζομένων τόπων κατὰ τὴν οἰκουμένην, καὶ καθ' ἡμᾶς δὲ οὐδενὸς τῶν ἄλλων δοκεῖ λείπεσθαι· ἐπὶ μὲν γὰρ τῶν ἀρχαίων χρόνων ἔσχε κώμας ἀξιολόγους καὶ πόλεις πλείους τῶν μυρίων καὶ ὀκτακιςχιλίων, ὡς ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς ὁρᾶν ἔστι κατακεχωρισμένον, ἐπὶ δὲ Πτολεμαίου τοῦ Λάγου πλείους τῶν τριςμυρίων ἠριθμήθησαν, ὧν τὸ πλῆθος διαμεμένηκεν ἕως τῶν καθ' ἡμᾶς χρόνων. τοῦ δὲ σύμπαντος λαοῦ τὸ μὲν παλαιόν φασι γεγονέναι περὶ ἑπτακοσίας μυριάδας, καὶ καθ' ἡμᾶς δὲ οὐκ ἐλάττους εἶναι [τριακοσίων]. διὸ καὶ τοὺς ἀρχαίους
67 βασιλεῖς ἱστοροῦσι κατὰ τὴν Αἴγυπτον ἔργα μεγάλα καὶ θαυμαστὰ διὰ τῆς πολυχειρίας κατασκευάσαντας ἀθά-

6. ἀπόβασιν] ἀπήρασιν F τὴν ἐπὶ τὴν χώραν] τῆς χώρας AEN, quod fortasse verum 7. Παραιτονίου] Παρατονίου DN 8. Ἰόπης] scribebatur Ἰόππης Συρίᾳ om. AN 11. παρ' ὅλην σχεδὸν] σχεδὸν παρ' ὅλην AEN 15. ἐποκελλόντων] ἐποκειλάντων F correctus in marg. 17. λανθάνουσιν] λανθάνουσαν N 21. παραμήκης] παράμηκος FG 22. εἰς D, caeteri ἐς 23. ἑξακιςχιλίους] milia sexaginta Poggius μὲν om. ADE 25. καὶ om. D οὐδενὸς] οὐθενὸς omnes 27. πλείους] πλείω DN, suprascripto πλείους A 30. τριςμυρίων AB(D)G(N), caeteri τριςχιλίων 33. ἑπτακοσίας] ὀκτακοσίας GQ 34. τριακοσίων om. M, asterisco notavit Stephanus

νατα τῆς ἑαυτῶν δόξης ἀπολιπεῖν ὑπομνήματα. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος μικρὸν ὕστερον ἀναγράψομεν· περὶ δὲ τῆς τοῦ ποταμοῦ φύσεως καὶ τῶν κατὰ τὴν χώραν ἰδιωμάτων νῦν διέξιμεν.

32 Ὁ γὰρ Νεῖλος φέρεται μὲν ἀπὸ μεσημβρίας ἐπὶ τὴν ἄρκτον, τὰς πηγὰς ἔχων ἐκ τόπων ἀοράτων, οἳ κεῖνται ἐπὶ τῆς ἐσχάτης Αἰθιοπίας κατὰ τὴν ἔρημον, ἀπροςίτου τῆς χώρας οὔσης διὰ τὴν τοῦ καύματος ὑπερβολήν. μέγιστος δ' ὢν τῶν ἁπάντων ποταμῶν καὶ πλείστην γῆν διεξιὼν καμπὰς ποιεῖται μεγάλας, ποτὲ μὲν ἐπὶ τὴν ἀνατολὴν καὶ τὴν Ἀραβίαν ἐπιστρέφων, ποτὲ δ' ἐπὶ τὴν δύσιν καὶ τὴν Λιβύην ἐκκλίνων· φέρεται γὰρ ἀπὸ τῶν Αἰθιοπικῶν ὀρῶν μέχρι τῆς εἰς θάλατταν ἐκβολῆς στάδια μάλιστά πως μύρια καὶ δισχίλια σὺν αἷς ποιεῖται καμπαῖς. κατὰ δὲ τοὺς ὑποκάτω τόπους συστέλλεται τοῖς ὄγκοις ἀεὶ μᾶλλον ἀποσπωμένου τοῦ ῥεύματος ἐπ' ἀμφοτέρας τὰς ἠπείρους. τῶν δ' ἀποσχιζομένων μερῶν τὸ μὲν εἰς τὴν Λιβύην ἐκκλῖνον ὑπ' ἄμμου καταπίνεται τὸ βάθος ἐχούσης ἄπιστον, τὸ δ' εἰς τὴν Ἀραβίαν ἐναντίως εἰςχεόμενον εἰς τέλματα παμμεγέθη καὶ λίμνας ἐκτρέπεται μεγάλας καὶ περιοικουμένας γένεσι πολλοῖς. εἰς δὲ τὴν Αἴγυπτον ἐμβάλλει τῇ μὲν δέκα σταδίων, τῇ δ' ἔλαττον τούτων, οὐκ ἐπ' εὐθείας φερόμενος, ἀλλὰ καμπὰς παντοίας ποιούμενος· ποτὲ μὲν γὰρ ἑλίττεται πρὸς τὴν ἠῶ, ποτὲ δὲ πρὸς τὴν ἑσπέραν, ἔστι δ' ὅτε πρὸς τὴν μεσημβρίαν εἰς τοὐπίσω λαμβάνων τὴν παλίῤῥοιαν. ὄρη γὰρ ἐξ ἑκατέρου μέρους τοῦ ποταμοῦ παρήκει, πολλὴν μὲν τῆς παραποταμίας ἐπέχοντα, διειλημμένα δὲ φάραγξι καὶ κρημνοῖς στενοπόροις, οἷς ἐμπῖπτον τὸ ῥεῦμα παλισσυτεῖ διὰ τῆς πεδιάδος. καὶ πρὸς τὴν μεσημβρίαν ἐφ' ἱκανὸν τόπον ἐνεχθὲν πάλιν ἐπὶ τὴν κατὰ φύσιν

37. 39. διέξιμεν] διέξειμεν D 41. οἳ κεῖνται] οἰκεῖν τε C 42. ἐπὶ om. CDFG 47. τὴν Λιβύην] Λιβύην A 50. καμπαῖς] περιείληφε δὲ καὶ νήσους ἐν αὐτῷ κατὰ μὲν τὴν Αἰθιοπίαν ἄλλας τε πλείους καὶ μίαν εὐμεγέθη τὴν ὀνομαζομένην Μερόην, ἣ (ᾗ margo E cum Poggio) εἴκοσι καὶ δυοῖν σταδίων ἐστὶ τὸ πλάτος in caeteris addita om. A(D)E ὑποκάτω om. A 52. τὰς ἠπείρους (D)EM, caeteri interponunt παρακειμένας, quod asterisco notavit Stephanus 53. ὑπ' ἄμμου] ὑφ' ἄμμου B, ὑφάμμου D 54. τὸ β.] τὸ om. C 55. εἰςχεόμενον] ἐκχεόμενον CFGQ 56. περιοικουμένας om. A 58. ἔλαττον] ἐλάττω ABDE 60. ἑλίττεται] ἑλίσσεται omnes ἠῶ] quidni ἕω, ut 39. 21., 46. 76.? ἑσπέραν AD, hic quidem omissis ποτὲ — ἑσπέραν, quae mirum si servet A 61. ἔστι] ἔστιν D 63. μέρους om. A 65. παλισσυτεῖ] παλλισυτεῖ D 67. ἐνεχθὲν] ἐξενεχθὲν FG



φορὰν ἀποκαθίσταται. τηλικαύτην δ' ἔχων ὑπεροχὴν ἐν πᾶσιν ὁ ποταμὸς οὗτος μόνος τῶν ἄλλων ἄνευ βίας καὶ κυματώδους ὁρμῆς τὴν ῥύσιν ποιεῖται πλὴν ἐν τοῖς καλουμένοις καταράκταις. τόπος γάρ τίς ἐστι μήκει μὲν ὡς δέκα σταδίων, κατάντης δὲ καὶ κρημνοῖς συγκλειό-
38 μενος εἰς στενὴν ἐντομήν, ἅπας δὲ τραχὺς καὶ φαραγγώδης, ἔτι δὲ πέτρους ἔχων πυκνοὺς καὶ μεγάλους ἐοικότας σκοπέλοις· τοῦ δὲ ῥεύματος περὶ τούτους σχιζομένου βιαιότερον καὶ πολλάκις διὰ τὰς ἐγκοπὰς ἀνακλωμένου πρὸς ἐναντίαν τὴν καταφοράν, συνίστανται δῖναι θαυμασταί. πᾶς δ' ὁ μεσάζων τόπος ὑπὸ τῆς παλιῤῥοίας ἀφροῦ τε πληροῦται καὶ τοῖς προςιοῦσι μεγάλην παρέχεται κατάπληξιν· καὶ γὰρ ἡ καταφορὰ τοῦ ποταμοῦ κατὰ τοῦτο τὸ μέρος οὕτως ἐστὶν ὀξεῖα καὶ βίαιος ὥςτε δοκεῖν μηδὲν βέλους διαφέρειν. κατὰ δὲ τὴν πλήρωσιν τοῦ Νείλου, τῶν σκοπέλων κατακλυζομένων καὶ παντὸς τοῦ τραχύνοντος τόπου τῷ πλήθει τοῦ ῥεύματος καλυπτομένου, καταπλέουσι μέν τινες κατὰ τοῦ καταράκτου λαμβάνοντες ἐναντίους τοὺς ἀνέμους, ἀναπλεῦσαι δὲ οὐδεὶς δύναται, νικώσης τῆς τοῦ ποταμοῦ βίας πᾶσαν ἐπίνοιαν ἀνθρωπίνην. καταράκται μὲν οὖν εἰσι τοιοῦτοι πλείους, μέγιστος δ' ὁ πρὸς τοῖς μεθορίοις τῆς Αἰθιοπίας τε καὶ τῆς Αἰγύπτου. περιείληφε 33
δ' ὁ ποταμὸς καὶ νήσους ἐν αὐτῷ, κατὰ μὲν τὴν Αἰθιοπίαν ἄλλας τε πλείους καὶ μίαν εὐμεγέθη, τὴν ὀνομαζομένην Μερόην, ἐν ᾗ καὶ πόλις ἐστὶν ἀξιόλογος ὁμώνυμος τῇ νήσῳ, κτίσαντος αὐτὴν Καμβύσου καὶ θεμένου τὴν προςηγορίαν ἀπὸ τῆς μητρὸς αὐτοῦ Μερόης. ταύτην δὲ τῷ μὲν σχήματί φασιν ὑπάρχειν θυρεῷ παραπλησίαν, τῷ δὲ μεγέθει πολὺ προέχειν τῶν ἄλλων νήσων τῶν ἐν τούτοις τοῖς τόποις· τὸ μὲν γὰρ μῆκος

68. ἀποκαθίσταται] καθίσταται C, ὑφίσταται G correctus in marg. 69. ἐν πᾶσιν om. M, asterisco notavit Stephanus ἄλλων] ποταμῶν G correctus in marg., M 72. μήκει] latitudine Poggius μὲν om. D, asterisco notavit Stephanus ὡς om. ACD, asterisco notavit Stephanus 73. ἐντομὴν] ἐκτομὴν AB τραχὺς] βραχὺς FG

38. 74. πέτρους] πρῶνας FGMQ μεγάλους BCD, caeteri μεγάλοις: Poggius praeteriit 76. τούτους] τοῦτον AB 78. δῖναι] δεῖναι D μεσάζων] νησίζων CGMQ 79. τε] γε D 81. κατὰ τοῦτο τὸ μέρος om. ACDEM, asterisco notavit Stephanus 85. ῥεύματος] ῥεῖθρον FGQ 86. κατὰ] διὰ FG 90. μεθορίοις] μεθορίαις G correctus in marg. 92. εὐμεγέθη AC(D)EFM Poggius, caeteri praeponunt ὡς ἔφημεν, quae asterisco notavit Stephanus 96. Μερόης] Μενοῆς M, Μενσῆς F correctus in marg. 97. πολὺ asterisco notavit Stephanus

αὐτῆς εἶναι λέγουσι σταδίων τριςχιλίων, τὸ δὲ πλάτος χιλίων. ἔχειν δ' αὐτὴν καὶ πόλεις οὐκ ὀλίγας, ὧν ἐπιφανεστάτην ὑπάρχειν τὴν Μερόην. παρήκειν δὲ τῆς νήσου τὸν περικλυζόμενον πάντα τόπον ἀπὸ μὲν τῆς Λιβύης θῖνας ἔχοντας ἄμμου μέγεθος ἀέριον, ἀπὸ δὲ τῆς Ἀραβίας κρημνοὺς κατεῤῥωγότας. ὑπάρχειν δ' ἐν αὐτῇ καὶ μέταλλα χρυσοῦ τε καὶ ἀργύρου καὶ σιδήρου καὶ χαλκοῦ· πρὸς δὲ τούτοις ἔχειν πλῆθος ἐβένου, λίθων τε πολυτελῶν γένη παντοδαπά. καθόλου δὲ τοσαύτας νήσους ποιεῖν τὸν ποταμὸν ὥςτε τοὺς ἀκούοντας μὴ ῥᾳδίως πιστεῦσαι. χωρὶς γὰρ τῶν περικλυζομένων τόπων 39 ἐν τῷ καλουμένῳ Δέλτα τὰς ἄλλας εἶναι νήσους πλείους τῶν ἑπτακοσίων, ὧν τὰς μὲν ὑπὸ Αἰθιόπων ἐπαντλουμένας γεωργεῖσθαι κέγχρῳ, τὰς δὲ πλήρεις ὑπάρχειν ὄφεων καὶ κυνοκεφάλων καὶ ἄλλων θηρίων παντοδαπῶν, καὶ διὰ τοῦτο ἀπροςίτους εἶναι τοῖς ἀνθρώποις. ὁ δ' οὖν Νεῖλος κατὰ τὴν Αἴγυπτον εἰς πλείω μέρη σχιζόμενος ποιεῖ τὸ καλούμενον ἀπὸ τοῦ σχήματος Δέλτα. τούτου δὲ τὰς μὲν πλευρὰς καταγράφει τὰ τελευταῖα τῶν ῥευμάτων, τὴν δὲ βάσιν ἀναπληροῖ τὸ δεχόμενον πέλαγος τὰς ἐκβολὰς τοῦ ποταμοῦ. ἐξίησι δ' εἰς τὴν θάλατταν ἑπτὰ στόμασιν, ὧν τὸ μὲν πρὸς ἕω κεκλιμένον καὶ πρῶτον καλεῖται Πηλουσιακόν, τὸ δὲ δεύτερον Τανιτικόν, εἶτα Μενδήσιον καὶ Φατνιτικὸν καὶ Σεβεννυτικόν, ἔτι δὲ Βολβίτινον, καὶ τελευταῖον Κανωβικόν, ὅ τινες Ἡρακλεωτικὸν ὀνομάζουσιν. ἔστι δὲ καὶ ἕτερα στόματα χειροποίητα, περὶ ὧν οὐδὲν κατεπείγει γράφειν. ἐφ' ἑκάστῳ δὲ πόλις τετείχισται διαιρουμένη τῷ ποταμῷ

99. εἶναι om. A 100. αὐτὴν] αὐτῷ FG 3. ἔχοντας] ἔχοντα E ἀέριον] ἄπειρον FGQ 5. καὶ ἀργύρου om. D, καὶ ἀργύρου καὶ σιδήρου om. ACE, asterisco notavit Stephanus 7. πολυτελῶν om. CFG, asterisco notavit Stephanus: praeteriit etiam Poggius παντοδαπά AB(D)G, caeteri πανταδοπά 9. μὴ om. F

39. 12. ἐπαντλουμένας] ὑπαντλουμένας C, ἀντλουμένας M κέγχρῳ BD, κέχρῳ C, caeteri κέγχρον 13. κυνοκεφάλων] κυνοφάλων C 14. ἀπροςίτους εἶναι τοῖς ἀνθρώποις] ἀπροςίτους ἀνθρώπους B 16. πλείω] πλείωσι A 18. ἀναπληροῖ] ἀποπληροῖ C, ἀναπληροῖτο FG 19. ἐκβολὰς] ἐμβολὰς FGM ποταμοῦ] Νείλου CFGM 20. ἐξίησι] ἐξίεισι FG, ἐξήεισιν D θάλατταν] θάλασσαν omnes στόμασιν] στόματα AB 22. Τανιτικόν] Τανειτικόν AD, Παμειτικόν F, Paniticum Poggius 23. Φατνιτικὸν Stephanus ad vol. II. p. 461. 12., Φατμνιτικὸν ABCDEQ, Phaeniticum Poggius, caeteri Φατμικὸν Σεβεννυτικὸν] Σεβεννυτικὸν FG Βολβίτινον] Βολβιτίνον D 24. Κανωβικόν] Κανωβιτικόν BD, Canopicum Poggius 26. κατεπείγει γράφειν] δεῖ κατεπείγει γράφειν A, δεῖ κατεπιγράφειν E, κατεπιγράφειν B 27. τῷ om. A



καὶ καθ' ἑκάτερον μέρος τῆς ἐκβολῆς ζεύγμασι καὶ φυλακαῖς εὐκαίροις διειλημμένη. ἀπὸ δὲ τοῦ Πηλουσιακοῦ στόματος διῶρυξ ἐστὶ χειροποίητος εἰς τὸν Ἀράβιον κόλπον καὶ τὴν ἐρυθρὰν θάλατταν. ταύτην δ' ἐπεβάλετο πρῶτος. κατασκευάζειν Νεκῶς ὁ Ψαμμητίχου, μετὰ δὲ τοῦτον Δαρεῖος ὁ Πέρσης. καὶ προκόψας τοῖς ἔργοις ἕως τινὸς τὸ τελευταῖον εἴασεν αὐτὴν ἀσυντέλεστον. ἐδιδάχθη γὰρ ὑπό τινων ὅτι διορύξας τὸν ἰσθμὸν αἴτιος ἔσται τοῦ κατακλυσθῆναι τὴν Αἴγυπτον· μετεωροτέραν γὰρ ἀπεδείκνυον ὑπάρχειν τῆς Αἰγύπτου τὴν ἐρυθρὰν θάλατταν. ὕστερον δὲ ὁ δεύτερος Πτολεμαῖος συνετέλεσεν αὐτήν, καὶ κατὰ τὸν ἐπικαιρότατον τόπον ἐμηχανήσατό τι φιλότεχνον διάφραγμα. τοῦτο δ' ἐξήνοιγεν, ὁπότε βούλοιτο διαπλεῦσαι, καὶ ταχέως πάλιν συνέκλειεν, εὐστόχως ἐκλαμβανομένης τῆς χρείας. ὁ δὲ διὰ τῆς διώρυγος ταύτης ῥέων ποταμὸς ὀνομάζεται μὲν ἀπὸ τοῦ κατασκευάσαντος Πτολεμαῖος, ἐπὶ δὲ τῆς ἐκβολῆς πόλιν ἔχει

40 τὴν προσαγορευομένην Ἀρσινόην. 34 τὸ δ' οὖν Δέλτα τῇ Σικελίᾳ τῷ σχήματι παραπλήσιον ὑπάρχον τῶν μὲν πλευρῶν ἑκατέραν ἔχει σταδίων ἑπτακοσίων καὶ πεντήκοντα, τὴν δὲ βάσιν θαλάττῃ προςκλυζομένην σταδίων χιλίων καὶ τριακοσίων. ἡ δὲ νῆσος αὕτη πολλαῖς διώρυξι χειροποιήτοις διείληπται καὶ χώραν περιέχει καλλίστην τῆς Αἰγύπτου. ποταμόχωστος γὰρ οὖσα καὶ κατάῤῥυτος πολλοὺς καὶ παντοδαποὺς ἐκφέρει καρπούς, τοῦ μὲν ποταμοῦ διὰ τὴν κατ' ἔτος ἀνάβασιν νεαρὰν ἰλὺν ἀεὶ καταχέοντος, τῶν δ' ἀνθρώπων ῥᾳδίως ἅπασαν ἀρδευόντων διά τινος μηχανῆς, ἣν ἐπενόησε μὲν Ἀρχιμήδης ὁ Συρακόσιος, ὀνομάζεται δὲ ἀπὸ τοῦ σχήματος κοχλίας. πραεῖαν δὲ τοῦ Νείλου τὴν ῥύσιν ποιουμένου, καὶ γῆν πολλὴν καὶ παντοδαπὴν καταφέροντος, ἔτι δὲ κατὰ τοὺς κοίλους τόπους λιμνάζοντος, ἕλη γίνεται

29. διειλημμένη] διῃρημένη EG, διημμένη B στόματος] σχίσματος G 31. θάλατταν] θάλασσαν omnes ταύτην] ταύτης A 32. Νεκῶς] Νεκαῦς C et G correctus in marg., Νέχως M, a Nechao Poggius Ψαμμητίχου (D)G, Ψαμμητοίχου A, Sammatichi Poggius, caeteri Ψαμμιτίχου 37. θάλατταν] θάλασσαν omnes 38. ὁ δεύτερος om. M, δεύτερος omisit G, sed in margine supplevit, asterisco notavit Stephanus 39. φιλότεχνον C(D)G, φιλοτέχνως caeteri, om. AE, asterisco notavit Stephanus 42. διώρυγος] διόρυγος D 44. Πτολεμαῖος] Πτολεμαίου M

40. 47. ἑκατέραν] ἑκατέρων F 48. ἑπτακοσίων C(D)FGM Poggius et tres Stephani, ἑπτακιςχιλίων καὶ πεντακοσίων B, caeteri ἑπτακοσίων καὶ πεντακοσίων, quorum καὶ πεντακοσίων asterisco notavit Stephanus 51. περιέχει] παρέχει C 54. ἀεὶ] αἰεὶ D 56. Συρακόσιος] Συρακούσιος omnes 58. παντοδαπὴν] παντοδαπῆ E 60. ἕλη] ἔτη F

πάμφορα. ῥίζαι γὰρ ἐν αὐτοῖς φύονται παντοδαπαὶ τῇ γεύσει καὶ καρπῶν καὶ καυλῶν ἰδιάζουσαι φύσεις, πολλὰ συμβαλλόμεναι τοῖς ἀπόροις τῶν ἀνθρώπων καὶ τοῖς ἀσθενέσι πρὸς αὐτάρκειαν. οὐ γὰρ μόνον τροφὰς παρέχονται ποικίλας καὶ πᾶσι τοῖς δεομένοις ἑτοίμας καὶ δαψιλεῖς, ἀλλὰ καὶ τῶν ἄλλων τῶν εἰς τὸ ζῆν ἀναγκαίων οὐκ ὀλίγα φέρουσι βοηθήματα. λωτός τε γὰρ φύεται πολύς, ἐξ οὗ κατασκευάζουσιν ἄρτους οἱ κατ' Αἴγυπτον δυναμένους ἐκπληροῦν τὴν φυσικὴν τοῦ σώματος ἔνδειαν, τό τε κιβώριον δαψιλέστατον ὑπάρχον φέρει τὸν καλούμενον Αἰγύπτιον κύαμον. ἔστι δὲ καὶ δένδρων γένη πλείονα, καὶ τούτων αἱ μὲν ὀνομαζόμεναι περσαῖαι καρπὸν διάφορον ἔχουσι τῇ γλυκύτητι, μετενεχθέντος ἐξ Αἰθιοπίας ὑπὸ Περσῶν τοῦ φυτοῦ καθ' ὃν καιρὸν Καμβύσης ἐκράτησεν ἐκείνων τῶν τόπων. τῶν δὲ συκαμίνων αἱ μὲν τὸν τῶν μόρων καρπὸν φέρουσιν, αἱ δὲ τὸν τοῖς σύκοις ἐμφερῆ, καὶ παρ' ὅλον σχεδὸν τὸν ἐνιαυτὸν αὐτοῦ φυομένου συμβαίνει τοὺς ἀπόρους καταφυγὴν ἑτοίμην ἔχειν τῆς ἐνδείας. τὰ δὲ βάτα καλούμενα συνάγεται μὲν κατὰ τὴν ἀποχώρησιν τοῦ ποταμοῦ, διὰ δὲ τὴν γλυκύτητα τῆς φύσεως αὐτῶν ἐν τραγήματος μέρει καταναλίσκεται. κατασκευάζουσι δὲ καὶ ἐκ τῶν κριθῶν Αἰγύπτιοι πόμα λειπόμενον οὐ πολὺ τῆς περὶ 41
τὸν οἶνον εὐωδίας, ὃ καλοῦσι ζῦθος. χρῶνται δὲ καὶ πρὸς τὴν τῶν λύχνων καῦσιν ἐπιχέοντες ἀντ' ἐλαίου τὸ ἀποθλιβόμενον ἔκ τινος φυτοῦ, προσαγορευόμενον δὲ κίκι. πολλὰ δὲ καὶ ἄλλα τὰ δυνάμενα τὰς ἀναγκαίας
35 χρείας παρέχεσθαι τοῖς ἀνθρώποις δαψιλῆ φύεται κατὰ τὴν Αἴγυπτον, ὑπὲρ ὧν μακρὸν ἂν εἴη γράφειν. θηρία δὲ ὁ Νεῖλος τρέφει πολλὰ μὲν καὶ ἄλλα ταῖς ἰδέαις ἐξηλλαγμένα, δύο δὲ διάφορα, τόν τε κροκόδειλον καὶ τὸν καλούμενον ἵππον. τούτων δ' ὁ μὲν κροκόδειλος

64. ποικίλας καὶ] ποικίλας C 67. οὐ καὶ] οὐ CDFG, notavit καὶ Stephanus asterisco: praeteriit idem Poggius 68. ἄρτους — δυναμένους] ἄρταν — δυνάμενον G 69. κιβώριον] κηβώριον D 71. ἔστι AB(D)E, caeteri εἰσὶ πλείονα ABDE, caeteri πλείω, cum γένη omissum ab CG, cum illis καὶ δένδρων γένη ab M καὶ τούτων (D)E, plura variaque genera Poggius, caeteri praemittunt καὶ φύσεις πλείους, quae asterisco notavit Stephanus 72. περσαῖαι ADEQ, caeteri περσίαι: perseae Poggius, περσέαι Rhodomannus ἔχουσι] ἔχουσαι FG 75. αἱ] ἃ G τὸν τῶν μόρων] τὸν μόρον EQ 79. βάτα] βατὰ D καλούμενα CFGM, caeteri subiiciunt μυξάρια, quod asterisco notavit Stephanus 80. ἀποχώρησιν] ἀναχώρησιν G

41. 83. περὶ] κατὰ FG 84. ζῦθος ABCDE, caeteri ζύθον 91. τόν τε — 92. ἵππον om. A



ἐξ ἐλαχίστου γίνεται μέγιστος, ὡς ἂν ᾠὰ μὲν τοῦ ζῴου τούτου τίκτοντος τοῖς χηνείοις παραπλήσια, τοῦ δὲ γεννηθέντος αὐξομένου μέχρι πηχῶν ἑκκαίδεκα. καὶ μακρόβιον μέν ἐστιν ὡς κατ' ἄνθρωπον, γλῶτταν δὲ οὐκ ἔχει. τὸ δὲ σῶμα θαυμαστῶς ὑπὸ τῆς φύσεως ὠχύρωται· τὸ μὲν γὰρ δέρμα αὐτοῦ πᾶν φολιδωτόν ἐστι καὶ τῇ σκληρότητι διάφορον, ὀδόντες δ' ἐξ ἀμφοτέρων τῶν μερῶν ὑπάρχουσι πολλοί, δύο δὲ οἱ χαυλιόδοντες πολὺ τῷ μεγέθει τῶν ἄλλων διαλλάττοντες. σαρκοφαγεῖ δὲ οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ τῶν ἄλλων τῶν ἐπὶ τῆς γῆς ζῴων τὰ προςπελάζοντα τῷ ποταμῷ. καὶ τὰ μὲν δήγματα ποιεῖ ἁδρὰ καὶ χαλεπά, τοῖς δ' ὄνυξι δεινῶς σπαράττει, καὶ τὸ διαιρεθὲν τῆς σαρκὸς παντελῶς ἀπεργάζεται δυςίατον. ἐθηρεύετο δὲ ταῦτα τὰ ζῷα τὸ μὲν παλαιὸν ὑπὸ τῶν Αἰγυπτίων ἀγκίστροις ἔχουσιν ἐπιδεδελεασμένας ὑείας σάρκας, ὕστερον δὲ ποτὲ μὲν δικτύοις παχέσιν ὡςπερεί τινες ἰχθύες, ποτὲ δὲ ἐμβολίοις σιδηροῖς ἐκ τῶν ἀκάτων τυπτόμενα συνεχῶς εἰς τὴν κεφαλήν. πλῆθος δ' αὐτῶν ἀμύθητόν ἐστι κατά τε τὸν ποταμὸν καὶ τὰς παρακειμένας λίμνας, ὡς ἂν πολυγόνων τε ὄντων καὶ σπανίως ὑπὸ τῶν ἀνθρώπων ἀναιρουμένων. τῶν μὲν γὰρ ἐγχωρίων τοῖς πλείστοις νόμιμόν ἐστιν ὡς θεὸν σέβεσθαι τὸν κροκόδειλον, τοῖς δ' ἀλλοφύλοις ἀλυσιτελής ἐστιν ἡ θήρα, παντελῶς οὐκ οὔσης ἐδωδίμου τῆς σαρκός. ἀλλ' ὅμως τοῦ πλήθους τούτου φυομένου κατὰ τῶν ἀνθρώπων ἡ φύσις κατεσκεύασε μέγα βοήθημα. ὁ γὰρ καλούμενος ἰχνεύμων, παραπλήσιος ὢν μικρῷ κυνί, περιέρχεται τὰ
42 τῶν κροκοδείλων ᾠὰ συντρίβων, τίκτοντος τοῦ ζῴου παρὰ τὸν ποταμόν, καὶ τὸ θαυμασιώτατον, οὔτε κατεσθίων οὔτε ὠφελούμενος οὐδέν, διατελεῖ φυσικήν τινα χρείαν καὶ κατηναγκασμένην ἐνεργῶν εἰς ἀνθρώπων εὐεργεσίαν. ὁ δὲ καλούμενος ἵππος τῷ μεγέθει μέν ἐστιν οὐκ ἐλάττων πηχῶν πέντε, τετράπους δ' ὢν καὶ δίχηλος παραπλησίως τοῖς βουσὶ τοὺς χαυλιόδοντας ἔχει μείζους

98. μὲν γὰρ] γὰρ om. AD πᾶν φολιδωτόν] παμφολιδωτόν DE, παμπολιδωτόν A ἐστι] ἐστιν omnes 99. διάφορον ADEG, caeteri διαφέρον 2. ἄλλων τῶν] ἄλλων A τῆς om. D 4. ἁδρὰ] μεγάλα CFGMQ 8. ἐπιδεδελεασμένας] ἐπιδελεασμένας nescio quis Wesselingii ὑείας σάρκας] recenti carne Poggius 9. ἰχθύες ABD, caeteri ἰχθῦς 10. σιδηροῖς] σιδήροις D 13. πολυγόνων τε ὄντων] singulis enim parit annis post haec inserit Poggius 16. post παντελῶς interpungunt (D)E 17. ἐδωδίμου] ἐδωδήμου D

42. 22. οὔτε κατ.] οὐ κατ. A 23. διατελεῖ] διατελούμενος AB 26. δίχηλος] δίχειλος D 27. μείζους] μείζονας A, μεῖζον B

τῶν ἀγρίων ὑῶν, τρεῖς ἐξ ἀμφοτέρων τῶν μερῶν, ὦτα δὲ καὶ κέρκον καὶ φωνὴν ἵππῳ παρεμφερῆ, τὸ δ' ὅλον κύτος τοῦ σώματος οὐκ ἀνόμοιον ἐλέφαντι, καὶ δέρμα πάντων σχεδὸν τῶν θηρίων ἰσχυρότατον. ποτάμιον γὰρ ὑπάρχον καὶ χερσαῖον τὰς μὲν ἡμέρας ἐν τοῖς ὕδασι ποιεῖ γυμναζόμενον κατὰ βάθους, τὰς δὲ νύκτας ἐπὶ χώρας κατανέμεται τόν τε σῖτον καὶ τὸν χόρτον, ὥςτε εἰ πολύτεκνον ἦν τοῦτο τὸ ζῶον καὶ κατ' ἐνιαυτὸν ἔτικτεν, ἐλυμαίνετ' ἂν ὁλοσχερῶς τὰς γεωργίας τὰς κατ' Αἴγυπτον. ἁλίσκεται δὲ καὶ τοῦτο τὸ ζῶον πολυχειρίᾳ τῶν τυπτόντων τοῖς σιδηροῖς ἐμβολίοις. ὅπου γὰρ ἂν φανῇ, συνάγουσιν ἐπ' αὐτὸ πλοῖα, καὶ περιστάντες κατατραυματίζουσιν ὥςπερ τισὶ κοπεῦσιν ἐπὶ σιδηροῖς ἀγκίστροις, εἶθ' ἑνὶ τῶν ἐμπαγέντων ἐνάπτοντες ἀρχὰς στυπίνας ἀφιᾶσι, μέχρι ἂν ὅτου παραλυθῇ γενόμενον ἔξαιμον. τὴν μὲν οὖν σάρκα σκληρὰν ἔχει καὶ δύςπεπτον, τῶν δ' ἔντοσθεν οὐδὲν ἐδώδιμον, οὔτε σπλάγχνον οὔτ' ἐγκοίλιον.

36 χωρὶς δὲ τῶν εἰρημένων θηρίων ὁ Νεῖλος ἔχει παντοῖα γένη ἰχθύων καὶ κατὰ τὸ πλῆθος ἄπιστα. τοῖς γὰρ ἐγχωρίοις οὐ μόνον ἐκ τῶν προςφάτως ἁλισκομένων παρέχεται δαψιλῆ τὴν ἀπόλαυσιν, ἀλλὰ καὶ πλῆθος εἰς ταριχείαν ἀνίησιν ἀνέκλειπτον. καθόλου δὲ ταῖς εἰς ἀνθρώπους εὐεργεσίαις ὑπερβάλλει πάντας τοὺς κατὰ τὴν οἰκουμένην ποταμούς. τῆς γὰρ πληρώσεως τὴν ἀρχὴν ἀπὸ θερινῶν τροπῶν ποιούμενος αὔξεται μὲν μέχρι τῆς ἰσημερίας τῆς μετοπωρινῆς, ἐπάγων δ' ἀεὶ νέαν ἰλὺν βρέχει τὴν γῆν ὁμοίως τήν τε ἀργὴν καὶ σπόριμον καὶ φυτεύσιμον τοσοῦτον χρόνον ὅσον ἂν οἱ γεωργοῦντες τὴν χώραν ἐθελήσωσι. τοῦ γὰρ ὕδατος πραέως φερομένου ῥᾳδίως ἀποτρέπουσιν αὐτὸν μικροῖς χώμασι, καὶ πάλιν ἐπάγουσιν εὐχερῶς ταῦτα διαιροῦντες, ὅταν δόξῃ συμφέρειν. καθόλου δὲ τοσαύτην τοῖς μὲν ἔργοις εὐκο- 43

28. ὑῶν] ζώων F Poggius 31. ἰσχυρότατον] ἰσχυρότερον AB γὰρ] immo δὲ: omisit particulam Poggius 32. ποιεῖ ABD, caeteri διατρίβει probatum Schaefero ad Bosii Ell. p. 413.: sed conf. Taylor. ad Demosth. p. 392. 17. R. 33. ἐπὶ] ἐπὶ τὰς FG, ἐπὶ τῆς D 35. ἐλυμαίνετ' A, caeteri ἐλυμαίνετο 37. τὸ ζῶον om. D 40. κοπεῦσιν] κωπεῦσιν EQ 41. εἶθ'] εἶτα FGQ ἑνὶ] ἐκ CFGQ 42. μέχρι D, caeteri μέχρις 43. τὴν μὲν οὖν] τοιοῦτον δὲ ὑπάρχον τὴν μὲν οὖν BD 44. τῶν] τοῖς F correctus in marg. ἔντοσθεν (D)E, ἔνδοθεν F, ἐνδόσθεν G et margo F, caeteri ἔντοθεν ἐδώδιμον] ἐδώδημον D 47. κατὰ om. CFG ἄπιστα] ἄπιστον CFG 48. γὰρ] δὲ γὰρ C 53. τῆς ἰσημερίας omisit A 54. μετοπωρ.] μεθοπωρ. D 58. μικροῖς] μιροῖς FG 59. διαιροῦντες] διαιροῦν FG

43. 60. τοῖς μὲν ἔργοις] τοῦ μεγέθους FG, sed hic in margine



πίαν παρέχεται, τοῖς δ' ἀνθρώποις λυσιτέλειαν, ὥςτε τοὺς μὲν πλείστους τῶν γεωργῶν τοῖς ἀναξηραινομένοις τῆς γῆς τόποις ἐφισταμένους καὶ τὸ σπέρμα βάλλοντας ἐπάγειν τὰ βοσκήματα, καὶ τούτοις συμπατήσαντας μετὰ τέτταρας ἢ πέντε μῆνας ἀπαντᾶν ἐπὶ τὸν θερισμόν, ἐνίους δὲ κούφοις ἀρότροις ἐπαγαγόντας βραχέως τὴν ἐπιφάνειαν τῆς βεβρεγμένης χώρας σωροὺς ἀναιρεῖσθαι τῶν καρπῶν χωρὶς δαπάνης πολλῆς καὶ κακοπαθείας. ὅλως γὰρ πᾶσα γεωργία παρὰ μὲν τοῖς ἄλλοις ἔθνεσι μετὰ μεγάλων ἀναλωμάτων καὶ ταλαιπωριῶν διοικεῖται, παρὰ δ' Αἰγυπτίοις μόνοις ἐλαχίστοις δαπανήμασι καὶ πόνοις συγκομίζεται. ἥ τε ἀμπελόφυτος ὁμοίως ἀρδευομένη δαψίλειαν οἴνου τοῖς ἐγχωρίοις παρασκευάζει. οἱ δὲ χερσεύειν ἐάσαντες τὴν χώραν τὴν ἐπικεκλυσμένην καὶ τοῖς ποιμνίοις ἀνέντες μηλόβοτον διὰ τὸ πλῆθος τῆς νομῆς δὶς τεκόντα καὶ δὶς ἀποκαρέντα τὰ πρόβατα καρποῦνται. τὸ δὲ γινόμενον περὶ τὴν ἀνάβασιν τοῦ Νείλου τοῖς μὲν ἰδοῦσι θαυμαστὸν φαίνεται, τοῖς δ' ἀκούσασι παντελῶς ἄπιστον. τῶν γὰρ ἄλλων ποταμῶν ἁπάντων περὶ τὰς θερινὰς τροπὰς ἐλαττουμένων καὶ κατὰ τὸν ἑξῆς χρόνον τοῦ θέρους ἀεὶ μᾶλλον ταπεινουμένων, οὗτος μόνος τότε ἀρχὴν λαβὼν τῆς πληρώσεως ἐπὶ τοσοῦτον αὔξεται καθ' ἡμέραν ὥςτε τὸ τελευταῖον πᾶσαν σχεδὸν ἐπικλύζειν τὴν Αἴγυπτον. ὡςαύτως δὲ πάλιν εἰς τοὐναντίον μεταβάλλων τὸν ἴσον χρόνον καθ' ἡμέραν ἐκ τοῦ κατ' ὀλίγον ταπεινοῦται, μέχρι ἂν εἰς τὴν προϋπάρξασαν ἀφίκηται τάξιν. καὶ τῆς μὲν χώρας οὔσης πεδιάδος, τῶν δὲ πόλεων καὶ τῶν κωμῶν ἔτι δὲ τῶν ἀγροικιῶν κειμένων ἐπὶ χειροποιήτων χωμάτων, ἡ πρόςοψις ὁμοία γίνεται ταῖς Κυκλάσι νήσοις. τῶν δὲ χερσαίων θηρίων τὰ πολλὰ μὲν ὑπὸ τοῦ ποταμοῦ περιληφθέντα διαφθείρεται βαπτιζόμενα, τινὰ δ' εἰς τοὺς μετεωροτέρους ἐκφεύγοντα τόπους διασώζεται, τὰ δὲ βοσκήματα κατὰ τὸν τῆς ἀναβάσεως χρόνον ἐν ταῖς κώ-

τοῦ μὲν ἔργου, M 66. ἐπαγαγόντας] ἐπάγοντας F et G correctus in marg. 67. βεβρεγμένης] ἐβρεγμένης AB, βρεγμένης D 68. πολλῆς om. ABE, asterisco notavit Stephanus: *absque ulla impensa* Poggius 73. δαψίλειαν] δαψιλίαν D, δαψιλείαν caeteri 74. τὴν χώραν τὴν ἐπικεκλυσμένην ABDE, caeteri τὴν ἐπικεκλυσμένην χώραν 77. τὰ πρόβατα] τὰ asterisco notavit Stephanus περὶ] κατὰ FG 78. ἰδοῦσι] εἰδόσι BE 81. τὸν ἑξῆς] ἐξ ἀρχῆς C θέρους] θερισμοῦ F correctus in margine 82. ἀρχὴν] τὴν ἀρχὴν C 85. μεταβάλλων] μεταβαλὼν CDEFG 87. μέχρι D, caeteri μέχρις εἰς] πρὸς ABE 89. ἀγροικιῶν] ἀργοκιτῶν F correctus in marg. 93. μετεωροτέρους CD FG, *altiora* Poggius, caeteri μετεώρους

μαις καὶ ταῖς ἀγροικίαις διατρέφεται, προπαρασκευαζομένης αὐτοῖς τῆς τροφῆς. οἱ δ' ὄχλοι πάντα τὸν τῆς πληρώσεως χρόνον ἀπολελυμένοι τῶν ἔργων εἰς ἄνεσιν 44
τρέπονται, συνεχῶς ἑστιώμενοι καὶ πάντων τῶν πρὸς ἡδονὴν ἀνηκόντων ἀνεμποδίστως ἀπολαύοντες. διὰ δὲ τὴν ἀγωνίαν τὴν ἐκ τῆς ἀναβάσεως τοῦ ποταμοῦ γινομένην κατεσκεύασται Νειλοσκοπεῖον ὑπὸ τῶν βασιλέων ἐν τῇ Μέμφει. ἐν τούτῳ δὲ τὴν ἀνάβασιν ἀκριβῶς ἐκμετροῦντες οἱ τὴν τούτου διοίκησιν ἔχοντες ἐξαποστέλλουσιν εἰς τὰς πόλεις ἐπιστολάς, διασαφοῦντες πόσους πήχεις ἢ δακτύλους ἀναβέβηκεν ὁ ποταμὸς καὶ πότε τὴν ἀρχὴν πεποίηται τῆς ἐλαττώσεως. διὰ δὲ τοῦ τοιούτου τρόπου τῆς μὲν ἀγωνίας ἀπολύεται πᾶς ὁ λαός, πυθόμενος τὴν τῆς αὐξήσεως εἰς τοὐναντίον μεταβολήν, τὸ δὲ πλῆθος τῶν ἐσομένων καρπῶν εὐθὺς ἅπαντες προεγνώκασιν, ἐκ πολλῶν χρόνων τῆς παρατηρήσεως ταύτης παρὰ τοῖς Αἰγυπτίοις ἀκριβῶς ἀναγεγραμμένης.

37 Μεγάλης δ' οὔσης ἀπορίας περὶ τῆς τοῦ ποταμοῦ πληρώσεως, ἐπικεχειρήκασι πολλοὶ τῶν τε φιλοσόφων καὶ τῶν ἱστορικῶν ἀποδοῦναι τὰς ταύτης αἰτίας, περὶ ὧν ἐν κεφαλαίοις ἐροῦμεν, ἵνα μήτε μακρὰς ποιώμεθα τὰς παρεκβάσεις μήτε ἄγραφον τὸ παρὰ πᾶσιν ἐπιζητούμενον ἀπολείπωμεν. ὅλως γὰρ ὑπὲρ τῆς ἀναβάσεως τοῦ Νείλου καὶ τῶν πηγῶν, ἔτι δὲ τῆς εἰς θάλατταν ἐκβολῆς καὶ τῶν ἄλλων ὧν ἔχει διαφορῶν παρὰ τοὺς ἄλλους ποταμούς, μέγιστος ὢν τῶν κατὰ τὴν οἰκουμένην, τινὲς μὲν τῶν συγγραφέων ἁπλῶς οὐκ ἐτόλμησαν οὐδὲν εἰπεῖν, καίπερ εἰωθότες μηκύνειν ἐνίοτε περὶ χειμάῤῥου τοῦ τυχόντος, τινὲς δ' ἐπιβαλόμενοι λέγειν περὶ τῶν ἐπιζητουμένων πολὺ τῆς ἀληθείας διήμαρτον. οἱ μὲν γὰρ περὶ τὸν Ἑλλάνικον καὶ Κάδμον ἔτι δ' Ἑκαταῖον, καὶ πάντες οἱ τοιοῦτοι, παλαιοὶ παντάπασιν ὄντες, εἰς τὰς μυθώδεις ἀποφάσεις ἀπέκλιναν· Ἡρόδοτος δὲ ὁ πολυπράγμων, εἰ καί τις ἄλλος, γεγονὼς καὶ πολλῆς ἱστορίας ἔμπειρος ἐπικεχείρηκε μὲν περὶ τούτων

44. 1. *Νειλοσκοπεῖον*] *Νειλοσκόπιον* C 2. τῇ om. A 3. ἐκμετροῦντες] ἐμμετροῦντες ABE 5. πόσους δακτύλους] πόσους om. CFGM, asterisco notavit Stephanus 10. προεγνώκασιν] προεπεγνώκασι BDEG πολλῶν] τῶν ἄλλων CFGMQ 11. παρὰ τοῖς Αἰγυπτίοις] παρ' αὐτοῖς CFGMQ 14. ἐπικεχειρήκασι — 15. ἱστορικῶν om. A 15. ἀποδοῦναι] ἀποδιδόναι CDFG 17. ἄγραφον] ἔγγραφον FG correcti in marg. 23. οὐδὲν] οὐθὲν omnes 24. τοῦ om. D τυχόντος] ψύχοντος FG correcti in marg. ἐπιβαλόμενοι] ἐπιβαλλόμενοι AG 26. *Κάδμον ἔτι*] ἐμνημόνευσαν ὅτι G correctus in marg. 30. γεγονὼς καὶ πολλῆς] πολλῆς γεγονὼς Theophylactus



ἀποδιδόναι λόγον, ἠκολουθηκὼς δὲ ἀντιλεγομέναις ὑπονοίαις εὑρίσκεται· Ξενοφῶν δὲ καὶ Θουκυδίδης, ἐπαινούμενοι κατὰ τὴν ἀλήθειαν τῶν ἱστοριῶν, ἀπέσχοντο τελέως κατὰ τὴν γραφὴν τῶν τόπων τῶν κατ' Αἴγυπτον·
45 οἱ δὲ περὶ τὸν Ἔφορον καὶ Θεόπομπον μάλιστα πάντων εἰς ταῦτα ἐπιταθέντες ἥκιστα τῆς ἀληθείας ἐπέτυχον. καὶ διεσφάλησαν οὗτοι πάντες οὐ διὰ τὴν ἀμέλειαν ἀλλὰ διὰ τὴν τῆς χώρας ἰδιότητα. ἀπὸ γὰρ τῶν ἀρχαίων χρόνων ἄχρι Πτολεμαίου τοῦ Φιλαδέλφου προσαγορευθέντος οὐχ ὅπως τινὲς τῶν Ἑλλήνων ὑπερέβαλον εἰς Αἰθιοπίαν, ἀλλ' οὐδὲ μέχρι τῶν ὅρων τῆς Αἰγύπτου προσανέβησαν· οὕτως ἄξενα πάντα ἦν τὰ περὶ τοὺς τόπους τούτους καὶ παντελῶς ἐπικίνδυνα· τοῦ δὲ προειρημένου βασιλέως μεθ' Ἑλληνικῆς δυνάμεως εἰς Αἰθιοπίαν πρώτου στρατεύσαντος ἐπεγνώσθη τὰ κατὰ τὴν χώραν ταύτην ἀκριβέστερον ἀπὸ τούτων τῶν χρόνων. τῆς μὲν οὖν τῶν προτέρων συγγραφέων ἀγνοίας τοιαύτας τὰς αἰτίας συνέβη γενέσθαι. τὰς δὲ πηγὰς τοῦ Νείλου καὶ τὸν τόπον ἐξ οὗ λαμβάνει τὴν ἀρχὴν τοῦ ῥεύματος ἑωρακέναι μὲν μέχρι τῶνδε τῶν ἱστοριῶν γραφομένων οὐδεὶς εἴρηκεν οὐδ' ἀκοὴν ἀπεφήνατο παρὰ τῶν ἑωρακέναι διαβεβαιουμένων. διὸ καὶ τοῦ πράγματος εἰς ὑπόνοιαν καὶ καταστοχασμὸν πιθανὸν καταντῶντος, οἱ μὲν κατ' Αἴγυπτον ἱερεῖς ἀπὸ τοῦ περιῤῥέοντος τὴν οἰκουμένην Ὠκεανοῦ φασιν αὐτὸν τὴν σύστασιν λαμβάνειν, ὑγιὲς μὲν οὐδὲν λέγοντες, ἀπορίᾳ δὲ τὴν ἀπορίαν λύοντες καὶ λόγον φέροντες εἰς πίστιν αὐτὸν πολλῆς πίστεως προσδεόμενον. τῶν δὲ Τρωγλοδυτῶν οἱ μεταναστάντες ἐκ τῶν ἄνω τόπων διὰ καῦμα, προσαγορευόμενοι δὲ Μόλγιοι, λέγουσιν ἐμφάσεις τινὰς εἶναι περὶ τοὺς τόπους ἐκείνους, ἐξ ὧν ἄν τις συλλογίσαιτο διότι πολλῶν πηγῶν εἰς ἕνα τόπον ἀθροιζομένων συνίσταται τὸ ῥεῦμα τοῦ Νείλου· διὸ καὶ πολυγονώτατον αὐτὸν ὑπάρχειν

45. 37. οὗτοι] οὖν A 38. τῆς om. A: Poggius liberius *regionum situs ignorantia* 41. ὑπερέβαλον] ὑπερέβαλλον D οὐδὲ] οὐδὲν FG ὅρων] ὀρῶν D Poggius 42. ἄξενα] ξένα Theophyl. 45. κατὰ] περὶ AB 48. συνέβη om. AG 50. ἱστοριῶν γραφομένων CFGQ. ἱστοριογραφομένων D, caeteri ἱστοριογράφων 51. ἀκοὴν] ἀκούειν G ἀπεφήνατο] ὑπεφήνατο AB 52. διαβεβαιουμένων] βεβαιουμένων nescio quis Wesselingii 53. καταστοχασμὸν] κατὰ στοχασμὸν B 55. λαμβάνειν] ἔχειν FMQ, *habere principium* Poggius 56. λέγοντες] λέγουσι M 57. αὐτὸν Stephanus: libri αὐτῶν 58. Τρωγλοδυτῶν] Τρωγοδυτῶν BD μεταστάντες G correctus in marg. 60. *Μόλγιοι*] *Βόλγιοι* CFQ Theoph., *Βόλποι* GQ, *Μόλποι* M, *Volgios* Poggius 61. ἐκείνους om. CFG 62. ἕνα om. F 63. αὐτὸν om. FG, asterisco notavit Stephanus

πάντων τῶν γνωριζομένων ποταμῶν. οἱ δὲ περιοικοῦντες τὴν νῆσον τὴν ὀνομαζομένην Μερόην, οἷς καὶ μάλιστ' ἄν τις συγκατάθοιτο, τῆς μὲν κατὰ τὸ πιθανὸν εὑρεσιλογίας πολὺ κεχωρισμένοις, τῶν δὲ τόπων τῶν ζητουμένων ἔγγιστα κειμένοις, τοσοῦτον ἀπέχουσι τοῦ λέγειν τι περὶ τούτων ἀκριβῶς ὥςτε καὶ τὸν ποταμὸν Ἀστάπουν προςηγορεύκασιν, ὅπερ ἐστὶ μεθερμηνευόμενον εἰς τὴν Ἑλλήνων διάλεκτον ἐκ τοῦ σκότους ὕδωρ. οὗτοι μὲν οὖν τῷ Νείλῳ τῆς ἐν τοῖς τόποις ἀθεωρησίας καὶ τῆς ἰδίας ἀγνοίας οἰκείαν ἔταξαν προςηγορίαν. ἡμῖν δ' ἀληθέστατος εἶναι δοκεῖ λόγος ὁ πλεῖστον ἀπέχων τοῦ 46
προςποιήματος. οὐκ ἀγνοῶ δὲ ὅτι τὴν πρὸς τὴν ἕω τοῦ ποταμοῦ τούτου καὶ τὴν πρὸς ἑσπέραν Λιβύην ἀφορίζων Ἡρόδοτος ἀνατίθησι Λίβυσι τοῖς ὀνομαζομένοις Νασαμῶσι τὴν ἀκριβῆ θεωρίαν τοῦ ῥείθρου, καί φησιν ἔκ τινος λίμνης λαμβάνοντα τὴν ἀρχὴν τὸν Νεῖλον φέρεσθαι διὰ χώρας Αἰθιοπικῆς ἀμυθήτου· οὐ μὴν αὐτόθεν οὔτε τοῖς εἰποῦσι Λίβυσιν, εἴπερ καὶ πρὸς ἀλήθειαν εἰρήκασιν, οὔτε τῷ συγγραφεῖ προςεκτέον ἀναπόδεικτα
38 λέγοντι. ἐπειδὴ δὲ περὶ τῶν πηγῶν καὶ τῆς ῥύσεως αὐτοῦ διεληλύθαμεν, πειρασόμεθα τὰς αἰτίας ἀποδιδόναι τῆς πληρώσεως. Θαλῆς μὲν οὖν, εἷς τῶν ἑπτὰ σοφῶν ὀνομαζόμενος, φησὶ τοὺς ἐτησίας ἀντιπνέοντας ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ κωλύειν εἰς θάλατταν προχεῖσθαι τὸ ῥεῦμα, καὶ διὰ τοῦτ' αὐτὸν πληρούμενον ἐπικλύζειν ταπεινὴν οὖσαν καὶ πεδιάδα τὴν Αἴγυπτον. τοῦ δὲ λόγου τούτου, καίπερ εἶναι δοκοῦντος πιθανοῦ, ῥᾴδιον ἐξελέγξαι τὸ ψεῦδος. εἰ γὰρ ἦν ἀληθὲς τὸ προειρημένον, οἱ ποταμοὶ πάντες ἂν οἱ τοῖς ἐτησίαις ἐναντίας τὰς ἐκβολὰς ἔχοντες ἐποιοῦντο τὴν ὁμοίαν ἀνάβασιν· οὐ μηδαμοῦ τῆς οἰκουμένης συμβαίνοντος ζητητέον αἰτίαν

65. περιοικοῦντες] ὑπεροικοῦντες CFG, κατοικοῦντες Theoph. 66. μάλιστ' ἂν FG, caeteri μάλιστά 67. εὑρεσιλογίας] εὑρεσιολογίας A, εὑρησιλογίας D, εὑρησολογίας FG κεχωρισμένοις CF, κεχωρισμένων G ascripto in marg. κεχωρισμένοι, caeteri κεχωρισμένοι 68. κειμένοις CF, κειμένων GM, alterutrum legit Poggius, caeteri κείμενοι 70. Ἀστάπουν] Ἀσταποῦν Theoph., *Astopon* Poggius 71. εἰς τὴν Ἑλλήνων διάλεκτον om. CFM, asterisco notavit Stephanus 72. οὗτοι] οὕτω FG ἐν τοῖς] ἐν ABD 74. ἀληθέστατος] ἀληθέστατα F ὁ om. FG, asterisco notavit Stephanus

46. 78. Νασαμῶσι] Νασάμωσι D 84. ἐπειδὴ] ἐπεὶ C, ἐπὶ FG 85. ἀποδιδόναι] ἀναδιδόναι G correctus in marg. 87. ἀντιπνέοντας] ἀναπνέοντας FG ἐκβολαῖς] ἐμβολαῖς FG 88. θάλατταν D, θάλασσαν caeteri προχεῖσθαι] προςχεῖσθαι C 89. πληρούμενον om. FGM, asterisco notavit Stephanus 90. καὶ om. A 91. δὲ λόγου] λόγου δὲ C 92. πιθανοῦ] ποταμοῦ F 96. αἰτίαν ἑτέραν] ἑτέραν αἰτίαν D



ἑτέραν ἀληθινὴν τῆς πληρώσεως. Ἀναξαγόρας δ' ὁ φυσικὸς ἀπεφήνατο τῆς ἀναβάσεως αἰτίαν εἶναι τὴν τηκομένην χιόνα κατὰ τὴν Αἰθιοπίαν, ᾧ καὶ ὁ ποιητὴς Εὐριπίδης μαθητὴς ὢν ἠκολούθηκε· λέγει γοῦν

Νείλου λιπὼν κάλλιστον ἐκ γαίας ὕδωρ,
ὃς ἐκ μελαμβρότοιο πληροῦται ῥοὰς
Αἰθιοπίδος γῆς, ἡνίκ' ἂν τακῇ χιών.

καὶ ταύτην δὲ τὴν ἀπόφασιν οὐ πολλῆς ἀντιῤῥήσεως προςδεῖσθαι συμβέβηκε, φανεροῦ πᾶσιν ὄντος ὅτι διὰ τὴν ὑπερβολὴν τῶν καυμάτων ἀδύνατον χιόνα πίπτειν περὶ τὴν Αἰθιοπίαν. καθόλου γὰρ περὶ τοὺς τόπους τούτους οὔτε πάγος οὔτε ψῦχος οὐθ' ὅλως χειμῶνος ἔμφασις γίνεται, καὶ μάλιστα περὶ τὴν ἀνάβασιν τοῦ Νείλου. εἰ δέ τις καὶ συγχωρήσαι χιόνος εἶναι πλῆθος ἐν τοῖς ὑπὲρ Αἰθιοπίαν τόποις, ὁμοίως ἐλέγχεται τὸ ψεῦδος τῆς ἀποφάσεως. πᾶς γὰρ ποταμὸς ἀπὸ χιόνος ῥέων ὁμολογουμένως αὔρας ἀναδίδωσι ψυχρὰς καὶ τὸν ἀέρα παχύνει· περὶ δὲ τὸν Νεῖλον μόνον τῶν ποταμῶν οὔτε νέφους ὑποστάσεις ὑπάρχουσιν οὔτ' αὖραι ψυχραὶ γίνονται οὔθ' ὁ ἀὴρ παχύνεται. Ἡρόδοτος δέ φησι τὸν Νεῖλον εἶναι μὲν φύσει τηλικοῦτον ἡλίκος γίνεται κατὰ τὴν πλήρωσιν, ἐν δὲ τῷ χειμῶνι τὸν ἥλιον κατὰ τὴν Λιβύην φερόμενον ἐπισπᾶσθαι πρὸς ἑαυτὸν πολλὴν ὑγρασίαν ἐκ τοῦ Νείλου, καὶ διὰ τοῦτο περὶ τοὺς καιροὺς τούτους παρὰ φύσιν ἐλάττονα γίνεσθαι τὸν ποταμόν.
47 τοῦ δὲ θέρους ἐπιστάντος ἀποχωροῦντα τῇ φορᾷ τὸν ἥλιον πρὸς τὰς ἄρκτους ἀναξηραίνειν καὶ ταπεινοῦν τούς τε περὶ τὴν Ἑλλάδα ποταμοὺς καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν τὴν ὁμοίως ἐκείνῃ κειμένην. οὐκέτ' οὖν εἶναι παράδοξον τὸ γινόμενον περὶ τὸν Νεῖλον· οὐ γὰρ ἐν τοῖς καύμασιν αὔξεσθαι, κατὰ τὸν χειμῶνα δὲ ταπεινοῦσθαι διὰ τὴν προειρημένην αἰτίαν. ῥητέον οὖν καὶ πρὸς τοῦτον ὅτι καθῆκον ἦν, ὥςπερ ἀπὸ τοῦ Νείλου τὴν ὑγρασίαν ὁ ἥλιος ἐφ' ἑαυτὸν ἐπισπᾶται κατὰ τοὺς

97. δ'] δὲ FG 100. γοῦν] δ' οὖν FG 1. γαίας FG, caeteri γαίης 4. ἀντιῤῥήσεως] ἀντιρήσεως D 5. προςδεῖσθαι] δεῖσθαι ABD Theoph. 10. χιόνος εἶναι om. A 11. ὁμοίως] ὅμως CFG, quod malim: *tamen* Poggius: καὶ αὖθις Theoph. 12. ἀπὸ χιόνος om. C 15. οὔθ' ὁ CFG, caeteri οὔτε 19. ἐκ τοῦ Νείλου om. CFGM Poggius, asterisco notavit Stephanus

47. 22. τὰς] τοὺς B 23. τούς om. A 24. κατὰ] καὶ κατὰ B ἄλλην] ἔλλην G correctus in marg. 25. κειμένην] κειμένους CFG 26. Νεῖλον· οὐ γὰρ] Νεῖλον· ἔδει γὰρ C: negationem omisit etiam Poggius αὔξεσθαι om. AD 28. τοῦτον] τοῦτο AE

τοῦ χειμῶνος καιρούς, οὕτω καὶ ἀπὸ τῶν ἄλλων τῶν κατὰ τὴν Λιβύην ὄντων ποταμῶν ἀναλαμβάνειν τι τῶν ὑγρῶν καὶ ταπεινοῦν τὰ φερόμενα ῥεύματα. ἐπεὶ δ' οὐδαμοῦ τῆς Λιβύης οὐδὲν τοιοῦτον γινόμενον θεωρεῖται, περιφανῶς ὁ συγγραφεὺς σχεδιάζων εὑρίσκεται. καὶ γὰρ οἱ περὶ τὴν Ἑλλάδα ποταμοὶ τὴν αὔξησιν ἐν τῷ χειμῶνι λαμβάνουσιν οὐ διὰ τὸ μακρότερον ἀφίστασθαι τὸν ἥλιον,
39 ἀλλὰ διὰ τὸ πλῆθος τῶν γινομένων ὄμβρων. Δημόκριτος δὲ ὁ Ἀβδηρίτης φησὶν οὐ τὸν περὶ τὴν μεσημβρίαν τόπον χιονίζεσθαι, καθάπερ εἴρηκεν Εὐριπίδης καὶ Ἀναξαγόρας, ἀλλὰ τὸν περὶ τὰς ἄρκτους, καὶ τοῦτο ἐμφανὲς εἶναι πᾶσι. τὸ δὲ πλῆθος τῆς σωρευομένης χιόνος ἐν τοῖς βορείοις μέρεσι περὶ μὲν τὰς τροπὰς μένειν πεπηγός, ἐν δὲ τῷ θέρει διαλυομένων ὑπὸ τῆς θερμασίας τῶν πάγων πολλὴν τηκεδόνα γίνεσθαι, καὶ διὰ τοῦτο πολλὰ γεννᾶσθαι καὶ παχέα νέφη περὶ τοὺς μετεωροτέρους τῶν τόπων, δαψιλοῦς τῆς ἀναθυμιάσεως πρὸς τὸ ὕψος αἰρομένης. ταῦτα δ' ὑπὸ τῶν ἐτησίων ἐλαύνεσθαι, μέχρι ἂν ὅτου προςπέσῃ τοῖς μεγίστοις ὄρεσι τῶν κατὰ τὴν οἰκουμένην, ἅ φησιν εἶναι περὶ τὴν Αἰθιοπίαν· ἔπειτα πρὸς τούτοις οὖσιν ὑψηλοῖς βιαίως θραυόμενα παμμεγέθεις ὄμβρους γεννᾶν, ἐξ ὧν πληροῦσθαι τὸν ποταμὸν μάλιστα κατὰ τὴν τῶν ἐτησίων ὥραν. ῥᾴδιον δὲ καὶ τοῦτον ἐξελέγξαι τοὺς χρόνους τῆς αὐξήσεως ἀκριβῶς ἐξετάζοντα. ὁ γὰρ Νεῖλος ἄρχεται μὲν πληροῦσθαι κατὰ τὰς θερινὰς τροπάς, οὔπω τῶν ἐτησίων πνεόντων, λήγει δ' ὕστερον ἰσημερίας φθινοπωρινῆς, πάλαι προπεπαυμένων τῶν εἰρημένων ἀνέμων. ὅταν οὖν ἡ τῆς πείρας ἀκρίβεια κατισχύῃ τὴν τῶν λόγων πιθανότητα, τὴν μὲν ἐπίνοιαν τἀνδρὸς ἀποδεκτέον, τὴν δὲ πίστιν τοῖς ὑπ' αὐτοῦ λεγομένοις οὐ δοτέον. παρίημι γὰρ καὶ διότι τοὺς ἐτησίας ἰδεῖν ἔστιν οὐδέν τι μᾶλλον ἀπὸ τῆς ἄρκτου πνέοντας ἤπερ τῆς ἑσπέρας· οὐ βορέαι γὰρ οὐδ' ἀπαρκτίαι μόνοι ἀλλὰ καὶ οἱ πνέοντες ἀπὸ θερινῆς δύσεως ἀργέσται κοινωνοῦσι τῆς τῶν ἐτησίων προςηγορίας.

31. οὕτω] οὕτως BCFG 38. γινομένων BD, γεγενομένων A, caeteri γενομένων ὄμβρων] ὑδάτων CFGMQ 43. βορείοις] βορίοις D 46. καὶ om. AF: πολλὰ νέφη παχύτερα Theoph. 47. μετεωροτέρους] μετεώρους CFGQ 49. ἐτησίων] ἐτισίων semper D μέχρι CD, caeteri μέχρις 51. φησιν] φασιν AB πρὸς — 52. παμμεγέθεις om. A 53. ὄμβρους] ὄγκους Theoph. 59. κατισχύῃ] κατισχύσῃ GQ 62. παρίημι] παρίειμι C 63. οὐδέν] οὐ δέον A 64. ἑσπέρας] ἑσπερίας A ἀπαρκτίαι] ἀπαρκίαι D μόνοι] μόνον FG 65. ἀργέσται] ἀργέται B, ἐργάσται C, εἴργασται G correctus in marg.



τό τε λέγειν ὡς μέγιστα συμβαίνει τῶν ὀρῶν ὑπάρχειν τὰ περὶ τὴν Αἰθιοπίαν οὐ μόνον ἀναπόδεικτόν ἐστιν,
48 ἀλλ' οὐδὲ τὴν πίστιν ἔχει διὰ τῆς ἐναργείας συγχωρουμένην. Ἔφορος δὲ καινοτάτην αἰτίαν εἰςφέρων πιθανολογεῖν μὲν πειρᾶται, τῆς δ' ἀληθείας οὐδαμῶς ἐπιτυγχάνων θεωρεῖται. φησὶ γὰρ ἅπασαν τὴν Αἴγυπτον ποταμόχωστον οὖσαν καὶ χαύνην ἔτι δὲ κισηρώδη τὴν φύσιν ῥαγάδας τε μεγάλας καὶ διηνεκεῖς ἔχειν· διὰ δὲ τούτων εἰς ἑαυτὴν ἀναλαμβάνειν ὑγροῦ πλῆθος, καὶ κατὰ μὲν τὴν χειμερινὴν ὥραν συνέχειν ἐν ἑαυτῇ τοῦτο, κατὰ δὲ τὴν θερινὴν ὥςπερ ἱδρῶτάς τινας ἐξ αὐτῆς πανταχόθεν ἀνιέναι, καὶ διὰ τούτων πληροῦν τὸν ποταμόν. ὁ δὲ συγγραφεὺς οὗτος οὐ μόνον ἡμῖν φαίνεται μὴ τεθεαμένος τὴν φύσιν τῶν κατὰ τὴν Αἴγυπτον τόπων, ἀλλὰ μηδὲ παρὰ τῶν εἰδότων τὰ κατὰ τὴν χώραν ταύτην ἐπιμελῶς πεπυσμένος. πρῶτον μὲν γάρ, εἴπερ ἐξ αὐτῆς τῆς Αἰγύπτου ὁ Νεῖλος τὴν αὔξησιν ἐλάμβανεν, οὐκ ἂν ἐν τοῖς ἀνωτέρω μέρεσιν ἐπληροῦτο, διά τε πετρώδους καὶ στερεᾶς χώρας φερόμενος· νῦν δὲ πλείω τῶν ἑξακιςχιλίων σταδίων διὰ τῆς Αἰθιοπίας ῥέων τὴν πλήρωσιν ἔχει πρὶν ἢ ψαῦσαι τῆς Αἰγύπτου. ἔπειτ' εἰ μὲν τὸ ῥεῦμα τοῦ Νείλου ταπεινότερον ἦν τῶν κατὰ τὴν ποταμόχωστον γῆν ἀραιωμάτων, ἐπιπολαίους ἂν εἶναι τὰς ῥαγάδας συνέβαινε, καθ' ἃς ἀδύνατον ἦν διαμένειν τοσοῦτο πλῆθος ὕδατος· εἰ δ' ὑψηλότερον τόπον ἐπεῖχεν ὁ ποταμὸς τῶν ἀραιωμάτων, ἀδύνατον ἦν ἐκ τῶν ταπεινοτέρων κοιλωμάτων εἰς τὴν ὑψηλοτέραν ἐπιφάνειαν τὴν τῶν ὑγρῶν σύῤῥυσιν γίνεσθαι. καθόλου δὲ τίς ἂν δυνατὸν ἡγήσαιτο τοὺς ἐκ τῶν κατὰ τὴν γῆν ἀραιωμάτων ἱδρῶτας τοσαύτην αὔξησιν τοῦ ποταμοῦ ποιεῖν ὥςτε ὑπ' αὐτοῦ πᾶσαν σχεδὸν τὴν Αἴγυπτον ἐπικλύζεσθαι; ἀφίημι γὰρ καὶ τὸ ψεῦδος τῆς τε ποταμοχώστου γῆς καὶ

48. 69. ἐναργείας Wesselingius, ἐνεργεσίας FG, ἐνεργείας margo G cum caeteris καινοτάτην] κοινοτάτην F correctus in marg. 70. μὲν om. C 72. ἅπασαν τὴν Α. ποταμόχωστον οὖσαν] τὴν Α. ἅπασαν οὖσαν ποταμόχωστον D, τὴν Α. οὖσαν ἅπασαν ποταμόχωστον AE: οὖσαν] εἶναι Theoph. 73. κισηρώδη] σκιῤῥώδη GM, κισσηρώδη margo G cum caeteris ῥαγάδας] ῥάγδας FG 74. εἰς om. A 76. τὴν θερινὴν] τὸ θέρος FGM et Monacensis apud Marx. ad Ephor. p. 214. 78. τούτων] τοῦτο FG Theoph. 80. εἰδότων] ἰδόντων Theoph. 84. τε om. Theoph. 85. νῦν AD Theoph., caeteri νυνὶ 86. διὰ] ἐκ FG ψαῦσαι] ψαύσῃ Theoph. 87. ἔπειτ' A(D), caeteri ἔπειτα 88. ἀραιωμάτων] τῶν ἀραιωμάτων CFG 90. καθὰ δύνατον G corr. in marg. τοσοῦτο] τὸ ADE, τοσοῦτον Theoph., asterisco notavit Stephanus 95. ἐκ τῶν om. A τὴν om. D 96. πᾶσαν σχεδὸν] σχεδὸν πᾶσαν D Theoph. 97. ἐπικλύζεσθαι]

τῶν ἐν τοῖς ἀραιώμασι τηρουμένων ὑδάτων, ἐμφανῶν ὄντων τῶν ἐν τούτοις ἐλέγχων. ὁ μὲν γὰρ Μαίανδρος ποταμὸς κατὰ τὴν Ἀσίαν πολλὴν χώραν πεποίηκε ποταμόχωστον, ἐν ᾗ τῶν συμβαινόντων περὶ τὴν ἀναπλήρωσιν τοῦ Νείλου τὸ σύνολον οὐδὲν θεωρεῖται γινόμενον. ὁμοίως δὲ τούτῳ περὶ μὲν τὴν Ἀκαρνανίαν ὁ καλούμενος Ἀχελῷος ποταμός, περὶ δὲ τὴν Βοιωτίαν ὁ Κηφισὸς φερόμενος ἐκ τῶν Φωκέων προςκέχωκεν οὐκ ὀλίγην χώραν, ἐφ' ὧν ἀμφοτέρων ἐλέγχεται φανερῶς τὸ ψεῦδος τοῦ συγγραφέως. ἀλλὰ γὰρ οὐκ ἄν τις παρ' Ἐφόρῳ

40 ζητήσειεν ἐκ παντὸς τρόπου τἀκριβές, ὁρῶν αὐτὸν ἐν πολλοῖς ὠλιγωρηκότα τῆς ἀληθείας. τῶν δ' ἐν Μέμφει 49 τινὲς φιλοσόφων ἐπεχείρησαν αἰτίαν φέρειν τῆς πληρώσεως ἀνεξέλεγκτον μᾶλλον ἢ πιθανήν, ᾗ πολλοὶ συγκατατέθεινται. διαιρούμενοι γὰρ τὴν γῆν εἰς τρία μέρη φασὶν ὑπάρχειν ἓν μὲν τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην, ἕτερον δὲ τὸ τούτοις τοῖς τόποις ἀντιπεπονθὸς ταῖς ὥραις, τὸ δὲ τρίτον μεταξὺ μὲν κεῖσθαι τούτων, ὑπάρχειν δὲ διὰ καῦμα ἀοίκητον. εἰ μὲν οὖν ὁ Νεῖλος ἀνέβαινε κατὰ τὸν τοῦ χειμῶνος καιρόν, δῆλον ὑπῆρχεν ὡς ἐκ τῆς καθ' ἡμᾶς ζώνης λαμβάνει τὴν ἐπίῤῥυσιν διὰ τὸ περὶ τούτους τοὺς καιροὺς μάλιστα γίνεσθαι παρ' ἡμῖν τὰς ἐπομβρίας· ἐπεὶ δὲ τοὐναντίον περὶ τὸ θέρος πληροῦται, πιθανὸν εἶναι κατὰ τοὺς ἀντικειμένους τόπους γεννᾶσθαι τοὺς χειμῶνας, καὶ τὸ πλεονάζον τῶν κατ' ἐκείνους τοὺς τόπους ὑδάτων εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην φέρεσθαι. διὸ καὶ πρὸς τὰς πηγὰς τοῦ Νείλου μηδένα δύνασθαι παρελθεῖν, ὡς ἂν ἐκ τῆς ἐναντίας ζώνης διὰ τῆς ἀοικήτου φερομένου τοῦ ποταμοῦ. μαρτυρεῖν δὲ τούτοις καὶ τὴν ὑπερβολὴν τῆς γλυκύτητος τοῦ κατὰ τὸν Νεῖλον ὕδατος. διὰ γὰρ τῆς κατακεκαυμένης αὐτὸν ῥέοντα καθέψεσθαι, καὶ διὰ τοῦτο γλυκύτατον εἶναι πάντων τῶν ποταμῶν, ἅτε φύσει τοῦ πυρώδους πᾶν τὸ ὑγρὸν ἀπογλυκαίνοντος. οὗτος δ' ὁ λόγος ἔχει μέν τινα φανερὰν καὶ πρόχειρον ἀντίῤῥησιν, ὅτι παντελῶς ἀδύνατον εἶναι δοκεῖ ποταμὸν ἐκ τῆς ἀν-

κλύζεσθαι AB 99. τῶν ἐν τούτοις] τῶν omisit F, asterisco notavit Stephanus 100. Μαίανδρος] Νέανδρος G 3. μὲν om. F et qui mox περί τε Theoph. 6. προςκέχωκεν] προκέχωκεν BD χώραν Poggius vertit *terram quae coli posset*, quasi γεωργήσιμον additum legisset 7. τοῦ om. A
49. 13. ᾗ] ἣν BDE συγκατατέθεινται] συγκατίθενται C 14. μὲν] μέρος G 17. διὰ] ὑπὸ C 23. τὸ πλεονάζον] πλεοναζόντων ABEGQ 26. παρελθεῖν] προςελθεῖν CFGQ 28. τὴν om. AD 30. καθέψεσθαι] καθεψεῖσθαι D 33. φανερὰν καὶ πρόχειρον] προφανῆ B, πρόφασιν A



τικειμένης οἰκουμένης εἰς τὴν ἡμετέραν ἀναφέρεσθαι, καὶ μάλιστ' εἴ τις ὑπόθοιτο σφαιροειδῆ τὴν γῆν ὑπάρχειν. καὶ γὰρ ἐάν τις τοῖς λόγοις κατατολμήσας βιάζηται τὴν ἐνάργειαν, ἥ γε φύσις τῶν πραγμάτων οὐδαμῶς συγχωρήσει. καθόλου μὲν γὰρ ἀνεξέλεγκτον ἀπόφασιν εἰςηγούμενοι, καὶ τὴν ἀοίκητον χώραν μεταξὺ τιθέμενοι, ταύτῃ διαφεύξεσθαι τοὺς ἀκριβεῖς ἐλέγχους νομίζουσι. δίκαιον δὲ τοὺς περί τινων διαβεβαιουμένους ἢ τὴν ἐνάργειαν παρέχεσθαι μαρτυροῦσαν ἢ τὰς ἀποδείξεις λαμβάνειν ἐξ ἀρχῆς συγκεχωρημένας. πῶς δὲ μόνος ὁ Νεῖλος ἐξ ἐκείνης τῆς οἰκουμένης φέρεται πρὸς τοὺς καθ' ἡμᾶς τόπους; εἰκὸς γὰρ εἶναι καὶ ἑτέρους ποταμούς, καθάπερ καὶ παρ' ἡμῖν. ἥ τε τῆς περὶ τὸ ὕδωρ γλυκύτητος αἰτία παντελῶς ἄλογος. εἰ γὰρ καθεψόμενος ὑπὸ τῶν καυμάτων ὁ ποταμὸς ἐγλυκαίνετο, πολύγονος οὐκ ἂν ἦν οὐδὲ ποικίλας ἰχθύων καὶ θηρίων ἰδέας εἶχε· πᾶν γὰρ ὕδωρ ὑπὸ τῆς πυρώδους φύσεως ἀλλοιωθὲν 50 ἀλλοτριώτατόν ἐστι ζωογονίας. διόπερ τῇ παρειςαγομένῃ καθεψήσει τῆς φύσεως τοῦ Νείλου παντάπασιν ἐναντιουμένης ψευδεῖς τὰς εἰρημένας αἰτίας τῆς πληρώσεως ἡγητέον.

41 Οἰνοπίδης δὲ ὁ Χῖός φησι κατὰ μὲν τὴν θερινὴν ὥραν τὰ ὕδατα κατὰ τὴν γῆν εἶναι ψυχρά, τοῦ δὲ χειμῶνος τοὐναντίον θερμά· καὶ τοῦτο εὔδηλον ἐπὶ τῶν βαθέων φρεάτων γίνεσθαι· κατὰ μὲν γὰρ τὴν ἀκμὴν τοῦ χειμῶνος ἥκιστα τὸ ὕδωρ ἐν αὐτοῖς ὑπάρχειν ψυχρόν, κατὰ δὲ τὰ μέγιστα καύματα ψυχρότατον ἐξ αὐτῶν ὑγρὸν ἀναφέρεσθαι. διὸ καὶ τὸν Νεῖλον εὐλόγως κατὰ μὲν τὸν χειμῶνα μικρὸν εἶναι καὶ συστέλλεσθαι, διὰ τὸ τὴν μὲν κατὰ γῆν θερμασίαν τὸ πολὺ τῆς ὑγρᾶς οὐσίας ἀναλίσκειν, ὄμβρους δὲ κατὰ τὴν Αἴγυπτον μὴ γίνεσθαι· κατὰ δὲ τὸ θέρος μηκέτι τῆς κατὰ γῆν ἀπαναλώσεως γινομένης ἐν τοῖς κατὰ βάθος τόποις πληροῦσθαι τὴν κατὰ φύσιν αὐτοῦ ῥύσιν ἀνεμποδίστως.

36. μάλιστ' A, caeteri μάλιστα 38. ἐνάργειαν A, *veritatem* Poggius, caeteri ἐνέργειαν 39. μὲν γὰρ] malim γὰρ 43. ἐνάργειαν A(D)E, *certum testem* Poggius, caeteri ἐνέργειαν 44. συγκεχωρημένας] συγκεχωρηκέναι B 45. ἐκείνης] ἐκείνοις F 46. ἑτέρους] ἐκεῖ addit Theoph. 48. καθεψόμενος] καθεψώμενος D 49. ἐγλυκαίνετο] ἐγγλυκαίνετο FG 51. ὑπὸ] ἀπὸ BE Theoph.
50. 53. παρειςαγ.] προςαγ. G 57. κατὰ] τὰ κατὰ Theoph. τὴν γῆν AB(D)EG Theoph., caeteri γῆν 58. τοὐναντίον om. CFG, asterisco notavit Stephanus 58. εὔδηλον] εὐφανερον ABDE, δῆλον Theoph. 61. ὑγρὸν] ὑγρῶν D 64. ὑγρᾶς οὐσίας] ὑγρασίας G correctus in marg., Q 66. τῆς κατὰ γῆν] τῆς γῆς A, τῆς κατὰ τὴν γῆν Theoph.

ῥητέον δὲ καὶ πρὸς τοῦτον ὅτι πολλοὶ ποταμοὶ τῶν κατὰ τὴν Λιβύην ὁμοίως μὲν κείμενοι τοῖς στόμασι, παραπλησίους δὲ τὰς ῥύσεις ποιούμενοι, τὴν ἀνάβασιν οὐκ ἔχουσιν ἀνάλογον τῷ Νείλῳ· τοὐναντίον γὰρ ἐν μὲν τῷ χειμῶνι πληρούμενοι, κατὰ δὲ τὸ θέρος λήγοντες, ἐλέγχουσι τὸ ψεῦδος τοῦ πειρωμένου τοῖς πιθανοῖς καταμάχεσθαι τὴν ἀλήθειαν. ἔγγιστα δὲ τῇ ἀληθείᾳ προσελήλυθεν Ἀγαθαρχίδης ὁ Κνίδιος. φησὶ γὰρ κατ' ἐνιαυτὸν ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν ὄρεσι γίνεσθαι συνεχεῖς ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς μετοπωρινῆς ἰσημερίας. εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, τὴν κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκχεομένους ὄμβρους λαμβάνειν τὴν αὔξησιν. εἰ δὲ τὰς αἰτίας μηδεὶς ἀποδοῦναι δύναται μέχρι τοῦ νῦν τῆς τῶν ὑδάτων γενέσεως, οὐ προσήκειν ἀθετεῖσθαι τὴν ἰδίαν ἀπόφασιν. πολλὰ γὰρ τὴν φύσιν ἐναντίως φέρειν, ὧν τὰς αἰτίας οὐκ ἐφικτὸν ἀνθρώποις ἀκριβῶς ἐξευρεῖν. μαρτυρεῖν δὲ τοῖς ὑφ' ἑαυτοῦ λεγομένοις καὶ τὸ γινόμενον περί τινας τόπους τῆς Ἀσίας. πρὸς μὲν γὰρ τοῖς ὅροις τῆς Σκυθίας τοῖς πρὸς τὸ Καυκάσιον ὄρος συνάπτουσι παρεληλυθότος ἤδη τοῦ χειμῶνος καθ' ἕκαστον ἔτος νιφετοὺς ἐξαισίους γίνεσθαι συνεχῶς ἐπὶ πολλὰς ἡμέρας, ἐν δὲ τοῖς πρὸς βοῤῥᾶν ἐστραμμένοις μέρεσι τῆς Ἰνδικῆς ὡρισμένοις καιροῖς καὶ χάλαζαν ἄπιστον τὸ μέγεθος καὶ τὸ 51 πλῆθος καταράττειν, καὶ περὶ μὲν τὸν Ὑδάσπην ποταμὸν ἀρχομένου θέρους συνεχεῖς ὄμβρους γίνεσθαι, κατὰ δὲ τὴν Αἰθιοπίαν μεθ' ἡμέρας τινὰς ταὐτὸ συμβαίνειν, καὶ ταύτην τὴν περίστασιν κυκλουμένην ἀεὶ τοὺς συνεχεῖς τόπους χειμάζειν. οὐδὲν οὖν εἶναι παράδοξον εἰ καὶ κατὰ τὴν Αἰθιοπίαν τὴν κειμένην ὑπὲρ Αἰγύπτου συνεχεῖς ἐν τοῖς ὄρεσιν ὄμβροι καταράττοντες ἐν τῷ θέρει πληροῦσι τὸν ποταμόν, ἄλλως τε καὶ τῆς ἐναργείας αὐτῆς μαρτυρουμένης ὑπὸ τῶν περὶ τοὺς τόπους οἰκούντων βαρβάρων. εἰ δὲ τοῖς παρ' ἡμῖν γινομένοις ἐναντίαν ἔχει τὰ λεγόμενα φύσιν, οὐ διὰ τοῦτ' ἀπιστητέον. καὶ γὰρ τὸν νότον παρ' ἡμῖν μὲν εἶναι χειμέριον, περὶ δὲ τὴν Αἰθιοπίαν αἴθριον ὑπάρχειν, καὶ τὰς βορείους πνοὰς περὶ μὲν τὴν Εὐρώπην εὐτόνους εἶναι, κατ' ἐκείνην δὲ τὴν χώραν βληχρὰς καὶ ἀτόνους [καὶ παντελῶς ἀσθενεῖς]. καὶ περὶ μὲν τῆς πληρώσεως τοῦ Νείλου, δυνάμενοι ποικιλώτερον ἀντειπεῖν πρὸς ἅπαντας, ἀρκεσθησόμεθα τοῖς εἰρημένοις, ἵνα μὴ τὴν ἐξ ἀρχῆς ἡμῖν προκειμένην συντομίαν ὑπερβαίνωμεν. ἐπεὶ δὲ τὴν βίβλον ταύτην διὰ τὸ μέγεθος εἰς δύο διῃρήκαμεν μέρη, στοχαζόμενοι τῆς συμμετρίας τὴν πρώτην μερίδα τῶν ἱστορουμένων αὐτοῦ περιγράψομεν, τὰ δὲ συνεχῆ τῶν κατὰ τὴν Αἴγυπτον ἱστορουμένων ἐν τῇ δευτέρᾳ κατατάξομεν, ἀρχὴν ποιησάμενοι τὴν ἀπαγγελίαν τῶν γενομένων βασιλέων τῆς Αἰγύπτου καὶ τοῦ παλαιοτάτου βίου παρ' Αἰγυπτίοις.

70. παραπλησίους ABCDE, παραπλησίως Theoph., caeteri παραπλησίας  ῥύσεις D Theoph., caeteri ῥεύσεις  76. ὄρεσι] μέρεσι G correctus in marg.  78. μετοπ.] μεθοπ. D  83. προσήκειν Rhodomannus: libri προσήκει  86. γινόμενον] γενόμενον D  87. τοῖς ὅροις] τοῖς τόποις AD Theoph., τοὺς τόπους B, *montibus* Poggius
51. 92. χάλαζαν] χαλάζην F  τὸ πλῆθος] πλῆθος C  καταράττειν] καταράσσειν ABD  93. Ὑδάσπην Wesselingius, *Idaspem* Poggius, ὑδάτων Theoph. corrupte, caeteri Ὕδασπιν  93. ἀρχομένου θέρους om. AD, asterisco notavit Stephanus  96. χειμάζειν] χειμαχέειν B  100. ἐναργείας Wesselingius ad p. 47. 68.: libri ἐνεργείας



1. τοῖς] τῶν M  2. γινομένοις] λεγομένοις BD, λεγομένων M  5. βορείους] βορίους D  6. βληχρὰς] ἀβληχρὰς B, βλιχρὰς ADFG  7. καὶ παντελῶς ἀσθενεῖς om. CFGM Poggius, asterisco notavit Stephanus  8. τοῦ] τοῦ ποταμοῦ FGM  10. ἡμῖν om. C  12. μέρη post δύο ponit D  13. περιγράψομεν] παραγράψομεν C

## ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ

## ΤΗΣ ΠΡΩΤΗΣ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

42 Τῆς πρώτης τῶν Διοδώρου βίβλων διὰ τὸ μέγεθος εἰς δύο βίβλους διῃρημένης ἡ πρώτη μὲν περιέχει προοίμιον

18. 19. τμῆμα — βίβλων tollit Wolfius τῆς πρώτης τῶν Δ. βίβλων] ὑπόθεσις τῆς δευτέρας βίβλου B, ὑπόθεσις τῆς δευτέρας μερίδος τῆς πρώτης βίβλου τῶν Διοδώρου E, — 21. διῃρημένης om. C In A sequitur πίναξ τῆς δευτέρας μερίδος τῆς πρώτης βίβλου. περὶ τῆς ἀρχαιοτάτης ἀγωγῆς τῶν Αἰγυπτίων, χρόνων συγκεφαλαίωσις τῆς ἐν Αἰγύπτῳ θεῶν καὶ ἡρώων ἔτι δ᾽ ἀνθρώπων βασιλείας. ὡς Μηνᾶς πρῶτος ἀνθρώπων ἐβασίλευσε τῆς Αἰγύπτου καὶ ἑξῆς οἱ τούτου ἀπόγονοι. ὡς Βούσιρις βασιλεύσας Θήβας τὰς Αἰγυπτίας ἔκτισε καὶ ἱερὰ ᾠκοδόμησε. περὶ τῶν βασιλέων τάφων καὶ τοῦ Ὀσυμάνδεως μνήματος. ὡς οἱ κατ᾽ Αἴγυπτον Θηβαῖοι παρ᾽ ἑαυτοῖς πρώτοις φιλοσοφίαν τε καὶ ἀστρολογίαν εὑρῆσθαί φασι. ὡς Οὐχορεὺς βασιλεύσας Αἰγύπτου ἔκτισε Μέμφιν. ὡς Μύρις βασιλεύσας τὴν ἐν Μέμφει λίμνην ὤρυξε καὶ ἐν μέσῳ ταύτης τάφον καὶ δύο πυραμίδας ᾠκοδόμησε. τὰ πραχθέντα τῷ βασιλεῖ Σωώσι. Βαβυλωνίας καὶ Τροίας τῆς ἐν Αἰγύπτῳ κτίσις. ὡς ὁ πρῶτος Ἄμασις τὴν βασιλείαν ἀπέβαλε, καὶ Ῥινοκολούρας κτίσις. Μένδου τοῦ βασιλέως τάφος ὁ καὶ λαβύρινθος ὀνομαζόμενος, οὗ τὴν πλοκὴν Δαίδαλος ἀπεμιμήσατο. ὡς Χητὼν παρὰ τοῖς Ἕλλησιν ὀνομαζόμενος Πρωτεὺς ᾑρέθη βασιλεύς, τοῦτον δὲ διεδέξατο ὁ υἱὸς Ῥέμφις. ὡς Νειλεὺς ἐβασίλευσεν, ἀφ᾽ οὗ ἔσχε τὴν προσηγορίαν ὁ ποταμὸς Νεῖλος. ὡς Χέμβις βασιλεύσας τὴν μεγίστην τῶν τριῶν πυραμίδων τῶν ἐν τοῖς ἑπτὰ θαυμαζομένοις ἔργοις ἀριθμουμένων κατεσκεύασεν. πυραμίδες Χεφρῆνος καὶ Μυκερίνου τῶν βασιλέων. ὡς Βόκχορις ἐβασίλευσε, πολλοῖς δὲ ὕστερον χρόνοις Σαβακῶν. ὡς δώδεκα τῶν ἡγεμόνων συνωμοσίαν ποιήσαντες ἐβασίλευσαν, Ψαμμήτιχος δὲ τῆς ὅλης βασιλείας ἐκυρίευσεν. ὡς Ἀπρίης, μετὰ τοῦτον Ἄμασις ἐβασίλευσεν. ὡς Αἰγύπτιοι λέγουσι παρ᾽ αὐτοῖς γενέσθαι τὴν τῶν γραμμάτων εὕρεσιν καὶ τὴν τῶν ἄστρων παρατήρησιν. νόμιμα περὶ τοὺς ἀρχαίους βασιλεῖς τῶν Αἰγυπτίων. διαίρεσις τῶν τῆς Αἰγύπτου προσόδων καὶ τῆς πολιτείας. νόμοι περὶ κρίσεων καὶ ὅσοι τούτων παρὰ τοῖς Αἰγυπτίοις παλαιότητι διήνεγκαν. περὶ τῶν ἀφιερωμένων ζῴων παρ᾽ Αἰγυπτίοις καὶ τῆς τούτων τιμῆς. περὶ τοῦ Ἄπιδος. περὶ τῶν κροκοδείλων. νόμιμα Αἰγυπτίων περὶ τοὺς τετελευτηκότας. περὶ τῶν κατ᾽ Αἴγυπτον γενομένων νομοθετῶν.



περὶ ὅλης τῆς πραγματείας καὶ τὰ λεγόμενα παρ᾽ Αἰγυπτίοις περὶ τῆς τοῦ κόσμου γενέσεως καὶ τῆς τῶν ὅλων ἐξ ἀρχῆς συστάσεως, πρὸς δὲ τούτοις περὶ τῶν θεῶν, ὅσοι πόλεις ἔκτισαν κατ᾽ Αἴγυπτον ἐπωνύμους ἑαυτῶν ποιήσαντες, περί τε τῶν πρώτων γενομένων ἀνθρώπων καὶ τοῦ παλαιοτάτου βίου, τῆς τε τῶν ἀθανάτων τιμῆς καὶ τῆς τῶν ναῶν κατασκευῆς, ἑξῆς δὲ περὶ τῆς τοπο-
52 θεσίας τῆς κατ᾽ Αἴγυπτον χώρας καὶ τῶν περὶ τὸν Νεῖλον ποταμὸν παραδοξολογουμένων, τῆς τε τούτου πληρώσεως τὰς αἰτίας καὶ τῶν ἱστορικῶν καὶ φιλοσόφων ἀποφάσεις, ἔτι δὲ τὰς πρὸς ἕκαστον τῶν συγγραφέων ἀντιῤῥήσεις. ἐν ταύτῃ δὲ τῇ βίβλῳ τὰ συνεχῆ τοῖς προειρημένοις διέξιμεν. ἀρχόμεθα δὲ ἀπὸ τῶν πρώτων κατ᾽ Αἴγυπτον γενομένων βασιλέων, καὶ τὰς κατὰ μέρος αὐτῶν πράξεις ἐκθησόμεθα μέχρι Ἀμάσιδος τοῦ βασιλέως, προεκθέμενοι κεφαλαιωδῶς τὴν ἀρχαιοτάτην ἀγωγὴν τῶν κατ᾽ Αἴγυπτον.

43 Βίῳ γὰρ τὸ παλαιὸν Αἰγυπτίους φασὶ χρῆσθαι τὸ μὲν ἀρχαιότατον πόαν ἐσθίοντας καὶ τῶν ἐν τοῖς ἕλεσι γινομένων τοὺς καυλοὺς καὶ τὰς ῥίζας, πεῖραν διὰ τῆς γεύσεως ἑκάστου λαμβάνοντας, πρώτην δὲ καὶ μάλιστα προσενέγκασθαι τὴν ὀνομαζομένην ἄγρωστιν διὰ τὸ καὶ γλυκύτητι διάφορον εἶναι καὶ τὴν τροφὴν ἀρκοῦσαν παρέχεσθαι τοῖς σώμασι τῶν ἀνθρώπων. καὶ γὰρ τοῖς κτήνεσι ταύτην θεωρεῖσθαι προσηνῆ καὶ ταχὺ τοὺς ὄγκους αὐτῶν προσαναπρέφειν. διὸ καὶ τῆς εὐχρηστίας τῆς περὶ τὴν βοτάνην ταύτην μνημονεύοντας τοὺς ἀνθρώπους μέχρι τοῦ νῦν, ὅταν πρὸς θεοὺς βαδίζωσι, τῇ χειρὶ ταύτης λαμβάνοντας προσεύχεσθαι. οἴονται γὰρ τὸν ἄνθρω-

Poggius sic: *Gesta regum Aegypti usque ad Amasum regem. de sepulchris pyramidibusque Aegypti, quae inter septem miracula annumerantur, et eorum conditoribus. de legibus ac iudiciis Aegyptiorum. de animalibus diis apud Aegyptios sacris eorumque cultu. de moribus quos in sepeliendis mortuis servant. de Graecis excellentibus doctrina viris, qui eruditionis gratia in Aegyptum profecti sunt.* Quae conveniunt fere cum argumento ante initium huius libri posito 21. πρώτη μὲν] μὲν πρώτη C 23. Αἰγυπτίοις] Αἰγυπτίων G 28. τῆς τε] τῆς τε (sic) G 29. τοποθεσίας] ποταμοθεσίας AB

52. 30. περὶ] κατὰ AG et argumentum ex A positum ad p. 1. 32. καὶ φιλοσόφων] φιλοσόφων C 35. γενομένων ante πρώτων ponunt ADE 37. μέχρι] μέχρις A Ἀμάσιδος] Ἀμάσιος DFG 41. πόαν] πόας B, *herbas* Poggius 44. ἄγρωστιν] ἄγρωστον C 45. γλυκύτητι] τῇ γλυκύτητι D 48. τῆς εὐχρηστίας] εὐχρηστίας A, τῆς εὐχαρηστίας G 51. ταύτης] ταύτην D λαμβάνοντας] λαμβάνοντες F τὸν ἄνθρωπον om. AE, asterisco notavit Stephanus

πον ἕλειον καὶ λιμνῶδες εἶναι ζῷον, ἀπό τε τῆς λειότητος τεκμαιρόμενοι καὶ τῆς φυσικῆς ποιότητος ἔτι δὲ τοῦ προςδεῖσθαι τροφῆς τῆς ὑγρᾶς μᾶλλον ἢ τῆς ξηρᾶς. δευτέραν δὲ λέγουσιν ἔχειν διαγωγὴν τοὺς Αἰγυπτίους τὴν τῶν ἰχθύων βρῶσιν, πολλὴν δαψίλειαν παρεχομένου τοῦ ποταμοῦ, καὶ μάλισθ' ὅτε μετὰ τὴν ἀνάβασιν ταπεινούμενος ἀναξηραίνοιτο. ὁμοίως δὲ καὶ τῶν βοσκημάτων ἔνια σαρκοφαγεῖν, καὶ ταῖς δοραῖς τῶν κατεσθιομένων ἐσθῆσι χρῆσθαι, καὶ τὰς οἰκήσεις ἐκ τῶν καλάμων κατασκευάζεσθαι. ἴχνη δὲ τούτων διαμένειν παρὰ τοῖς νομεῦσι τοῖς κατ' Αἴγυπτον, οὓς ἅπαντάς φασι μέχρι τοῦ νῦν μηδεμίαν ἄλλην οἴκησιν ἢ τὴν ἐκ τῶν καλάμων ἔχειν δοκιμάζοντας ἀρκεῖσθαι ταύτῃ. πολλοὺς δὲ χρόνους τούτῳ τῷ βίῳ διεξάγοντας τὸ τελευταῖον ἐπὶ τοὺς ἐδωδίμους μεταβῆναι καρπούς, ὧν εἶναι καὶ τὸν ἐκ τοῦ λωτοῦ γινόμενον ἄρτον. καὶ τούτων τὴν εὔ- 53
ρεσι οἱ μὲν εἰς τὴν Ἶσιν ἀναφέρουσιν, οἱ δὲ εἴς τινα τῶν παλαιῶν βασιλέων τὸν ὀνομαζόμενον Μηνᾶν. οἱ δ' ἱερεῖς εὑρετὴν μὲν τῶν παιδειῶν καὶ τῶν τεχνῶν μυθολογοῦσι τὸν Ἑρμῆν γεγονέναι, τῶν δ' εἰς τὸν βίον ἀναγκαίων τοὺς βασιλεῖς· διὸ καὶ τὸ παλαιὸν παραδίδοσθαι τὰς βασιλείας μὴ τοῖς ἐκγόνοις τῶν ἀρξάντων ἀλλὰ τοῖς πλεῖστα καὶ μέγιστα τὸ πλῆθος εὐεργετοῦσιν· εἴτε προκαλουμένων τῶν ἀνθρώπων τοὺς ἐφ' ἑαυτῶν βασιλεῖς ἐπὶ τὴν κοινὴν εὐεργεσίαν εἴτε καὶ κατ' ἀλήθειαν ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς οὕτω παρειληφότων.

44 Μυθολογοῦσι δ' αὐτῶν τινες τὸ μὲν πρῶτον ἄρξαι τῆς Αἰγύπτου θεούς τε καὶ ἥρωας ἔτη βραχὺ λείποντα τῶν μυρίων καὶ ὀκτακιςχιλίων, καὶ θεῶν ἔσχατον βασιλεῦσαι τὸν Ἴσιδος Ὧρον· ὑπ' ἀνθρώπων δὲ τὴν χώραν βεβασιλεῦσθαί φασιν ἀπὸ Μοίριδος ἔτη βραχὺ λείποντα τῶν πεντακιςχιλίων μέχρι τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς

52. λιμνῶδες] σεμνῶδες BG ἀπό — 54. ξηρᾶς om. E, asterisco notavit Stephanus 53. λειότητος] λιτότητος G 56. δαψίλειαν] δαψιλείαν omnes 60. ἐσθῆσι] ἐσθῆτι G correctus in marg., ἐσθήσει D 61. διαμένειν] παραμένειν G 64. ἔχειν om. F 65. διεξάγοντας] malim διεξαγαγόντας 66. ἐδωδίμους] ἐδωδήμους D

53. 67. λωτοῦ] λώτου D 69. Μηνᾶν] Μηνᾶ D 70. μὲν τῶν] immo τῶν μὲν τὸν Ἑρμῆν] Ἑρμῆν C 71. τῶν] τὸν D 72. παραδίδοσθαι post βασιλείας ponunt CF 74. προκαλουμ. C, caeteri προςκαλουμ. 76. κατ' om. A 77. οὕτω] οὕτως BCD, κατὰ A 79. τε om. D 80. μυρίων καὶ ὀκτακιςχιλίων] XVI M. Eusebius p. 91. ed. Mai. 82. ἀπὸ Μοίριδος C, ἀπὸ Μύριδος AE, ἀπομυρίδος D, sub Myride Eusebius, omisit Poggius, caeteri ἀπὸ μυριάδος: neutrum convenit ἔτη] ἔτι D 83. ἑκατοστῆς καὶ ὀγδοηκοστῆς] CLXX. Eusebius



Ὀλυμπιάδος, καθ' ἣν ἡμεῖς μὲν παρεβάλομεν εἰς Αἴγυπτον, ἐβασίλευε δὲ Πτολεμαῖος ὁ νέος Διόνυσος χρηματίζων. τούτων δὲ τὰ μὲν πλεῖστα κατασχεῖν τὴν ἀρχὴν ἐγχωρίους βασιλεῖς, ὀλίγα δὲ Αἰθίοπας καὶ Πέρσας καὶ Μακεδόνας. Αἰθίοπας μὲν οὖν ἄρξαι τέτταρας, οὐ κατὰ τὸ ἑξῆς ἀλλ' ἐκ διαστήματος, ἔτη τὰ πάντα βραχὺ λείποντα τῶν ἓξ καὶ τριάκοντα. Πέρσας δ' ἡγήσασθαι Καμβύσου τοῦ βασιλέως τοῖς ὅπλοις καταστρεψαμένου τὸ ἔθνος πέντε πρὸς τοῖς ἑκατὸν καὶ τριάκοντα ἔτεσι σὺν ταῖς τῶν Αἰγυπτίων ἀποστάσεσιν, ἃς ἐποιήσαντο φέρειν οὐ δυνάμενοι τὴν τραχύτητα τῆς ἐπιστασίας καὶ τὴν εἰς τοὺς ἐγχωρίους θεοὺς ἀσέβειαν. ἐσχάτους δὲ Μακεδόνας ἄρξαι καὶ τοὺς ἀπὸ Μακεδόνων ἓξ ἔτη πρὸς τοῖς διακοσίοις καὶ ἑβδομήκοντα. τοὺς δὲ λοιποὺς χρόνους ἅπαντας διατελέσαι βασιλεύοντας τῆς χώρας ἐγχωρίους ἄνδρας μὲν ἑβδομήκοντα πρὸς τοῖς τετρακοσίοις, γυναῖκας δὲ πέντε· περὶ ὧν ἁπάντων οἱ μὲν ἱερεῖς εἶχον ἀναγραφὰς ἐν ταῖς ἱεραῖς βίβλοις ἐκ παλαιῶν χρόνων ἀεὶ τοῖς
54 διαδόχοις παραδεδομένας, ὁπηλίκος ἕκαστος τῶν βασιλευσάντων ἐγένετο τῷ μεγέθει καὶ ὁποῖός τις τῇ φύσει καὶ τὰ κατὰ τοὺς ἰδίους χρόνους ἑκάστῳ πραχθέντα. ἡμῖν δὲ περὶ ἑκάστου τὰ κατὰ μέρος μακρὸν ἂν εἴη καὶ περίεργον γράφειν, ὡς ἂν τῶν πλείστων ἀχρήστων περιειλημμένων. διόπερ τῶν ἀξίων ἱστορίας τὰ κυριώτατα συντόμως διεξιέναι πειρασόμεθα.

45 Μετὰ τοὺς θεοὺς τοίνυν πρῶτόν φασι βασιλεῦσαι τῆς Αἰγύπτου Μηνᾶν, καὶ καταδεῖξαι τοῖς λαοῖς θεούς τε σέβεσθαι καὶ θυσίας ἐπιτελεῖν, πρὸς δὲ τούτοις παρατίθεσθαι τραπέζας καὶ κλίνας καὶ στρωμνῇ πολυτελεῖ χρῆσθαι, καὶ τὸ σύνολον τρυφὴν καὶ πολυτελῆ βίον εἰςηγήσασθαι. διὸ καὶ πολλαῖς ὕστερον γενεαῖς βασιλεύσαντα Τνέφαχθον τὸν Βοκχόριδος τοῦ σοφοῦ πατέρα λέγουσιν εἰς τὴν Ἀραβίαν στρατεύσαντα, τῶν ἐπιτηδείων αὐτὸν διά τε τὴν ἐρημίαν καὶ τὰς δυςχωρίας ἐκλιπόντων, ἀναγκασθῆναι μίαν ἡμέραν ἐνδεῆ γενόμενον χρή-

84. μὲν om. F 85. ἐβασίλευε] ἐβασίλευσεν D 86. χρηματίζων] σχηματίζων F τὴν ἀρχὴν om. M 88. τέτταρας] τέσσαρας omnes

54. 4. ὁποῖός] ποῖός AE 11. Μηνᾶν] Μίναν F θεούς] θεάς AB 13. στρωμνῇ] ῥᾳστώνῃ F correctus in margine, M 14. πολυτελῆ βίον] πολυτέλειαν MQ, πολυτέλειαν εἰς βίον F in marg. correctus 15. βασιλεύσαντα] βασιλεύοντα ABD 16. Τνέφαχθον] Γνεφαχθῶ CGMQ, Gnephachum Poggius Βοκχόριδος] Μοκχόριδος B, Μουχόριδος A, Vecchoridis Poggius 17. στρατεύσαντα] στρατεύοντα C 18. αὐτὸν] αὐτῷ CF ἐκλιπόντων C(D), caeteri ἐκλειπόντων

σασθαι διαίτῃ παντελῶς εὐτελεῖ παρά τισι τῶν τυχόντων ἰδιωτῶν, ἡσθέντα δὲ καθ' ὑπερβολὴν καταγνῶναι τῆς τρυφῆς, καὶ τῷ καταδείξαντι τὴν πολυτέλειαν ἐξ ἀρχῆς βασιλεῖ καταρᾶσθαι. οὕτω δ' ἐγκάρδιον αὐτῷ τὴν μεταβολὴν γενέσθαι τὴν περὶ τὴν βρῶσιν καὶ πόσιν καὶ κοίτην ὥςτε τὴν κατάραν ἀναγράψαι τοῖς ἱεροῖς γράμμασιν εἰς τὸν τοῦ Διὸς ναὸν ἐν Θήβαις· ὃ δὴ δοκεῖ μάλιστα αἴτιον γενέσθαι τοῦ μὴ διαμεῖναι τὴν δόξαν τοῦ Μηνᾶ καὶ τὰς τιμὰς εἰς τοὺς ὕστερον χρόνους. ἑξῆς δὲ ἄρξαι λέγεται τοῦ προειρημένου βασιλέως τοὺς ἀπογόνους δύο πρὸς τοῖς πεντήκοντα τοὺς ἅπαντας ἔτη πλείω τῶν χιλίων καὶ τετρακοσίων· ἐφ' ὧν μηδὲν ἄξιον ἀναγραφῆς γενέσθαι. μετὰ δὲ ταῦτα κατασταθέντος βασιλέως Βουσίριδος καὶ τῶν τούτου πάλιν ἐκγόνων ὀκτὼ τὸν τελευταῖον ὁμώνυμον ὄντα τῷ πρώτῳ φασὶ κτίσαι τὴν ὑπὸ μὲν Αἰγυπτίων καλουμένην Διὸς πόλιν τὴν μεγάλην, ὑπὸ δὲ τῶν Ἑλλήνων Θήβας. τὸν μὲν οὖν περίβολον αὐτὸν ὑποστήσασθαι σταδίων ἑκατὸν καὶ τετταράκοντα, οἰκοδομήμασι δὲ μεγάλοις καὶ ναοῖς εὐπρεπέσι καὶ τοῖς ἄλλοις ἀναθήμασι κοσμῆσαι θαυμαστῶς· ὁμοίως δὲ καὶ τὰς τῶν ἰδιωτῶν οἰκίας ἃς μὲν τετρωρόφους ἃς δὲ πεντωρόφους κατασκευάσαι, καὶ καθόλου τὴν πόλιν εὐδαιμονεστάτην οὐ μόνον τῶν κατ' Αἴγυπτον ἀλλὰ καὶ 55
τῶν ἄλλων πασῶν ποιῆσαι. διὰ δὲ τὴν ὑπερβολὴν τῆς περὶ αὐτὴν εὐπορίας τε καὶ δυνάμεως εἰς πάντα τόπον τῆς φήμης διαδεδομένης ἐπιμεμνῆσθαι καὶ τὸν ποιητὴν αὐτῆς φασιν ἐν οἷς λέγει

οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἔνι κτήματα κεῖται,
αἵθ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν.

ἔνιοι δέ φασιν οὐ πύλας ἑκατὸν ἐσχηκέναι τὴν πόλιν ἀλλὰ πολλὰ καὶ μεγάλα προπύλαια τῶν ἱερῶν, ἀφ' ὧν ἑκατόμπυλον ὠνομάσθαι, καθαπερεὶ πολύπυλον. δισμύρια δ' ἅρματα πρὸς ἀλήθειαν ἐξ αὐτῆς εἰς τοὺς πολέμους ἐκπορεύεσθαι· τοὺς γὰρ ἱππῶνας ἑκατὸν γεγονέναι κατὰ τὴν παραποταμίαν τὴν ἀπὸ Μέμφεως ἄχρι Θηβῶν τῶν κατὰ Λιβύην, ἑκάστου δεχομένου ἀνὰ διακοσίους ἵππους, ὧν ἔτι νῦν τὰ θεμέλια δείκνυσθαι. οὐ μόνον δὲ τοῦτον τὸν βασιλέα παρειλήφαμεν ἀλλὰ καὶ τῶν ὕστερον ἀρξάντων πολλοὺς εἰς τὴν αὔξησιν τῆς πόλεως πεφιλοτιμῆσθαι. ἀναθήμασί τε γὰρ πολλοῖς καὶ μεγάλοις ἀργυροῖς καὶ χρυσοῖς ἔτι δ' ἐλεφαντίνοις καὶ κολοττικῶν ἀνδριάντων πλήθει, πρὸς δὲ τούτοις κατασκευαῖς μονολίθων ὀβελίσκων, μηδεμίαν τῶν ὑπὸ τὸν ἥλιον οὕτω κεκοσμῆσθαι. τεττάρων γὰρ ἱερῶν κατασκευασθέντων τό τε κάλλος καὶ τὸ μέγεθος θαυμαστῶν ἓν εἶναι τὸ παλαιότατον, τριςκαίδεκα μὲν σταδίων τὴν περίμετρον, πέντε δὲ καὶ τετταράκοντα πηχῶν τὸ ὕψος, εἴκοσι δὲ καὶ τεττάρων ποδῶν τὸ πλάτος τῶν τοίχων. ἀκόλουθον δὲ τῇ μεγαλοπρεπείᾳ ταύτῃ καὶ τὸν ἐν αὐτῷ κόσμον τῶν ἀναθημάτων γενέσθαι, τῇ τε δαπάνῃ θαυμαστὸν καὶ τῇ χειρουργίᾳ περιττῶς εἰργασμένον. τὰς μὲν οὖν οἰκοδομὰς διαμεμενηκέναι μέχρι τῶν νεωτέρων χρόνων, τὸν δ' ἄργυρον καὶ χρυσὸν καὶ τὴν δι' ἐλέφαντος καὶ λιθείας πολυτέλειαν ὑπὸ Περσῶν σεσυλῆσθαι καθ' οὓς καιροὺς ἐνέπρησε τὰ κατ' Αἴγυπτον ἱερὰ Καμβύσης· ὅτε δή φασι τοὺς Πέρσας μετενεγκόντας τὴν εὐπορίαν ταύτην εἰς τὴν Ἀσίαν καὶ τεχνίτας ἐξ Αἰγύπτου παραλαβόντας κατασκευάσαι τὰ περιβόητα βασίλεια τά τε ἐν Περσεπόλει καὶ τὰ ἐν Σούσοις καὶ τὰ ἐν Μηδίᾳ. τοσοῦ-
56 το δὲ πλῆθος χρημάτων ἀποφαίνουσι γεγονέναι τότε κατ' Αἴγυπτον ὥςτε τῶν κατὰ τὴν σύλησιν ἀπολειμμάτων κατακαυθέντων τὰ συναχθέντα κατὰ μικρὸν εὑρεθῆναι χρυσίου μὲν πλείω τῶν τριακοσίων ταλάντων, ἀργυρίου δ' οὐκ ἐλάττω τῶν δισχιλίων καὶ τριακοσίων ταλάντων. εἶναι δέ φασι καὶ τάφους ἐνταῦθα τῶν ἀρχαίων βασιλέων θαυμαστοὺς καὶ τῶν μεταγενεστέρων

28. Μηνᾶ] Μίνος F εἰς D, ἐς caeteri 31. τετρακοσίων] τετταράκοντα BCDFMQ Poggius ἐφ'] a Poggius 34. ὄντα] εἶναι A 35. Διὸς] Solis Poggius 37. τετταράκοντα] τεσσαράκοντα omnes 38. εὐπρεπέσι] ἐκπρεπέσι D et ab correctore A, ἐκτρεπέσι a prima manu A, εὐτρεπέσι B

55. 42. τῶν] τὸν D 43. περὶ] ὑπὲρ B, εἰς AG 44. εὐπορίας] ἐμπορίας BG et correctus in marg. A 45. διαδεδομένης] διαδεδομένης (sic) E 46. φασιν] φησι G 49. ἀν' ἑκάστην] ἐν ἑκάστῃ AEGQ. in earum qualibet Poggius 50. ἐξοιχνεῦσι] ἐξιχνεῦσι AEFG, ἐξιχνεύουσι B, ἐξοιχνεύει D ἵπποισι omnes 53. πολύπυλον] πολύπολον C 54. ἐξ αὐτῆς omisit M

55. ἐκπορεύεσθαι] ἐξιέναι CFMQ 56. κατὰ] παρὰ G 57. κατὰ] κατὰ τὴν D 61 πεφιλοτιμῆσθαι] τιμᾶσθαι AB 62. ἐλεφαντίνοις] ἐλεφαντίνων ABD 63. κολοττικῶν] κολοσσιαίων F, caeteri κολοσσικῶν 64. μηδεμίαν] οὐδεμίαν G 66. θαυμαστῶν] θαυμαστὸν DE 67. ἓν] om. DE, ὃν F 70. τοίχων] τρίχων F 72. περιττῶς] περιττότερον (D)FQ, περιτγῶς C 75. λιθείας BCFMQ, λιθέας D, caeteri λίθων 80. Περσεπόλει] Περσῶν πόλει ABDEQ 81. τοσοῦτο DF, caeteri τοσοῦτον

56. 83. κατακαυθέντων CF, caeteri praeponunt τῶν, quod asterisco notavit Stephanus 85. ἀργυρίου D, caeteri ἀργύρου ἐλάττω] ἐλάττον F 86. εἶναι] εἰδέναι F

τοῖς εἰς τὰ παραπλήσια φιλοτιμουμένοις ὑπερβολὴν οὐκ ἀπολείποντας. οἱ μὲν οὖν ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἔφασαν εὑρίσκειν ἑπτὰ πρὸς τοῖς τετταράκοντα τάφους βασιλικούς· εἰς δὲ Πτολεμαῖον τὸν Λάγου διαμεῖναί φασιν ἑπτακαίδεκα μόνον, ὧν τὰ πολλὰ κατέφθαρτο καθ' οὓς χρόνους παρεβάλομεν ἡμεῖς εἰς ἐκείνους τοὺς τόπους, ἐπὶ τῆς ἑκατοστῆς καὶ ὀγδοηκοστῆς Ὀλυμπιάδος. οὐ μόνον δ' οἱ κατ' Αἴγυπτον ἱερεῖς ἐκ τῶν ἀναγραφῶν ἱστοροῦσιν, ἀλλὰ καὶ πολλοὶ τῶν Ἑλλήνων τῶν παραβαλόντων μὲν εἰς τὰς Θήβας ἐπὶ Πτολεμαίου τοῦ Λάγου, συντα-

47 ξαμένων δὲ τὰς Αἰγυπτιακὰς ἱστορίας, ὧν ἐστι καὶ Ἑκαταῖος, συμφωνοῦσι τοῖς ὑφ' ἡμῶν εἰρημένοις. ἀπὸ γὰρ τῶν πρώτων τάφων, ἐν οἷς παραδέδοται τὰς παλλακίδας τοῦ Διὸς τεθάφθαι, δέκα σταδίων φασὶν ὑπάρξαι βασιλέως μνῆμα τοῦ προσαγορευθέντος Ὀσυμανδύου. τούτου δὲ κατὰ μὲν τὴν εἴσοδον ὑπάρχειν πυλῶνα λίθου ποικίλου, τὸ μὲν μῆκος δίπλεθρον, τὸ δ' ὕψος τετταράκοντα καὶ πέντε πηχῶν. διελθόντι δὲ αὐτὸν εἶναι λίθινον περίστυλον τετράγωνον, ἑκάστης πλευρᾶς οὔσης τεττάρων πλέθρων· ὑπηρεῖσθαι δ' ἀντὶ τῶν κιόνων ζῴδια πηχῶν ἑκκαίδεκα μονόλιθα, τὸν τύπον εἰς τὸν ἀρχαῖον τρόπον εἰργασμένα· τὴν ὀροφήν τε πᾶσαν ἐπὶ πλάτος δυοῖν ὀργυιῶν ὑπάρχειν μονόλιθον, ἀστέρας ἐν κυανῷ καταπεποικιλμένην· ἑξῆς δὲ τοῦ περιστύλου τούτου πάλιν ἑτέραν εἴσοδον καὶ πυλῶνα τὰ μὲν ἄλλα παραπλήσιον τῷ προειρημένῳ, γλυφαῖς δὲ παντοίαις περιττότερον εἰργασμένον. παρὰ δὲ τὴν εἴσοδον ἀνδριάντας εἶναι τρεῖς ἐξ ἑνὸς τοὺς πάντας λίθου Μέμνονος τοῦ Συηνί-

88. παραπλήσια] πλήσια A, πλούσια B 89. ἀπολείποντας] ἀπολείποντα D 91. δὲ om. A 92. διαμεῖναί] διαμένειν F φασιν om. CF 93. τὰ πολλὰ] οἱ πολλοὶ G 98. συνταξαμένων] καὶ συνταξάμενοι E, καὶ συνταξαμένων A 100. ὑφ'] παρ' AE 2. δέκα σταδίων] δὲ ἕκαστα δι' ὧν F φασὶν] φησὶν D, φησὶ CF 4. Ὀσυμανδύου] Ὀσυμανδέως A EQ, Ὀσυμάνδεως D et argumentum ex A ad p. 51. 18 appositum, *regis qui Simandius dictus est* Poggius, Ὀσυμανδανέως C, ad quam formam aberravit etiam liber unus Tzetzae Chil. III. 892. 8. τεττάρων] τετταράκοντα ABE ὑπηρεῖσθαι] ὑπερηρεῖσθαι margo G 10. εἰς τὸν CDFQ, caeteri τὸν: *ad antiquam formam fabricata* Poggius ἀρχαῖον] ἀρχαιότατον FQ 11. δυοῖν C, caeteri δυεῖν 16. τοὺς πάντας asterisco notavit Stephanus 17. Μέμνονος] τεμνομένους Salmasius: sed temporis praeteriti verbo hic opus Συηνίτου Salmasius, Συμηνίτου G, Συμηκίτου F, Συνίτου C correctus, Συκνίτου pr. C cum caeteris: Poggius *statuae tres positae erant ingentes unici lapidis Mennonis opus*



του· καὶ τούτων ἕνα μὲν καθήμενον ὑπάρχειν μέγιστον πάντων τῶν κατ' Αἴγυπτον, οὗ τὸν πόδα μετρούμενον

57 ὑπερβάλλειν τοὺς ἑπτὰ πήχεις, ἑτέρους δὲ δύο πρὸς τοῖς γόνασι, τὸν μὲν ἐκ δεξιῶν, τὸν δὲ ἐξ εὐωνύμων, θυγατρὸς καὶ μητρός, τῷ μεγέθει λειπομένους τοῦ προειρημένου. τὸ δ' ἔργον τοῦτο μὴ μόνον εἶναι κατὰ τὸ μέγεθος ἀποδοχῆς ἄξιον, ἀλλὰ καὶ τῇ τέχνῃ θαυμαστὸν καὶ τῇ τοῦ λίθου φύσει διαφέρον, ὡς ἂν ἐν τηλικούτῳ μεγέθει μήτε διαφυάδος μήτε κηλῖδος μηδεμιᾶς θεωρουμένης. ἐπιγεγράφθαι δ' ἐπ' αὐτοῦ Βασιλεὺς βασιλέων Ὀσυμανδύας εἰμί. εἰ δέ τις εἰδέναι βούλεται πηλίκος εἰμὶ καὶ ποῦ κεῖμαι, νικάτω τι τῶν ἐμῶν ἔργων. εἶναι δὲ καὶ ἄλλην εἰκόνα τῆς μητρὸς αὐτοῦ καθ' αὑτὴν εἴκοσι πηχῶν μονόλιθον, ἔχουσαν δὲ τρεῖς βασιλείας ἐπὶ τῆς κεφαλῆς, ἃς διασημαίνειν ὅτι καὶ θυγάτηρ καὶ γυνὴ καὶ μήτηρ βασιλέως ὑπῆρξε. μετὰ δὲ τὸν πυλῶνα περίστυλον εἶναι τοῦ προτέρου ἀξιολογώτερον, ἐν ᾧ γλυφὰς ὑπάρχειν παντοίας δηλούσας τὸν πόλεμον τὸν γενόμενον αὐτῷ πρὸς τοὺς ἐν τοῖς Βάκτροις ἀποστάντας· ἐφ' οὓς ἐστρατεῦσθαι πεζῶν μὲν τετταράκοντα μυριάσιν, ἱππεῦσι δὲ δισμυρίοις, εἰς τέτταρα μέρη διῃρημένης τῆς πάσης στρατιᾶς, ὧν ἁπάντων υἱοὺς τοῦ βασιλέως ἐσχη- 48

κέναι τὴν ἡγεμονίαν. καὶ κατὰ μὲν τὸν πρῶτον τῶν τοίχων τὸν βασιλέα κατεσκευάσθαι πολιορκοῦντα τεῖχος ὑπὸ ποταμοῦ περιῤῥυτον καὶ προκινδυνεύοντα πρός τινας ἀντιτεταγμένους μετὰ λέοντος, συναγωνιζομένου τοῦ θηρίου καταπληκτικῶς· ὑπὲρ ὧν τῶν ἐξηγουμένων οἱ μὲν ἔφασαν πρὸς ἀλήθειαν χειροήθη λέοντα τρεφόμενον ὑπὸ τοῦ βασιλέως συγκινδυνεύειν αὐτῷ κατὰ τὰς μάχας καὶ τροπὴν ποιεῖν τῶν ἐναντίων διὰ τὴν ἀλκήν, τινὲς δ' ἱστόρουν ὅτι καθ' ὑπερβολὴν ἀνδρεῖος ὢν καὶ φορτικός, ἑαυτὸν ἐγκωμιάζειν βουλόμενος διὰ τῆς τοῦ λέοντος εἰκόνος τὴν διάθεσιν ἑαυτοῦ τῆς ψυχῆς ἐσήμαινεν. ἐν δὲ τῷ δευτέρῳ τοίχῳ τοὺς αἰχμαλώτους ὑπὸ τοῦ βασιλέως ἀγομένους εἰργάσθαι τά τε αἰδοῖα καὶ τὰς χεῖρας

57. 20. ἑτέρους — γόνασι] ἕτεροι — γεγόνασι B 25. διαφέρον] διάφορον F correctus in marg. 27. Ὀσυμανδύας] Ὀσιμανδίας AB, *Simandius* Poggius 29. ἐμῶν om. AE 30. εἴκοσι πηχῶν] πηχῶν εἴκοσι D 36. Βάκτροις] Βακτώοις ABD 37. ἐστρατεῦσθαι AB(D)E, caeteri ἐστρατεῦθαι 39. πάσης] ἁπάσης CF στρατιᾶς] στρατείας CF 40. ἡγεμονίαν] βασιλείαν G correctus in marg., M 41. κατεσκευάσθαι] κατασκευᾶσθαι D 42. πολιορκοῦντα] πολιορκοῦντα τὸ G, πολιορκοῦντο F 44. τοῦ omisit D 45. ὧν] οὗ CD 46. ὑπὸ τοῦ] ὑπὸ AD 48. διὰ] καὶ διὰ B

οὐκ ἔχοντας, δι᾽ ὧν δοκεῖν δηλοῦσθαι διότι ταῖς ψυχαῖς ἄνανδροι καὶ κατὰ τὰς ἐν τοῖς δεινοῖς ἐνεργείας ἄχειρες ἦσαν. τὸν δὲ τρίτον ἔχειν γλυφὰς παντοίας καὶ διαπρεπεῖς γραφάς, δι᾽ ὧν δηλοῦσθαι βουθυσίας τοῦ βασιλέως 58
καὶ θρίαμβον ἀπὸ τοῦ πολέμου καταγόμενον. κατὰ δὲ μέσον τὸν περίστυλον ὑπαίθριον βωμὸν ᾠκοδομῆσθαι τοῦ καλλίστου λίθου τῇ τε χειρουργίᾳ διάφορον καὶ τῷ μεγέθει θαυμαστόν. κατὰ δὲ τὸν τελευταῖον τοῖχον ὑπάρχειν ἀνδριάντας καθημένους δύο μονολίθους ἑπτὰ καὶ εἴκοσι πηχῶν, παρ᾽ οὓς εἰσόδους τρεῖς ἐκ τοῦ περιστύλου κατεσκευάσθαι, καθ᾽ ἃς οἶκον ὑπάρχειν ὑπόστυλον, ᾠδείου τρόπον κατεσκευασμένον, ἑκάστην πλευρὰν ἔχοντα δίπλεθρον. ἐν τούτῳ δ᾽ εἶναι πλῆθος ἀνδριάντων ξυλίνων, διασημαῖνον τοὺς τὰς ἀμφισβητήσεις ἔχοντας καὶ προσβλέποντας τοῖς τὰς δίκας κρίνουσι· τούτους δ᾽ ἐφ᾽ ἑνὸς τῶν τοίχων ἐγγεγλύφθαι τριάκοντα τὸν ἀριθμόν, καὶ κατὰ τὸ μέσον τὸν ἀρχιδικαστήν, ἔχοντα τὴν ἀλήθειαν ἐξηρτημένην ἐκ τοῦ τραχήλου καὶ τοὺς ὀφθαλμοὺς ἐπιμύουσαν, καὶ βιβλίων αὐτῷ παρακείμενον πλῆθος· ταύτας δὲ τὰς εἰκόνας ἐνδείκνυσθαι διὰ τοῦ σχήματος ὅτι τοὺς μὲν δικαστὰς οὐδὲν δεῖ λαμβάνειν, τὸν ἀρχιδικα-
49 στὴν δὲ πρὸς μόνην βλέπειν τὴν ἀλήθειαν. ἑξῆς δ᾽ ὑπάρχειν περίπατον οἴκων παντοδαπῶν πλήρη, καθ᾽ οὓς παντοῖα γένη βρωτῶν κατεσκευάσθαι τῶν πρὸς ἀπόλαυσιν ἡδίστων. καθ᾽ ὃν δὴ γλυφαῖς ἐντυχεῖν εἶναι καὶ χρώμασιν ἐπηνθισμένον τὸν βασιλέα, φέροντα τῷ θεῷ χρυσὸν καὶ ἄργυρον ὃν ἐξ ἁπάσης ἐλάμβανε τῆς Αἰγύπτου κατ᾽ ἐνιαυτὸν ἐκ τῶν ἀργυρείων καὶ χρυσείων μετάλλων· ὑπογεγράφθαι δὲ καὶ τὸ πλῆθος, ὃ συγκεφαλαιούμενον εἰς ἀργυρίου λόγον εἶναι μνῶν τρισχιλίας καὶ διακοσίας μυριάδας. ἑξῆς δ᾽ ὑπάρχειν τὴν ἱερὰν βιβλιοθήκην, ἐφ᾽ ἧς ἐπιγεγράφθαι Ψυχῆς ἰατρεῖον, συνεχεῖς δὲ ταύτῃ τῶν κατ᾽ Αἴγυπτον θεῶν ἁπάντων εἰ-

54. δοκεῖν AC, caeteri δοκεῖ 57. διαπρεπεῖς] ἀπρεπεῖς ABDE, εὐπρεπεῖς margo A

58. 60. κατεσκευάσθαι] ᾠκοδομῆσθαι CFQ, οἰκοδομῆσαι D, κατασκευάσαι B 63. οὓς ACDE, caeteri οἷς: *ad quas* Poggius

65. ᾠδείου] ᾄδείου G κατεσκευασμένον] κατεσκευασμένους AE, κατεσκευασμένην FG: „B *post haec literis quibusdam et vocibus truncatus est.*“ Wesseling. 66. ἑκάστην om. FG 69. τὰς omisit A 70. τὸ μέσον] μέσον C 74. διὰ] κατὰ ABE 78. βρωτῶν] βροτῶν E 79. ἐντυχεῖν] ἐντυχαῖς FGM et nescio qui Stephani, *sculptus deinde eminens caeteris rex variis coloribus* Poggius: subest his aliquid mendi 82. ἀργυρείων] ἀργυρίων D 83. χρυσείων] χρυσίων CD 84. ὃ om. ABD



κόνας, τοῦ βασιλέως ὁμοίως δωροφοροῦντος ἃ προσῆκον ἦν ἑκάστοις, καθάπερ ἐνδεικνυμένου πρός τε τὸν Ὄσιριν καὶ τοὺς κάτω παρέδρους ὅτι τὸν βίον ἐξετέλεσεν εὐσεβῶν καὶ δικαιοπραγῶν πρός τε ἀνθρώπους καὶ
59 θεούς. ὁμότοιχον δὲ τῇ βιβλιοθήκῃ κατεσκευάσθαι περιττῶς οἶκον εἰκοσίκλινον, ἔχοντα τοῦ τε Διὸς καὶ τῆς Ἥρας ἔτι δὲ τοῦ βασιλέως εἰκόνας, ἐν ᾧ δοκεῖν καὶ τὸ σῶμα τοῦ βασιλέως ἐντεθάφθαι. κύκλῳ δὲ τούτου πλῆθος οἰκημάτων κατεσκευάσθαι γραφὴν ἐχόντων εὐπρεπῆ πάντων τῶν καθιερωμένων ἐν Αἰγύπτῳ ζῴων. ἀνάβασίν τε δι᾽ αὐτῶν εἶναι πρὸς ὅλον τὸν τάφον· ἣν διελθοῦσιν ὑπάρχειν ἐπὶ τοῦ μνήματος κύκλον χρυσοῦν τριακοσίων καὶ ἑξήκοντα καὶ πέντε πηχῶν τὴν περίμετρον, τὸ δὲ πάχος πηχυαῖον· ἐπιγεγράφθαι δὲ καὶ διῃρῆσθαι καθ᾽ ἕκαστον πῆχυν τὰς ἡμέρας τοῦ ἐνιαυτοῦ, παραγεγραμμένων τῶν κατὰ φύσιν γινομένων τοῖς ἄστροις ἀνατολῶν τε καὶ δύσεων καὶ τῶν διὰ ταύτας ἐπιτελουμένων ἐπισημασιῶν κατὰ τοὺς Αἰγυπτίους ἀστρολόγους· τοῦτον δὲ τὸν κύκλον ὑπὸ Καμβύσου καὶ Περσῶν ἔφασαν σεσυλῆσθαι καθ᾽ οὓς χρόνους ἐκράτησεν Αἰγύπτου. τὸν μὲν οὖν Ὀσυμανδύου τοῦ βασιλέως τάφον τοιοῦτον γενέσθαι φασίν, ὃς οὐ μόνον δοκεῖ τῇ κατὰ τὴν δαπάνην χορηγίᾳ πολὺ τῶν ἄλλων διενεγκεῖν ἀλλὰ καὶ τῇ τῶν τεχνιτῶν ἐπινοίᾳ. οἱ δὲ Θηβαῖοί φασιν ἑαυτοὺς ἀρ- 50
χαιοτάτους εἶναι πάντων ἀνθρώπων, καὶ παρ᾽ ἑαυτοῖς πρώτοις φιλοσοφίαν τε εὑρῆσθαι καὶ τὴν ἐπ᾽ ἀκριβὲς ἀστρολογίαν, ἅμα καὶ τῆς χώρας αὐτοῖς συνεργούσης πρὸς τὸ τηλαυγέστερον ὁρᾶν τὰς ἐπιτολάς τε καὶ δύσεις τῶν ἄστρων. ἰδίως δὲ καὶ τὰ περὶ τοὺς μῆνας αὐτοῖς καὶ τοὺς ἐνιαυτοὺς διατετάχθαι· τὰς γὰρ ἡμέρας οὐκ ἄγουσι κατὰ σελήνην ἀλλὰ κατὰ τὸν ἥλιον, τριακονθημέρους μὲν τιθέμενοι τοὺς μῆνας, πέντε δ᾽ ἡμέρας καὶ τέταρτον τοῖς δώδεκα μησὶν ἐπάγουσι, καὶ τούτῳ τῷ τρόπῳ τὸν ἐνιαύσιον κύκλον ἀναπληροῦσιν· ἐμβολίμους

89. δωροφοροῦντος] δορυφοροῦντος BD 92. ὁμότοιχον ABC(D), caeteri ὁμόστοιχον

59. 95. ἐντεθάφθαι] scribebatur ἐντετάφθαι 97. εὐπρεπῆ] ἐκπρεπῆ BD, εὐτρεπῆ G καθιερωμένων] καθιερῶν AB 98. δι᾽ ABDE, caeteri ἀπ᾽ 99. ἐπὶ] ἀπὸ G correctus in marg., ὑπὸ M 2. διῃρῆσθαι] διῃρεῖσθαι FG 8. τὸν ABC(D)E, caeteri τοῦ Ὀσυμανδύου] Ὀσυμανδέως AEQ, Ὀσυμάνδεως D, Ὀσυμανδέου FG, *Simandii* Poggius 13. ἀνθρώπων] τῶν ἀνθρώπων AE πρώτοις] πρῶτον FM et G correctus in marg.

15. συνεργούσης] συνεργάσης FG πρὸς] εἰς FG τὸ om. ABE τηλαυγέστερον] τηλαυγέστερον αὐτοὺς AD, τηλαυγεστέρου αὐτοὺς BE 16. ἐπιτολάς τε] ἐπιστολὰς C 18. διατετάχθαι] praestat fortasse διατέτακται

δὲ μῆνας οὐκ ἄγουσιν οὐδ' ἡμέρας ὑφαιροῦσι, καθάπερ οἱ πλεῖστοι τῶν Ἑλλήνων. περὶ δὲ τῶν ἐκλείψεων ἡλίου τε καὶ σελήνης ἀκριβῶς ἐπεσκέφθαι δοκοῦσι, καὶ προῤῥήσεις περὶ τούτων ποιοῦνται πάντα τὰ κατὰ μέρος γινόμενα προλέγοντες ἀδιαπτώτως.

Τῶν δὲ τούτου τοῦ βασιλέως ἀπογόνων ὄγδοος ὁ ἀπὸ τοῦ πατρὸς προςαγορευθεὶς Οὐχορεὺς ἔκτισε πόλιν 60
Μέμφιν, ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον. ἐξελέξατο μὲν γὰρ τόπον ἐπικαιρότατον ἁπάσης τῆς χώρας, ὅπου σχιζόμενος ὁ Νεῖλος εἰς πλείονα μέρη ποιεῖ τὸ καλούμενον ἀπὸ τοῦ σχήματος Δέλτα· διὸ καὶ συνέβη τὴν πόλιν εὐκαίρως κειμένην ἐπὶ τῶν κλείθρων εἶναι κυριεύουσαν τῶν εἰς τὴν ἄνω χώραν ἀναπλεόντων. τὸν μὲν οὖν περίβολον τῆς πόλεως ἐποίησε σταδίων ἑκατὸν καὶ πεντήκοντα, τὴν δὲ ὀχυρότητα καὶ τὴν εὐχρηστίαν θαυμαστὴν τοιῷδέ τινι τρόπῳ κατασκευάσας. ῥέοντος γὰρ τοῦ Νείλου περὶ τὴν πόλιν καὶ κατὰ τὰς ἀναβάσεις ἐπικλύζοντος, ἀπὸ μὲν τοῦ νότου προεβάλετο χῶμα παμμέγεθες, πρὸς μὲν τὴν πλήρωσιν τοῦ ποταμοῦ προβλήματος, πρὸς δὲ τοὺς ἀπὸ τῆς γῆς πολεμίους ἀκροπόλεως ἔχον τάξιν· ἐκ δὲ τῶν ἄλλων μερῶν πανταχόθεν ὤρυξε λίμνην μεγάλην καὶ βαθεῖαν, ἣ τὸ σφοδρὸν τοῦ ποταμοῦ δεχομένη καὶ πάντα τὸν περὶ τὴν πόλιν τόπον πληροῦσα, πλὴν ᾗ τὸ χῶμα κατεσκεύαστο, θαυμαστὴν ἐποίει τὴν ὀχυρότητα. οὕτω δὲ καλῶς ὁ κτίσας αὐτὴν ἐστοχάσατο τῆς τῶν τόπων εὐκαιρίας ὥςτε τοὺς ἑξῆς βασιλεῖς σχεδὸν ἅπαντας καταλιπόντας τὰς Θήβας τά τε βασίλεια καὶ τὴν οἴκησιν ἐν ταύτῃ ποιεῖσθαι. διόπερ ἀπὸ τούτων τῶν χρόνων ἤρξατο ταπεινοῦσθαι μὲν τὰ περὶ τὰς Θήβας, αὔξεσθαι δὲ τὰ περὶ τὴν Μέμφιν, ἕως Ἀλεξάνδρου τοῦ βασιλέως· τούτου γὰρ ἐπὶ θαλάττῃ τὴν ἐπώνυμον αὐτῷ πόλιν οἰκίσαντος οἱ κατὰ τὸ ἑξῆς βασιλεύσαντες τῆς Αἰγύπτου πάντες ἐφιλοτιμήθησαν εἰς

28. ὁ ἀπὸ τοῦ πατρὸς om. CFGM Poggius, ἀπὸ τοῦ π. asterisco notavit Stephanus

60. 29. πόλιν Μέμφιν, ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον] πόλιν ἐπιφανεστάτην Μέμφιν τοὔνομα FQ, πόλιν Μέμφιν τοὔνομα ἐπιφανεστάτην M 33. συνέβη] συμβαίνει CQ 36. τὴν δὲ] τήν τε (D) Stephanus, nisi 37. κατεσκεύασε scribatur τὴν om. D 37. εὐχρηστίαν] εὐχρησίαν D 38. περὶ] παρὰ FG, iuxta Poggius 41. τῆς γῆς] γῆς A 44. ἣ τὸ] ἣ τὸν F 45. τὴν πόλιν om. M πλὴν ᾗ (D), πλὴν ἢ C, πρὶν ἢ FG, excepto aggere Poggius, caeteri ὅπου 46. ἐποίει] ποιεῖ E 50. ἀπὸ] ὑπὸ G 51. ταπ. μὲν] μὲν ταπ. D 52. περὶ] κατὰ CF βασιλέως] Μακεδόνος CFGMQ Poggius 53. ἐπώνυμον] ὁμώνυμον CFG 54. οἰκίσαντος] οἰκήσαντος ADE 55. πάντες om. ADE, asterisco notavit Stephanus



τὴν ταύτης αὔξησιν. οἱ μὲν γὰρ βασιλείοις μεγαλοπρεπέσιν, οἱ δὲ νεωρίοις καὶ λιμέσιν, οἱ δ' ἑτέροις ἀναθήμασι καὶ κατασκευάσμασιν ἀξιολόγοις ἐπὶ τοσοῦτον ἐκόσμησαν αὐτὴν ὥςτε παρὰ τοῖς πλείστοις πρώτην ἢ δευτέραν ἀριθμεῖσθαι τῶν κατὰ τὴν οἰκουμένην πόλεων. ἀλλὰ περὶ μὲν ταύτης τὰ κατὰ μέρος ἐν τοῖς ἰδίοις χρόνοις ἀναγράψομεν. ὁ δὲ τὴν Μέμφιν κτίσας μετὰ τὴν 51
τοῦ χώματος καὶ τῆς λίμνης κατασκευὴν ᾠκοδόμησε βασίλεια τῶν μὲν παρὰ τοῖς ἄλλοις οὐ λειπόμενα, τῆς δὲ τῶν προβασιλευσάντων μεγαλοψυχίας καὶ φιλοκαλίας οὐκ ἄξια. οἱ γὰρ ἐγχώριοι τὸν μὲν ἐν τῷ ζῆν χρόνον εὐτελῆ παντελῶς εἶναι νομίζουσι, τὸν δὲ μετὰ τὴν τελευτὴν δι' ἀρετὴν μνημονευθησόμενον περὶ πλείστου ποιοῦνται, καὶ τὰς μὲν τῶν ζώντων οἰκήσεις καταλύσεις ὀνομάζουσιν, ὡς ὀλίγον χρόνον ἐν ταύταις οἰκούντων ἡμῶν, τοὺς δὲ
61 τῶν τετελευτηκότων τάφους ἀϊδίους οἴκους προσαγορεύουσιν, ὡς ἐν Ἅιδου διατελούντων τὸν ἄπειρον αἰῶνα. διόπερ τῶν μὲν κατὰ τὰς οἰκίας κατασκευῶν ἧττον φροντίζουσι, περὶ δὲ τὰς ταφὰς ὑπερβολὴν οὐκ ἀπολείπουσι φιλοτιμίας. τὴν δὲ προειρημένην πόλιν ὀνομασθῆναί τινές φασιν ἀπὸ τῆς θυγατρὸς τοῦ κτίσαντος αὐτὴν βασιλέως. ταύτης δὲ μυθολογοῦσί τινες ἐρασθῆναι τὸν ποταμὸν Νεῖλον ὁμοιωθέντα ταύρῳ, καὶ γεννῆσαι τὸν ἐπ' ἀρετῇ θαυμασθέντα παρὰ τοῖς ἐγχωρίοις Αἴγυπτον, ἀφ' οὗ καὶ τὴν σύμπασαν χώραν τυχεῖν τῆς προςηγορίας. διαδεξάμενον γὰρ τοῦτον τὴν ἡγεμονίαν γενέσθαι βασιλέα φιλάνθρωπον καὶ δίκαιον καὶ καθόλου σπουδαῖον ἐν πᾶσι· διὸ καὶ μεγάλης ἀποδοχῆς ἀξιούμενον ὑπὸ πάντων διὰ τὴν εὔνοιαν τυχεῖν τῆς προειρημένης τιμῆς.

Μετὰ δὲ τὸν προειρημένον βασιλέα δώδεκα γενεαῖς ὕστερον διαδεξάμενος τὴν κατ' Αἴγυπτον ἡγεμονίαν Μοῖρις ἐν μὲν τῇ Μέμφει κατεσκεύασε τὰ βόρεια προπύλαια, τῇ μεγαλοπρεπείᾳ πολὺ τῶν ἄλλων ὑπερέχοντα, ἐπάνω δὲ τῆς πόλεως ἀπὸ δέκα σχοίνων λίμνην ὤρυξε τῇ μὲν εὐχρηστίᾳ θαυμαστήν, τῷ δὲ μεγέθει τῶν ἔργων ἄπιστον· τὴν μὲν γὰρ περίμετρον αὐτῆς φασιν ὑπάρχειν σταδίων τριςχιλίων καὶ ἑξακοσίων, τὸ δὲ βάθος ἐν τοῖς πλείστοις μέρεσιν ὀργυιῶν πεντήκοντα· ὥςτε τίς οὐκ ἂν

67. τελευτὴν om. C μνημονευθησόμενον] μνημονευθησόμενοι ed. Wesselingii: τὸ δὲ — μνημονεύεσθαι Reiskius

61. 71. ἀϊδίους] ὡς ἰδίους AB 77. τινες om. BCDE, asterisco notavit Stephanus 80. χώραν om. CM 81. βασιλέα om. A 86. ἡγεμονίαν] βασιλείαν F Μοῖρις C, caeteri Μύρις vel Μῦρις 88. πολὺ om. CFG, asterisco notavit Stephanus 89. ἀπὸ δέκα σχοίνων om. E, decem stadiis Poggius

ἀναλογιζόμενος τὸ μέγεθος τοῦ κατασκευάσματος εἰκότως ζητήσαι πόσαι μυριάδες ἀνδρῶν ἐν πόσοις ἔτεσι τοῦτο συνετέλεσαν; τὴν δὲ χρείαν τὴν ἐκ ταύτης καὶ κοινωφέλειαν τοῖς τὴν Αἴγυπτον οἰκοῦσιν ἔτι δὲ τὴν τοῦ βασιλέως ἐπίνοιαν οὐκ ἄν τις ἐπαινέσειε τῆς ἀληθείας ἀξίως. 52 ἐπειδὴ γὰρ ὁ μὲν Νεῖλος οὐχ ὡρισμένας ἐποιεῖτο τὰς ἀναβάσεις, ἡ δὲ χώρα τὴν εὐκαρπίαν παρεσκεύαζεν ἀπὸ τῆς ἐκείνου συμμετρίας, εἰς ὑποδοχὴν τοῦ πλεονάζοντος ὕδατος ὤρυξε τὴν λίμνην, ὅπως μήτε διὰ τὸ πλῆθος τῆς ῥύσεως ἐπικλύζων ἀκαίρως τὴν χώραν ἕλη καὶ λίμνας κατασκευάζῃ, μήτ' ἐλάττω τοῦ συμφέροντος τὴν πλήρωσιν ποιούμενος τῇ λειψυδρίᾳ τοὺς καρποὺς λυμαίνηται. καὶ διώρυγα μὲν ἐκ τοῦ ποταμοῦ κατεσκεύασεν εἰς τὴν λίμνην ὀγδοήκοντα μὲν σταδίων τὸ μῆκος, τρίπλεθρον δὲ τὸ πλάτος· διὰ δὲ ταύτης ποτὲ μὲν δεχόμενος τὸν ποταμὸν ποτὲ δ' ἀποστρέφων παρείχετο τοῖς γεωργοῖς τὴν τῶν ὑδάτων εὐκαιρίαν, ἀνοιγομένου τοῦ στόματος καὶ πάλιν κλειομένου φιλοτέχνως καὶ πολυδαπάνως· οὐκ ἐλάττω γὰρ τῶν πεντήκοντα τα- 62 λάντων δαπανᾶν ἦν ἀνάγκη τὸν ἀνοῖξαι βουλόμενον ἢ κλεῖσαι τὸ προειρημένον κατασκεύασμα. διαμεμένηκε δ' ἡ λίμνη τὴν εὐχρηστίαν παρεχομένη τοῖς κατ' Αἴγυπτον ἕως τῶν καθ' ἡμᾶς χρόνων, καὶ τὴν προςηγορίαν ἀπὸ τοῦ κατασκευάσαντος ἔχει, καλουμένη μέχρι τοῦ νῦν Μοίριδος λίμνη. ὁ δ' οὖν βασιλεὺς ὀρύττων ταύτην κατέλιπεν ἐν μέσῃ τόπον, ἐν ᾧ τάφον ᾠκοδόμησε καὶ δύο πυραμίδας, τὴν μὲν ἑαυτοῦ, τὴν δὲ τῆς γυναικός, σταδιαίας τὸ ὕψος, ἐφ' ὧν ἐπέστησεν εἰκόνας λιθίνας καθημένας ἐπὶ θρόνου, νομίζων διὰ τούτων τῶν ἔργων ἀθάνατον ἑαυτῷ καταλείψειν τὴν ἐπ' ἀγαθῷ μνήμην. τὴν δ' ἐκ τῆς λίμνης ἀπὸ τῶν ἰχθύων γινομένην πρόςοδον ἔδωκε τῇ γυναικὶ πρὸς μύρα καὶ τὸν ἄλλον καλλωπισμόν, φερούσης τῆς θήρας ἀργυρίου τάλαντον ἑκά-

96. τὴν ἐκ] τοῖς ἐκ B 97. κοινωφέλειαν] κοινὴν ὠφέλειαν CQ 6. λειψυδρίᾳ] λειψυδρείᾳ D 7. διώρυγα] διώρυγμα AB 8. ὀγδοήκοντα] octoginta quinque Poggius 9. μῆκος] μέγεθος G correctus in marg, μέγεθος καὶ τὸ μῆκος M τρίπλεθρον] iugeris Poggius 12. φιλοτέχνως] πολυτελῶς CM Poggius pro hoc et sequenti *non absque magna impensa*
62, 15. προειρημένον BCDFG, caeteri τοιοῦτον διαμεμένηκε] διέμεινε G 18. ἔχει] ἔχειν FG 19. Μοίριδος C, caeteri Μύριδος 20. κατέλιπεν] κατέλειπεν G, κατέλαβεν margo G τάφον] τόπον G, τόπῳ M, omisso quod sequitur καὶ 23. θρόνου] θρόνων C 24. ἑαυτῷ] ἑαυτοῦ D καταλείψειν] καταλεῖψαι ABE τὴν om. CDG, asterisco notavit Stephanus 26. μύρα] μοῖραν AB



στης ἡμέρας. εἴκοσι γὰρ καὶ δύο γένη τῶν κατ' αὐτήν φασιν ἰχθύων εἶναι, καὶ τοσοῦτον αὐτῶν ἁλίσκεσθαι πλῆθος ὥςτε τοὺς προςκαρτεροῦντας ταῖς ταριχείαις ὄντας παμπληθεῖς δυςχερῶς περιγίνεσθαι τῶν ἔργων. περὶ μὲν οὖν Μοίριδος τοσαῦθ' ἱστοροῦσιν Αἰγύπτιοι.

53 Σεσόωσιν δέ φασιν ὕστερον ἑπτὰ γενεαῖς βασιλέα γενόμενον ἐπιφανεστάτας καὶ μεγίστας τῶν πρὸ αὐτοῦ πράξεις ἐπιτελέσασθαι. ἐπεὶ δὲ περὶ τούτου τοῦ βασιλέως οὐ μόνον οἱ συγγραφεῖς οἱ παρὰ τοῖς Ἕλλησι διαπεφωνήκασι πρὸς ἀλλήλους, ἀλλὰ καὶ τῶν κατ' Αἴγυπτον οἵ τε ἱερεῖς καὶ οἱ διὰ τῆς ᾠδῆς αὐτὸν ἐγκωμιάζοντες οὐχ ὁμολογούμενα λέγουσιν, ἡμεῖς πειρασόμεθα τὰ πιθανώτατα καὶ τοῖς ὑπάρχουσιν ἔτι κατὰ τὴν χώραν σημείοις τὰ μάλιστα συμφωνοῦντα διελθεῖν. γεννηθέντος γὰρ τοῦ Σεσοώσιος ὁ πατὴρ αὐτοῦ μεγαλοπρεπές τι καὶ βασιλικὸν ἐποίησε. τοὺς γὰρ κατὰ τὴν αὐτὴν ἡμέραν γεννηθέντας παῖδας ἐξ ὅλης τῆς Αἰγύπτου συναγαγὼν καὶ τροφοὺς καὶ τοὺς ἐπιμελησομένους ἐπιστήσας τὴν αὐτὴν ἀγωγὴν καὶ παιδείαν ὥρισε τοῖς πᾶσιν, ὑπολαμβάνων τοὺς μάλιστα συντραφέντας καὶ τῆς αὐτῆς παῤῥησίας κεκοινωνηκότας εὐνουστάτους καὶ συναγωνιστὰς ἐν τοῖς πολέμοις ἀρίστους ἔσεσθαι. πάντα δὲ δαψιλῶς χορηγήσας διεπόνησε τοὺς παῖδας ἐν γυμνασίοις συνεχέσι καὶ πόνοις. οὐδενὶ γὰρ αὐτῶν ἐξῆν προςενέγκασθαι τροφήν, εἰ μὴ πρότερον δράμοι σταδίους ἑκατὸν 63 καὶ ὀγδοήκοντα. διὸ καὶ πάντες ἀνδρωθέντες ὑπῆρξαν ἀθληταὶ μὲν τοῖς σώμασιν εὔρωστοι, ἡγεμονικοὶ δὲ καὶ

29. ἁλίσκεσθαι] ἁλίσκεται E 31. περιγίνεσθαι] περιγίγνεσθαι BD 32. Μοίριδος ed. Wessel.: libri Μύριδος τοσαῦθ' A(D)E, caeteri τοσαῦτα 33. Σεσόωσιν] Σέσωστριν C et Poggius Wesselingii: nam meus constanter *Sesosis*. „*Legitur et* Σέσωσιν, *itidem postea* Σεσώσιος *et* Σέσωσιν *pro* Σεσοώσιος *et* Σεσόωσιν. *At Herodotus hunc* Σέσωστριν *appellat. Vnum ex nostris exemplaribus, quum antea passim* Σεσόωσις *et* Σεσοώσιος *et* Σεσόωσιν *scriptum habuissent cum οω ubique, ubi ventum est ad historiam illam quae narratur p.* 37. (68. 77. W.), *toties* Σεσώστριδος *habet, quoties caetera* Σεσοώσιος. *Suidas dicit* Σεσόωσις *proprium esse nomen, non addens cuius: at* Σέσωστρις *illi est rex Aegypti.*" Stephanvs 35. πράξεις ἐπιτελέσασθαι CD, ἐπιτελέσασθαι πράξεις FG, caeteri τάξεις ἐπιτελέσασθαι καὶ πράξεις, quorum τάξεις et καὶ asteriscis notavit Stephanus 40. κατὰ τὴν χώραν om. AE, asterisco notavit Stephanus 42. Σεσοώσιος] προειρημένου CFG, *eius* Poggius, προειρημένου Σεσοώσιος M τι] τε A 43. ἐποίησε AB et qui post Σεσοώσιος ponit D, caeteri ἔπραξε 46. παιδείαν] τὴν παιδείαν CD 48. κεκοινωνηκότας] κοινωνήσαντας C 49. ἔσεσθαι] γενέσθαι FG 51. πόνοις] κακοπαθείαις CFGMQ οὐδενὶ] οὐδὲν FG

καρτερικοὶ ταῖς ψυχαῖς διὰ τὴν τῶν ἀρίστων ἐπιτηδευμάτων ἀγωγήν. τὸ μὲν οὖν πρῶτον ὁ Σεσόωσις ἀποσταλεὶς ὑπὸ τοῦ πατρὸς μετὰ δυνάμεως εἰς τὴν Ἀραβίαν, συστρατευομένων καὶ τῶν συντρόφων, περί τε τὰς θήρας διεπονήθη καὶ ταῖς ἀνυδρίαις καὶ σπανοσιτίαις ἐγκαρτερήσας κατεστρέψατο τὸ ἔθνος ἅπαν τὸ τῶν Ἀράβων, ἀδούλωτον τὸν πρὸ τοῦ χρόνον γεγονός. ἔπειτα εἰς τοὺς πρὸς τὴν ἑσπέραν τόπους ἀποσταλεὶς τὴν πλείστην τῆς Λιβύης ὑπήκοον ἐποιήσατο, παντελῶς νέος ὢν τὴν ἡλικίαν. τοῦ δὲ πατρὸς τελευτήσαντος διαδεξάμενος τὴν βασιλείαν καὶ ταῖς προκατεργασθείσαις πράξεσι μετεωρισθείς, ἐπεβάλετο τὴν οἰκουμένην κατακτήσασθαι. ἔνιοι δὲ λέγουσιν αὐτὸν ὑπὸ τῆς ἰδίας θυγατρὸς Ἀθύρτιος παρακληθῆναι πρὸς τὴν τῶν ὅλων δυναστείαν, ἣν οἱ μὲν συνέσει πολὺ τῶν ἄλλων διαφέρουσάν φασι διδάξαι τὸν πατέρα ῥᾳδίως ἂν ἐσομένην τὴν στρατείαν, οἱ δὲ μαντικῇ χρωμένην καὶ τὸ μέλλον ἔσεσθαι προγινώσκουσαν ἔκ τε τῆς θυτικῆς καὶ τῆς ἐγκοιμήσεως τῆς ἐν τοῖς ἱεροῖς ἔτι δὲ τῶν κατὰ τὸν οὐρανὸν γινομένων σημείων. γεγράφασι δέ τινες καὶ διότι κατὰ τὴν γένεσιν τοῦ Σεσοώσιος ὁ πατὴρ αὐτοῦ καθ' ὕπνον δόξαι τὸν Ἥφαιστον αὐτῷ λέγειν ὅτι πάσης τῆς οἰκουμένης ὁ γεννηθεὶς παῖς κρατήσει. διὰ ταύτην οὖν τὴν αἰτίαν τὸν μὲν πατέρα τοὺς ἡλικιώτας τοῦ προειρημένου ἀθροῖσαι καὶ βασιλικῆς ἀγωγῆς ἀξιῶσαι, προκατασκευαζόμενον εἰς τὴν τῶν ὅλων ἐπίθεσιν, αὐτὸν δ' ἀνδρωθέντα καὶ τῇ τοῦ θεοῦ προῤῥήσει πιστεύσαντα κατενεχθῆναι πρὸς

54 τὴν εἰρημένην στρατείαν. πρὸς δὲ ταύτην τὴν ἐπιβολὴν πρῶτον μὲν τὴν πρὸς αὐτὸν εὔνοιαν κατεσκεύασε πᾶσι τοῖς κατ' Αἴγυπτον, ἡγούμενος δεῖν τοὺς μὲν συστρατεύοντας ἑτοίμως ὑπὲρ τῶν ἡγουμένων ἀποθνήσκειν, τοὺς δὲ ἀπολειπομένους ἐπὶ τῶν πατρίδων μηδὲν νεωτερίζειν, εἰ μέλλει τὴν προαίρεσιν ἐπὶ τέλος ἄξειν. διὸ καὶ πάντας ἐκ τῶν ἐνδεχομένων εὐηργέτει, τοὺς μὲν χρημάτων δωρεαῖς ἐκθεραπεύων, τοὺς δὲ χώρας δόσει, τινὰς δὲ τιμωρίας ἀπολύσει, πάντας δὲ ταῖς ὁμιλίαις καὶ τῇ τῶν τρόπων ἐπιεικείᾳ προςήγετο· τῶν τε γὰρ βασιλικῶν ἐγκλημάτων ἅπαντας ἀθῴους ἀφῆκε καὶ τοὺς πρὸς ἀργύριον συγκεκλεισμένους ἀπέλυσε τοῦ χρέους, ὄντος

64 πολλοῦ πλήθους [τῶν ἀνθρώπων] ἐν ταῖς φυλακαῖς. τὴν δὲ χώραν ἅπασαν εἰς ἓξ καὶ τριάκοντα μέρη διελών, ἃ καλοῦσιν Αἰγύπτιοι νομούς, ἐπέστησεν ἅπασι νομάρχας τοὺς ἐπιμελησομένους τῶν τε προςόδων τῶν βασιλικῶν καὶ διοικήσοντας ἅπαντα τὰ κατὰ τὰς ἰδίας μερίδας. ἐπελέξατο δὲ καὶ τούτων τῶν ἀνδρῶν τοὺς ταῖς ῥώμαις διαφέροντας καὶ συνεστήσατο στρατόπεδον ἄξιον τοῦ μεγέθους τῆς ἐπιβολῆς· κατέγραψε γὰρ πεζῶν μὲν ἑξήκοντα μυριάδας, ἱππεῖς δὲ δισμυρίους καὶ τετρακισχιλίους, ζεύγη δὲ πολεμιστήρια δισμύρια καὶ ἑπτακισχίλια. ἐπὶ δὲ τὰς κατὰ μέρος ἡγεμονίας τῶν στρατιωτῶν ἔταξε τοὺς συντρόφους, ἐνηθληκότας μὲν ἤδη τοῖς πολέμοις, ἀρετὴν δ' ἐζηλωκότας ἐκ παίδων, εὔνοιαν δὲ ἀδελφικὴν ἔχοντας πρός τε τὸν βασιλέα καὶ πρὸς ἀλλήλους, ὄντας τὸν ἀριθμὸν πλείους τῶν χιλίων καὶ ἑπτακοσίων. πᾶσι δὲ τοῖς προειρημένοις κατεκληρούχησε τὴν ἀρίστην τῆς χώρας, ὅπως ἔχοντες ἱκανὰς προςόδους καὶ μηδενὸς ἐνδεεῖς ὄντες ἀσκῶσι τὰ περὶ τοὺς πολέμους. κατασκευά- 55

σας δὲ τὴν δύναμιν ἐστράτευσεν ἐπὶ πρώτους Αἰθίοπας τοὺς πρὸς τὴν μεσημβρίαν κατοικοῦντας, καὶ καταπολεμήσας ἠνάγκασε τὸ ἔθνος φόρους τελεῖν ἔβενον καὶ χρυσὸν καὶ τῶν ἐλεφάντων τοὺς ὀδόντας. ἔπειτ' εἰς μὲν τὴν ἐρυθρὰν θάλατταν ἀπέστειλε στόλον νεῶν τετρακοσίων, πρῶτος τῶν ἐγχωρίων μακρὰ σκάφη ναυπηγησάμενος, καὶ τάς τε νήσους τὰς ἐν τοῖς τόποις κατεκτήσατο καὶ τῆς ἠπείρου τὰ παρὰ θάλατταν μέρη κατεστρέψατο

63. 55. ἀρίστων] ἀγαθῶν CFGMQ  58. τε om. C  59. ἀνυδρίαις] ἀνυδρείαις D  60. ἔθνος CDFGMQ, caeteri γένος  61. Ἀράβων Wesseling.: libri βαρβάρων  62. τὴν ἑσπέραν] ἑσπέραν CFGM  ἀποσταλεὶς] ἐκπεμφθεὶς CGMQ  69. ἣν om. D  πολὺ] πολλῇ A  71. μαντικῇ] μαντικὴν F  74. γεγράφασι] φασὶ G, asserunt Poggius  τινες om. G  78. ἡλικιώτας CDFGQ, caeteri συνηλικιώτας  80. αὐτὸν δ'] τὸν δ' αὐτὸν CFG  82. εἰρημένην ABDE, caeteri προειρημένην

84. κατεσκεύασε] ἐγκατεσκεύασε Reiskius  85. ἡγούμενος] ἡγουμένοις ABD  86. ἐπὶ] ἀπὸ F et correctus in margine G  88. ἄξειν] ἀγαγαγεῖν (sic) CFG  ἐνδεχομένων] ἐκδεχομένων C

89. ἐκθεραπεύων] εἰςθεραπεύων FG  92. προςήγετο] προςηγάγετο ABDE  94. ἀπέλυσε] ἅπαντας ἀπέλυσε A

64. 95. πλήθους CFG Poggius, caeteri subiiciunt τῶν ἀνθρώπων, quae asterisco notavit Stephanus: solum ἀνθρώπων non male servabitur  96. τριάκοντα] τέσσαρα FG  97. νομοὺς] νόμους D  ἅπασι νομάρχας] ἅπασιν ὁμάρχας B  99. τὰ asterisco notavit Stephanus  100. τούτων] alienum ab hoc loco: Poggius *ex robusto milite exercitum elegit*  1. στρατόπεδον] τὸ στρατόπεδον D  4. ἑπτακισχίλια] *octo milia* Poggius  5. τῶν στρατιωτῶν ἔταξε D, caeteri ἔταξε τῶν στρατιωτῶν  6. πολέμοις G, caeteri πολεμίοις: *bello* Poggius  7. παίδων] παιδίων GQ  11. ἀρίστην τῆς χώρας] καλλίστην τῆς χώρας M, καλλίστην χώραν CFGQ  14. τὴν μεσημβρίαν] τῇ μεσημβρίᾳ CD  17. θάλατταν] θάλασσαν omnes  18. μακρὰ] μικρὰ ABG  19. ναυπηγησάμενος] ναυπαγήσας G correctus in marg.  21. κατεστρέψατο] κατεσκέψατο G

μέχρι τῆς Ἰνδικῆς· αὐτὸς δὲ μετὰ τῆς δυνάμεως πεζῇ τὴν πορείαν ποιησάμενος κατεστρέψατο πᾶσαν τὴν Ἀσίαν. οὐ μόνον γὰρ τὴν ὕστερον ὑπ᾽ Ἀλεξάνδρου τοῦ Μακεδόνος κατακτηθεῖσαν χώραν ἐπῆλθεν ἀλλὰ καί τινα τῶν ἐθνῶν ὧν ἐκεῖνος οὐ παρέβαλεν εἰς τὴν χώραν. καὶ γὰρ τὸν Γάγγην ποταμὸν διέβη καὶ τὴν Ἰνδικὴν ἐπῆλθε πᾶσαν ἕως Ὠκεανοῦ καὶ τὰ τῶν Σκυθῶν ἔθνη μέχρι Ταναΐδος ποταμοῦ τοῦ διορίζοντος τὴν Εὐρώπην ἀπὸ τῆς Ἀσίας· ὅτε δή φασι τῶν Αἰγυπτίων τινὰς καταλειφθέντας περὶ τὴν Μαιῶτιν λίμνην συστήσασθαι τὸ τῶν Κόλχων ἔθνος. ὅτι δὲ τοῦτο τὸ γένος Αἰγυπτιακόν ἐστι σημεῖον εἶναι τὸ περιτέμνεσθαι τοὺς ἀνθρώπους παραπλησίως τοῖς κατ᾽ Αἴγυπτον, διαμένοντος τοῦ νομίμου παρὰ τοῖς ἀποίκοις, καθάπερ καὶ παρὰ τοῖς Ἰουδαίοις. ὁμοίως δὲ 65 καὶ τὴν λοιπὴν Ἀσίαν ἅπασαν ὑπήκοον ἐποιήσατο καὶ τῶν Κυκλάδων νήσων τὰς πλείους. διαβὰς δ᾽ εἰς τὴν Εὐρώπην καὶ διεξιὼν ἅπασαν τὴν Θρᾴκην ἐκινδύνευσεν ἀποβαλεῖν τὴν δύναμιν διὰ σπάνιν τροφῆς καὶ τόπων δυσχωρίας. διόπερ ὅρια τῆς στρατείας ποιησάμενος ἐν τῇ Θρᾴκῃ στήλας κατεσκεύασεν ἐν πολλοῖς τόποις τῶν ὑπ᾽ αὐτοῦ κατακτηθέντων· αὗται δὲ τὴν ἐπιγραφὴν εἶχον Αἰγυπτίοις γράμμασι τοῖς ἱεροῖς λεγομένοις Τήνδε τὴν χώραν ὅπλοις κατεστρέψατο τοῖς ἑαυτοῦ βασιλεὺς βασιλέων καὶ δεσπότης δεσποτῶν Σεσόωσις. τὴν δὲ στήλην κατεσκεύασεν ἔχουσαν αἰδοῖον ἐν μὲν τοῖς μαχίμοις ἔθνεσιν ἀνδρός, ἐν δὲ τοῖς ἀγεννέσι καὶ δειλοῖς γυναικός, ἀπὸ τοῦ κυριωτέρου μέρους τὴν διάθεσιν τῆς ἑκάστων ψυχῆς φανερωτάτην τοῖς ἐπιγινομένοις ἔσεσθαι νομίζων. ἐν ἐνίοις δὲ τόποις καὶ τὴν ἑαυτοῦ κατεσκεύασεν εἰκόνα λιθίνην, τόξα καὶ λόγχην ἔχουσαν, τῷ μεγέθει τέτταρσι παλαισταῖς μείζονα τῶν τεττάρων πηχῶν, ἡλίκος ὢν καὶ αὐτὸς ἐτύγχανεν. ἐπιεικῶς δὲ προσενεχθεὶς ἅπασι τοῖς

μέχρι — 22. ποιησάμενος om. A 22. πορείαν]ποριὰν διὰ Συρίας D 23. τὴν Ἀσίαν] Ἀσίαν D 24. ὑπ᾽ B(D)G, caeteri ἐπ᾽ τοῦ Μακεδόνος om. Poggius 27. Ἰνδικὴν] *Mediam* Poggius ἐπῆλθε πᾶσαν] ἐπῆλθεν ἅπασαν FG 28. Σκυθῶν] Σκυθικῶν ABDE ἔθνη] μέρη ABE 32. τὸ γένος] τὸ ἔθνος GQ 33. παραπλησίως] παραπλήσιον G

65. 36. ὁμοίως] ὁμοίως· ὡς, interpunctione post Ἰουδαίοις sublata, C, ὡς FG ὑπήκοον] ἐπήκοον AB 37. πλείους CD FGQ, *maiori ex parte* Poggius, caeteri πλείστας 41. στρατείας (D) editio Wesselingii, caeteri στρατιᾶς 43. γράμμασι τοῖς] γράμμασιν AB 44. τήνδε τὴν] τὴν δὲ D 46. Σεσόωσις] Σέσωσις G 49. κυριωτέρου AB(D)Q, *potiori* Poggius, caeteri κυριωτάτου ἑκάστων] ἑκάστου C 52. τῷ μεγέθει] καὶ subiicit F, δὲ C



ὑποτεταγμένοις καὶ συντελέσας τὴν στρατείαν ἐν ἔτεσιν ἐννέα, τοῖς μὲν ἔθνεσι κατὰ δύναμιν προσέταξε δωροφορεῖν κατ᾽ ἐνιαυτὸν εἰς Αἴγυπτον, αὐτὸς δὲ ἀθροίσας αἰχμαλώτων τε καὶ τῶν ἄλλων λαφύρων πλῆθος ἀνυπέρβλητον ἐπανῆλθεν εἰς τὴν πατρίδα, μεγίστας πράξεις τῶν πρὸ αὐτοῦ κατειργασμένος. καὶ τὰ μὲν ἱερὰ πάντα τὰ κατ᾽ Αἴγυπτον ἀναθήμασιν ἀξιολόγοις καὶ σκύλοις ἐκόσμησε, τῶν δὲ στρατιωτῶν τοὺς ἀνδραγαθήσαντας δωρεαῖς κατὰ τὴν ἀξίαν ἐτίμησε. καθόλου δὲ ἀπὸ ταύτης τῆς στρατείας οὐ μόνον ἡ συνανδραγαθήσασα δύναμις μεγάλην εὐπορίαν κτησαμένη τὴν ἐπάνοδον ἐποιήσατο λαμπράν, ἀλλὰ καὶ τὴν Αἴγυπτον ἅπασαν συνέβη παντοίας ὠφελείας ἐμπλησθῆναι.

56 ὁ δὲ Σεσόωσις ἀποστήσας τὰ πλήθη ἀπὸ τῶν πολεμικῶν ἔργων τοῖς μὲν συνανδραγαθήσασι συνεχώρησε τὴν ῥᾳστώνην καὶ τὴν ἀπόλαυσιν τῶν κατακτηθέντων ἀγαθῶν, αὐτὸς δὲ φιλόδοξος ὢν καὶ τῆς εἰς τὸν αἰῶνα μνήμης ὀρεγόμενος, κατεσκεύασεν ἔργα τε μεγάλα καὶ θαυμαστὰ ταῖς ἐπινοίαις καὶ ταῖς χορηγίαις, ἑαυτῷ μὲν ἀθάνατον περιποιοῦντα δόξαν, τοῖς δ᾽ Αἰγυπτίοις τὴν εἰς ἅπαντα τὸν χρόνον 66 ἀσφάλειαν μετὰ ῥᾳστώνης. πρῶτον μὲν γὰρ ἀπὸ θεῶν ἀρξάμενος ᾠκοδόμησεν ἐν πάσαις ταῖς κατ᾽ Αἴγυπτον πόλεσιν ἱερὸν θεοῦ τοῦ μάλιστα παρ᾽ ἑκάστοις τιμωμένου. πρὸς δὲ τὰς ἐργασίας τῶν μὲν Αἰγυπτίων οὐδένα παρέλαβε, δι᾽ αὐτῶν δὲ τῶν αἰχμαλώτων ἅπαντα κατεσκεύασε· διόπερ ἐπὶ πᾶσι τοῖς ἱεροῖς ἐπέγραψεν ὡς οὐδεὶς ἐγχώριος εἰς αὐτὰ μεμόχθηκε. λέγεται δὲ τῶν αἰχμαλώτων τοὺς ἐκ τῆς Βαβυλωνίας ἁλόντας ἀποστῆναι τοῦ βασιλέως μὴ δυναμένους φέρειν τὰς ἐν τοῖς ἔργοις ταλαιπωρίας· οὓς καταλαβομένους παρὰ τὸν ποταμὸν χωρίον καρτερὸν διαπολεμεῖν τοῖς Αἰγυπτίοις καὶ τὴν σύνεγγυς χώραν καταφθείρειν, τέλος δὲ δοθείσης ἀδείας

57. ἐν ἔτεσιν ἐννέα] ἐν ἔτεσιν ἑαυτοῖς F, ἐν ἑαυτοῖς μὲν ἔθνεσι ἐννέα G, correctus uterque in margine: „*credo prava illa nata esse ex interpretatione,* ἐνιαυτοῖς *praecedenti voci ex glossa additis.*" Wesselingius 57. προσέταξε] ἔταξε GQ 60. πρὸ αὐτοῦ AB(D)EGM, *superiorum* Poggius, caeteri addunt βασιλέων, quod asterisco notavit Stephanus 67. ἅπασαν] ὅλην CG 69. τὰ πλήθη] τὸ πλῆθος CG ἀπὸ τῶν] τῶν CFG, notavitque ἀπὸ Stephanus asterisco 74. θαυμαστὰ] μεστὰ A 75. περιποιοῦντα] ἐμποιοῦντα CGM 76. ἀσφάλειαν C(D)FG Poggius, ὠφέλειαν A, caeteri ὠφέλειαν καὶ ἀσφάλειαν: ὠφέλειαν καὶ Stephanus asterisco notavit

66. 78. πάσαις] ταύταις G 82. ἐγχώριος] ἐγχωρίοις AG αὐτὰ] ταῦτα G correctus in margine 84. Βαβυλωνίας ABC (D)EQ, caeteri Βαβυλῶνος: *Babylonios* Poggius 86. χωρίον] εἰς χωρίον G 87. διαπολεμεῖν] διαπολεμεῖ G τὴν σύνεγγυς

αὐτοῖς κατοικῆσαι τὸν τόπον, ὃν καὶ ἀπὸ τῆς πατρίδος Βαβυλῶνα προςαγορεῦσαι. δι᾽ αἰτίας δὲ παραπλησίους φασὶν ὠνομάσθαι καὶ τὴν Τροίαν τὴν ἔτι καὶ νῦν οὖσαν παρὰ τὸν Νεῖλον. τὸν μὲν γὰρ Μενέλαον ἐξ Ἰλίου πλέοντα μετὰ πολλῶν αἰχμαλώτων παραβαλεῖν εἰς Αἴγυπτον, τοὺς δὲ Τρῶας ἀποστάντας αὐτοῦ καταλαβέσθαι τινὰ τόπον καὶ διαπολεμῆσαι μέχρι ὅτου συγχωρηθείσης αὐτοῖς τῆς ἀσφαλείας ἔκτισαν πόλιν, ἣν ὁμώνυμον αὐτοὺς λέγουσι ποιῆσαι τῇ πατρίδι. οὐκ ἀγνοῶ δ᾽ ὅτι περὶ τῶν εἰρημένων πόλεων Κτησίας ὁ Κνίδιος διαφόρως ἱστόρησε, φήσας τῶν μετὰ Σεμιράμιδος παραβαλόντων εἰς Αἴγυπτόν τινας ἐκτικέναι ταύτας ἀπὸ τῶν ἰδίων πατρίδων θεμένους τὴν προςηγορίαν. περὶ δὲ τούτων τὸ μὲν ἀληθὲς ἐκθέσθαι μετὰ ἀκριβείας οὐ ῥᾴδιον, τὸ δ᾽ ἀναγραφῆς ἀξιῶσαι τὰ διαφωνούμενα παρὰ τοῖς συγγραφεῦσιν ἀναγκαῖον, ὅπως ἀκέραιος ἡ περὶ τῆς ἀληθείας
57 κρίσις ἀπολείπηται τοῖς ἀναγινώσκουσιν. ὁ δ᾽ οὖν Σεσόωσις χώματα πολλὰ καὶ μεγάλα κατασκευάσας τὰς πόλεις εἰς ταῦτα μετῴκισεν, ὅσαι μὴ φυσικῶς τὸ ἔδαφος ἐτύγχανον ἐπηρμένον ἔχουσαι, ὅπως κατὰ τὰς πληρώσεις τοῦ ποταμοῦ καταφυγὰς ἔχωσιν ἀκινδύνους οἵ τε ἄνθρωποι καὶ τὰ κτήνη. κατὰ πᾶσαν δὲ τὴν χώραν τὴν ἀπὸ Μέμφεως ἐπὶ θάλατταν ὤρυξε πυκνὰς ἐκ τοῦ ποταμοῦ διώρυγας, ἵνα τὰς μὲν συγκομιδὰς τῶν καρπῶν ποιῶνται συντόμως καὶ ῥᾳδίως, ταῖς δὲ πρὸς ἀλλήλους τῶν λαῶν ἐπιμιξίαις καὶ πᾶσι τοῖς τόποις ὑπάρχῃ ῥᾳστώνη καὶ πάντων τῶν πρὸς ἀπόλαυσιν πολλὴ δαψίλεια· 67
τὸ δὲ μέγιστον, πρὸς τὰς τῶν πολεμίων ἐφόδους ὀχυρὰν καὶ δυςέμβολον ἐποίησε τὴν χώραν. τὸν γὰρ πρὸ τοῦ χρόνου ἡ κρατίστη τῆς Αἰγύπτου πᾶσα σχεδὸν ἱππάσιμος οὖσα καὶ ταῖς συνωρίσιν ἔμβατος ἀπ᾽ ἐκείνου τοῦ χρόνου διὰ τὸ πλῆθος τῶν ἐκ τοῦ ποταμοῦ διωρύγων δυςεφοδωτάτη γέγονεν. ἐτείχισε δὲ καὶ τὴν πρὸς ἀνατολὰς νεύουσαν πλευρὰν τῆς Αἰγύπτου πρὸς τὰς ἀπὸ τῆς Συρίας καὶ τῆς Ἀραβίας ἐμβολὰς ἀπὸ Πηλουσίου μέχρι Ἡλιουπόλεως διὰ τῆς ἐρήμου τὸ μῆκος ἐπὶ σταδίους χιλίους καὶ πεντακοσίους. ἐναυπηγήσατο δὲ καὶ πλοῖον κέδρινον τὸ μὲν μῆκος πηχῶν διακοσίων καὶ ογδοήκοντα, τὴν δ᾽ ἐπιφάνειαν ἔχον τὴν μὲν ἔξωθεν ἐπίχρυσον, τὴν δ᾽ ἔνδοθεν κατηργυρωμένην· καὶ τοῦτο μὲν ἀνέθηκε τῷ θεῷ τῷ μάλιστα ἐν Θήβαις τιμωμένῳ, δύο δὲ λιθίνους ὀβελίσκους ἐκ τοῦ σκληροῦ λίθου πηχῶν τὸ ὕψος εἴκοσι πρὸς τοῖς ἑκατόν, ἐφ᾽ ὧν ἐπέγραψε τό τε μέγεθος τῆς δυνάμεως καὶ τὸ πλῆθος τῶν προςόδων καὶ τὸν ἀριθμὸν τῶν καταπολεμηθέντων ἐθνῶν· ἐν Μέμφει δ᾽ ἐν τῷ τοῦ Ἡφαίστου ἱερῷ μονολίθους εἰκόνας ἑαυτοῦ τε καὶ τῆς γυναικὸς τὸ ὕψος τριάκοντα πηχῶν, τῶν δ᾽ υἱῶν εἴκοσι πηχῶν, διὰ σύμπτωμα τοιόνδε. ἐκ τῆς μεγάλης στρατείας ἀνακάμψαντος εἰς Αἴγυπτον τοῦ Σεσοώσιος καὶ διατρίβοντος περὶ τὸ Πηλούσιον, ἑστιῶν αὐτὸν ὁ ἀδελφὸς μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων ἐπιβουλὴν συνεστήσατο. ἀναπαυσαμένων γὰρ αὐτῶν ἀπὸ τῆς μέθης, ἔχων καλάμου ξηροῦ πλῆθος ἐκ χρόνου παρεσκευασμένον, καὶ τοῦτο νυκτὸς τῇ σκηνῇ περιθείς, ἐνέπρησεν. ἄφνω δὲ τοῦ πυρὸς ἐκλάμψαντος οἱ μὲν ἐπὶ τῆς θεραπείας τοῦ βασιλέως τεταγμένοι παρεβοήθουν ἀγεννῶς ὡς ἂν οἰνωμένοι, ὁ δὲ Σεσόωσις ἀμφοτέρας τὰς χεῖρας ἀνατείνας καὶ ὑπὲρ τῆς σωτηρίας τῶν παίδων καὶ τῆς γυναικὸς τοῖς θεοῖς εὐξάμενος διεξέπεσε διὰ τῆς φλογός. σωθεὶς δὲ παραδόξως τούς τε ἄλλους θεοὺς ἐτίμησεν ἀναθήμασι, καθότι προείρηται, πάντων δὲ μάλιστα τὸν Ἥφαιστον,

χώραν καταφθείρειν] τὴν χώραν καταφθείρειν τὴν σύνεγγυς AE 89. τὸν addunt CFG Βαβυλῶνα] *Babyloniam* Poggius, ut solet 91. καὶ νῦν C(D)FG, caeteri νῦν 94. καταλαβέσθαι margo GQ, ἀπολαβέσθαι CGQ, caeteri καταλαβεῖν 95. μέχρι D., caeteri μέχρις 96. αὐτοὺς] αὐτοῦ FG 98. Κτησίας] Κτισίας AD 99. τῶν om. D Σεμιράμιδος] Σεμηράμιδος D παραλαβόντων libri Stephani 100. ἐκτικέναι] ἐκτετικέναι G 1. θεμένους] ἐκθεμένους B, ἐκτεθειμένους AE 3. παρὰ om. AE 5. ἀληθείας κρίσις] ἀκριβείας σύστασις ABDEQ 7. εἰς ταῦτα Wesselingius, *aggeres in quibus* Poggius, ταύτας CM, caeteri εἰς ταύτας μετῴκισεν] μετεποίησεν AQ, μετεποίησε M 11. δὲ τὴν] δὲ A θάλατταν D, caeteri θάλασσαν 12. ὤρυξε] ὤρυξαν ABDE διώρυγας] διώρυχας A 14. λαῶν] ἄλλων CG 15. τόποις B(D)EQ, caeteri τρόποις ὑπάρχῃ] ὑπάρχει DFG
67. 16. δαψίλεια] δαψιλία D 18. πρὸ τοῦ] πρὸ τούτου ABDE, margo G 19. κρατίστη] κρατίστου FG



20. ἔμβατος] εὔβατος D 21. δυςεφοδωτάτη C(D)FGQ, caeteri δυςεφοδεστάτη 23. νεύουσαν] βλέπουσαν καὶ νεύουσαν ABE 24. μέχρι D, caeteri μέχρις 27. πλοῖον] πλεῖον G μὲν om. CFG μῆκος] μῆκος ἐπὶ σταδίους χιλίους καὶ πεντακοσίους C 28. τὴν δ᾽] οὐδ᾽ τὴν (sic) CFG, ὃ τὴν M, τὴν D ἔχον] εἶχε CFGM 29. ἔνδοθεν] ἐντὸς CFG 31. δὲ] τε Wessel. λιθίνους] λίθους C 32. τοῖς] τοὺς FG 37. πηχῶν] πηχέων BDE πηχῶν] πηχέων BE 38. σύμπτωμα τοιόνδε. ἐκ] συμπτωμάτων. οἷον δ᾽ ἐκ FG, σύμπτωμα. οἷον δ᾽ ἐκ M 39. διατρίβοντος] διατρίψαντος CFG 41. ἀναπαυσαμένων ABDEQ, caeteri ἀναπαυομένων 42. αὐτῶν om. E, asterisco notavit Stephanus καλάμου ξηροῦ] καλάμους ξηροὺς F, ξύλον ξηροῦ G Poggius 44. ἄφνω] ἀφ᾽ ὧν F correctus in marg. 48. τῶν] τῶν τε D 49. τοῖς θεοῖς om. CFG, asterisco notavit Stephanus 50. τούς τε] τοὺς D 51. καθότι CDFG, caeteri καθάπερ

58 ὡς ὑπὸ τούτου τετευχὼς τῆς σωτηρίας. πολλῶν δὲ καὶ μεγάλων περὶ τὸν Σεσόωσιν ὑπαρξάντων δοκεῖ μεγαλοπρεπέστατον αὐτῷ γεγονέναι τὸ συντελούμενον ἐν ταῖς 68 ἐξόδοις περὶ τοὺς ἡγεμόνας. τῶν γὰρ καταπεπολεμημένων ἐθνῶν οἵ τε τὰς συγκεχωρημένας βασιλείας ἔχοντες καὶ τῶν ἄλλων οἱ τὰς μεγίστας ἡγεμονίας παρειληφότες ἀπήντων εἰς Αἴγυπτον ἐν τακτοῖς χρόνοις φέροντες δῶρα· οὓς ὁ βασιλεὺς ἐκδεχόμενος ἐν μὲν τοῖς ἄλλοις ἐτίμα καὶ διαφερόντως προῆγεν, ὁπότε δὲ πρὸς ἱερὸν ἢ πόλιν προσιέναι μέλλοι, τοὺς ἵππους ἀπὸ τοῦ τεθρίππου λύων ὑπεζεύγνυεν ἀντὶ τούτων κατὰ τέτταρας τούς τε βασιλεῖς καὶ τοὺς ἄλλους ἡγεμόνας, ἐνδεικνύμενος, ὡς ᾤετο, πᾶσιν ὅτι τοὺς τῶν ἄλλων κρατίστους καὶ δι' ἀρετὴν ἐπιφανεστάτους καταπολεμήσας εἰς ἅμιλλαν ἀρετῆς οὐκ ἔχει τὸν δυνάμενον συγκριθῆναι. δοκεῖ δ' οὗτος ὁ βασιλεὺς πάντας τοὺς πώποτε γενομένους ἐν ἐξουσίαις ὑπερβεβηκέναι ταῖς τε πολεμικαῖς πράξεσι καὶ τῷ μεγέθει καὶ τῷ πλήθει τῶν τε ἀναθημάτων καὶ τῶν ἔργων τῶν κατεσκευασμένων κατ' Αἴγυπτον. ἔτη δὲ τρία πρὸς τοῖς τριάκοντα βασιλεύσας ἐκ προαιρέσεως ἐξέλιπε τὸν βίον, ἀπολιπόντων αὐτὸν τῶν ὀμμάτων· καὶ τοῦτο πράξας οὐ μόνον παρὰ τοῖς ἱερεῦσιν ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις Αἰγυπτίοις ἐθαυμάσθη, δόξας τῇ μεγαλοψυχίᾳ τῶν πεπραγμένων ἀκόλουθον πεποιῆσθαι τὴν τοῦ βίου καταστροφήν. ἐπὶ τοσοῦτο δὲ ἴσχυσε καὶ διέτεινε τοῖς χρόνοις ἡ δόξα τούτου τοῦ βασιλέως ὥςτε τῆς Αἰγύπτου πολλαῖς γενεαῖς ὕστερον πεσούσης ὑπὸ τὴν ἐξουσίαν τῶν Περσῶν, καὶ Δαρείου τοῦ Ξέρξου πατρὸς σπουδάσαντος ἐν Μέμφει τὴν ἰδίαν εἰκόνα στῆσαι πρὸ τῆς τοῦ Σεσοώσιος, ὁ μὲν ἀρχιερεὺς ἀντεῖπε λόγου προτεθέντος ἐν ἐκκλησίᾳ τῶν ἱερέων, ἀποφηνάμενος ὡς οὔπω Δαρεῖος ὑπερβέβηκε

52. ὑπὸ] ἀπὸ E    54. μεγαλοπρεπέστατον] μεγαλοπρεπέστερον FG
68. 56. καταπεπολ.] καταπολ. C    62. ὑπεζεύγνυεν] ἐπεζεύγνυεν GQ    63. ἀντὶ] ἀπὸ CGQ    65. δι' ἀρετὴν CFGMQ, δι' ἁρπαγὴν BD, caeteri δι' ἁπάσης γῆς    67. τὸν δυνάμενον] τοὺς δυναμένους CFGQ Poggius    69. ὑπερβεβηκέναι] ὑπερβεβληκέναι GQ    72. τρία πρὸς τοῖς asterisco notavit Stephanus    73. ἀπολιπόντων] ὑπολειπάντων ADFG, caeteri ὑπολιπόντων    74. post ὀμμάτων Poggius nescio unde haec addit: *cuius virtuti haud facile reperitur dignum nomen. vir magni animi.*
77. πεποιῆσθαι] ποιῆσαι FG    τοσοῦτο] τοσοῦτον AB    80. τὴν ἐξουσίαν] τῆς ἐξουσίας G correctus in margine    81. τὴν ἰδίαν εἰκόνα] τὴν εἰκόνα τὴν ἰδίαν A    82. πρὸ τῆς τοῦ] πρὸς τῇ D    Σεσοώσιος] Σεσώστριδος EV: v. ad p. 62. 33.    ἀρχιερεὺς] ἱερεὺς AB    84. ὑπερβέβηκε ABD, caeteri ὑπερτέθειται



τὰς Σεσοώσιος πράξεις, ὁ δὲ βασιλεὺς οὐχ ὅπως ἠγανάκτησεν, ἀλλὰ καὶ τοὐναντίον ἡσθεὶς ἐπὶ τῇ παῤῥησίᾳ σπουδάσειν ἔφησεν ὅπως κατὰ μηδὲν ἐκείνου λειφθείη βιώσας τὸν ἴσον χρόνον, καὶ παρεκάλει συγκρίνειν τὰς ἡλικιώτιδας πράξεις· τοῦτον γὰρ δικαιότατον ἔλεγχον εἶναι τῆς ἀρετῆς. περὶ μὲν οὖν Σεσοώσιος ἀρκεσθησόμεθα τοῖς λόγοις τοῖς ῥηθεῖσιν.

69 Ὁ δ' υἱὸς αὐτοῦ διαδεξάμενος τὴν βασιλείαν καὶ 59 τὴν τοῦ πατρὸς προσηγορίαν ἑαυτῷ περιθέμενος πρᾶξιν μὲν πολεμικὴν ἢ μνήμης ἀξίαν οὐδ' ἡντινοῦν συνετελέσατο, συμπτώματι δὲ περιέπεσεν ἰδιάζοντι. ἐστερήθη μὲν γὰρ τῆς ὁράσεως εἴτε διὰ τὴν πρὸς τὸν πατέρα τῆς φύσεως κοινωνίαν εἴθ', ὥς τινες μυθολογοῦσι, διὰ τὴν εἰς τὸν ποταμὸν ἀσέβειαν, ἐν ᾧ χειμαζόμενός ποτε τὸ φερόμενον ῥεῦμα κατηκόντισε· διὰ δὲ τὴν ἀτυχίαν ἀναγκασθεὶς καταφυγεῖν ἐπὶ τὴν τῶν θεῶν βοήθειαν, ἐπὶ χρόνους ἱκανοὺς πλείσταις θυσίαις καὶ τιμαῖς τὸ θεῖον ἐξιλασκόμενος οὐδεμιᾶς ἐτύγχανε πολυωρίας· τῷ δεκάτῳ δ' ἔτει μαντείας αὐτῷ γενομένης τιμῆσαί τε τὸν θεὸν τὸν ἐν Ἡλιουπόλει καὶ γυναικὸς οὔρῳ νίζεσθαι τὸ πρόσωπον ἥτις πεῖραν ἀνδρὸς οὐκ εἴληφεν ἑτέρου, τῶν μὲν γυναικῶν ἀπὸ τῆς ἰδίας ἀρξάμενος καὶ πολλὰς ἐξετάσας οὐδεμίαν εὗρεν ἀδιάφθορον πλὴν κηπουροῦ τινος, ἣν ὑγιὴς γενόμενος ἔγημε· τὰς δ' ἄλλας ζώσας ἐν κώμῃ τινὶ κατέκαυσεν, ἣν Αἰγύπτιοι διὰ τὸ σύμπτωμα τοῦτο

85. Σεσοώσιος] Σεσώστριδος EV    ὅπως (D) margo G, ὄντος F, ὄντως G, οὕτω margo G: caeteri οὕτως    86. ἡσθεὶς AC(D)FGU, caeteri subiiciunt καὶ εὐφρανθεὶς, quae asterisco notavit Stephanus, sibi *in uno tantum codice inventa*    87. σπουδάσειν] σπουδάσω A, σπούδασον B    88. λειφθείη C(D)FGU Poggius, caeteri λειφθείη (λειφθείην A) καὶ ἐναπομείνῃ, quae duo postrema asterisco notavit Stephanus, tanquam eodem ut videtur *uno in libro* reperta de quo ad v. 86.    90. Σεσοώσιος] Σεσώστριδος E    91. τοῖς λόγοις τοῖς ῥηθεῖσιν ABDE, caeteri τοῖς εἰρημένοις λόγοις

69. 94. ἡντινοῦν AFG, ἥντιν' οὖν C, caeteri ἡντιναοῦν    96. εἴτε om. F    97. post κοινωνίαν omittunt ἐτυφλώθη γὰρ καὶ ἐκεῖνος AC(D)FGM, quae asterisco notavit Stephanus    98. ἐν ᾧ χειμαζόμενός ποτε τὸ φερόμενον ῥεῦμα κατηκόντισε (-εν D) ABD, margo E, caeteri τὸ γὰρ (γὰρ om. FG) ῥεῦμα κατηκόντιζε
1. ἐξιλασκόμενος] τουτέστιν εὐμενὲς τοῦτο περὶ ἑαυτὸν ποιούμενος gl. V    2. πολυωρίας] ἀσφαλείας EQV    4. οὔρῳ νίζεσθαι AC(D)M, οὐρονίζεσθαι FG, *inspiceret* Poggius, caeteri οὔρῳ νίζεσθαι καὶ πλύνεσθαι, quae postrema duo asterisco notavit Stephanus    5. ἑτέρου post ἥτις ponit D    7. ἀδιάφθορον] ἀδιάφορον G    κηπουροῦ D, κηπούρου BG, caeteri κηπωροῦ
8. ἄλλας] ἀδελφὰς M    9. σύμπτωμα] σύμβαμα BEQ

προςηγόρευσαν ἱερὰν βῶλον. τῷ δ' ἐν Ἡλιουπόλει θεῷ τὰς χάριτας ἀπονέμων τῆς εὐεργεσίας κατὰ τὸν χρησμὸν ὀβελίσκους ἀνέθηκε δύο μονολίθους τὸ μὲν πλάτος ὀκτώ, τὸ δὲ μῆκος πηχῶν ἑκατόν.

60 Μετὰ δὲ τοῦτον τὸν βασιλέα συχνοὶ τῶν διαδεξαμένων τὴν ἀρχήν τινες οὐδὲν ἔπραξαν ἀναγραφῆς ἄξιον. πολλαῖς δ' ὕστερον γενεαῖς Ἄμασις γενόμενος βασιλεὺς ἦρχε τῶν ὄχλων βιαιότερον· πολλοὺς μὲν γὰρ παρὰ τὸ δίκαιον ἐτιμωρεῖτο, συχνοὺς δὲ τῶν οὐσιῶν ἐστέρισκε, πᾶσι δ' ὑπεροπτικῶς καὶ κατὰ πᾶν ὑπερηφάνως προςεφέρετο. μέχρι μὲν οὖν τινος οἱ πάσχοντες ἐκαρτέρουν, οὐ δυνάμενοι κατ' οὐδένα τρόπον ἀμύνασθαι τοὺς πλεῖον ἰσχύοντας· ἐπεὶ δὲ Ἀκτισάνης ὁ τῶν Αἰθιόπων βασιλεὺς ἐστράτευσεν ἐπ' αὐτόν, τότε τοῦ μίσους καιρὸν λαβόντες ἀπέστησαν οἱ πλεῖστοι. διόπερ ῥᾳδίως αὐτοῦ χειρωθέντος ἡ μὲν Αἴγυπτος ἔπεσεν ὑπὸ τὴν τῶν Αἰθιόπων βασιλείαν, ὁ δ' Ἀκτισάνης ἀνθρωπίνως ἐνέγκας τὴν εὐτυχίαν ἐπιεικῶς προςεφέρετο τοῖς ὑποτεταγμένοις. ὅτε δὴ καὶ συνετέλεσεν ἴδιόν τι περὶ τοὺς λη- 70
στάς, οὔτε θανατώσας τοὺς ἐνόχους οὔτε ὁλοσχερῶς ἀφεὶς ἀτιμωρήτους. συναγαγὼν γὰρ ἐξ ἁπάσης τῆς χώρας τοὺς ἐν ἐγκλήμασιν ὄντας κακουργίας, καὶ τὴν διάγνωσιν αὐτῶν δικαιοτάτην ποιησάμενος, ἤθροισεν ἅπαντας τοὺς καταδεδικασμένους· ἀποτεμὼν δ' αὐτῶν τοὺς μυκτῆρας κατῴκισεν ἐν τοῖς ἐσχάτοις τῆς ἐρήμου χώρας, κτίσας πόλιν τὴν ἀπὸ τοῦ συμπτώματος τῶν οἰκητόρων Ῥινοκόλουρα προςαγορευθεῖσαν. αὕτη δὲ κειμένη πρὸς τοῖς μεθορίοις τῆς Αἰγύπτου καὶ Συρίας οὐ μακρὰν τοῦ παρήκοντος αἰγιαλοῦ πάντων σχεδὸν τῶν πρὸς ἀνθρωπίνην δίαιταν ἀνηκόντων ἐστέρηται. περιέχει μὲν γὰρ αὐτὴν χώρα πλήρης ἁλμυρίδος, ἐντὸς δὲ τοῦ τείχους ὀλίγον ἐστὶν ὕδωρ ἐν φρέασι, καὶ τοῦτο διεφθαρμένον καὶ παντελῶς τῇ γεύσει πικρόν. κατῴκισε δ' αὐτοὺς εἰς ταύτην τὴν χώραν, ὅπως μήτε τοὺς ἐξ ἀρχῆς ἐπιτηδευθέντας βίους διατηροῦντες λυμαίνωνται τοὺς μηδὲν ἀδικοῦντας μήτε κατὰ τὰς πρὸς τοὺς ἄλλους ἐπιμιξίας ἀγνοούμενοι λανθάνωσιν. ἀλλ' ὅμως ἐκριφέντες εἰς χώραν ἔρημον καὶ πάντων σχεδὸν τῶν χρησίμων ἄπορον ἐπενόησαν βίον οἰκεῖον τῆς περὶ αὐτοὺς ἐνδείας, ἀναγκαζούσης τῆς φύσεως πρὸς τὴν ἀπορίαν πάντα μηχανᾶσθαι. καλάμην μὲν γὰρ κείροντες ἐκ τῆς ὁμόρου χώρας, καὶ ταύτην σχίζοντες, λίνα παραμήκη κατεσκεύαζον, ταῦτα δὲ παρὰ τὸν αἰγιαλὸν ἐπὶ πολλοὺς σταδίους ἱστάντες τὰς θήρας τῶν ὀρτύγων ἐποιοῦντο· φέρονται γὰρ οὗτοι κατ' ἀγέλας μείζονας ἐκ τοῦ πελάγους· οὓς θηρεύοντες ἤθροιζον πλῆθος ἱκανὸν εἰς διατροφὴν ἑαυτοῖς.

Τοῦ δὲ βασιλέως τούτου τελευτήσαντος ἀνεκτήσαντο 61
τὴν ἀρχὴν Αἰγύπτιοι, καὶ κατέστησαν ἐγχώριον βασιλέα Μένδην, ὃν τινες Μάῤῥον προσονομάζουσιν. οὗτος δὲ πολεμικὴν μὲν πρᾶξιν οὐδ' ἡντινοῦν ἐπετελέσατο, τάφον δὲ αὑτῷ κατεσκεύασε τὸν ὀνομαζόμενον λαβύρινθον, οὐχ
71 οὕτω κατὰ τὸ μέγεθος τῶν ἔργων θαυμαστὸν ὡς πρὸς τὴν φιλοτεχνίαν δυςμίμητον· ὁ γὰρ εἰςελθὼν εἰς αὐτὸν οὐ δύναται ῥᾳδίως τὴν ἔξοδον εὑρεῖν, ἐὰν μὴ τύχῃ τινὸς ὁδηγοῦ παντελῶς ἐμπείρου. φασὶ δέ τινες καὶ τὸν Δαίδαλον εἰς Αἴγυπτον παραβαλόντα καὶ θαυμάσαντα τὴν ἐν τοῖς ἔργοις τέχνην κατασκευάσαι τῷ βασιλεύοντι τῆς Κρήτης Μίνωι λαβύρινθον ὅμοιον τῷ κατ' Αἴγυπτον, ἐν ᾧ γενέσθαι μυθολογοῦσι τὸν λεγόμενον Μινώταυρον. ἀλλ' ὁ μὲν κατὰ τὴν Κρήτην ἠφανίσθη τελέως,

10. ἱερὰν] ἱερὸν D: aliis est ἐρυθρὰ  βῶλον] κῶλον AB, E ab rec. manu  12. χρησμὸν AC(D)FGM, caeteri addunt καὶ τὴν μαντείαν, quae asterisco notavit Stephanus  13. πηχῶν] ποδῶν BD, margo E  14. διαδεξαμένων] ἀναδεξαμένων ABD  18. ἐτιμωρεῖτο] ἐτιμωρήσατο ABD  19. ὑπεροπτικῶς AC(D)FGM, caeteri addunt καὶ ἀλαζονικῶς, quae asterisco notavit Stephanus, praeteriit Poggius  20. οἱ] ὅσοι FG  21. ἀμύνασθαι] καὶ τιμωρήσασθαι addit V  22. ἐπεὶ] ἔτι A  23. τότε] τότε μὲν A  24. λαβόντες] malim λαβόντος: conf. XV. 1. p. 4. 34. Exc. Vat. p. 41. 14.  25. χειρωθέντος] κρατηθέντος addit V  ἔπεσεν] χειρωθεῖσα ABD  ὑπὸ τὴν τῶν Αἰθιόπων] ἀπὸ τῶν Αἰθιόπων τὴν AB  27. ἐπιεικῶς] καὶ πρᾴως addit CV
70. 31. ὄντας κακουργίας ABD, caeteri ὄντας  33. μυκτῆρας] καὶ τὰς ῥῖνας addit E  34. κατῴκισεν] κατῴκησεν D  χώρας om. AD  36. Ῥινοκόλουρα] Ῥινοκολούραν AB(D)G, margo E, Is. Vossius, *Rhinoceram* Poggius, caeteri Ῥινοκούρουραν
37. Συρίας] *Arabiae* Poggius

40. αὐτὴν χώρα πλήρης] αὕτη χώραν πλήρη GQ  41. ὀλίγον] ὀλίγον λίαν ABE  ὕδωρ om. FM  φρέασι] *unicus est puteus* Poggius, ut si φρέατι habuisset  45. πρὸς τοὺς] πρὸς F  46. ἀγνοούμενοι] ποιούμενοι GM  47. ἐκριφέντες] ἐκριφθέντες G  50. μὲν γὰρ] γὰρ D  51. ὁμόρου] ἤτοι χείτονος (sic) gl. CV  λίνα] καὶ δίκτυα gl. CV  54. μείζονας ABD, caeteri μείζους  59. Μένδην] *Menidem* Poggius Wesselingii, meus *Miridem*, eodemque modo in marg. ascribitur *Miris rex*  Μάῤῥον] Μάρνον AB, margo E, Μάρον FGQ, *Marum* Poggius Wesselingii, *Maronem* meus ascripto in marg. *Maro rex*  60. δὲ] δ' οὖν AB  μὲν om. ABD  οὐδ' ἡντινοῦν] οὐδ' ἣν τινοῦν AB, οὐδὴν τινοῦν FG, caeteri οὐδ' ἡντιναοῦν
71. 63. θαυμαστὸν] θαυμάσιον FG  πρὸς] κατὰ ABD  φιλοτεχνίαν] φιλοτιμίαν G  68. Μίνωι] Μίνῳ F  69. γενέσθαι ABD, *extitisse* Poggius, qui mox 79. γενόμενος eodem modo reddidit: caeteri διατρῖψαι

εἴτε δυνάστου τινὸς κατασκάψαντος εἴτε τοῦ χρόνου τὸ ἔργον λυμηναμένου· ὁ δὲ κατ' Αἴγυπτον ἀκέραιον τὴν ὅλην κατασκευὴν τετήρηκε μέχρι τοῦ καθ' ἡμᾶς βίου.

62 Μετὰ δὲ τὴν τοῦ βασιλέως τούτου τελευτὴν ἐπὶ γενεὰς πέντε γενομένης ἀναρχίας τῶν ἀδόξων τις ᾑρέθη βασιλεύς, ὃν Αἰγύπτιοι μὲν ὀνομάζουσι Κέτηνα, παρὰ δὲ τοῖς Ἕλλησιν εἶναι δοκεῖ Πρωτεὺς ὁ κατὰ τὸν Ἰλιακὸν γενόμενος πόλεμον. τούτου δὲ παραδεδομένου τῶν τε πνευμάτων ἔχειν ἐμπειρίαν καὶ τὴν μορφὴν μεταβάλλειν ὁτὲ μὲν εἰς ζῴων τύπους ὁτὲ δὲ εἰς δένδρων ἢ πῦρ ἤ τι τῶν ἄλλων, ὁμολογούμενα τούτοις συμβαίνει καὶ τοὺς ἱερεῖς λέγειν περὶ αὐτοῦ. ἐκ μὲν γὰρ τῆς μετὰ τῶν ἀστρολόγων συμβιώσεως, ἣν ἐποιεῖτο συνεχῶς, ἐμπειρίαν ἐσχηκέναι τὸν βασιλέα τῶν τοιούτων, ἐκ δὲ τοῦ νομίμου τοῦ παραδεδομένου τοῖς βασιλεῦσι τὸ περὶ τὰς μεταβολὰς τῆς ἰδέας μυθολογηθῆναι παρὰ τοῖς Ἕλλησιν. ἐν ἔθει γὰρ εἶναι τοῖς κατ' Αἴγυπτον δυνάσταις περιτίθεσθαι περὶ τὴν κεφαλὴν λεόντων καὶ ταύρων καὶ δρακόντων προτομάς, σημεῖα τῆς ἀρχῆς· καὶ ποτὲ μὲν δένδρα, ποτὲ δὲ πῦρ, ἔστι δ' ὅτε καὶ θυμιαμάτων εὐωδῶν ἔχειν ἐπὶ τῆς κεφαλῆς οὐκ ὀλίγα, καὶ διὰ τούτων ἅμα μὲν ἑαυτοὺς εἰς εὐπρέπειαν κοσμεῖν ἅμα δὲ τοὺς ἄλλους εἰς κατάπληξιν ἄγειν καὶ δεισιδαίμονα διάθεσιν.

Μετὰ δὲ τὴν Πρωτέως τελευτὴν διαδεξάμενος τὴν βασιλείαν ὁ υἱὸς Ῥέμφις διετέλεσε πάντα τὸν τοῦ ζῆν χρόνον ἐπιμελόμενος τῶν προσόδων καὶ σωρεύων παν- 72
ταχόθεν τὸν πλοῦτον, διὰ δὲ μικροψυχίαν καὶ φιλαργυρίαν ἤθους οὔτε εἰς ἀναθήματα θεῶν οὔτε εἰς εὐεργεσίαν ἀνθρώπων οὐδὲν ἀνήλωσε. διὸ καὶ γενόμενος οὐ βασιλεὺς ἀλλ' οἰκονόμος ἀγαθὸς ἀντὶ τῆς ἐπ' ἀρετῇ δό-

72. τὸ ἔργον] τοὔργον A, τ' οὖργον D   λυμηναμένου] λυμηνομένου D   73. ὁ] τὸ CFG   76. ἀδόξων AB(D), ἀξίων FG Poggius, caeteri ἀναξίων   ᾑρέθη AC(D)FGU, caeteri addunt καὶ προσεκρίθη, quae asterisco notavit Stephanus   77. Κέτηνα ABD, Κέτινα E, καὶ τινὰ CV, Κέτην FMQ, Cetem Poggius, Χητῶν argumentum ex A positum ad p. 51. 18., caeteri Κέτνα   79. Ἰλιακὸν] Ἡλιακὸν A   γενόμενος] γεγονὼς BD   παραδεδομένου] παραγενομένου F correctus in margine   80. πνευμάτων] artium Poggius   81. δένδρων] δένδρον D   82. ὁμολογούμενα τούτοις ABD, caeteri omittunt τούτοις   83. λέγειν om. FG   84. ἀστρολόγων] astrologorum ac sacerdotum Poggius   86. παραδεδομένου] παραδιδομένου AB   94. κατάπληξιν] ἔκπληξιν F   δεισιδαίμονα] τουτέστιν τὴν φρονοῦσαν τὸ θεῖον κακοποιόν gl. C „*Tria ista scholia, quae hac et seq. pagina* [72. 5., 13.] *ex C produxi, ex suo adscripsit Vrsinus, qui cum manifesto C videatur, desinam deinde talia admonere, nisi si eximium aliquid indicent.*" Wesselingivs   96. Ῥέμφις om. Poggius



ξης ἀπέλιπε πλεῖστα χρήματα τῶν πρὸ αὐτοῦ βασιλευσάντων· ἀργυρίου γὰρ καὶ χρυσίου παραδέδοται συναγαγεῖν αὐτὸν εἰς τετταράκοντα μυριάδας ταλάντων.

Τούτου δὲ τελευτήσαντος ἐπὶ γενεὰς ἑπτὰ διεδέξαντο 63
τὴν ἀρχὴν βασιλεῖς ἀργοὶ παντελῶς καὶ πρὸς ἄνεσιν καὶ τρυφὴν ἅπαντα πράττοντες. διόπερ ἐν ταῖς ἱεραῖς ἀναγραφαῖς οὐδὲν αὐτῶν ἔργον πολυτελὲς οὐδὲ πρᾶξις ἱστορίας ἀξία παραδέδοται πλὴν ἑνὸς Νειλέως, ἀφ' οὗ συμβαίνει τὸν ποταμὸν ὠνομάσθαι Νεῖλον, τὸ πρὸ τοῦ καλούμενον Αἴγυπτον· οὗτος δὲ πλείστας εὐκαίρους διώρυγας κατασκευάσας καὶ πολλὰ περὶ τὴν εὐχρηστίαν τοῦ Νείλου φιλοτιμηθεὶς αἴτιος κατέστη τῷ ποταμῷ ταύτης τῆς προσηγορίας.

Ὄγδοος δὲ βασιλεὺς γενόμενος Χέμμις ὁ Μεμφίτης ἦρξε μὲν ἔτη πεντήκοντα, κατεσκεύασε δὲ τὴν μεγίστην τῶν τριῶν πυραμίδων τῶν ἐν τοῖς ἑπτὰ τοῖς ἐπιφανεστάτοις ἔργοις ἀριθμουμένων. αὗται δὲ κείμεναι κατὰ τὴν Λιβύην τῆς Μέμφεως ἀπέχουσι σταδίους ἑκατὸν καὶ εἴκοσι, τοῦ δὲ Νείλου πέντε πρὸς τοῖς τετταράκοντα, τῷ δὲ μεγέθει τῶν ἔργων καὶ τῇ κατὰ τὴν χειρουργίαν τέχνῃ θαυμαστήν τινα κατάπληξιν παρέχονται τοῖς θεωμένοις. ἡ μὲν γὰρ μεγίστη τετράπλευρος οὖσα τῷ σχήματι τὴν ἐπὶ τῆς βάσεως πλευρὰν ἑκάστην ἔχει πλέθρων ἑπτά, τὸ δ' ὕψος πλείω τῶν ἓξ πλέθρων· συναγωγὴν δ' ἐκ τοῦ κατ' ὀλίγον λαμβάνουσα μέχρι τῆς κορυφῆς ἑκάστην πλευρὰν ποιεῖ πηχῶν ἕξ. πᾶσα δὲ στερεοῦ λίθου κατεσκεύασται, τὴν μὲν ἐργασίαν ἔχοντος δυσχερῆ, τὴν

72. 3. ἀργυρίου ABD, caeteri ἀργύρου   χρυσίου AB, caeteri χρυσοῦ   5. ταλάντων] τὸ δὲ τάλαντόν ἐστι ποσὸν μέτρου κεντηναρίου addunt CE   9. πολυτελὲς ABD, caeteri παντελὲς   11. ὠνομάσθαι] ὀνομασθῆναι ABD   12. τὸ] τὸν AB   πρὸ τοῦ] πρὸ τούτου ABD   13. εὐκαίρους] τουτέστιν ἐν ἐπικαίρῳ καὶ ἁρμοδίῳ τόπῳ gl. C   διώρυγας C(D)EM, caeteri addunt καὶ τάφρους, quae asterisco notavit Stephanus, praeteriit Poggius   14. εὐχρηστίαν] καὶ τὴν εἰς τὸ καλὸν χρῆσιν addit E   16. Χέμμις DFGMQ, Χέμνις C, Χέμβις A Poggius Wesselingii: nam meus *Chemis*: caeteri Χέμβης   17. πυραμίδων] τῶν δίκην πυρὸς ἐχουσῶν κατασκευήν, ἀπὸ παχυτέρων ἀρχομένων καὶ εἰς ὀξὺ ὡς τὸ πῦρ ληγουσῶν καὶ ἐκ τοῦ πυρὸς προσαγορευομένων πυραμίδων gl. C   18. ἑπτὰ τοῖς] ἑπτὰ est in argumento p. 2. 17. et illo quod ex A appositum ad p. 51. 18., tum infra p. 113. 11. et duobus in libris 126. 14. et II. 260. 43.   19. Λιβύην] λίμνην A, margo E   20. καὶ εἴκοσι] εἴκοσι AFG   22. χειρουργίαν τέχνῃ Reiskius, ut p. 74. 88.: libri τέχνην χειρουργίᾳ, ubi χειρουργίᾳ] καὶ ἐργασίᾳ gl. C   23. τινα om. CDE   θεωμένοις] δεομένοις FG   26. πλείω A(D), caeteri ἔχει πλείω: scribendum πλεῖον   27. ἑκάστην] ἑκάστης D   28. ἕξ] ξε vertit Poggius   δὲ στερεοῦ] δ' ἐκ στερεοῦ A, δὲ στερεοῦ ἐκ B

δὲ διαμονὴν αἰώνιον· οὐκ ἐλαττόνων γὰρ ἢ χιλίων ἐτῶν, ὥς φασι, διεληλυθότων εἰς τὸν καθ' ἡμᾶς βίον, ὡς δὲ ἔνιοι γράφουσι, πλειόνων ἢ τριςχιλίων καὶ τετρακοσίων, διαμένουσι μέχρι τοῦ νῦν οἱ λίθοι τὴν ἐξ ἀρχῆς σύνθεσιν καὶ τὴν ὅλην κατασκευὴν ἄσηπτον διαφυλάττοντες. λέγεται δὲ τὸν μὲν λίθον ἐκ τῆς Ἀραβίας ἀπὸ πολλοῦ διαστήματος κομισθῆναι, τὴν δὲ κατασκευὴν διὰ 73 χωμάτων γενέσθαι, μήπω τῶν μηχανῶν εὑρημένων κατ' ἐκείνους τοὺς χρόνους. καὶ τὸ θαυμασιώτατον, τηλικούτων ἔργων κατεσκευασμένων καὶ τοῦ περιέχοντος τόπου παντὸς ἀμμώδους ὄντος οὐδὲν ἴχνος οὔτε τοῦ χώματος οὔτε τῆς τῶν λίθων ξεστουργίας ἀπολείπεται· ὥςτε δοκεῖν μὴ κατ' ὀλίγον ὑπ' ἀνθρώπων ἐργασίας ἀλλὰ συλλήβδην ὥςπερ ὑπὸ θεοῦ τινος τὸ κατασκεύασμα τεθῆναι πᾶν εἰς τὴν περιέχουσαν ἄμμον. ἐπιχειροῦσι δέ τινες τῶν Αἰγυπτίων τερατολογεῖν ὑπὲρ τούτων, λέγοντες ὡς ἐξ ἁλῶν καὶ νίτρου τῶν χωμάτων γεγονότων ἐπαφεθεὶς ὁ ποταμὸς ἔτηξεν αὐτὰ καὶ παντελῶς ἠφάνισεν ἄνευ τῆς χειροποιήτου πραγματείας. οὐ μὴν καὶ τἀληθὲς οὕτως ἔχει, διὰ δὲ τῆς πολυχειρίας τῆς τὰ χώματα βαλούσης πάλιν τὸ πᾶν ἔργον εἰς τὴν προϋπάρχουσαν ἀποκατεστάθη τάξιν. τριάκοντα μὲν γὰρ καὶ ἓξ μυριάδες ἀνδρῶν, ὥς φασι, ταῖς τῶν ἔργων λειτουργίαις προςήδρευσαν, τὸ δὲ πᾶν κατασκεύασμα τέλος ἔσχε μόγις ἐτῶν εἴκοσι διελθόντων.

64 Τελευτήσαντος δὲ τοῦ βασιλέως τούτου διεδέξατο τὴν ἀρχὴν ὁ ἀδελφὸς Κεφρὴν καὶ ἦρξεν ἔτη ἓξ πρὸς τοῖς πεντήκοντα· ἔνιοι δέ φασιν οὐκ ἀδελφὸν ἀλλ' υἱὸν παραλαβεῖν τὴν ἀρχήν, ὀνομαζόμενον Χαβρύην. συμφωνεῖται δὲ παρὰ πᾶσιν ὅτι ζηλώσας ὁ διαδεξάμενος τὴν τοῦ προβασιλεύσαντος προαίρεσιν κατεσκεύασε τὴν δευτέραν πυραμίδα, τῇ μὲν κατὰ τὴν χειρουργίαν τέχνῃ παραπλησίαν τῇ προειρημένῃ, τῷ δὲ μεγέθει πολὺ λειπομένην, ὡς ἂν τῆς ἐν τῇ βάσει πλευρᾶς ἑκάστης οὔσης σταδιαίας. ἐπιγέγραπται δ' ἐπὶ τῆς μείζονος τὸ πλῆθος τῶν ἀναλωθέντων χρημάτων ὡς εἰς λάχανα καὶ συρμαίαν τοῖς ἐργάταις, καὶ μηνύεται διὰ τῆς γραφῆς δεδαπανῆσθαι τάλαντα πλείω τῶν χιλίων καὶ ἑξακοσίων. ἡ δ' ἐλάττων ἀνεπίγραφος μέν ἐστιν, ἀνάβασιν δ' ἔχει διὰ μιᾶς τῶν πλευρῶν ἐγκεκολαμμένην. τῶν δὲ βασιλέων τῶν κατασκευασάντων αὐτὰς ἑαυτοῖς τάφους συνέβη μηδέτερον αὐτῶν ταῖς πυραμίσιν ἐνταφῆναι. τὰ γὰρ πλήθη διά τε ταλαιπωρίαν τὴν ἐν τοῖς ἔργοις καὶ διὰ 74 τὸ τούτους τοὺς βασιλεῖς ὠμὰ καὶ βίαια πολλὰ πρᾶξαι δι' ὀργῆς εἶχε τοὺς αἰτίους, καὶ τὰ σώματα ἠπείλει διασπάσειν καὶ μεθ' ὕβρεως ἐκρίψειν ἐκ τῶν τάφων· διὸ καὶ τελευτῶν ἑκάτερος ἐνετείλατο τοῖς προςήκουσιν ἐν ἀσήμῳ τόπῳ καὶ λάθρᾳ θάψαι τὸ σῶμα.

Μετὰ δὲ τούτους ἐγένετο βασιλεὺς Μυκερῖνος, ὃν τινες Μεχερῖνον ὀνομάζουσιν, υἱὸς ὢν τοῦ ποιήσαντος τὴν προτέραν πυραμίδα. οὗτος δ' ἐπιβαλόμενος τρίτην κατασκευάζειν, πρότερον ἐτελεύτησεν ἤπερ τὸ ἔργον ἔλαβε συντέλειαν. τῆς μὲν γὰρ βάσεως ἑκάστην πλευρὰν ὑπεστήσατο πλέθρων τριῶν, τοὺς δὲ τοίχους ἐπὶ μὲν πεντεκαίδεκα δόμους κατεσκεύασεν ἐκ μέλανος λίθου τῷ Θηβαϊκῷ παραπλησίου, τὸ δὲ λοιπὸν ἀνεπλήρωσεν ἐκ λίθων ὁμοίων ταῖς ἄλλαις πυραμίσιν. τῷ δὲ μεγέθει λειπόμενον τοῦτο τὸ ἔργον τῶν προειρημένων τῇ κατὰ τὴν χειρουργίαν τέχνῃ πολὺ διαλλάττει καὶ τῇ τοῦ λίθου πολυτελείᾳ. ἐπιγέγραπται δὲ κατὰ τὴν βόρειον αὐτῆς πλευρὰν ὁ κατασκευάσας αὐτὴν Μυκερῖνος. τοῦτον δέ φασι μισήσαντα τὴν τῶν προβασιλευσάντων ὠμότητα

34. ὅλην om. FG, asterisco notavit Stephanus
73. 38. τηλικούτων ἔργων κατεσκευασμένων D, caeteri τὸ τηλικοῦτον ἔργον κατεσκευασμένον  41. ξεστουργίας AC(D)FGU, *caesi lapidis* Poggius, caeteri addunt καὶ λαξεύσεως, quae asterisco notavit Stephanus  ἀπολείπεται] ἀπολείπεσθαι AB  ὥςτε] ὡς B  43. συλλήβδην AC(D)FG, caeteri addunt καὶ ὁμοῦ, quae asterisco notavit Stephanus  45. τερατολογεῖν AC(D)EFGM, *mira fabulari* Poggius, caeteri addunt καὶ μυθεύεσθαι, quae asterisco notavit Stephanus  46. λέγοντες ὡς] λέγοντες om. E, praeteriit Poggius, asterisco notavit Stephanus: conf. p. 96. 71. 372. 32.  ἁλῶν AC(D)FGQ, caeteri ἅλατος  47. ἔτηξεν ABC(D)GM, caeteri ἔπηξεν καὶ διέλυσεν, quae duo postrema asterisco notavit Stephanus  50. τὸ πᾶν] τὸ AFG  51. ἀποκατεστάθη] ἀπεκατεστάθη BD, ἀποκατέστη AG  52. λειτουργίαις AC(D)FGM, caeteri addunt καὶ δουλείαις, quae asterisco notavit Stephanus  προςήδρευσαν] καὶ προςεκαρτέρησαν addit C  54. μόγις] μόγις σχεδὸν AB  56. Κεφρὴν] *Cephus* Poggius  58. Χαβρύην Q, Χαβρευείν Q, nescio utrum AFG, *Chabreum* Poggius, caeteri Χαβρύϊν  59. πᾶσιν] πάντων ABD  60. προβασιλεύσαντος B(D), caeteri βασιλεύσαντος  61. χειρουργίαν τέχνῃ Reiskius: libri τέχνην χειρουργίᾳ  63. πολὺ om. C  65. ὡς εἰς AB(D)FGQ, caeteri ὡς  66. καὶ μηνύεται] μηνύεται AD, καταμηνύεσθαι FG  67. δεδαπανῆσθαι τάλαντα] invertit D  68. ἐλάττων] ἔλαττον D
74. 74. πολλὰ om. AD  75. διασπάσειν] διαπάσης FG  77. λάθρᾳ] λάθρᾳ καὶ κρυφίως E  78. post σῶμα addit Poggius *quo effugerunt saevitiam plebis*, de suo haud dubie, ut alia eiusmodi, quae tanti non est apponi  79. Μεχερῖνον AB(D), caeteri μὲν Χερῖνον  82. ἤπερ τὸ] πριν ἢ τὸ πᾶν BD  ἔλαβε] λαβεῖν D  86. ὁμοίων] ὁμοίως ABD  ἄλλαις] λοιπαῖς G

ζηλῶσαι βίον ἐπιεικῆ καὶ πρὸς τοὺς ἀρχομένους εὐεργετικόν, καὶ ποιεῖν αὐτὸν συνεχῶς ἄλλα τε πλείω δι' ὧν ἦν μάλιστα δυνατὸν ἐκκαλεῖσθαι τὴν τοῦ πλήθους πρὸς αὐτὸν εὔνοιαν, κατὰ δὲ τοὺς χρηματισμοὺς ἀναλίσκειν χρημάτων πλῆθος, διδόντα δωρεὰς τῶν ἐπιεικῶν τοῖς δοκοῦσιν ἐν ταῖς κρίσεσι μὴ κατὰ τρόπον ἀπαλλάττειν. εἰσὶ δὲ καὶ ἄλλαι τρεῖς πυραμίδες, ὧν ἑκάστη μὲν πλευρὰ δίπλεθρος ὑπάρχει, τὸ δ' ὅλον ἔργον παραπλήσιον τῇ κατασκευῇ ταῖς ἄλλαις πλὴν τοῦ μεγέθους· ταύτας δέ φασι τοὺς προειρημένους τρεῖς βασιλεῖς ταῖς ἰδίαις κατασκευάσαι γυναιξίν. ὁμολογεῖται δὲ ταῦτα τὰ ἔργα πολὺ προέχειν τῶν κατ' Αἴγυπτον οὐ μόνον τῷ βάρει τῶν κατασκευασμάτων καὶ ταῖς δαπάναις ἀλλὰ καὶ τῇ φιλοτεχνίᾳ τῶν ἐργασαμένων. καί φασι δεῖν θαυμάζειν μᾶλλον τοὺς ἀρχιτέκτονας τῶν ἔργων ἢ τοὺς βασιλεῖς τοὺς παρασχομένους τὰς εἰς ταῦτα χορηγίας· τοὺς 75
μὲν γὰρ ταῖς ἰδίαις ψυχαῖς καὶ ταῖς φιλοτιμίαις, τοὺς δὲ τῷ κληρονομηθέντι πλούτῳ καὶ ταῖς ἀλλοτρίαις κακουχίαις ἐπὶ τέλος ἀγαγεῖν τὴν προαίρεσιν. περὶ δὲ τῶν πυραμίδων οὐδὲν ὅλως οὔτε παρὰ τοῖς ἐγχωρίοις οὔτε παρὰ τοῖς συγγραφεῦσι συμφωνεῖται· οἱ μὲν γὰρ τοὺς προειρημένους βασιλεῖς κατασκευάσαι φασὶν αὐτάς, οἱ δὲ ἑτέρους τινάς· οἷον τὴν μεγίστην ποιῆσαι λέγουσιν Ἁρμαῖον, τὴν δὲ δευτέραν Ἄμωσιν, τὴν δὲ τρίτην Ἰναρῶν. ταύτην δ' ἔνιοι λέγουσι Ῥοδώπιδος τάφον εἶναι τῆς ἑταίρας, ἧς φασι τῶν νομαρχῶν τινὰς ἐραστὰς γενομένους διὰ φιλοστοργίαν οἰκοδομήσαντας ἐπιτελέσαι κοινῇ τὸ κατασκεύασμα.

93. ἐπιεικῆ AC(D)FG, caeteri addunt καὶ πρᾷον, quae asterisco notavit Stephanus 95. δυνατὸν om. D ἐκκαλεῖσθαι] ἐκκαλέσασθαι ABD 96. κατὰ δὲ] καὶ κατὰ D χρηματισμοὺς AC(D)FGU, caeteri addunt καὶ τὰς μαντείας, quae asterisco notavit Stephanus, praeteriit Poggius 98. ἐν ταῖς κρίσεσι om. A 100. πλευρὰ] πλεθρὰ D δίπλεθρος] πλεθριαία B, πλεθραία D 6. φιλοτεχνίᾳ AB(D), caeteri πολυτεχνίᾳ ἐργασαμένων] εἰργασμένων FG

75. 9. εἰς ταῦτα] εἰς ταύτας D, ἐκ ταύτης AB 11. ἀλλοτρίαις] ἄλλαις ABD 13. οὔτε] scribebatur οὐδὲ οὔτε] οὐδὲ FG 15. ἑτέρους] ἕτεροι C 16. Ἁρμαῖον] Ἁρμάϊον D 17. Ἄμωσιν margo A, M, Ἄμωσι D, Ἄρμωσιν AB, Ἄμμωσιν Q, caeteri Ἄμασιν Ἰναρῶν] Ἰνδρῶν AB, Ἴνδρων D, Ἴναρον FG, Μάρωνα MQ, Masum Poggius, caeteri Ἰνάρωνα 18. Ῥοδώπιδος] Ῥοδόπιδος DFG 19. νομαρχῶν] νομάρχων D, μοναρχῶν B, quomodo citat Allatius ad Philonem Byz. in Gronovii Thes. vol. VIII. p. 2655., *principum* Poggius 20. οἰκοδομήσαντας om. D κοινῇ om. FGM, asterisco notavit Stephanus



Μετὰ δὲ τοὺς προειρημένους βασιλεῖς διεδέξατο τὴν 65
ἀρχὴν Βόκχορις, τῷ μὲν σώματι παντελῶς εὐκαταφρόνητος, ἀγχινοίᾳ δὲ πολὺ διαφέρων τῶν προβασιλευσάντων. πολλοῖς δ' ὕστερον χρόνοις ἐβασίλευσε τῆς Αἰγύπτου Σαβάκων, τὸ μὲν γένος ὢν Αἰθίοψ, εὐσεβείᾳ δὲ καὶ χρηστότητι πολὺ διαφέρων τῶν πρὸ αὐτοῦ. τῆς μὲν οὖν ἐπιεικείας αὐτοῦ λάβοι τις ἂν τεκμήριον τὸ τῶν νομίμων προστίμων ἆραι τὸ μέγιστον, λέγω δὲ τὴν τοῦ ζῆν στέρησιν· ἀντὶ γὰρ τοῦ θανάτου τοὺς καταδικασθέντας ἠνάγκαζε λειτουργεῖν ταῖς πόλεσι δεδεμένους. διὰ δὲ τούτων πολλὰ μὲν χώματα κατεσκεύαζεν, οὐκ ὀλίγας δὲ διώρυγας ὤρυττεν εὐκαίρους. ὑπελάμβανε γὰρ τοῖς μὲν κολαζομένοις τὸ τῆς τιμωρίας ἀπότομον ἠλαττωκέναι, ταῖς δὲ πόλεσιν ἀντὶ προστίμων ἀνωφελῶν μεγάλην εὐχρηστίαν πεποιηκέναι. τὴν δὲ τῆς εὐσεβείας ὑπερβολὴν συλλογίσαιτ' ἄν τις ἐκ τῆς κατὰ τὸν ὄνειρον φαντασίας καὶ τῆς κατὰ τὴν ἀρχὴν ἀποθέσεως. ἔδοξε μὲν γὰρ κατὰ τὸν ὕπνον λέγειν αὐτῷ τὸν ἐν Θήβαις θεὸν ὅτι βασιλεύειν οὐ δυνήσεται τῆς Αἰγύπτου μακαρίως οὐδὲ πολὺν χρόνον, ἐὰν μὴ τοὺς ἱερεῖς ἅπαντας
76 διατεμὼν διὰ μέσων αὐτῶν διέλθῃ μετὰ τῆς θεραπείας. πολλάκις δὲ τούτου γενομένου μεταπεμψάμενος πανταχόθεν τοὺς ἱερεῖς ἔφη λυπεῖν τὸν θεὸν ἐν τῇ χώρᾳ μένων· οὐ γὰρ ἂν αὐτὸν τοιαῦτα προστάττειν κατὰ τὸν ὕπνον. ἀπελθὼν οὖν βούλεσθαι καθαρὸς παντὸς μύσους ἀποδοῦναι τὸ ζῆν τῇ πεπρωμένῃ μᾶλλον ἢ λυπῶν τὸν κύριον καὶ μιάνας ἀσεβεῖ φόνῳ τὸν ἴδιον βίον ἄρχειν τῆς Αἰγύπτου. καὶ πέρας τοῖς ἐγχωρίοις ἀποδοὺς τὴν βασιλείαν ἐπανῆλθεν εἰς τὴν Αἰθιοπίαν.

23. τῷ μὲν σώματι παντελῶς εὐκαταφρόνητος] *corpore quidem robusto ac valido* Poggius 24. ἀγχινοίᾳ δὲ ADFG, *ingenio* Poggius, caeteri addunt καὶ φρονήσει, quae asterisco notavit Stephanus 25. χρόνοις] χρόνοις μετὰ τούτους D 26. Σαβάκων] Σαβακῶν argumentum ex A positum ad p. 51. 18., *Sabacus* Poggius 28. λάβοι τις ἂν AB(D)E, caeteri λάβοιτ' ἄν τις 29. προστίμων] καὶ τιμωρημάτων addit V ἆραι τὸ B, ἄραι τὸ D, αἱρετὸν CEGQ, caeteri αἱρετῶν θανάτου] malet fortasse quis θανατοῦν 32. διὰ δὲ] καὶ διὰ D χώματα] χρήματα G 33. ὤρυττεν] διώρυττεν ABD 41. μακαρίως AC(D)FG, caeteri addunt καὶ εὐτυχῶς, quae asterisco notavit Stephanus, praeteriit Poggius 42. διὰ μέσων] διαμέσον EV διέλθῃ] διέλθοι FG 76. 43. πολλάκις ABD, πλεονάκις caeteri: conf. ad p. 342. 24. γενομένου] γινομένου D 44. πανταχόθεν] πολλαχόθεν ABD 45. τὸν θεὸν omisit M αὐτὸν AB, caeteri αὐτῷ 46. προστάττειν ABD, caeteri προσετέτακτο 47. μύσους C(D)EU, μίσουν A, μόθου F, *scelere* Poggius, caeteri μύσους καὶ μιασμοῦ, quae postrema duo asterisco notavit Stephanus 48. ἀσεβεῖ φόνῳ] ἀσεβῆ φόνον AB 49. πέρας] πέρας μέχρι B

66 Ἀναρχίας δὲ γενομένης κατὰ τὴν Αἴγυπτον ἐπ' ἔτη δύο, καὶ τῶν ὄχλων εἰς ταραχὰς καὶ φόνους ἐμφυλίους τρεπομένων, ἐποιήσαντο συνωμοσίαν οἱ μέγιστοι τῶν ἡγεμόνων δώδεκα· συνεδρεύσαντες δὲ ἐν Μέμφει καὶ συνθήκας γραψάμενοι περὶ τῆς πρὸς ἀλλήλους ὁμονοίας καὶ πίστεως ἀνέδειξαν ἑαυτοὺς βασιλεῖς. ἐπ' ἔτη δὲ πεντεκαίδεκα κατὰ τοὺς ὅρκους καὶ τὰς ὁμολογίας ἄρξαντες καὶ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν διατηρήσαντες, ἐπεβάλοντο κατασκευάσαι κοινὸν ἑαυτοῖς τάφον, ἵνα καθάπερ ἐν τῷ ζῆν εὐνοοῦντες ἀλλήλοις τῶν ἴσων ἐτύγχανον τιμῶν, οὕτω καὶ μετὰ τὴν τελευτὴν ἐν ἑνὶ τόπῳ τῶν σωμάτων κειμένων τὸ κατασκευασθὲν μνημεῖον κοινῇ περισχῇ τὴν τῶν ἐνταφέντων δόξαν. εἰς ταύτην δὲ τὴν ἐπιβολὴν φιλοκαλοῦντες ἔσπευσαν ὑπερβάλλεσθαι τῷ μεγέθει τῶν ἔργων ἅπαντας τοὺς πρὸ αὐτῶν. ἐκλεξάμενοι γὰρ τόπον παρὰ τὸν εἴςπλουν τὸν εἰς τὴν Μοίριδος λίμνην ἐν τῇ Λιβύῃ κατεσκεύαζον τὸν τάφον ἐκ τῶν καλλίστων λίθων. καὶ τῷ μὲν σχήματι τετράγωνον ὑπεστήσαντο, τῷ δὲ μεγέθει σταδιαίαν ἑκάστην πλευράν, ταῖς δὲ γλυφαῖς καὶ ταῖς ἄλλαις χειρουργίαις ὑπερβολὴν οὐκ ἀπέλιπον τοῖς ἐπιγινομένοις. εἰςελθόντι μὲν γὰρ τὸν περίβολον οἶκος ἦν περίστυλος, ἑκάστης πλευρᾶς ἐκ τετταράκοντα κιόνων ἀναπληρουμένης, καὶ τούτου μονόλιθος ἦν ὀροφή, φάτναις διαγεγλυμμένη καὶ γραφαῖς διαφόροις πεποικιλμένη. εἶχε δὲ τῆς πατρίδος τῆς ἑκάστου τῶν βασιλέων ὑπομνήματα καὶ τῶν ἱερῶν καὶ θυσιῶν τῶν ἐν αὐτῇ ταῖς καλλίσταις γραφαῖς φιλοτέχνως δεδημιουργημένα. καθόλου δὲ τοιαύτην τῇ πολυτελείᾳ καὶ τηλικαύτην τῷ μεγέθει τὴν ὑπόστασιν τοῦ τάφου λέγεται ποιήσασθαι τοὺς βασιλεῖς ὥςτ' εἰ μὴ πρὸ τοῦ συντελέσαι τὴν ἐπιβολὴν κατελύθησαν, μηδεμίαν ἂν ὑπερβολὴν ἑτέροις

53. ὄχλων] *omnibus* (ὅλων) Poggius 57. πεντεκαίδεκα] πέντε καὶ δέκατον G 60 ἑαυτοῖς ABE, ἑαυτῶν D, *sibi* Poggius, caeteri ἁπάντων 62. οὕτω] οὕτως B 63. μνημεῖον] μνῆμα AD 64. κοινῇ περισχῇ] κοινώνη περιέχῃ F, κοινῇ περιέχῃ G, κοινῇ περιέχει D, κοινῇ παρέχει A, κοινῇ παρέχῃ B, κοινῇ περισχῇ καὶ φυλάξῃ C ἐνταφέντων ABC(D)EQ, caeteri ταφέντων εἰς ταύτην δὲ τὴν ἐπιβολὴν φιλοκαλοῦντες ἔσπευσαν ABDE, caeteri ἔσπευσαν οὖν: Poggius *conati sunt in ea re omnia superiorum regum opera excedere* 65. ὑπερβάλλεσθαι] ὑπερβάλεσθαι D 67. εἰς] κατὰ GQ Μοίριδος ed. Wesselingii: libri Μύριδος 71. ἐπιγινομένοις AB, caeteri ἐπιγιγνομένοις 72. οἶκος ἦν περίστυλος] ἐοικὸς ἦν ποιήσαντι περίστυλον ABD 73. τετταράκοντα] τεττάρων G Poggius 74. φάτναις διαγεγλυμμένη ACD, φάτναις τισὶ διαγεγλυμμένη M, *sculpta praesepibus* Poggius, caeteri φάτναις καὶ ξέσμασί τισι διαγεγλυμμένη 77. ἱερῶν] ἱερέων D 82. κατελύθησαν] κατελύθη M ἂν omisit AB



πρὸς κατασκευὴν ἔργων ἀπολιπεῖν. ἀρξάντων δὲ τούτων 77 τῆς Αἰγύπτου πεντεκαίδεκα ἔτη συνέβη τὴν βασιλείαν περιστῆναι εἰς ἕνα διὰ τοιαύτας αἰτίας. Ψαμμήτιχος ὁ Σαΐτης, εἷς ὢν τῶν δώδεκα βασιλέων καὶ τῶν παρὰ θάλατταν μερῶν κυριεύων, παρείχετο φορτία πᾶσι τοῖς ἐμπόροις, μάλιστα δὲ τοῖς Φοίνιξι καὶ τοῖς Ἕλλησι. διὰ δὲ τοῦ τοιούτου τρόπου τά τε ἐκ τῆς ἰδίας χώρας λυσιτελῶς διατιθέμενος καὶ τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι φυομένων μεταλαμβάνων, οὐ μόνον εὐπορίαν εἶχε μεγάλην ἀλλὰ καὶ φιλίαν πρὸς ἔθνη καὶ δυνάστας. διὰ δὲ ταῦτά φασι φθονήσαντας αὐτῷ τοὺς ἄλλους βασιλεῖς πόλεμον ἐξενεγκεῖν. ἔνιοι δὲ τῶν ἀρχαίων συγγραφέων μυθολογοῦσι χρησμὸν γενέσθαι τοῖς ἡγεμόσιν, ὃς ἂν αὐτῶν ἐκ χαλκῆς φιάλης πρῶτος ἐν Μέμφει σπείσῃ τῷ θεῷ, κρατήσειν αὐτὸν πάσης Αἰγύπτου· τὸν δὲ Ψαμμήτιχον ἐξενέγκαντος ἐκ τοῦ ἱεροῦ τῶν ἱερέων τινὸς φιάλας δώδεκα χρυσᾶς περιελόμενον τὴν περικεφαλαίαν σπεῖσαι. ὑπιδομένους οὖν τοὺς συνάρχοντας τὸ πραχθὲν ἀποκτεῖναι μὲν αὐτὸν μὴ βουληθῆναι, φυγαδεῦσαι δὲ καὶ προςτάξαι διατρίβειν ἐν τοῖς ἕλεσι τοῖς παρὰ θάλατταν, εἴτε δὴ διὰ ταύτην τὴν αἰτίαν εἴτε διὰ τὸν φθόνον, καθότι προείρηται, γενομένης τῆς διαφορᾶς. ὁ μὲν γὰρ Ψαμμήτιχος ἔκ τε τῆς Καρίας καὶ τῆς Ἰωνίας μισθοφόρους μεταπεμψάμενος ἐνίκησε παρατάξει περὶ πόλιν τὴν ὀνομαζομένην Μώμεμφιν, τῶν δ' ἀντιταξαμένων βασιλέων οἱ μὲν κατὰ τὴν μάχην ἀνῃρέθησαν, οἱ δ' εἰς Λιβύην ἐκδιωχθέντες οὐκέτι περὶ τῆς ἀρχῆς ἴσχυσαν ἀμφιςβητῆσαι.

Τῆς δὲ ὅλης βασιλείας κυριεύσας ὁ Ψαμμήτιχος τῷ 67

77. 85. περιστῆναι εἰς ἕνα] εἰς ἕνα περιστῆναι D τοιαύτας BE, caeteri τοιαύτης 86. et seq. Ψαμμίτιχος] Ψαμμήτιχος BDE semper: *Psamniticus* constanter Poggius 89. τοῖς] τοῖς τε D τοῖς Ἕλλησι (Ἕλλησιν D) ABD, caeteri Ἕλλησι 90. λυσιτελῶς] καὶ ὠφελίμως gl. U 91. ἄλλοις ἔθνεσι D, ἔθνεσι AB, margo E, caeteri Ἕλλησι 96. φιάλης] καὶ ποτηρίου addit E 97. σπείσῃ] καὶ θύσῃ addunt EG 98. πάσης] πάσης τῆς D 99. δώδεκα] ἕνδεκα Reiskius: v. annotationem 100. περικεφαλαίαν] καὶ τὸ κασσίδιον addit E 1. ὑπιδομένους] scribebatur ὑπειδομένους: huic καὶ γνόντας subiiciunt CEG 4. δὴ] δὲ D 5. καθότι] καθάπερ AB 6. ἔκ τε τῆς Καρίας καὶ τῆς Ἰωνίας AD, ἔκ τε καὶ τῆς κακίας καὶ τῆς Ἰωνίας καὶ τῆς Καρίας C, ἔκ τε τῆς Ἰωνίας καὶ Καρίας E, caeteri ἔκ τε τῆς Ἀραβίας καὶ τῆς Καρίας καὶ τῆς Ἰωνίας, quorum Ἀραβίας (solum, non τῆς Ἀραβίας) asterisco notavit Stephanus 8. Μώμεμφιν] Μέμφιν ABD Poggius, μὲν Μέμφιν libri Stephani 12. κυριεύσας AB(D)EFGQ, caeteri κρατήσας: „*in C hiatus hic est.*" Wesseling.

μὲν ἐν Μέμφει θεῷ τὸ πρὸς ἕω προπύλαιον κατεσκεύασε καὶ τῷ ναῷ τὸν περίβολον, κολοττοὺς ὑποστήσας ἀντὶ τῶν κιόνων δωδεκαπήχεις· τοῖς δὲ μισθοφόροις χωρὶς τῶν ὡμολογημένων συντάξεων δωρεάς τε ἀξιολόγους ἀπένειμε καὶ τὰ καλούμενα στρατόπεδα τόπον οἰκεῖν ἔδωκε καὶ χώραν πολλὴν κατεκληρούχησε μικρὸν ἐπάνω τοῦ Πηλουσιακοῦ στόματος· οὓς ἐντεῦθεν Ἄμασις ὕστερον πολλοῖς ἔτεσι βασιλεύσας ἀνέστησε καὶ κατῴκισεν εἰς Μέμφιν. διὰ δὲ τῶν μισθοφόρων κατωρθωκὼς τὴν βασιλείαν ὁ Ψαμμήτιχος τούτοις τὸ λοιπὸν μάλιστ' ἐνεπίστευσε τὰ κατὰ τὴν ἀρχὴν καὶ διετέλεσε ξενοτροφῶν μεγάλας δυνάμεις. στρατεύσαντος δ' εἰς τὴν Συρίαν αὐτοῦ καὶ κατὰ τὰς παρατάξεις τοὺς μὲν μισθοφόρους προ- 78
τιμῶντος καὶ τάττοντος εἰς τὰ δεξιὰ μέρη, τοὺς δ' ἐγχωρίους ἀτιμότερον ἄγοντος καὶ τὸν εὐώνυμον τόπον ἀπονέμοντος τῆς φάλαγγος, οἱ μὲν Αἰγύπτιοι διὰ τὴν ὕβριν παροξυνθέντες καὶ γενόμενοι τὸ πλῆθος πλείους τῶν εἴκοσι μυριάδων ἀπέστησαν καὶ προῆγον ἐπ' Αἰθιοπίας, κεκρικότες ἰδίαν χώραν ἑαυτοῖς κατακτᾶσθαι· ὁ δὲ βασιλεὺς τὸ μὲν πρῶτον ἔπεμψέ τινας τῶν ἡγεμόνων τοὺς ἀπολογησομένους ὑπὲρ τῆς ἀτιμίας, ὡς δ' οὐ προσεῖχον αὐτοῖς, αὐτὸς μετὰ τῶν φίλων ἐδίωξε πλοίοις. προαγόντων δ' αὐτῶν παρὰ τὸν Νεῖλον καὶ τοὺς ὅρους ὑπερβαλλόντων τῆς Αἰγύπτου, ἐδεῖτο μετανοῆσαι καὶ τῶν τε ἱερῶν καὶ τῶν πατρίδων ἔτι δὲ γυναικῶν καὶ τέκνων ὑπεμίμνησκεν. οἱ δ' ἅμα πάντες ἀναβοήσαντες καὶ τοῖς κοντοῖς τὰς ἀσπίδας πατάξαντες ἔφασαν, ἕως ἂν κυριεύωσι τῶν ὅπλων, ῥᾳδίως εὑρήσειν πατρίδας· ἀναστειλάμενοι δὲ τοὺς χιτῶνας καὶ τὰ γεννητικὰ μόρια τοῦ σώματος δείξαντες οὔτε γυναικῶν οὔτε τέκνων ἀπορήσειν ἔφασαν ταῦτ' ἔχοντες. τοιαύτῃ δὲ μεγαλοψυχίᾳ χρησάμενοι καὶ καταφρονήσαντες τῶν παρὰ τοῖς ἄλλοις μεγίστων εἶναι δοκούντων κατελάβοντο μὲν τῆς Αἰθιοπίας τὴν κρατίστην, κατακληρουχήσαντες δὲ πολλὴν χώραν ἐν ταύτῃ κατῴκησαν. ὁ δὲ Ψαμμήτιχος ἐπὶ μὲν τούτοις οὐ μετρίως ἐλυπήθη, τὰ δὲ κατὰ τὴν Αἴγυπτον διατάξας καὶ τῶν προσόδων ἐπιμελόμενος πρός τε Ἀθηναίους καί τινας τῶν ἄλλων Ἑλλήνων συμμαχίαν ἐποιήσατο. εὐεργέτει δὲ καὶ τῶν ξένων τοὺς ἐθελοντὶ εἰς τὴν Αἴγυπτον ἀποδημοῦντας, καὶ φιλέλλην ὢν διαφερόντως τοὺς υἱοὺς τὴν Ἑλληνικὴν ἐδίδαξε παιδείαν· καθόλου δὲ πρῶτος τῶν κατ' Αἴγυπτον βασιλέων ἀνέῳξε τοῖς ἄλλοις ἔθνεσι τὰ κατὰ τὴν [ἄλλην] χώραν ἐμπόρια καὶ πολλὴν ἀσφάλειαν τοῖς καταπλέουσι ξένοις παρείχετο. οἱ μὲν γὰρ πρὸ τούτου δυναστεύσαντες ἄβατον τοῖς ξένοις ἐποίουν τὴν Αἴγυπτον, τοὺς μὲν φονεύοντες τοὺς δὲ καταδουλούμενοι τῶν καταπλεόντων. καὶ γὰρ ἡ περὶ τὸν Βούσιριν ἀσέβεια διὰ τὴν τῶν ἐγχωρίων ἀξενίαν διεβοήθη παρὰ τοῖς Ἕλλησιν, οὐκ ουσα μὲν πρὸς ἀλήθειαν, διὰ δὲ τὴν ὑπερβολὴν τῆς ἀνομίας εἰς μύθου πλάσμα καταχωρισθεῖσα.

68 Μετὰ δὲ Ψαμμήτιχον ὕστερον τέτταρσι γενεαῖς Ἀπρίης ἐβασίλευσεν ἔτη δυσὶ πλείω τῶν εἴκοσι. στρατεύσας δὲ δυνάμεσιν ἁδραῖς πεζικαῖς τε καὶ ναυτικαῖς
79 ἐπὶ Κύπρον καὶ Φοινίκην Σιδῶνα μὲν κατὰ κράτος εἷλε, τὰς δ' ἄλλας τὰς ἐν Φοινίκῃ πόλεις καταπληξάμενος προσηγάγετο· ἐνίκησε δὲ καὶ ναυμαχίᾳ μεγάλῃ Φοίνικάς τε καὶ Κυπρίους, καὶ λαφύρων ἀθροίσας πλῆθος ἐπανῆλθεν εἰς Αἴγυπτον. μετὰ δὲ ταῦτα δύναμιν πέμψας ἁδρὰν τῶν ὁμοεθνῶν ἐπὶ Κυρήνην καὶ Βάρκην, καὶ τὸ πλεῖστον αὐτῆς ἀποβαλών, ἀλλοτρίους ἔσχε τοὺς διασωθέντας· ὑπολαβόντες γὰρ αὐτὸν ἐπ' ἀπωλείᾳ συντάξαι τὴν στρατείαν, ὅπως ἀσφαλέστερον ἄρχῃ τῶν λοιπῶν Αἰγυ-

13. προπύλαιον AB(D)E, caeteri προσπύλαιον 14. κολοττοὺς] κόττους F 16. ὡμολογημένων B(D), ὁμολογημένων AE, caeteri ὁμολογουμένων 17. τὰ καλούμενα στρατόπεδα AB(D)EFGQ, τοῖς καλουμένοις στρατοπέδοις margo G cum caeteris 21. κατωρθωκὼς] scribebatur κατορθωκὼς 23. ἐνεπίστευσε] ἐνεπίστευε (-εν D) BDE 25. καὶ om. F παρατάξεις] πράξεις ABDF

78. 28. φάλαγγος] καὶ τοῦ στρατιωτικοῦ τάγματος addit E 33. τοὺς ἀπολογησομένους] τῶν ἀπολογησομένων B, τὸν ἀπολογησόμενον A 34. αὐτοῖς om. D 35. ἐδίωξε] ἐδίωκε D πλοίοις] πλείων FG προαγόντων ABD, caeteri προϊόντων 36. ὅρους] montes Poggius, ut solet ὑπερβαλλόντων] ὑπερβαλόντων D 38. ἔτι δὲ] ἔτι δὲ καὶ D τέκνων] παίδων FG 39. κοντοῖς] κόντοις D 40. κυριεύωσι] κυριεύσαντες C 41. ἀναστειλάμενοι] ἀναστείλαντες ABD, καὶ ἀνασύραντες gl. C 42. μόρια] μέρη ABCDF

51. εὐεργέτει] εὐηργέτει D summa beneficentia Poggius 52. ξένων] ξένων διαφερόντως D, ἐθελοντὶ FGQ, ἐθελοντῇ C, ἐθελοντὴ D, caeteri ἐθελουσίως 53. ἀποδημοῦντας C(D)E, caeteri ἐπιδημοῦντας 55. ἀνέῳξε] ἀνέσωξε G 56. ἄλλην delet Reiskius 58. ἄβατον ABD, caeteri ἀνεπίβατον 59. ἐποίουν] ἐποιοῦντο (sic) D ante τοῖς ξένοις ponens 61. ἀξενίαν] ξενίαν FG, καὶ ἀφιλίαν gl. V 63. ἀνομίας] μανίας F 67. ἁδραῖς] μυδραῖς F, caeteri ἀδραῖς

79. 69. τὰς ἐν Φοινίκῃ AB, τὰς ἐν τῇ Φοινίκῃ D, caeteri τῆς Φοινίκης καταπληξάμενος] καταστρεψάμενος FGQ 71. λαφύρων] καὶ κούρσων addit E „ex glossa. V. Du Cange Gloss. κοῦρσος" Wesseling. 73. ἁδρὰν] ἀδρὰν omnes 74. πλεῖστον ABDE, caeteri πλεῖον 76. συντάξαι ABD, caeteri συστήσασθαι

πτίων, ἀπέστησαν. ἀποσταλεὶς δὲ πρὸς τούτους ὑπὸ τοῦ βασιλέως Ἄμασις, ἀνὴρ ἐμφανὴς Αἰγύπτιος, τῶν μὲν ῥηθεισῶν ὑπ᾽ αὐτοῦ πρὸς ὁμόνοιαν ἐντολῶν ἠμέλησε, τοὐναντίον δ᾽ ἐκείνους προτρεψάμενος εἰς ἀλλοτριότητα συναπέστη καὶ βασιλεὺς αὐτὸς ᾑρέθη. μετ᾽ οὐ πολὺν δὲ χρόνον καὶ τῶν ἄλλων ἐγχωρίων ἁπάντων συνεπιθεμένων ὁ βασιλεὺς διαπορούμενος ἠναγκάσθη καταφυγεῖν ἐπὶ τοὺς μισθοφόρους, ὄντας εἰς τρισμυρίους. γενομένης οὖν παρατάξεως περὶ τὴν Μάρειαν κώμην, καὶ τῶν Αἰγυπτίων τῇ μάχῃ κρατησάντων, ὁ μὲν Ἀπρίης ζωγρηθεὶς ἀνήχθη καὶ στραγγαληθεὶς ἐτελεύτησεν, Ἄμασις δὲ διατάξας τὰ κατὰ τὴν βασιλείαν ὥς ποτ᾽ ἔδοξεν αὐτῷ συμφέρειν ἦρχε νομίμως τῶν Αἰγυπτίων καὶ μεγάλης ἐτύγχανεν ἀποδοχῆς. κατεστρέψατο δὲ καὶ τὰς ἐν Κύπρῳ πόλεις καὶ πολλὰ τῶν ἱερῶν ἐκόσμησεν ἀναθήμασιν ἀξιολόγοις. βασιλεύσας δ᾽ ἔτη πέντε πρὸς τοῖς πεντήκοντα κατέστρεψε τὸν βίον καθ᾽ ὃν χρόνον Καμβύσης ὁ τῶν Περσῶν βασιλεὺς ἐστράτευσεν ἐπὶ τὴν Αἴγυπτον, κατὰ τὸ τρίτον ἔτος τῆς ἑξηκοστῆς καὶ τρίτης Ὀλυμπιάδος, ἣν ἐνίκα στάδιον Παρμενίδης Καμαριναῖος.

69 Ἐπεὶ δὲ τὰς τῶν ἐν Αἰγύπτῳ βασιλέων πράξεις ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων διεληλύθαμεν ἀρκούντως μέχρι τῆς Ἀμάσιος τελευτῆς, τὰς λοιπὰς ἀναγράψομεν ἐν τοῖς οἰκείοις χρόνοις. περὶ δὲ τῶν νομίμων τῶν κατ᾽ Αἴγυπτον νῦν διέξιμεν ἐν κεφαλαίοις τά τε παραδοξότατα καὶ τὰ μάλιστα ὠφελῆσαι δυνάμενα τοὺς ἀναγινώσκοντας. πολλὰ γὰρ τῶν παλαιῶν ἐθῶν τῶν γενομένων παρ᾽ Αἰγυπτίοις οὐ μόνον παρὰ τοῖς ἐγχωρίοις ἀποδοχῆς ἔτυχεν, ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν οὐ μετρίως ἐθαυμάσθη. διόπερ οἱ μέγιστοι τῶν ἐν παιδείᾳ δοξασθέντων ἐφιλοτιμήθησαν εἰς Αἴγυπτον παραβαλεῖν, ἵνα μετάσχωσι 80 τῶν τε νόμων καὶ τῶν ἐπιτηδευμάτων, ὡς ἀξιολόγων ὄντων. καίπερ γὰρ τῆς χώρας τὸ παλαιὸν τοῖς ξένοις

79. ῥηθεισῶν Wesselingius in Add. ad p. 460. 5.: libri ῥηθέντων 80. ἐκείνους ABDEFG, caeteri αὐτοὺς 82. μετ᾽ οὐ] μετὰ QV 85. εἰς ABD, caeteri ὡς 86. Μάρειαν] scribebatur Μαρίαν 88. στραγγαληθεὶς] στραγγαλισθεὶς Valckenarius Diatr. in Eur. Fr. p. 284., στραγγαληθεὶς καὶ δεσμευθεὶς V 92. πολλὰ] πολλὰς D 95. ἐπὶ τὴν] ἐπ᾽ FG 96. τρίτον] ἑβδομηκοστὸν ἑξηκοστὸν τρίτον B Ὀλυμπιάδος, ἣν AC(D)FGU, Poggius, caeteri Ὀλυμπιάδος, ἣ δ᾽ Ὀλυμπιὰς πληροῦται κατὰ τέτταρας χρόνους, ἔτι (ἐστὶ Wesselingius) δὲ ὅπερ οἱ Ῥωμαῖοι καλοῦσι βίσσεξστον, ἣν: interposita asterisco notavit Stephanus 1. Ἀμάσιος] verius est Ἀμάσιδος 3. διέξιμεν] διέξειμεν D 5. ἐθῶν] ἐθνῶν FG 9. παραβαλεῖν B(D)FGMQ, παραλαβεῖν C, omisit A, caeteri παραγενέσθαι

80. 12. τοῖς ξένοις post δυσεπιβάτου ponit D



δυσεπιβάτου οὔσης διὰ τὰς προειρημένας αἰτίας, ὅμως ἔσπευσαν εἰς αὐτὴν παραβαλεῖν τῶν μὲν ἀρχαιοτάτων Ὀρφεὺς καὶ ὁ ποιητὴς Ὅμηρος, τῶν δὲ μεταγενεστέρων ἄλλοι τε πλείους καὶ Πυθαγόρας ὁ Σάμιος, ἔτι δὲ καὶ Σόλων ὁ νομοθέτης. λέγουσι τοίνυν Αἰγύπτιοι παρ᾽ αὐτοῖς τήν τε τῶν γραμμάτων εὕρεσιν γενέσθαι καὶ τὴν τῶν ἄστρων παρατήρησιν, πρὸς δὲ τούτοις τά τε περὶ τὴν γεωμετρίαν θεωρήματα καὶ τῶν τεχνῶν τὰς πλείστας εὑρεθῆναι, νόμους τε τοὺς ἀρίστους τεθῆναι. καὶ τούτων μεγίστην ἀπόδειξίν φασιν εἶναι τὸ τῆς Αἰγύπτου πλείω τῶν ἑπτακοσίων καὶ τετρακισχιλίων ἐτῶν βασιλεῦσαι τοὺς πλείους ἐγγενεῖς καὶ τὴν χώραν εὐδαιμονεστάτην ὑπάρξαι τῆς ἁπάσης οἰκουμένης· ταῦτα γὰρ οὐκ ἄν ποτε γενέσθαι μὴ οὐ τῶν ἀνθρώπων χρωμένων κρατίστοις ἔθεσι καὶ νόμοις καὶ τοῖς κατὰ πᾶσαν παιδείαν ἐπιτηδεύμασιν. ὅσα μὲν οὖν Ἡρόδοτος καί τινες τῶν τὰς Αἰγυπτίων πράξεις συνταξαμένων ἐσχεδιάκασιν ἑκουσίως προκρίναντες τῆς ἀληθείας τὸ παραδοξολογεῖν καὶ μύθους πλάττειν ψυχαγωγίας ἕνεκα παρήσομεν, αὐτὰ δὲ τὰ παρὰ τοῖς ἱερεῦσι τοῖς κατ᾽ Αἴγυπτον ἐν ταῖς ἀναγραφαῖς γεγραμμένα φιλοτίμως ἐξητακότες ἐκθησόμεθα.
πρῶτον μὲν τοίνυν οἱ βασιλεῖς αὐτῶν βίον εἶχον 70
οὐχ ὅμοιον τοῖς ἄλλοις τοῖς ἐν μοναρχικαῖς ἐξουσίαις οὖσι καὶ πάντα πράττουσι κατὰ τὴν ἑαυτῶν προαίρεσιν ἀνυπευθύνως, ἀλλ᾽ ἦν ἅπαντα τεταγμένα νόμων ἐπιταγαῖς οὐ μόνον τὰ περὶ τοὺς χρηματισμοὺς ἀλλὰ καὶ τὰ περὶ τὴν καθ᾽ ἡμέραν διαγωγὴν καὶ δίαιταν. περὶ μὲν γὰρ τὴν θεραπείαν αὐτῶν οὐδεὶς ἦν οὔτ᾽ ἀργυρώνητος οὔτε οἰκογενὴς δοῦλος, ἀλλὰ τῶν ἐπιφανεστάτων ἱερέων υἱοὶ πάντες, ὑπὲρ εἴκοσι μὲν ἔτη γεγονότες, πεπαιδευμένοι δὲ κάλλιστα τῶν ὁμοεθνῶν, ἵνα τοὺς ἐπιμελησομένους τοῦ σώματος καὶ πᾶσαν ἡμέραν καὶ νύκτα προσεδρεύοντας ὁ βασιλεὺς ἔχων ἀρίστους
81 μηδὲν ἐπιτηδεύῃ φαῦλον· οὐδεὶς γὰρ ἐπὶ πλεῖον κακίας

δυσεπιβάτου BC(D)EFG, caeteri ἀνεπιβάτου: *aditum difficilem* Poggius 16. ἔτι δὲ καὶ] ἔτι δὲ D 18. γενέσθαι] γεγενῆσθαι FG 19. περὶ] κατὰ D 23. καὶ] τε καὶ C τετρακισχιλίων] *tribus milibus* Poggius πλείους om. AB 28. Αἰγυπτίων] Αἰγυπτίας BD 29. ἐσχεδιάκασιν (-σι AC) AC(D) M, ἔσχε διάκρισιν F, ἔσχε διάβασιν G, caeteri addunt καὶ συνεγράψαντο, quae asterisco notavit Stephanus 30. πλάττειν om. A 31. ψυχαγωγίας] καὶ παραμυθίας addit E 36. ἀνυπευθύνως AC(D)FGM, caeteri addunt καὶ ἀνεξετάστως, quae asterisco notavit Stephanus 42. πάντες] ὄντες FG: interpunctionem ante πάντες ponit D 43. κάλλιστα] μάλιστα FGQ 45. προσεδρεύοντας] καὶ προσμένοντας gl. C

81. 46. ἐπιτηδεύῃ] ἐπιτηδεύωσι F, ἐπιτηδεύει G φαῦλον

προβαίνει δυνάστης, ἐὰν μὴ τοὺς ὑπηρετήσοντας ἔχῃ ταῖς ἐπιθυμίαις. διατεταγμέναι δ᾽ ἦσαν αἵ τε τῆς ἡμέρας καὶ τῆς νυκτὸς ὧραι, καθ᾽ ἃς ἐκ παντὸς τρόπου καθῆκον ἦν τὸν βασιλέα πράττειν τὸ συντεταγμένον ἐκ τῶν νόμων, οὐ τὸ δεδογμένον ἑαυτῷ. ἕωθεν μὲν γὰρ ἐγερθέντα λαβεῖν αὐτὸν ἔδει πρῶτον τὰς πανταχόθεν ἀπεσταλμένας ἐπιστολάς, ἵνα δύνηται πάντα κατὰ τρόπον χρηματίζειν καὶ πράττειν, εἰδὼς ἀκριβῶς ἕκαστα τῶν κατὰ τὴν βασιλείαν συντελουμένων· ἔπειτα λουσάμενον καὶ τοῖς τῆς ἀρχῆς συσσήμοις μετ᾽ ἐσθῆτος λαμπρᾶς κοσμήσαντα τὸ σῶμα θῦσαι τοῖς θεοῖς. τῷ τε βωμῷ προςαχθέντων τῶν θυμάτων ἔθος ἦν τὸν ἀρχιερέα στάντα πλησίον τοῦ βασιλέως εὔχεσθαι μεγάλῃ τῇ φωνῇ περιεστῶτος τοῦ πλήθους τῶν Αἰγυπτίων δοῦναι τήν τε ὑγίειαν καὶ τἄλλα ἀγαθὰ πάντα τῷ βασιλεῖ διατηροῦντι τὰ πρὸς τοὺς ὑποτεταγμένους δίκαια. ἀνθομολογεῖσθαι δ᾽ ἦν ἀναγκαῖον καὶ τὰς κατὰ μέρος ἀρετὰς αὐτοῦ, λέγοντα διότι πρός τε τοὺς θεοὺς εὐσεβῶς καὶ πρὸς τοὺς ἀνθρώπους ἡμερώτατα διάκειται· ἐγκρατής τε γάρ ἐστι καὶ δίκαιος καὶ μεγαλόψυχος ἔτι δὲ ἀψευδὴς καὶ μεταδοτικὸς τῶν ἀγαθῶν καὶ καθόλου πάσης ἐπιθυμίας κρείττων, καὶ τὰς μὲν τιμωρίας ἐλάττους τῆς ἀξίας ἐπιτιθεὶς τοῖς ἁμαρτήμασι, τὰς δὲ χάριτας μείζονας τῆς εὐεργεσίας ἀποδιδοὺς τοῖς εὐεργετήσασι. πολλὰ δὲ καὶ ἄλλα παραπλήσια τούτοις διελθὼν ὁ κατευχόμενος τὸ τελευταῖον ὑπὲρ τῶν ἀγνοουμένων ἀρὰν ἐποιεῖτο, τὸν μὲν βασιλέα τῶν ἐγκλημάτων ἐξαιρούμενος, εἰς δὲ τοὺς ὑπηρετοῦντας καὶ διδάξαντας τὰ φαῦλα καὶ τὴν βλάβην καὶ τὴν τιμωρίαν ἀξιῶν ἀποσκῆψαι. ταῦτα δ᾽ ἔπραττεν ἅμα μὲν εἰς δεισιδαιμονίαν καὶ θεοφιλῆ βίον τὸν βασιλέα προτρεπόμενος, ἅμα δὲ καὶ κατὰ τρόπον ζῆν ἐθίζων οὐ διὰ πικρᾶς νουθετήσεως ἀλλὰ δι᾽ ἐπαίνων κεχαρισμένων καὶ πρὸς ἀρετὴν μάλιστ᾽ ἀνηκόντων. μετὰ δὲ

ABC(D)FGM, caeteri addunt *καὶ ἐπίψογον*, quae asterisco notavit Stephanus, praeteriit etiam Poggius 49. *καθῆκον ἦν* ABD, caeteri *καθῆκε* 50. *ἐκ τῶν νόμων* om. AD, *ἐν τοῖς νόμοις* FMQ 54. *καὶ πράττειν* om. EU, asterisco notavit Stephanus 57. *τε*] malim *δὲ* 59. *βασιλέως* AB(D), *regi* Poggius, *ἱερέως* Q, *ἡγεμόνος* FGQ, *ἱερείου καὶ τοῦ θύματος* C, caeteri *ἱερείου* *περιεστῶτος τοῦ*] *μετὰ τοῦ περιεστῶτος* FQ 63. *ἀναγκαῖον*] *δίκαιον* ABD 65. *ἐστι* om. FG, asterisco notavit Stephanus 69. *ἁμαρτήμασι*] *τουτέστι φιλανθρωπούμενος καὶ μὴ κολάζων κατὰ τὸ πταῖσμα* gl. C *μείζονας* ABD, caeteri *μείζους* 70. *εὐεργετήσασι*] *εὐεργετήμασι* B 75. *ἀξιῶν ἀποσκῆψαι* ABD, caeteri *ἀποσκήπτων* 79. *μάλιστ᾽ ἀνηκόντων*] *μάλιστα νικόντων* F



ταῦτα τοῦ βασιλέως ἱεροσκοπησαμένου μόσχῳ καὶ καλλιερήσαντος ὁ μὲν ἱερογραμματεὺς παρανεγίνωσκέ τινας συμβουλίας καὶ πράξεις συμφερούσας ἐκ τῶν ἱερῶν βίβλων τῶν ἐπιφανεστάτων ἀνδρῶν, ὅπως ὁ τῶν ὅλων τὴν ἡγεμονίαν ἔχων τὰς καλλίστας προαιρέσεις τῇ διανοίᾳ θεωρήσας οὕτω πρὸς τὴν τεταγμένην τῶν κατὰ μέρος τρέπηται διοίκησιν. οὐ γὰρ μόνον τοῦ χρηματίζειν ἢ κρίνειν ἦν καιρὸς ὡρισμένος ἀλλὰ καὶ τοῦ περιπατῆσαι καὶ λούσασθαι καὶ κοιμηθῆναι μετὰ τῆς γυναικὸς καὶ καθόλου τῶν κατὰ τὸν βίον πραττομένων ἁπάντων. τροφαῖς δ᾽ ἔθος ἦν αὐτοῖς ἁπλαῖς χρῆσθαι, κρέα μὲν μόσχων καὶ χηνῶν μόνον προςφερομένους, οἶνον δὲ τακτόν τι μέτρον πίνοντας μὴ δυνάμενον πλησμονὴν ἄκαιρον ἢ μέθην περιποιῆσαι. καθόλου δὲ τὰ περὶ τὴν δίαιταν οὕτως ὑπῆρχε συμμέτρως συντεταγμένα ὥςτε δοκεῖν μὴ νομοθέτην ἀλλὰ τὸν ἄριστον τῶν ἰατρῶν συντεταχέναι τῆς ὑγιείας στοχαζόμενον.

71 παραδόξου δ᾽ εἶναι δοκοῦντος τοῦ μὴ πᾶσαν ἔχειν ἐξουσίαν τὸν βασιλέα τῆς καθ᾽ ἡμέραν τροφῆς πολλῷ θαυμασιώτερον ἦν τὸ μήτε δικάζειν μήτε χρηματίζειν τὸ τυχὸν αὐτοῖς ἐξεῖναι μηδὲ τιμωρήσασθαι μηδένα δι᾽ ὕβριν ἢ διὰ θυμὸν ἤ τινα ἄλλην αἰτίαν ἄδικον, ἀλλὰ καθάπερ οἱ περὶ ἑκάστων κείμενοι νόμοι προςέταττον. ταῦτα δὲ κατὰ τὸ ἔθος πράττοντες οὐχ ὅπως ἠγανάκτουν ἢ προςέκοπτον ταῖς ψυχαῖς, ἀλλὰ τοὐναντίον ἡγοῦντο ἑαυτοὺς ζῆν βίον μακαριώτατον. τοὺς μὲν γὰρ ἄλλους ἀνθρώπους ἐνόμιζον ἀλογίστως τοῖς φυσικοῖς πάθεσι χαριζομένους πολλὰ πράττειν τῶν φερόντων βλάβας ἢ κινδύνους, καὶ πολλάκις ἐνίους εἰδότας ὅτι μέλλουσιν ἁμαρτάνειν μηδὲν ἧττον πράττειν τὰ φαῦλα, κατισχυομένους ὑπ᾽ ἔρωτος ἢ μίσους ἤ τινος ἑτέρου πάθους, ἑαυτοὺς δ᾽ ἐζηλωκότας βίον τὸν ὑπὸ τῶν φρονιμωτάτων ἀνδρῶν προκεκρι-

80. *ἱεροσκοπησαμένου*] *καὶ σκοπήσαντος τὴν θυσίαν* gl. C *μόσχῳ* om. E, asterisco notavit Stephanus

82. 81. *καλλιερήσαντος*] *καλῶς θύσαντος μόσχον* gl. C *ἱερογραμματεὺς*] *ἱερεὺς* A, *sacerdos* Poggius *παρανεγίνωσκε*] *παρεγίνωσκε* B 82. *καὶ πράξεις συμφερούσας*] *συμφερούσας καὶ πράξεις* ADFG 85. *τῇ διανοίᾳ*] *τῆς διανοίας* G 90. *ἁπλαῖς*] *ἁπαλαῖς* BDGM: *in uno duntaxat exemplari* repererat Stephanus 91. *κρέα μὲν* D, caeteri *κρέα* *μόσχων* BD, caeteri *μόσχεια* *μόνον*] *μόνων* D 92. *μέτρον*] *μέρος* ABD *δυνάμενον*] *δυναμένου* B 93. *περιποιῆσαι*] *ποιῆσαι* B 94. *συντεταγμένα*] *διατεταγμένα* ABD 99. *τὸ μήτε*] *τὸ μηδὲ* D 2. *ἀλλὰ*] *εἰ μὴ* G *ἑκάστων*] *ἑκάστου* FG 4. *προςέκοπτον*] *προέκοπτον* G 5. *ζῆν βίον* om. G 9. *ὅτι*] *ὅτε* BD 10. *κατισχ.* — 11. *πάθους* om. EU, asterisco notavit Stephanus 11. *ἑτέρου* ABD, caeteri *ἄλλου*

μένον ἐλαχίστοις περιπίπτειν ἀγνοήμασι. τοιαύτῃ δὲ χρωμένων τῶν βασιλέων δικαιοσύνῃ πρὸς τοὺς ὑποτεταγμένους τὰ πλήθη ταῖς εἰς τοὺς ἡγουμένους εὐνοίαις πᾶσαν συγγενικὴν φιλοστοργίαν ὑπερεβάλλετο· οὐ γὰρ μόνον τὸ σύστημα τῶν ἱερέων ἀλλὰ καὶ συλλήβδην ἅπαντες οἱ κατ᾽ Αἴγυπτον οὐχ οὕτω γυναικῶν καὶ τέκνων 83
καὶ τῶν ἄλλων τῶν ὑπαρχόντων αὐτοῖς ἀγαθῶν ἐφρόντιζον ὡς τῆς τῶν βασιλέων ἀσφαλείας. τοιγαροῦν πλεῖστον μὲν χρόνον τῶν μνημονευομένων βασιλέων πολιτικὴν κατάστασιν ἐτήρησαν, εὐδαιμονέστατον δὲ βίον ἔχοντες διετέλεσαν, ἕως ἔμεινεν ἡ προειρημένη τῶν νόμων σύνταξις, πρὸς δὲ τούτοις ἐθνῶν τε πλείστων ἐπεκράτησαν καὶ μεγίστους πλούτους ἔσχον, καὶ τὰς μὲν χώρας ἔργοις καὶ κατασκευάσμασιν ἀνυπερβλήτοις, τὰς δὲ πόλεις ἀναθήμασι πολυτελέσι καὶ παντοίοις ἐκόσμη-
72 σαν. καὶ τὰ μετὰ τὴν τελευτὴν δὲ γινόμενα τῶν βασιλέων παρὰ τοῖς Αἰγυπτίοις οὐ μικρὰν ἀπόδειξιν εἶχε τῆς τοῦ πλήθους εὐνοίας εἰς τοὺς ἡγουμένους. εἰς ἀνεπαίσθητον γὰρ χάριν ἡ τιμὴ τιθεμένη μαρτυρίαν ἀνόθευτον περιεῖχε τῆς ἀληθείας. ὁπότε γὰρ ἐκλείποι τις τὸν βίον τῶν βασιλέων, πάντες οἱ κατὰ τὴν Αἴγυπτον κοινὸν ἀνῃροῦντο πένθος, καὶ τὰς μὲν ἐσθῆτας κατεῤῥήττοντο, τὰ δ᾽ ἱερὰ συνέκλειον καὶ τὰς θυσίας ἐπεῖχον καὶ τὰς ἑορτὰς οὐκ ἦγον ἐφ᾽ ἡμέρας ἑβδομήκοντα καὶ δύο· καταπεπασμένοι δὲ τὰς κεφαλὰς πηλῷ καὶ περιεζωσμένοι σινδόνας ὑποκάτω τῶν μαστῶν ὁμοίως ἄνδρες καὶ γυναῖκες περιῄεσαν ἀθροισθέντες κατὰ διακοσίους ἢ τριακοσίους, καὶ τὸν μὲν θρῆνον ἐν ῥυθμῷ μετ᾽ ᾠδῆς ποιούμενοι δὶς τῆς ἡμέρας ἐτίμων ἐγκωμίοις, ἀνακαλούμενοι τὴν ἀρετὴν τοῦ τετελευτηκότος, τροφὴν δ᾽ οὔτε τὴν ἀπὸ τῶν ἐμψύχων οὔτε τὴν ἀπὸ τοῦ πυροῦ προςεφέροντο, τοῦ τε οἴνου καὶ πάσης πολυτελείας ἀπείχοντο. οὐδεὶς δ᾽ ἂν οὔτε λουτροῖς οὔτε ἀλείμμασιν οὔτε στρω-

15. ἡγουμένους] ἠδικημένους ABD
83. 18. οὕτω] οὕτως omnes 20. χρόνον] πλῆθος AB 23. νόμων] νομίμων ABD τούτοις ed. Wesselingii, tacente D: τούτους Stephaniana 24. τε om. C 29. παρὰ τοῖς ACD, caeteri παρ᾽ εἶχε] φέρει AB, φέρειν D 31. ἀνόθευτον ABD, ἀνερίθευτον FGQ, caeteri ἀπερίγραπτον: τουτέστιν, ὅτε γένηται τιμή τινι μετὰ θάνατον ἀνεπαισθήτως ἔχοντι, τότε δοξάζεται (ἡ χάρις addit V) οὐ κατὰ κολακείαν ἀλλὰ κατ᾽ ἀλήθειαν gl. CV 32. περιεῖχε] περιεῖχεν D, παρεῖχε FGQ 34. κατεῤῥήττοντο] κατερίπτοντο F, καὶ ἐσχίζοντο addunt CE 35. θυσίας] ἀγορὰς FMQ, *forum non frequentant* Poggius 37. καταπεπασμένοι] καταπεπλασμένοι BD, *deturpantes* Poggius 40. ἢ τριακοσίους asterisco notavit Stephanus ἐν ῥυθμῷ AB DEFGQV, caeteri εὐρύθμως: *ad numerum* Poggius 43. πυροῦ] πυρὸς ABDE, *coctis* Poggius



μναῖς προείλετο χρῆσθαι, οὐ μὴν οὐδὲ πρὸς τὰ ἀφροδίσια προςελθεῖν ἂν ἐτόλμησεν, ἀλλὰ καθάπερ ἀγαπητοῦ τέκνου τελευτήσαντος ἕκαστος περιώδυνος γινόμενος ἐπένθει τὰς εἰρημένας ἡμέρας. ἐν δὲ τούτῳ τῷ χρόνῳ τὰ πρὸς τὴν ταφὴν λαμπρῶς παρεσκευασμένοι, καὶ τῇ τελευταίᾳ τῶν ἡμερῶν θέντες τὴν τὸ σῶμα ἔχουσαν λάρνακα πρὸ τῆς εἰς τὸν τάφον εἰςόδου, προετίθεσαν κατὰ νόμον τῷ τετελευτηκότι κριτήριον τῶν ἐν τῷ βίῳ πραχθέντων. δοθείσης δ᾽ ἐξουσίας τῷ βουλομένῳ κατηγο-
84 ρεῖν οἱ μὲν ἱερεῖς ἐνεκωμίαζον ἕκαστα τῶν καλῶς αὐτῷ πραχθέντων διεξιόντες, αἱ δὲ πρὸς τὴν ἐκφορὰν συνηγμέναι μυριάδες τῶν ὄχλων ἀκούουσαι συνεπευφήμουν, εἰ τύχοι καλῶς βεβιωκώς, εἰ δὲ μή, τοὐναντίον ἐθορύβουν. καὶ πολλοὶ τῶν βασιλέων διὰ τὴν τοῦ πλήθους ἐναντίωσιν ἀπεστερήθησαν τῆς ἐμφανοῦς καὶ νομίμου ταφῆς. διὸ καὶ συνέβαινε τοὺς τὴν βασιλείαν διαδεχομένους μὴ μόνον διὰ τὰς ἄρτι ῥηθείσας αἰτίας δικαιοπραγεῖν ἀλλὰ καὶ διὰ τὸν φόβον τῆς μετὰ τὴν τελευτὴν ἐσομένης ὕβρεώς τε τοῦ σώματος καὶ βλασφημίας εἰς ἅπαντα τὸν αἰῶνα. τῶν μὲν οὖν περὶ τοὺς ἀρχαίους βασιλεῖς νομίμων τὰ μέγιστα ταῦτ᾽ ἐστί.

Τῆς Αἰγύπτου δὲ πάσης εἰς πλείω μέρη διῃρημένης, 73
ὧν ἕκαστον κατὰ τὴν Ἑλληνικὴν διάλεκτον ὀνομάζεται νομός, ἐφ᾽ ἑκάστῳ τέτακται νομάρχης ὁ τὴν ἁπάντων ἔχων ἐπιμέλειάν τε καὶ φροντίδα. τῆς δὲ χώρας ἁπάσης εἰς τρία μέρη διῃρημένης τὴν μὲν πρώτην ἔχει μερίδα τὸ σύστημα τῶν ἱερέων, μεγίστης ἐντροπῆς τυγχάνον παρὰ τοῖς ἐγχωρίοις διά τε τὴν εἰς τοὺς θεοὺς εὐσέβειαν καὶ διὰ τὸ πλείστην σύνεσιν τοὺς ἄνδρας τούτους ἐκ παιδείας εἰςφέρεσθαι. ἐκ δὲ τούτων τῶν προςόδων τάς τε θυσίας ἁπάσας τὰς κατ᾽ Αἴγυπτον συντελοῦσι καὶ τοὺς ὑπηρέτας τρέφουσι καὶ ταῖς ἰδίαις χρείαις χορηγοῦσιν. οὔτε γὰρ τὰς τῶν θεῶν τιμὰς ᾤοντο δεῖν ἀλλάττειν, ἀλλ᾽ ὑπὸ τῶν αὐτῶν ἀεὶ καὶ παραπλησίως συντελεῖσθαι, οὔτε τοὺς πάντων προβουλευομένους ἐνδεεῖς

50. τὴν om. D λαμπρῶς om. AB παρεσκευασμένοι AB D, caeteri ἡτοιμασμένοι 53. κριτήριον AB(D)Q, caeteri ἀκροατήριον: *breviarium recitant* Poggius
84. 55. ἐνεκωμίαζον] ἐνεγκωμίαζον omnes πραχθέντων] προςαχθέντων καὶ πραχθέντων ABD 61. μὴ ABD, caeteri οὐ 64. εἰς om. A 69. νομός] νόμος D τέτακται] τεταγμένος ἦν BD 71. ἔχει] εἶχε BD: utroque loco Poggius quoque vertit imperfecta, sed idem 68. *appellabatur* 72. ἐντροπῆς] ἐν τρόποις A 74. εὐσέβειαν] ἐπιμέλειαν ABCDEFG, *curam* Poggius 77. τρέφουσι] ἔτρεφον ABD 79. ὑπὸ] ὑπό τε D ἀεὶ] αἰεὶ D

εἶναι τῶν ἀναγκαίων. καθόλου γὰρ περὶ τῶν μεγίστων οὗτοι προβουλευόμενοι συνδιατρίβουσι τῷ βασιλεῖ, τῶν μὲν συνεργοὶ τῶν δὲ εἰςηγηταὶ καὶ διδάσκαλοι γινόμενοι, καὶ διὰ μὲν τῆς ἀστρολογίας καὶ τῆς ἱεροσκοπίας τὰ μέλλοντα προσημαίνοντες, ἐκ δὲ τῶν ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγεγραμμένων πράξεων τὰς ὠφελῆσαι δυναμένας παραναγινώσκοντες. οὐ γάρ, ὥςπερ παρὰ τοῖς Ἕλλησιν, εἷς ἀνὴρ ἢ μία γυνὴ τὴν ἱερωσύνην παρείληφεν, ἀλλὰ πολλοὶ περὶ τὰς τῶν θεῶν θυσίας καὶ τιμὰς διατρίβουσι, καὶ τοῖς ἐκγόνοις τὴν ὁμοίαν τοῦ βίου προαίρεσιν παραδιδόασιν. εἰσὶ δὲ οὗτοι πάντων τε ἀτελεῖς καὶ δευτερεύοντες μετὰ τὸν βασιλέα ταῖς τε δόξαις καὶ ταῖς ἐξουσίαις. τὴν δὲ δευτέραν μοῖραν οἱ βασιλεῖς παρειλήφασιν εἰς προσόδους, ἀφ' ὧν εἴς τε τοὺς πολέμους χορηγοῦσι καὶ τὴν περὶ αὐτοὺς λαμπρότητα διαφυλάττουσι, καὶ τοὺς μὲν ἀνδραγαθήσαντας δωρεαῖς 85 κατὰ τὴν ἀξίαν τιμῶσι, τοὺς δὲ ἰδιώτας διὰ τὴν ἐκ τούτων εὐπορίαν οὐ βαπτίζουσι ταῖς εἰςφοραῖς. τὴν δὲ μερίδα τὴν τελευταίαν ἔχουσιν οἱ μάχιμοι καλούμενοι καὶ πρὸς τὰς λειτουργίας τὰς εἰς τὴν στρατείαν ὑπακούοντες, ἵν' οἱ κινδυνεύοντες εὐνούστατοι τῇ χώρᾳ διὰ τὴν κληρουχίαν ὄντες πάνυ γε προθύμως ἐπιδέχωνται τὰ συμβαίνοντα κατὰ τοὺς πολέμους δεινά. ἄτοπον γὰρ ἦν τὴν μὲν τῶν ἁπάντων σωτηρίαν τούτοις ἐπιτρέπειν, ὑπὲρ οὗ δὲ ἀγωνιοῦνται μηδὲν αὐτοῖς ὑπάρχειν κατὰ τὴν χώραν σπουδῆς ἄξιον· τὸ δὲ μέγιστον, εὐπορουμένους αὐτοὺς ῥᾳδίως τεκνοποιήσειν, καὶ διὰ τοῦτο τὴν πολυανθρωπίαν κατασκευάζειν, ὥςτε μὴ προςδεῖσθαι ξενικῆς δυνάμεως τὴν χώραν. ὁμοίως δὲ οὗτοι τὴν τάξιν ταύτην ἐκ προγόνων διαδεχόμενοι ταῖς μὲν τῶν πατέρων ἀνδραγαθίαις προτρέπονται πρὸς τὴν ἀνδρείαν, ἐκ παίδων δὲ ζηλωταὶ γινόμενοι τῶν πολεμικῶν ἔργων ἀνίκητοι ταῖς τόλμαις καὶ ταῖς ἐμπειρίαις ἀποβαίνουσιν.

74 Ἔστι δ' ἕτερα συντάγματα τῆς πολιτείας τρία, τό τε τῶν νομέων καὶ τὸ τῶν γεωργῶν ἔτι δὲ τὸ τῶν τεχνιτῶν. οἱ μὲν οὖν γεωργοὶ μικροῦ τινος τὴν καρποφόρον

82. οὗτοι] οὕτω G    συνδιατρίβουσι] μὴ ἐνδεεῖς εἶναι τῶν ἀναγκαίων addit C    τῷ] τῷ αὐτῷ AB    87. παραναγινώσκοντες] παραγινώσκοντες BFG    88. Ἕλλησιν εἷς] Ἕλλησιν (-σι A) καὶ εἷς AD    90. ἐκγόνοις AD, caeteri ἐγγόνοις    95. πολέμους] πολεμίους G    αὐτοὺς] αὑτοὺς omnes

85. 1. ὑπακούοντες] ὑπακούσαντες ABD    2. πάνυ γε om. ADFG, asterisco notavit Stephanus    5. οὗ] ὧν G    9. ξενικῆς] ξένης GQ    ὁμοίως AB(D), caeteri ὅμως    10. ταύτην om. G, asterisco notavit Stephanus    προγόνων CD, caeteri τῶν προγόνων    15. τὸ τῶν — τὸ τῶν] τῶν — τῶν E



γῆν τὴν παρὰ τοῦ βασιλέως καὶ τῶν ἱερέων καὶ τῶν μαχίμων μισθούμενοι διατελοῦσι τὸν ἅπαντα χρόνον περὶ τὴν ἐργασίαν ὄντες τῆς χώρας· ἐκ νηπίου δὲ συντρεφόμενοι ταῖς γεωργικαῖς ἐπιμελείαις πολὺ προέχουσι τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι γεωργῶν ταῖς ἐμπειρίαις. καὶ γὰρ τὴν τῆς γῆς φύσιν καὶ τὴν τῶν ὑδάτων ἐπίρρυσιν ἔτι δὲ τοὺς καιροὺς τοῦ τε σπόρου καὶ τοῦ θερισμοῦ καὶ τῆς ἄλλης τῶν καρπῶν συγκομιδῆς ἀκριβέστατα πάντων γινώσκουσι, τὰ μὲν ἐκ τῆς τῶν προγόνων παρατηρήσεως μαθόντες, τὰ δ' ἐκ τῆς ἰδίας πείρας διδαχθέντες. ὁ δ' αὐτὸς λόγος ἐστὶ καὶ περὶ τῶν νομέων, οἳ τὴν τῶν θρεμμάτων ἐπιμέλειαν ἐκ πατέρων ὥςπερ κληρονομίας νόμῳ παραλαμβάνοντες ἐν βίῳ κτηνοτρόφῳ διατελοῦσι πάντα τὸν τοῦ ζῆν χρόνον. καὶ πολλὰ μὲν παρὰ τῶν προγόνων πρὸς θεραπείαν καὶ διατροφὴν ἀρίστην τῶν βοσκομένων παρειλήφασιν, οὐκ ὀλίγα δ' αὐτοὶ διὰ τὸν εἰς ταῦτα ζῆλον προςευρίσκουσι. καὶ τὸ θαυμασιώτατον, διὰ τὴν ὑπερβολὴν τῆς εἰς ταῦτα σπουδῆς οἵ τε ὀρνιθοτρόφοι καὶ οἱ χηνοβοσκοὶ χωρὶς τῆς παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἐκ φύσεως συντελουμένης γενέσεως τῶν εἰρημένων ζῴων αὐτοὶ διὰ τῆς ἰδίας φιλοτεχνίας ἀμύθητον πλῆθος ὀρνέων ἀθροίζουσιν. οὐ γὰρ 86 ἐπῳάζουσι διὰ τῶν ὀρνίθων, ἀλλ' αὐτοὶ παραδόξως χειρουργοῦντες τῇ συνέσει καὶ φιλοτεχνίᾳ τῆς φυσικῆς ἐνεργείας οὐκ ἀπολείπονται. ἀλλὰ μὴν καὶ τὰς τέχνας ἰδεῖν ἔστι παρὰ τοῖς Αἰγυπτίοις μάλιστα διαπεπονημένας καὶ πρὸς τὸ καθῆκον τέλος διηκριβωμένας. παρὰ μόνοις γὰρ τούτοις οἱ δημιουργοὶ πάντες οὔτ' ἐργασίας ἄλλης οὔτε πολιτικῆς τάξεως μεταλαμβάνειν ἐῶνται πλὴν τῆς ἐκ τῶν νόμων ὡρισμένης καὶ παρὰ τῶν γονέων παραδεδομένης, ὥςτε μήτε διδασκάλου φθόνον μήτε πολιτικοὺς περισπασμοὺς μήτ' ἄλλο μηδὲν ἐμποδίζειν αὐτῶν τὴν εἰς ταῦτα σπουδήν. παρὰ μὲν γὰρ τοῖς ἄλλοις ἰδεῖν ἔστι τοὺς τεχνίτας περὶ πολλὰ τῇ διανοίᾳ περισπωμένους καὶ διὰ τὴν πλεονεξίαν μὴ μένοντας τὸ παράπαν ἐπὶ τῆς

17. γῆν ABD, caeteri χώραν    18. ἅπαντα] πάντα D    23. θερισμοῦ] θερμοῦ F    24. πάντων] πάντα FG    28. κληρονομίας] κληρονομίαν D    29. κτηνοτρόφῳ] κτηνοτροφοῦντες ABDE, κτηνοτροφοῦντι QV    34. σπουδῆς] τιμῆς AB    36. γενέσεως τῶν εἰρημένων ζῴων] ἤγουν τῆς ἀπὸ τῶν ὠῶν γενέσεως τούτων gl. C    38. ἐπῳάζουσι — ὀρνίθων] τουτέστιν ὑπὸ τὰς ὄρνις ᾠὰ τιθέασιν gl. C

86. 44. δημιουργοὶ AC(D)FGM, caeteri addunt καὶ τεχνῖται, quae asterisco notavit Stephanus, praeteriit Poggius    47. διδασκάλου] παρὰ διδασκάλου ABD    51. τό] αὐτοὺς FG

ἰδίας ἐργασίας· οἱ μὲν γὰρ ἐφάπτονται γεωργίας, οἱ δ' ἐμπορίας κοινωνοῦσιν, οἱ δὲ δυοῖν ἢ τριῶν τεχνῶν ἀντέχονται, πλεῖστοι δ' ἐν ταῖς δημοκρατουμέναις πόλεσιν εἰς τὰς ἐκκλησίας συντρέχοντες τὴν μὲν πολιτείαν λυμαίνονται, τὸ δὲ λυσιτελὲς περιποιοῦνται παρὰ τῶν μισθοδοτούντων· παρὰ δὲ τοῖς Αἰγυπτίοις, εἴ τις τῶν τεχνιτῶν μετάσχοι τῆς πολιτείας ἢ τέχνας πλείους ἐργάζοιτο, μεγάλαις περιπίπτει τιμωρίαις. τὴν μὲν οὖν διαίρεσιν τῆς πολιτείας καὶ τὴν τῆς ἰδίας τάξεως ἐπιμέλειαν διὰ προγόνων τοιαύτην ἔσχον οἱ τὸ παλαιὸν τὴν Αἴγυπτον κατοικοῦντες.

75 Περὶ δὲ τὰς κρίσεις οὐ τὴν τυχοῦσαν ἐποιοῦντο σπουδήν, ἡγούμενοι τὰς ἐν τοῖς δικαστηρίοις ἀποφάσεις μεγίστην ῥοπὴν τῷ κοινῷ βίῳ φέρειν πρὸς ἀμφότερα. δῆλον γὰρ ἦν ὅτι τῶν μὲν παρανομούντων κολαζομένων, τῶν δ' ἀδικουμένων βοηθείας τυγχανόντων, ἀρίστη διόρθωσις ἔσται τῶν ἁμαρτημάτων· εἰ δ' ὁ φόβος ὁ γινόμενος ἐκ τῶν κρίσεων τοῖς παρανομοῦσιν ἀνατρέποιτο χρήμασιν ἢ χάρισιν, ἐσομένην ἑώρων τοῦ κοινοῦ βίου σύγχυσιν. διόπερ ἐκ τῶν ἐπιφανεστάτων πόλεων τοὺς ἀρίστους ἄνδρας ἀποδεικνύντες δικαστὰς κοινοὺς οὐκ ἀπετύγχανον τῆς προαιρέσεως. ἐξ Ἡλιουπόλεως γὰρ καὶ Θηβῶν καὶ Μέμφεως δέκα δικαστὰς ἐξ ἑκάστης προέκρινον· καὶ τοῦτο τὸ συνέδριον οὐκ ἐδόκει λείπεσθαι τῶν Ἀθήνησιν Ἀρεοπαγιτῶν ἢ τῶν παρὰ Λακεδαιμονίοις γερόντων. ἐπεὶ δὲ συνέλθοιεν οἱ τριάκοντα, ἐπέκρινον ἐξ ἑαυτῶν ἕνα τὸν ἄριστον, καὶ τοῦτον μὲν ἀρχιδικαστὴν καθίσταντο, εἰς δὲ τὸν τούτου τόπον ἀπέστελλεν ἡ πόλις ἕτερον δικαστήν. συντάξεις δὲ τῶν ἀναγκαίων παρὰ τοῦ βασιλέως τοῖς μὲν δικασταῖς ἱκαναὶ πρὸς διατροφὴν ἐχορηγοῦντο, τῷ δὲ ἀρχιδικαστῇ πολλαπλάσιοι. ἐφόρει δ' οὗτος περὶ τὸν τράχηλον ἐκ χρυσῆς 87
ἁλύσεως ἠρτημένον ζῴδιον τῶν πολυτελῶν λίθων, ὃ προςηγόρευον ἀλήθειαν. τῶν δ' ἀμφισβητήσεων ἤρχοντο ἐπειδὴ τὴν τῆς ἀληθείας εἰκόνα ὁ ἀρχιδικαστὴς προςθοῖτο. τῶν δὲ πάντων νόμων ἐν βιβλίοις ὀκτὼ γεγραμ-

53. γεωργίας] καὶ γεωργεῖν ABD 54. ἀντέχονται] ἀνέχονται G 56. λυμαίνονται] καὶ καταβλάπτουσι addit E 58. μετάσχοι] μετάσχῃ E πολιτείας] ἐκκλησίας ABD 59. ἐργάζοιτο] ἐργάσαιτο E 60. τιμωρίαις ABD, caeteri ζημίαις 73. Ἡλιουπόλεως γὰρ] Ἡλίου γὰρ πόλεως ACD 74. δέκα δικαστὰς AB(D), caeteri δικαστὰς 78. τὸν ἄριστον] τῶν ἀρίστων D

87. 85. ἐπειδὴ] ἐπειδὰν omnes 86. προςθοῖτο CD, caeteri προςθεῖτο



μένων, καὶ τούτων παρακειμένων τοῖς δικασταῖς, ἔθος ἦν τὸν μὲν κατήγορον γράψαι καθ' ἓν ὧν ἐνεκάλει καὶ πῶς γέγονε καὶ τὴν ἀξίαν τοῦ ἀδικήματος ἢ τῆς βλάβης, τὸν ἀπολογούμενον δὲ λαβόντα τὰ χρηματισθέντα ὑπὸ τῶν ἀντιδίκων ἀντιγράψαι πρὸς ἕκαστον ὡς οὐκ ἔπραξεν ἢ πράξας οὐκ ἠδίκησεν ἢ ἀδικήσας ἐλάττονος ζημίας ἄξιός ἐστι τυχεῖν. ἔπειτα νόμιμον ἦν τὸν κατήγορον ἀντιγράψαι καὶ πάλιν τὸν ἀπολογούμενον ἀντιθεῖναι. ἀμφοτέρων δὲ τῶν ἀντιδίκων τὰ γεγραμμένα δὶς τοῖς δικασταῖς δόντων, τὸ τηνικαῦτα ἔδει τοὺς μὲν τριάκοντα τὰς γνώμας ἐν ἀλλήλοις ἀποφαίνεσθαι, τὸν ἀρχιδικαστὴν δὲ τὸ ζῴδιον τῆς ἀληθείας προςτίθεσθαι τῇ ἑτέρᾳ τῶν ἀμφισβητήσεων. τούτῳ δὲ τῷ τρόπῳ τὰς 76
κρίσεις πάσας συντελεῖν τοὺς Αἰγυπτίους, νομίζοντας ἐκ μὲν τοῦ λέγειν τοὺς συνηγόρους πολλὰ τοῖς δικαίοις ἐπισκοτήσειν· καὶ γὰρ τὰς τέχνας τῶν ῥητόρων καὶ τὴν τῆς ὑποκρίσεως γοητείαν καὶ τὰ τῶν κινδυνευόντων δάκρυα πολλοὺς προτρέπεσθαι παρορᾶν τὸ τῶν νόμων ἀπότομον καὶ τὴν τῆς ἀληθείας ἀκρίβειαν· θεωρεῖσθαι γοῦν τοὺς ἐπαινουμένους ἐν τῷ κρίνειν πολλάκις ἢ δι' ἀπάτην ἢ διὰ ψυχαγωγίαν ἢ διὰ τὸ πρὸς τὸν ἔλεον πάθος συνεκφερομένους τῇ δυνάμει τῶν συνηγορούντων· ἐκ δὲ τοῦ γράφειν τὰ δίκαια τοὺς ἀντιδίκους ᾤοντο τὰς κρίσεις ἀκριβεῖς ἔσεσθαι, γυμνῶν τῶν πραγμάτων θεωρουμένων. οὕτω γὰρ ἂν μάλιστα μήτε τοὺς εὐφυεῖς τῶν βραδυτέρων πλεονεκτήσειν μήτε τοὺς ἐνηθληκότας τῶν ἀπείρων μήτε τοὺς ψεύστας καὶ τολμηροὺς τῶν φιλαλήθων καὶ κατεσταλμένων τοῖς ἤθεσι, πάντας δ' ἐπ' ἴσης τεύξεσθαι τῶν δικαίων, ἱκανὸν χρόνον ἐκ τῶν νόμων λαμβανόντων τῶν μὲν ἀντιδίκων ἐξετάσαι τὰ παρ' ἀλλήλων, τῶν δὲ δικαστῶν συγκρῖναι τὰ παρ' ἀμφοτέρων.

77 Ἐπεὶ δὲ τῆς νομοθεσίας ἐμνήσθημεν, οὐκ ἀνοίκειον εἶναι τῆς ὑποκειμένης ἱστορίας νομίζομεν ἐκθέσθαι τῶν νόμων ὅσοι παρὰ τοῖς Αἰγυπτίοις παλαιότητι διήνεγκαν ἢ παρηλλαγμένην τάξιν ἔσχον ἢ τὸ σύνολον ὠφέλειαν τοῖς φιλαναγνωστοῦσι δύνανται παρασχέσθαι. πρῶτον μὲν οὖν κατὰ τῶν ἐπιόρκων θάνατος ἦν παρ' αὐτοῖς

89. καθ' ἓν] ἤγουν ἕκαστον ὧν ἔλεγε κεφαλαίων gl. V 91. τὰ χρηματισθέντα] τὸ χρηματισθὲν ABDFG 98. ἀλλήλοις] ἄλλοις G 1. πάσας ABDFG, caeteri πάντας 3. ἐπισκοτήσειν] ἐπισκοτίσειν D 6. ἀπότομον] ἀπέτεμον FG 7. ἐπαινουμένους ABD, caeteri ἀγωνιζομένους 10. συνηγορούντων ABD, caeteri λεγόντων 17. ἱκανὸν] ἐφ' ἱκανὸν ABD λαμβ.] παραλαμβ. A 19. συγκρῖναι] κρίναι C corr., qui primitus συγκρίναι 21. ἐκθέσθαι] θέσθαι A

τὸ πρόςτιμον, ὡς δύο τὰ μέγιστα ποιούντων ἀνομήματα, θεούς τε ἀσεβούντων καὶ τὴν μεγίστην τῶν παρ' ἀν- 88
θρώποις πίστιν ἀνατρεπόντων. ἔπειτα εἴ τις ἐν ὁδῷ κατὰ τὴν χώραν ἰδὼν φονευόμενον ἄνθρωπον ἢ τὸ καθόλου βίαιόν τι πάσχοντα μὴ ῥύσαιτο δυνατὸς ὤν, θανάτῳ περιπεσεῖν ὤφειλεν· εἰ δὲ πρὸς ἀλήθειαν διὰ τὸ ἀδύνατον μὴ κατισχῦσαι βοηθῆσαι, μηνῦσαί γε πάντως ὤφειλε τοὺς λῃστὰς καὶ ἐπεξιέναι τὴν παρανομίαν· τὸν δὲ ταῦτα μὴ πράξαντα κατὰ τὸν νόμον ἔδει μαστιγοῦσθαι τεταγμένας πληγὰς καὶ πάσης εἴργεσθαι τροφῆς ἐπὶ τρεῖς ἡμέρας. οἱ δὲ ψευδῶς τινων κατηγορήσαντες ὤφειλον τοῦτο παθεῖν ὃ τοῖς συκοφαντηθεῖσιν ἐτέτακτο πρόςτιμον, εἴπερ ἔτυχον καταδικασθέντες. προςετέτακτο δὲ καὶ πᾶσι τοῖς Αἰγυπτίοις ἀπογράφεσθαι πρὸς τοὺς ἄρχοντας ἀπὸ τίνων ἕκαστος πορίζεται τὸν βίον, καὶ τὸν ἐν τούτοις ψευσάμενον ἢ πόρον ἄδικον ἐπιτελοῦντα θανάτῳ περιπίπτειν ἦν ἀναγκαῖον. λέγεται δὲ τοῦτον τὸν νόμον ὑπὸ Σόλωνος παραβαλόντος εἰς Αἴγυπτον εἰς τὰς Ἀθήνας μετενεχθῆναι. εἰ δέ τις ἑκουσίως ἀποκτείναι τὸν ἐλεύθερον ἢ τὸν δοῦλον, ἀποθνήσκειν τοῦτον οἱ νόμοι προςέταττον, ἅμα μὲν βουλόμενοι μὴ ταῖς διαφοραῖς τῆς τύχης ἀλλὰ ταῖς τῶν πράξεων ἐπιβολαῖς εἴργεσθαι πάντας ἀπὸ τῶν φαύλων, ἅμα δὲ διὰ τῆς τῶν δούλων φροντίδος ἐθίζοντες τοὺς ἀνθρώπους πολὺ μᾶλλον εἰς τοὺς ἐλευθέρους μηδὲν ὅλως ἐξαμαρτάνειν. καὶ κατὰ μὲν τῶν γονέων τῶν ἀποκτεινάντων τὰ τέκνα θάνατον μὲν οὐχ ὥρισαν, ἡμέρας δὲ τρεῖς καὶ νύκτας ἴσας συνεχῶς ἦν ἀναγκαῖον περιειληφότας τὸν νεκρὸν ὑπομένειν φυλακῆς παρεδρευούσης δημοσίας· οὐ γὰρ δίκαιον ὑπελήφθη τὸ τοῦ βίου στερίσκειν τοὺς τὸν βίον τοῖς παισὶ δεδωκότας, νουθετήσει δὲ μᾶλλον λύπην ἐχούσῃ καὶ μεταμέλειαν ἀποτρέπειν τῶν τοιούτων ἐγχειρημάτων· κατὰ δὲ τῶν τέκνων τῶν γονεῖς φονευσάντων

88. 28. ἀνατρεπόντων] ἀποτρεπόντων AB ἔπειτα εἴ D, caeteri ἐὰν δέ 30. τι] τινα ABD 32. κατισχῦσαι] κατίσχυσε CEFG βοηθῆσαι] βοηθῆναι CG γε] δὲ BD 33. ἐπεξιέναι] καὶ ἐπεξελθεῖν gl. C παρανομίαν] ἀνομίαν FMQ 35. τεταγμένας] τὰς τεταγμένας A 40. ἀπὸ τίνων AC(D)G, caeteri addunt πόρων καὶ τρόπων, quae asterisco notavit Stephanus: *quo exercitio* Poggius, ut πόρων certe habuerit 42. ἐπιτελοῦντα] τουτέστι κακῶς καὶ ἐν πλεονεξίαις ζῶντα gl. C ἦν om. AD 45. ἀποκτείναι] ἀποκτείνῃ FG ἢ τὸν] ἢ C DE: ego utrumque articulum abesse malim 46. τοῦτον om. D 50. μηδὲν AB(D)E, caeteri μὴ δεῖν 54. ὑπομένειν] καὶ καρτερεῖν gl. C 57. μεταμέλειαν ABDE, caeteri μεταμελείᾳ



τιμωρίαν ἐξηλλαγμένην ἔθηκαν· ἔδει γὰρ τοὺς καταδικασθέντας ἐπὶ τούτοις καλάμοις ὀξέσι δακτυλιαῖα μέρη τοῦ σώματος κατατμηθέντας ἐπ' ἀκάνθαις κατακαίεσθαι ζῶντας· μέγιστον τῶν ἐν ἀνθρώποις ἀδικημάτων κρίνοντες τὸ βιαίως τὸ ζῆν ἀφαιρεῖσθαι τῶν τὴν ζωὴν αὐτοῖς δεδωκότων. τῶν δὲ γυναικῶν τῶν καταδικασθεισῶν θανάτῳ τὰς ἐγκύους μὴ θανατοῦσθαι πρὶν ἂν τέκωσι· καὶ τοῦτο τὸ νόμιμον πολλοὶ καὶ τῶν Ἑλλήνων κατέδειξαν, ἡγούμενοι παντελῶς ἄδικον εἶναι τὸ μηδὲν ἀδικῆσαν
89 τῷ ἀδικήσαντι τῆς αὐτῆς μετέχειν τιμωρίας, καὶ παρανομήματος ἑνὸς γενομένου παρὰ δυοῖν λαμβάνειν τὸ πρόςτιμον, πρὸς δὲ τούτοις κατὰ προαίρεσιν πονηρὰν ἐκτελεσθέντος τοῦ ἀδικήματος τὸ μηδεμίαν πω σύνεσιν ἔχον ὑπὸ τὴν ὁμοίαν ἄγειν κόλασιν, τὸ δὲ πάντων μέγιστον, ὅτι ταῖς κυούσαις ἰδίᾳ τῆς αἰτίας ἐπενηνεγμένης οὐδαμῶς προςήκει τὸ κοινὸν πατρὸς καὶ μητρὸς τέκνον ἀναιρεῖσθαι· ἐπ' ἴσης γὰρ ἄν τις φαύλους διαλάβοι κριτὰς τούς τε τὸν ἔνοχον τῷ φόνῳ σώζοντας καὶ τοὺς τὸ μηδὲν ὅλως ἀδικῆσαν συναναιροῦντας. τῶν μὲν οὖν φονικῶν νόμων οἱ μάλιστα δοκοῦντες ἐπιτετεῦχθαι τοι- 78
οῦτοί τινες ἦσαν. τῶν δ' ἄλλων ὁ μὲν περὶ τῶν πολέμων κείμενος κατὰ τῶν τὴν τάξιν λιπόντων ἢ τὸ παραγγελθὲν ὑπὸ τῶν ἡγεμόνων μὴ ποιούντων ἔταττε πρόςτιμον οὐ θάνατον ἀλλὰ τὴν ἐσχάτην ἀτιμίαν· εἰ δ' ὕστερον ταῖς ἀνδραγαθίαις ὑπερβάλοιντο τὰς ἀτιμίας, εἰς τὴν προϋπάρξασαν παῤῥησίαν ἀποκαθίστα, ἅμα μὲν τοῦ νομοθέτου δεινοτέραν τιμωρίαν ποιοῦντος τὴν ἀτιμίαν ἢ τὸν θάνατον, ἵνα τὸ μέγιστον τῶν κακῶν ἐθίσῃ πάντας κρίνειν τὴν αἰσχύνην, ἅμα δὲ τοὺς μὲν θανατωθέντας ἡγεῖτο μηδὲν ὠφελήσειν τὸν κοινὸν βίον, τοὺς δὲ ἀτιμωθέντας ἀγαθῶν πολλῶν αἰτίους ἔσεσθαι διὰ τὴν ἐπιθυμίαν τῆς παῤῥησίας. καὶ τῶν μὲν τὰ ἀπόῤῥητα

61. κατατμηθέντας] κατακλασθέντας A, κατακλασθέντας καὶ κατατμηθέντας BE, ἤγουν δακτυλιαίῳ διαστήματι κατατμηθέντας gl. C 62. κατακαίεσθαι] κατακάεσθαι D 64. τὴν ζωὴν] τὸ ζῆν G 65. θανάτῳ] θάνατον E 67. κατέδειξαν ADGMQ, caeteri κατεδέξαντο

89. 71. ἐκτελεσθέντος] συντελεσθέντος FGM 72. πω Eichstadius: libri πως 74. ταῖς κυούσαις] τῆς κυούσης ABD ἰδίᾳ] ἰδίαις G 76. φαύλους] καὶ οὐ δικαίους addit E 77. καὶ τοὺς τὸ D, καὶ τὸν AB, caeteri καὶ τοὺς 78. ἀδικῆσαν] ἀδικήσαντα AB, ἀδικήσαν G, caeteri ἀδικήσαντας συναναιροῦντας D, caeteri ἀναιροῦντας φονικῶν (D) Rhodomannus, caeteri φοινικῶν 84. ὑπερβάλλοιντο] ὑπερβάλλοντο A, ὑπερβάλοντο B, ὑπερβάλοιτο D 85. ἀποκαθίστα] ἀποκαθιστᾷ D νομοθέτου] θανάτου ABCD, *lex* Poggius 91. παῤῥησίας] παρουσίας G

τοῖς πολεμίοις ἀπαγγειλάντων ἐπέταττεν ὁ νόμος ἐκτέμνεσθαι τὴν γλῶτταν, τῶν δὲ τὸ νόμισμα παρακοπτόντων ἢ μέτρα καὶ σταθμὰ παραποιούντων ἢ παραγλυφόντων τὰς σφραγῖδας, ἔτι δὲ τῶν γραμματέων τῶν ψευδεῖς χρηματισμοὺς γραφόντων ἢ ἀφαιρούντων τι τῶν ἐγγεγραμμένων, καὶ τῶν τὰς ψευδεῖς συγγραφὰς ἐπιφερόντων, ἀμφοτέρας ἐκέλευσεν ἀποκόπτεσθαι τὰς χεῖρας, ὅπως ἕκαστος οἷς μέρεσι τοῦ σώματος παρηνόμησεν εἰς ταῦτα κολαζόμενος αὐτὸς μὲν μέχρι τελευτῆς ἀνίατον ἔχῃ τὴν συμφοράν, τοὺς δ᾽ ἄλλους διὰ τῆς ἰδίας τιμωρίας νουθετῶν ἀποτρέπῃ τῶν ὁμοίων τι πράττειν. πικροὶ δὲ καὶ περὶ τῶν γυναικῶν νόμοι παρ᾽ αὐτοῖς ὑπῆρχον. τοῦ μὲν γὰρ βιασαμένου γυναῖκα ἐλευθέραν προςέταξαν ἀποκόπτεσθαι τὰ αἰδοῖα, νομίσαντες τὸν τοιοῦτον μιᾷ πράξει παρανόμῳ τρία τὰ μέγιστα τῶν κακῶν ἐνηργηκέναι, τὴν ὕβριν καὶ τὴν φθορὰν καὶ τὴν τῶν τέκνων σύγχυσιν· εἰ δέ τις πείσας μοιχεύσαι, τὸν μὲν ἄνδρα ῥάβδοις χιλίας πληγὰς λαμβάνειν ἐκέλευον, τῆς 90
δὲ γυναικὸς τὴν ῥῖνα κολοβοῦσθαι, ὑπολαμβάνοντες δεῖν τῆς πρὸς ἀσυγχώρητον ἀκρασίαν καλλωπιζομένης ἀφαιρεθῆναι τὰ μάλιστα κοσμοῦντα τὴν εὐπρέπειαν.
79 τοὺς δὲ περὶ τῶν συμβολαίων νόμους Βοκχόριδος εἶναί φασι. προστάττουσι δὲ τοὺς μὲν ἀσύγγραφα δανεισαμένους, ἂν μὴ φάσκωσιν ὀφείλειν, ὀμόσαντας ἀπολύεσθαι τοῦ δανείου, πρῶτον μέν, ὅπως ἐν μεγάλῳ τιθέμενοι τοὺς ὅρκους δεισιδαιμονῶσι· προδήλου γὰρ ὄντος ὅτι τῷ πολλάκις ὀμόσαντι συμβήσεται τὴν πίστιν ἀποβαλεῖν, ἵνα τῆς εὐχρηστίας μὴ στερηθῇ, περὶ πλείστου πᾶς τις ἕξει τὸ μὴ καταντᾶν ἐπὶ τὸν ὅρκον· ἔπειθ᾽ ὑπελάμβανεν ὁ νομοθέτης τὴν ὅλην πίστιν ἐν τῇ καλοκἀγαθίᾳ ποιήσας προτρέψεσθαι πάντας σπουδαίους εἶναι τοῖς ἤθεσιν, ἵνα μὴ πίστεως ἀνάξιοι διαβληθῶσι· πρὸς δὲ τούτοις ἄδικον ἔκρινεν εἶναι τοὺς χωρὶς ὅρκου πιστευθέντας περὶ τῶν αὐτῶν συμβολαίων ὀμόσαντας μὴ τυγχάνειν πίστεως· τοὺς δὲ μετὰ συγγραφῆς δανείσαντας ἐκώλυε

92. ἀπαγγειλάντων] ἐπαγγειλάντων nescio quis Wesselingii 93. μέτρα καὶ στάθμα B, μέτρα ἢ στάθμα AD et correctus E, ἕτερα καὶ ἄσταθμα CQ, caeteri ἕτερα καινὰ σταθμὰ 94. ἢ παραγλυφόντων D, ἢ τῶν παραγλυφόντων BCQ, caeteri ἢ τῶν παραγραφόντων 96. γραφόντων] ποιούντων καὶ γραφόντων AB 97. συγγραφὰς] ἐπιγραφὰς ABD 99. ἕκαστος οἷς] οἷς ἕκαστος D 6. τὰ om. CE 7. ἐνηργηκέναι] ἐνηρτηκέναι D 8. μοιχεύσαι] μοιχᾶται FG
90. 13. νόμους om. C Βοκχόριδος] Βοκχώριδος BD 17. δεισιδαιμονῶσι] δεισιδαιμονοῦσι D 22. προτρέψεσθαι] προτρέψασθαι D



διὰ τοῦ τόκου τὸ κεφάλαιον πλεῖον ποιεῖν ἢ διπλάσιον. τῶν δὲ ὀφειλόντων τὴν ἔκπραξιν τῶν δανείων ἐκ τῆς οὐσίας μόνον ἐποιήσατο, τὸ δὲ σῶμα κατ᾽ οὐδένα τρόπον εἴασεν ὑπάρχειν ἀγώγιμον, ἡγούμενος δεῖν εἶναι τὰς μὲν κτήσεις τῶν ἐργασαμένων ἢ παρὰ κυρίου τινὸς ἐν δωρεαῖς λαβόντων, τὰ δὲ σώματα τῶν πόλεων, ἵνα τὰς καθηκούσας λειτουργίας ἔχωσιν αἱ πόλεις καὶ κατὰ πόλεμον καὶ κατ᾽ εἰρήνην· ἄτοπον γὰρ στρατιώτην εἰς τὸν ὑπὲρ τῆς πατρίδος προϊόντα κίνδυνον, εἰ τύχοι, πρὸς δάνειον ὑπὸ τοῦ πιστεύσαντος ἀπάγεσθαι, καὶ τῆς τῶν ἰδιωτῶν πλεονεξίας ἕνεκα κινδυνεύειν τὴν κοινὴν ἁπάντων σωτηρίαν. δοκεῖ δὲ καὶ τοῦτον τὸν νόμον ὁ Σόλων εἰς τὰς Ἀθήνας μετενεγκεῖν, ὃν ὠνόμασε σεισάχθειαν, ἀπολύσας τοὺς πολίτας ἅπαντας τῶν ἐπὶ τοῖς σώμασι πεπιστευμένων δανείων. μέμφονται δέ τινες οὐκ ἀλόγως τοῖς πλείστοις τῶν παρὰ τοῖς Ἕλλησι νομοθετῶν, οἵτινες ὅπλα μὲν καὶ ἄροτρον καὶ ἄλλα τῶν ἀναγκαιοτάτων ἐκώλυσαν ἐνέχυρα λαμβάνεσθαι πρὸς δάνειον, τοὺς δὲ τούτοις χρησομένους συνεχώρησαν ἀγωγίμους εἶναι. ὑπῆρχε δὲ καὶ περὶ τῶν κλεπτῶν νόμος παρ᾽ Αἰ- 80
γυπτίοις ἰδιώτατος. ἐκέλευε γὰρ τοὺς βουλομένους ἔχειν ταύτην τὴν ἐργασίαν ἀπογράφεσθαι πρὸς τὸν ἀρχιφῶρα, καὶ τὸ κλαπὲν ὁμολόγως ἀναφέρειν παραχρῆμα πρὸς ἐκεῖνον, τοὺς δὲ ἀπολέσαντας παραπλησίως ἀπογράφειν
91 αὐτῷ καθ᾽ ἕκαστον τῶν ἀπολωλότων, προστιθέντας τόν τε τόπον καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν καθ᾽ ἣν ἀπώλεσε. τούτῳ δὲ τῷ τρόπῳ πάντων ἑτοίμως εὑρισκομένων, ἔδει τὸν ἀπολέσαντα τὸ τέταρτον μέρος τῆς ἀξίας δόντα κτήσασθαι τὰ ἑαυτοῦ μόνα. ἀδυνάτου γὰρ ὄντος τοῦ πάντας ἀποστῆσαι τῆς κλοπῆς εὗρε πόρον ὁ νομοθέτης δι᾽ οὗ πᾶν τὸ ἀπολόμενον σωθήσεται μικρῶν διδομένων λύτρων.

Γαμοῦσι δὲ παρ᾽ Αἰγυπτίοις οἱ μὲν ἱερεῖς μίαν, τῶν δ᾽ ἄλλων ὅσας ἂν ἕκαστος προαιρῆται. καὶ τὰ γεννώμενα πάντα τρέφουσιν ἐξ ἀνάγκης ἕνεκα τῆς πολυαν-

27. διὰ τοῦ τόκου] διὰ τόκου B πλεῖον] πλέον AD 30. ἀγώγιμον om. A 32. τινὸς om. E., asterisco notavit Stephanus 35. στρατιώτην] τὸν στρατιώτην AD 37. ἰδιωτῶν] ἰδίων ABD 39. ὠνόμασε σεισάχθειαν] ὠνόμασεν εἰςάχθειαν CFG 44. ἐνέχυρα] ἐνέχυρον FG 45. χρησομένους] χρωμένους G corr. in marg., M 48. ἐκέλευε] ἐκέλευσε A τοὺς] τοὺς μὴ (μὲν?) D 49. ἀπογράφεσθαι] ὑπογράφεσθαι B ἀρχιφῶρα] principem sacerdotum Poggius, „quasi legisset ἀρχιερέα“ Wesseling.
91. 53. ἀπώλεσε ABD (hic -εν), margo E, caeteri ἀπέβαλε 56. μόνα] hoc ineptum videtur 61. γεννώμενα] γενόμενα G correctus in marg.

θρωπίας, ὡς ταύτης μέγιστα συμβαλλομένης πρὸς εὐδαιμονίαν χώρας τε καὶ πόλεων. νόθον δ' οὐδένα τῶν γεννηθέντων νομίζουσιν, οὐδ' ἂν ἐξ ἀργυρωνήτου μητρὸς γεννηθῇ. καθόλου γὰρ ὑπειλήφασι τὸν πατέρα μόνον αἴτιον εἶναι τῆς γενέσεως, τὴν δὲ μητέρα τροφὴν καὶ χώραν παρέχεσθαι τῷ βρέφει· καὶ τῶν δένδρων ἄῤῥενα μὲν καλοῦσι τὰ καρποφόρα, θήλεα δὲ τὰ μὴ φέροντα τοὺς καρπούς, ἐναντίως τοῖς Ἕλλησι. τρέφουσι δὲ τὰ παιδία μετά τινος εὐχερείας ἀδαπάνου καὶ παντελῶς ἀπίστου· ἑψήματα γὰρ αὐτοῖς χορηγοῦσιν ἔκ τινος εὐτελείας ἑτοίμης γινόμενα, καὶ τῶν ἐκ τῆς βύβλου πυθμένων τοὺς δυναμένους εἰς τὸ πῦρ ἐγκρύβεσθαι, καὶ τῶν ῥιζῶν καὶ τῶν καυλῶν τῶν ἑλείων τὰ μὲν ὠμά, τὰ δ' ἕψοντες, τὰ δ' ὀπτῶντες, διδόασιν. ἀνυποδέτων δὲ τῶν πλείστων καὶ γυμνῶν τρεφομένων διὰ τὴν εὐκρασίαν τῶν τόπων τὴν πᾶσαν δαπάνην οἱ γονεῖς, ἄχρι ἂν εἰς ἡλικίαν ἔλθῃ τὸ τέκνον, οὐ πλείω ποιοῦσι δραχμῶν εἴκοσι. δι' ἃς αἰτίας μάλιστα τὴν Αἴγυπτον συμβαίνει πολυανθρωπίᾳ διαφέρειν, καὶ διὰ τοῦτο πλείστας ἔχειν μεγάλων ἔργων κατασκευάς.

81 Παιδεύουσι δὲ τοὺς υἱοὺς οἱ μὲν ἱερεῖς γράμματα διττά, τά τε ἱερὰ καλούμενα καὶ τὰ κοινοτέραν ἔχοντα τὴν μάθησιν. γεωμετρίαν δὲ καὶ τὴν ἀριθμητικὴν ἐπὶ πλεῖον ἐκπονοῦσιν. ὁ μὲν γὰρ ποταμὸς κατ' ἐνιαυτὸν ποικίλως μετασχηματίζων τὴν χώραν πολλὰς καὶ παντοίας ἀμφισβητήσεις ποιεῖ περὶ τῶν ὅρων τοῖς γειτνιῶσι, ταύτας δ' οὐ ῥᾴδιον ἀκριβῶς ἐξελέγξαι μὴ γεωμέτρου τὴν ἀλήθειαν ἐκ τῆς ἐμπειρίας μεθοδεύσαντος. ἡ δ' ἀριθμητικὴ πρός τε τὰς κατὰ τὸν βίον οἰκονομίας αὐτοῖς χρησιμεύει καὶ πρὸς τὰ γεωμετρίας θεωρήματα, πρὸς δὲ τούτοις οὐκ ὀλίγα συμβάλλεται καὶ τοῖς τὰ περὶ τὴν ἀστρολογίαν ἐκπονοῦσιν. ἐπιμελῶς γάρ, εἰ καὶ παρά τισιν ἄλλοις, καὶ παρ' Αἰγυπτίοις παρατηρήσεως τυγχάνουσιν αἱ τῶν ἄστρων τάξεις τε καὶ κινήσεις, καὶ τὰς

62. συμβαλλομένης] συμβαλέσθαι G 63. χώρας τε καὶ πόλεων] πόλεώς τε καὶ χώρας GQ 67. χώραν] χώραν μόνον ABD 69. μὴ φέροντα] τρέφοντα FG, *quae adiuvant maturitatem* Poggius 71. ἑψήματα] ἑψέματα B 72. βύβλου ed. Wesselingii, tacente D, de quo v. ad p. 111. 62.: βίβλου Stephaniana 74. καὶ τῶν ῥ.] τῶν ῥ. D 75. ἕψοντες E, ἑψόντες D, caeteri ἑψοῦντες 76. καὶ γυμνῶν ante τῶν πλείστων ponit D 77. ἄχρι D, caeteri ἄχρις 83. καλούμενα] λεγόμενα B 84. γεωμετρίαν δὲ] γεωμετρίαν τε D, τήν τε γεωμετρίαν E 91. πρὸς τὰ γεωμετρίας] τὰ πρὸς γεωμετρίαν ABD, πρὸς τὰ κατὰ γεωμετρίαν GQ 93. ἀστρολογίαν] ἀστρονομίαν A ἐπιμελῶς] malim ἐπιμελοῦς 95. τὰς] τὰς μὲν ABC



92 περὶ ἑκάστων ἀναγραφὰς ἐξ ἐτῶν ἀπίστων τῷ πλήθει φυλάττουσιν, ἐκ παλαιῶν χρόνων ἐζηλωμένης παρ' αὐτοῖς τῆς περὶ ταῦτα σπουδῆς, τάς τε τῶν πλανήτων ἀστέρων κινήσεις καὶ περιόδους καὶ στηριγμούς, ἔτι δὲ τὰς ἑκάστου δυνάμεις πρὸς τὰς τῶν ζῴων γενέσεις, τίνων εἰσὶν ἀγαθῶν ἢ κακῶν ἀπεργαστικαί, φιλοτιμότατα παρατετηρήκασι. καὶ πολλάκις μὲν τοῖς ἀνθρώποις τῶν αὐτοῖς μελλόντων ἀπαντήσεσθαι κατὰ τὸν βίον προλέγοντες ἐπιτυγχάνουσιν, οὐκ ὀλιγάκις δὲ καρπῶν φθορὰς ἢ τοὐναντίον πολυκαρπίας, ἔτι δὲ νόσους κοινὰς ἀνθρώποις ἢ βοσκήμασιν ἐσομένας προσημαίνουσι, σεισμούς τε καὶ κατακλυσμοὺς καὶ κομητῶν ἀστέρων ἐπιτολὰς καὶ πάντα τὰ τοῖς πολλοῖς ἀδύνατον ἔχειν δοκοῦντα τὴν ἐπίγνωσιν ἐκ πολλοῦ χρόνου πατατηρήσεως γεγενημένης προγινώσκουσι. φασὶ δὲ καὶ τοὺς ἐν Βαβυλῶνι Χαλδαίους, ἀποίκους Αἰγυπτίων ὄντας, τὴν δόξαν ἔχειν τὴν περὶ τῆς ἀστρολογίας παρὰ τῶν ἱερέων μαθόντας τῶν Αἰγυπτίων. τὸ δ' ἄλλο πλῆθος τῶν Αἰγυπτίων ἐκ παίδων μανθάνει παρὰ τῶν πατέρων ἢ συγγενῶν τὰς περὶ ἕκαστον βίον ἐπιτηδεύσεις, καθάπερ προειρήκαμεν. γράμματα δ' ἐπ' ὀλίγον διδάσκουσιν οὐχ ἅπαντες ἀλλ' οἱ τὰς τέχνας μεταχειριζόμενοι μάλιστα. παλαίστραν δὲ καὶ μουσικὴν οὐ νόμιμόν ἐστι παρ' αὐτοῖς μανθάνειν· ὑπολαμβάνουσι γὰρ ἐκ μὲν τῶν καθ' ἡμέραν ἐν τῇ παλαίστρᾳ γυμνασίων τοὺς νέους οὐχ ὑγίειαν ἕξειν ἀλλὰ ῥώμην ὀλιγοχρόνιον καὶ παντελῶς ἐπικίνδυνον, τὴν δὲ μουσικὴν νομίζουσιν οὐ μόνον ἄχρηστον ὑπάρχειν ἀλλὰ καὶ βλαβεράν, ὡς ἂν ἐκθηλύνουσαν τὰς τῶν ἀκουόντων ψυχάς.

82 Τὰς δὲ νόσους προκαταλαμβανόμενοι θεραπεύουσι τὰ σώματα κλυσμοῖς καὶ νηστείαις καὶ ἐμέτοις, ἐνίοτε μὲν καθ' ἑκάστην ἡμέραν, ἐνίοτε δὲ τρεῖς ἢ τέτταρας ἡμέρας διαλείποντες. φασὶ γὰρ πάσης τροφῆς ἀναδοθείσης τὸ πλέον εἶναι περιττόν, ἀφ' οὗ γεννᾶσθαι τὰς νόσους· ὥστε τὴν προειρημένην θεραπείαν ἀναιροῦσαν τὰς ἀρχὰς τῆς νόσου μάλιστ' ἂν παρασκευάσαι τὴν

92. 96. ἐξ ἐτῶν] ἔκ τε τῶν D 98. ταῦτα] ταύτην FG 3. τῶν αὐτοῖς μελλόντων ABDE, caeteri περὶ τῶν μελλόντων 7. κομητῶν] κομήτων omnes 9. πολλοῦ χρόνου] πολυχρονίου EFG 13. μανθάνει (D)E, caeteri μανθάνειν 16. διδάσκουσιν] διδάσκονται Reiskius ἅπαντες] ἅπαντας FG 21. τὴν δὲ] τήν τε D 23. ἀκουόντων ABD, caeteri ἀνδρῶν 25. κλυσμοῖς AC(D)FG, caeteri addunt καὶ ποτίμοις τισὶ καθαρτηρίοις, quae asterisco notavit Stephanus, praeteriit etiam Poggius 27. διαλείποντες] διαλιπόντες D

ὑγίειαν. κατὰ δὲ τὰς στρατείας καὶ τὰς τῆς χώρας ἐκδημίας θεραπεύονται πάντες οὐδένα μισθὸν ἰδίᾳ διδόντες· οἱ γὰρ ἰατροὶ τὰς μὲν τροφὰς ἐκ τοῦ κοινοῦ λαμβάνουσι, τὰς δὲ θεραπείας προςάγουσι κατὰ νόμον ἔγγραφον ὑπὸ πολλῶν καὶ δεδοξασμένων ἰατρῶν ἀρ- 93
χαίων συγγεγραμμένον, κἂν τοῖς ἐκ τῆς ἱερᾶς βίβλου νόμοις ἀναγινωσκομένοις ἀκολουθήσαντες ἀδυνατήσωσι σῶσαι τὸν κάμνοντα, ἀθῷοι παντὸς ἐγκλήματος ἀπολύονται, ἐὰν δὲ παρὰ τὰ γεγραμμένα ποιήσωσι, θανάτου κρίσιν ὑπομένουσιν, ἡγουμένου τοῦ νομοθέτου τῆς ἐκ πολλῶν χρόνων παρατετηρημένης θεραπείας καὶ συντεταγμένης ὑπὸ τῶν ἀρίστων τεχνιτῶν ὀλίγους ἂν γενέσθαι συνετωτέρους.

83 Περὶ δὲ τῶν ἀφιερωμένων ζῴων κατ᾽ Αἴγυπτον εἰκότως φαίνεται πολλοῖς παράδοξον τὸ γινόμενον καὶ ζητήσεως ἄξιον. σέβονται γὰρ ἔνια τῶν ζῴων Αἰγύπτιοι καθ᾽ ὑπερβολὴν οὐ ζῶντα μόνον ἀλλὰ καὶ τελευτήσαντα, οἷον τούς τε αἰλούρους καὶ τοὺς ἰχνεύμονας καὶ κύνας ἔτι δὲ ἱέρακας καὶ τὰς καλουμένας παρ᾽ αὐτοῖς ἴβεις, πρὸς δὲ τούτοις τούς τε λύκους καὶ τοὺς κροκοδείλους καὶ ἕτερα τοιαῦτα πλείω, περὶ ὧν τὰς αἰτίας ἀποδιδόναι πειρασόμεθα βραχέα πρότερον ὑπὲρ αὐτῶν διελθόντες. πρῶτον μὲν γὰρ ἑκάστῳ γένει τῶν σεβασμοῦ τυγχανόντων ζῴων ἀφιέρωται χώρα πρόςοδον φέρουσα ἀρκοῦσαν εἰς ἐπιμέλειαν καὶ τροφὴν αὐτῶν· ποιοῦνται δὲ καὶ θεοῖς τισιν εὐχὰς ὑπὲρ τῶν παιδίων οἱ κατ᾽ Αἴγυπτον τῶν ἐκ τῆς νόσου σωθέντων· ξυρήσαντες γὰρ τὰς τρίχας καὶ πρὸς ἀργύριον ἢ χρυσίον στήσαντες διδόασι τὸ νόμισμα τοῖς ἐπιμελουμένοις τῶν προειρημένων ζῴων. οἱ δὲ τοῖς μὲν ἱέραξι κρέα κατατέμνοντες καὶ προςκαλούμενοι μεγάλῃ τῇ φωνῇ πετομένοις ἀναῤῥίπτουσι, μέχρι ἂν δέξωνται, τοῖς δὲ αἰλούροις καὶ τοῖς ἰχνεύμοσι καταθρύπτοντες τοὺς ἄρτους εἰς γάλα καὶ ποππύζοντες παρατιθέασιν ἢ τῶν ἰχθύων τῶν ἐκ τοῦ

31. τὰς τῆς FG, caeteri inserunt ἐπὶ, quod asterisco notavit Stephanus 32. οὐδένα — διδόντες om. M, ad οὐδένα notam apposuit Stephanus

93. 35. ὑπὸ] ἀπὸ omnes 36. βίβλου] βύβλου D 38. ἀθῷοι] καὶ ἐλεύθεροι addit E παντὸς] πάντες ABD 39. γεγραμμένα] εἰρημένα AB 48. τούς τε om. ABD αἰλούρους] ἐλοόρους D ἰχνεύμονας AC(D)GU Poggius, caeteri addunt καὶ νυφίτζας, quae asterisco notavit Stephanus 53. διελθόντες ABD, caeteri διαλεχθέντες 54. σεβασμοῦ] σεβασμῶν F πρόςοδον φέρουσα] φέρουσα πρόςοδον D 56. παιδίων] παίδων D 60. κρέα κατατέμνοντες] κρέατα τέμνοντες F 62. μέχρι D, caeteri μέχρις 64. ποππύζοντες] καὶ διὰ κολακείας τινὸς προςκαλούμενοι addit E



Νείλου κατατέμνοντες ὠμῶς σιτίζουσιν· ὡςαύτως δὲ καὶ τῶν ἄλλων ζῴων ἑκάστῳ γένει τὴν ἁρμόζουσαν τροφὴν χορηγοῦσι. τὰς δὲ γινομένας περὶ ταῦτα λειτουργίας οὐχ οἷον ἐκκλίνουσιν ἢ τοῖς ὄχλοις γενέσθαι καταφανεῖς ἐπαισχύνονται, τοὐναντίον δ᾽ ὥςπερ εἰς τὰς μεγίστας τῶν θεῶν γινόμενοι τιμὰς σεμνύνονται καὶ μετὰ σημείων ἰδίων περιέρχονται τὰς πόλεις καὶ τὴν χώραν. πόῤῥω-
94 θεν δ᾽ ὄντες φανεροὶ τίνων ζῴων ἔχουσι τὴν ἐπιμέλειαν ὑπὸ τῶν ἀπαντώντων προςκυνοῦνται καὶ τιμῶνται. ὅταν δ᾽ ἀποθάνῃ τι τῶν εἰρημένων, σινδόνι κατακαλύψαντες καὶ μετ᾽ οἰμωγῆς τὰ στήθη καταπληξάμενοι φέρουσιν εἰς τὰς ταριχείας· ἔπειτα θεραπευθέντων αὐτῶν κεδρίᾳ καὶ τοῖς δυναμένοις εὐωδίαν παρέχεσθαι καὶ πολυχρόνιον τοῦ σώματος τήρησιν θάπτουσιν ἐν ἱεραῖς θήκαις. ὃς δ᾽ ἂν τούτων τι τῶν ζῴων ἑκὼν διαφθείρῃ, θανάτῳ περιπίπτει, πλὴν ἐὰν αἴλουρον ἢ τὴν ἶβιν ἀποκτείνῃ· ταῦτα δὲ ἐάν τε ἑκὼν ἐάν τε ἄκων ἀποκτείνῃ, πάντως θανάτῳ περιπίπτει, τῶν ὄχλων συντρεχόντων καὶ τὸν πράξαντα δεινότατα διατιθέντων, καὶ τοῦτ᾽ ἐνίοτε πραττόντων ἄνευ κρίσεως. διὰ δὲ τὸν ἐπὶ τούτοις φόβον οἱ θεασάμενοι τεθνηκός τι τῶν ζῴων τούτων ἀποστάντες μακρὰν βοῶσιν ὀδυρόμενοί τε καὶ μαρτυρόμενοι κατειλῆφθαι αὐτὸ τετελευτηκός. οὕτω δ᾽ ἐν ταῖς τῶν ὄχλων ψυχαῖς ἐντέτηκεν ἡ πρὸς τὰ ζῷα ταῦτα δεισιδαιμονία καὶ τοῖς πάθεσιν ἀμεταθέτως ἕκαστος διάκειται πρὸς τὴν τούτων τιμὴν ὥςτε καὶ καθ᾽ ὃν χρόνον Πτολεμαῖος μὲν ὁ βασιλεὺς ὑπὸ Ῥωμαίων οὔπω προςηγόρευτο φίλος, οἱ δ᾽ ὄχλοι πᾶσαν εἰςεφέροντο σπουδὴν ἐκθεραπεύοντες τοὺς παρεπιδημοῦντας τῶν ἀπὸ τῆς Ἰταλίας καὶ σπεύδοντες μηδεμίαν ἀφορμὴν ἐγκλήματος ἢ πολέμου δοῦναι διὰ τὸν φόβον, ἀποκτείναντος Ῥωμαίου τινὸς αἴλουρον,

65. ὠμῶς σιτίζουσι BD, ὅμως σιτίζουσιν AE, caeteri σιτίζουσι: ὠμοὺς σιτ. Wesselingius 67. γινομένας G, caeteri γιγνομένας 69. ἐπαισχύνονται ABC(D)FG, caeteri αἰσχύνονται ὥςπερ εἰς] praestat opinor ὡς περὶ 70. γινόμενοι ABC(D)E, caeteri γινομένας 72. δ᾽ om. D ἔχουσι] ἕξουσι G

94. 73. ἀπαντώντων Wesselingius, αὐτῶν G, omisit C, caeteri ἀπάντων 74. σινδόνι] σινδόσι GQ, σινδονίῳ EQ 76. ταριχείας] ταριχίας A 77. κεδρίᾳ καὶ τοῖς δυναμένοις] κεδρίαις καὶ ταῖς δυναμέναις G 79. ἐν omisit D 80. πλὴν om. C, πλὴν — 82. περιπίπτει asterisco notavit Stephanus 81. ταῦτα — ἀποκτείνῃ om. A 85. τῶν ζῴων τούτων] τούτων τῶν ζῴων D 86. μακρὰν om. M, asterisco notavit Stephanus 87. αὐτὸ Reiskius: libri τὸ οὕτω δ᾽] οὕτω ὅση θ᾽ C 88. ὄχλων ABD, caeteri ἀνθρώπων ἐντέτηκεν] ἐνέτυχεν FG 89. δεισιδαιμονία] καὶ ἐκφόβησις addit E 92. προςηγόρευτο D, caeteri προςηγορεύετο 94. τῶν ἀπὸ om. BD

καὶ τοῦ πλήθους συνδραμόντος ἐπὶ τὴν οἰκίαν τοῦ πράξαντος, οὔτε οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως ἄρχοντες ἐπὶ τὴν παραίτησιν οὔτε ὁ κοινὸς ἀπὸ τῆς Ῥώμης φόβος ἴσχυσεν ἐξελέσθαι τῆς τιμωρίας τὸν ἄνθρωπον, καίπερ ἀκουσίως τοῦτο πεπραχότα. καὶ τοῦτο οὐκ ἐξ ἀκοῆς ἡμεῖς ἱστοροῦμεν ἀλλ' αὐτοὶ κατὰ τὴν γεγενημένην ἡμῖν ἐπιδημίαν κατ' Αἴγυπτον ἑωρακότες.

84 Ἀπίστων δὲ φαινομένων πολλοῖς τῶν εἰρημένων καὶ μύθοις παραπλησίων πολλῷ παραδοξότερα φανήσεται τὰ μετὰ ταῦτα ῥηθησόμενα. λιμῷ γάρ ποτε πιεζομένων τῶν κατ' Αἴγυπτόν φασι πολλοὺς ἀλλήλων μὲν ἅψασθαι διὰ τὴν ἔνδειαν, τῶν δ' ἀφιερωμένων ζῴων τὸ παράπαν μηδ' αἰτίαν σχεῖν μηδένα προσενηνέχθαι. ἀλλὰ μήν γε καὶ καθ' ἣν ἂν οἰκίαν εὑρεθῇ κύων τετελευτηκώς, ξυρῶνται πάντες οἱ κατ' οἶκον ὄντες ὅλον τὸ σῶμα καὶ ποιοῦνται πένθος, καὶ τὸ τούτου θαυμασιώτερον, ἐὰν οἶνος ἢ σῖτος ἤ τι τῶν πρὸς τὸν βίον ἀναγκαίων τυγχάνῃ κείμενον ἐν τοῖς οἰκήμασιν οὗ τὸ ζῆν ἐξέλιπέ τι τῶν θηρίων, οὐκ ἂν ἔτι χρήσασθαι πρὸς οὐδὲν αὐτοῖς ὑπομείνειαν. 95 κἂν ἐν ἄλλῃ χώρᾳ που στρατευόμενοι τύχωσι, λυτρούμενοι τοὺς αἰλούρους καὶ τοὺς ἱέρακας ἀπάγουσιν εἰς Αἴγυπτον· καὶ τοῦτο πράττουσιν ἐνίοτε τῶν ἐφοδίων αὐτοὺς ἀπολιπόντων. τὰ δὲ γινόμενα περὶ τὸν Ἆπιν τὸν ἐν Μέμφει καὶ τὸν Μνεῦιν τὸν ἐν Ἡλιουπόλει καὶ τὰ περὶ τὸν τράγον τὸν ἐν Μένδητι, πρὸς δὲ τούτοις τὸν κροκόδειλον τὸν κατὰ τὴν Μοίριδος λίμνην καὶ τὸν λέοντα τὸν τρεφόμενον ἐν τῇ Λεόντων πόλει, καὶ πολλὰ τοιαῦθ' ἕτερα, διηγήσασθαι μὲν εὐχερές, ἀπαγγείλαντα δὲ πιστευθῆναι παρὰ τοῖς μὴ τεθεαμένοις δύσκολον. ταῦτα γὰρ ἐν ἱεροῖς μὲν περιβόλοις τρέφεται, θεραπεύουσι δ' αὐτὰ πολλοὶ τῶν ἀξιολόγων ἀνδρῶν τροφὰς διδόντες τὰς πολυτελεστάτας· σεμίδαλιν γὰρ ἢ

97. οὔτε] οὔθ' G  98. παραίτησιν] παρατήρησιν ABD, margo E  6. πιεζομένων] πιεζουμένων D  10. γε omittit Eusebius  11. ὄντες om. U, asterisco notat Stephanus  12. τούτου] τούτων B, τοῦτον D  15. ἐξέλιπε] ἐξέλιπεν D

95. 17. τύχωσι] τυγχάνωσι A  λυτρούμενοι anonymus apud Schaeferum ad Demosth. vol. V. p. 741.: libri λυπούμενοι  18. ἀπάγουσιν] κατάγουσιν D  19. αὐτοὺς] αὐτοῖς AEG  ἀπολιπόντων] ὑπολιπόντων ABCDE  20. Μέμφει] ποικίλον subiiciunt ABDFG  21. Μένδητι] Μέδητι A, Midetam Poggius, Μένδῃ BEGQV Eusebius  22. κατὰ τὴν — λίμνην ABD, caeteri ἐν τῇ — λίμνῃ  Μοίριδος CE, Meredicm Poggius, caeteri Μύριδος  23. Λεόντων πόλει ABCEFGQV, καλουμένῃ Λεόντων πόλει D, apud Leontem civitatem Poggius, caeteri Λεοντοπόλει  29. σεμίδαλιν] σιμίδαλιν B



χόνδρον ἕψοντες ἐν γάλακτι καὶ πέμματα παντοδαπὰ μέλιτι φύροντες καὶ κρέα χήνεια τὰ μὲν ἕψοντες τὰ δ' ὀπτῶντες ἀνεκλείπτως χορηγοῦσι, τοῖς δ' ὠμοφάγοις πολλὰ τῶν ὀρνέων θηρεύοντες παραβάλλουσι, καὶ τὸ καθόλου μεγάλην εἰςφέρονται σπουδὴν εἰς τὴν πολυτέλειαν τῆς τροφῆς. λουτροῖς τε χλιαροῖς χρώμενοι καὶ μύροις τοῖς κρατίστοις ἀλείφοντες καὶ παντοδαπὰς εὐωδίας θυμιῶντες οὐ διαλείπουσι, στρωμνάς τε τὰς πολυτελεστάτας καὶ κόσμον εὐπρεπῆ χορηγοῦσι, καὶ τῶν συνουσιῶν ὅπως τυγχάνῃ κατὰ φύσιν φροντίδα ποιοῦνται τὴν μεγίστην, πρὸς δὲ τούτοις ὁμοφύλους θηλείας ἑκάστῳ τῶν ζῴων τὰς εὐειδεστάτας συντρέφουσιν, ἃς παλλακίδας προσαγορεύουσι καὶ θεραπεύουσι ταῖς μεγίσταις δαπάναις καὶ λειτουργίαις. ἐὰν δὲ τελευτήσῃ τις, πενθοῦσι μὲν ἴσα τοῖς ἀγαπητῶν τέκνων στερομένοις, θάπτουσι δὲ οὐ κατὰ τὴν ἑαυτῶν δύναμιν ἀλλὰ πολὺ τὴν ἀξίαν τῆς ἑαυτῶν οὐσίας ὑπερβάλλοντες. μετὰ γὰρ τὴν Ἀλεξάνδρου τελευτήν, Πτολεμαίου τοῦ Λάγου παρειληφότος ἄρτι τὴν Αἴγυπτον, ἔτυχεν ἐν Μέμφει τελευτήσας ὁ Ἆπις γήρᾳ· ὁ δὲ τὴν ἐπιμέλειαν ἔχων αὐτοῦ τήν τε ἡτοιμασμένην χορηγίαν οὖσαν πάνυ πολλὴν εἰς ταφὴν ἅπασαν ἐδαπάνησε καὶ παρὰ τοῦ Πτολεμαίου πεντήκοντα ἀργυρίου τάλαντα προςεδανείσατο. καὶ καθ' ἡμᾶς δέ τινες τῶν τὰ ζῷα ταῦτα τρεφόντων εἰς τὰς ταφὰς αὐτῶν οὐκ ἔλαττον τῶν ἑκατὸν ταλάντων δεδαπανήκασι.

85 Προσθετέον δὲ τοῖς εἰρημένοις τὰ λειπόμενα τῶν γινομένων περὶ τὸν ἱερὸν ταῦρον τὸν ὀνομαζόμενον Ἆπιν. ὅταν γὰρ τελευτήσας ταφῇ μεγαλοπρεπῶς, ζητοῦσιν οἱ περὶ ταῦτ' ὄντες ἱερεῖς μόσχον ἔχοντα κατὰ τὸ
96 σῶμα παράσημα τὰ παραπλήσια τῷ προϋπάρξαντι. ὅταν δ' εὑρεθῇ, τὰ μὲν πλήθη τοῦ πένθους ἀπολύεται, τῶν δ' ἱερέων οἷς ἐστιν ἐπιμελὲς ἄγουσι τὸν μόσχον τὸ μὲν πρῶτον εἰς Νείλου πόλιν, ἐν ᾗ τρέφουσιν αὐτὸν ἐφ'

ἕψοντες Eusebius, ἑψόντες D, caeteri ἑψῶντες  30. φύροντες] φυρῶντες DG  31. ἕψοντες EG Eusebius, ἑψόντες D, caeteri ἑψῶντες  33. εἰςφέρονται] εἰςφέροντες FG  40. ζῴων] θηρίων FG  εὐειδεστάτας] εὐηδεστάτας AF  42. μεγίσταις] ὑπερβαλλούσαις AB, quod articulum non fert  43. τις] nonne τι?  πενθοῦσι ABD Poggius, caeteri ποιοῦσι  ἀγαπητῶν] ἀγαπητοῖς G  44. στερομένοις BD, caeteri στερουμένοις  45. ἀξίαν] ἐξουσίαν FG  48. γήρᾳ] γηραιός ACD EF  52. καθ'] μεθ' F  53. ταφὰς A(D) Poggius, caeteri τροφὰς  59. παράσημα τὰ] παρασήματα D et nescio quis Wesselingii

96. 61. τὸ μὲν πρῶτον om. A

ἡμέρας τετταράκοντα, ἔπειτα εἰς θαλαμηγὸν ναῦν οἴκημα κεχρυσωμένον ἔχουσαν ἐμβιβάσαντες ὡς θεὸν ἀνάγουσιν εἰς Μέμφιν εἰς τὸ τοῦ Ἡφαίστου τέμενος. ἐν δὲ ταῖς προειρημέναις τετταράκονθ᾽ ἡμέραις μόνον ὁρῶσιν αὐτὸν αἱ γυναῖκες κατὰ πρόςωπον ἱστάμεναι καὶ δεικνύουσιν ἀνασυράμεναι τὰ ἑαυτῶν γεννητικὰ μόρια, τὸν δ᾽ ἄλλον χρόνον ἅπαντα κεκωλυμένον ἐστὶν εἰς ὄψιν αὐτὰς ἔρχεσθαι τούτῳ τῷ θεῷ. τῆς δὲ τοῦ βοὸς τούτου τιμῆς αἰτίαν ἔνιοι φέρουσι λέγοντες ὅτι τελευτήσαντος Ὀσίριδος εἰς τοῦτον ἡ ψυχὴ αὐτοῦ μετέστη, καὶ διὰ ταῦτα διατελεῖ μέχρι τοῦ νῦν ἀεὶ κατὰ τὰς ἀναδείξεις αὐτοῦ μεθισταμένη πρὸς τοὺς μεταγενεστέρους· ἔνιοι δὲ λέγουσι τελευτήσαντος Ὀσίριδος ὑπὸ Τυφῶνος τὰ μέλη συναγαγοῦσαν τὴν Ἶσιν εἰς βοῦν ξυλίνην ἐμβαλεῖν βύσσινα περιβεβλημένην, καὶ διὰ τοῦτο καὶ τὴν πόλιν ὀνομασθῆναι Βούσιριν. πολλὰ δὲ καὶ ἄλλα μυθολογοῦσι περὶ τοῦ Ἄπιδος, ὑπὲρ ὧν μακρὸν ἡγούμεθα τὸ καθ᾽ ἕκαστον διεξιέναι.

86 *Πάντα* δὲ θαυμάσια καὶ μείζω πίστεως ἐπιτελοῦντες οἱ κατ᾽ Αἴγυπτον εἰς τὰ τιμώμενα ζῷα πολλὴν ἀπορίαν παρέχονται τοῖς τὰς αἰτίας τούτων ζητοῦσιν. οἱ μὲν οὖν ἱερεῖς αὐτῶν ἀπόῤῥητόν τι δόγμα περὶ τούτων ἔχουσιν, ὃ προειρήκαμεν ἐν τοῖς θεολογουμένοις ὑπ᾽ αὐτῶν, οἱ δὲ πολλοὶ τῶν Αἰγυπτίων τρεῖς αἰτίας ταύτας ἀποδιδόασιν, ὧν τὴν μὲν πρώτην μυθώδη παντελῶς καὶ τῆς ἀρχαϊκῆς ἁπλότητος οἰκείαν. φασὶ γὰρ τοὺς ἐξ ἀρχῆς γενομένους θεούς, ὀλίγους ὄντας καὶ κατισχυομένους ὑπὸ τοῦ πλήθους καὶ τῆς ἀνομίας τῶν γηγενῶν ἀνθρώπων, ὁμοιωθῆναί τισι ζῴοις, καὶ διὰ τοῦ τοιούτου τρόπου διαφυγεῖν τὴν ὠμότητα καὶ βίαν αὐτῶν· ὕστερον δὲ τῶν κατὰ τὸν κόσμον πάντων κρατήσαντας καὶ τοῖς αἰτίοις τῆς ἐξ ἀρχῆς σωτηρίας χάριν ἀποδιδόντας ἀφιερῶσαι τὰς φύσεις αὐτῶν οἷς ἀφωμοιώθησαν καὶ καταδεῖξαι τοῖς ἀνθρώποις τὸ τρέφειν μὲν πολυτελῶς ζῶντα, θάπτειν δὲ τελευτήσαντα. δευτέραν δὲ λέ-

63. τετταράκοντα] τεσσαράκοντα AB θαλαμηγὸν] θαλαμητὸν AB 68. ἀνασυράμεναι] ἀνασυρόμεναι E 69. ἐστὶν om. FG 71. λέγοντες] καὶ λέγουσιν CE 72 αὐτοῦ om. D μετέστη] μετετέθη AB 73. διατελεῖ] διετέλει D 77. βύσσινα] βυσσίνῃ ABDFG, νυσσίνῃ C 79. ὧν] οὗ ABD 80. καθ᾽] καθὲν E 81. μείζω] ἄξια ABD 83. ζητοῦσιν B(D); caeteri ζητοῦσι 85. θεολογουμένοις ὑπ᾽ αὐτῶν ABD, caeteri omittunt ὑπ᾽ αὐτῶν 88. ἀρχαϊκῆς] Ἀχαϊκῆς FG 91. τισι ζῴοις ABDEFG, τισιν ἀλόγοις ζῴοις Eusebius, caeteri τισι τῶν ζῴων 96. πολυτελῶς ζῶντα ABCEFGQ, ζῶντα πολυτελῶς D, caeteri ἐπιμελῶς ζῶντα



γουσιν αἰτίαν, ὅτι τὸ παλαιὸν οἱ κατ᾽ Αἴγυπτον διὰ τὴν ἀταξίαν τὴν ἐν τῷ στρατοπέδῳ πολλαῖς μάχαις
97 ὑπὸ τῶν πλησιοχώρων ἡττηθέντες ἐπενόησαν σύνθημα φορεῖν ἐπὶ τῶν ταγμάτων. φασὶν οὖν κατασκευάσαντας εἰκόνας τῶν ζῴων ὧν νῦν τιμῶσι καὶ πήξαντας ἐπὶ σαυνίων φορεῖν τοὺς ἡγεμόνας, καὶ διὰ τούτου τοῦ τρόπου γνωρίζειν ἕκαστον ἧς εἴη συντάξεως· μεγάλα δὲ συμβαλλομένης αὐτοῖς τῆς διὰ τούτων εὐταξίας πρὸς τὴν νίκην δόξαι τῆς σωτηρίας αἴτια γεγονέναι τὰ ζῷα· χάριν οὖν αὐτοῖς τοὺς ἀνθρώπους ἀποδοῦναι βουλομένους εἰς ἔθος καταtάξαι τῶν εἰκασθέντων τότε μηδὲν κτείνειν, ἀλλὰ σεβομένους ἀπονέμειν τὴν προειρημένην ἐπιμέλειαν καὶ τιμήν. τρίτην δ᾽ αἰτίαν φέρουσι τῆς ἀμ- 87
φισβητήσεως τῶν ζῴων τὴν χρείαν ἣν ἕκαστον αὐτῶν προςφέρεται πρὸς τὴν ὠφέλειαν τοῦ κοινοῦ βίου καὶ τῶν ἀνθρώπων. τὴν μὲν γὰρ θήλειαν βοῦν ἐργάτας τίκτειν καὶ τὴν ἐλαφρὰν τῆς γῆς ἀροῦν, τὰ δὲ πρόβατα δὶς μὲν τίκτειν καὶ τοῖς ἐρίοις τὴν σκέπην ἅμα καὶ τὴν εὐσχημοσύνην περιποιεῖν, τῷ δὲ γάλακτι καὶ τῷ τυρῷ τροφὰς παρέχεσθαι προςηνεῖς ἅμα καὶ δαψιλεῖς· τὸν δὲ κύνα πρός τε τὰς θήρας εἶναι χρήσιμον καὶ πρὸς τὴν φυλακήν· διόπερ τὸν θεὸν τὸν παρ᾽ αὐτοῖς καλούμενον Ἄνουβιν παρειςάγουσι κυνὸς ἔχοντα κεφαλήν, ἐμφαίνοντες ὅτι σωματοφύλαξ ἦν τῶν περὶ τὸν Ὄσιριν καὶ τὴν Ἶσιν. ἔνιοι δέ φασι τῆς Ἴσιδος προηγουμένους τοὺς κύνας καθ᾽ ὃν καιρὸν ἐζήτει τὸν Ὄσιριν τά τε θηρία καὶ τοὺς ἀπαντῶντας ἀπείργειν, ἔτι δ᾽ εὐνοϊκῶς διακειμένους συζητεῖν ὠρυομένους· διὸ καὶ τοῖς Ἰσείοις προπορεύεσθαι τοὺς κύνας κατὰ τὴν πομπήν, τῶν καταδειξάντων τοῦτο τὸ νόμιμον σημαινόντων τὴν παλαιὰν τοῦ ζῴου χάριν. καὶ τὸν μὲν αἴλουρον πρός τε τὰς ἀσπίδας θανάσιμα δακνούσας εὔθετον ὑπάρχειν καὶ τἄλλα δάκετα τῶν ἑρπετῶν, τὸν δὲ ἰχνεύμονα τῶν κροκοδεί-

97. 2. ὧν νῦν τιμῶσι] ἃ νῦν τιμῶσι ADFG Eusebius, ἃν αὐτιμῶσι B 3. σαυνίων] σανίδων B, margo E, σανάπων FG, σαυνίων καὶ κονταρίων E 4. συντάξεως AB(D)EFG, caeteri τάξεως μεγάλα] μέγα D 8. τότε] τόγε D 12. προςφέρεται] προφέρεται D 13. καὶ omisit Poggius 16. ἅμα om. AD 17. [ἅμα καὶ] ἅμα δὲ καὶ D, ἅμα δὲ A 18. πρός τε] πρὸς D Eusebius θήρας] θύρας D 19. τὴν φυλακὴν] τὰς φυλακὰς FGQ 22. καὶ τὴν Ἶσιν om. A Ἴσιδος] Ἴσιος D 25. τοῖς Ἰσείοις] τοῖς Ἰσίοις C, τῆς Ἴσιος ABD 29. θανάσιμα] θανάσιμον EQV εὔθετον] καὶ ἐπιτήδειον gl. C 30. τἄλλα] τ᾽ ἄλλα τὰ D δάκετα] δακετὰ D, quo accentu et Eusebius utitur p. 98. 46., καὶ δάκνοντα gl. C

λων παρατηροῦντα τοὺς γόνους τὰ καταληφθέντα τῶν ᾠῶν συντρίβειν, καὶ ταῦτ᾽ ἐπιμελῶς καὶ φιλοτίμως ἐνεργεῖν μηδὲν ὠφελούμενον. τοῦτο δὲ εἰ μὴ συνέβαινε γίνεσθαι, διὰ τὸ πλῆθος τῶν γεννωμένων θηρίων ἄβατον ἂν γενέσθαι τὸν ποταμόν. ἀπόλλυσθαι δὲ καὶ τοὺς κροκοδείλους αὐτοὺς ὑπὸ τοῦ προειρημένου ζῴου παραδόξως καὶ παντελῶς ἀπιστουμένῃ μεθόδῳ· τοὺς γὰρ ἰχνεύμονας κυλιομένους ἐν τῷ πηλῷ χασκόντων αὐτῶν καθ᾽ 98 ὃν ἂν χρόνον ἐπὶ τῆς χέρσου καθεύδωσιν εἰςπηδᾶν διὰ τοῦ στόματος εἰς μέσον τὸ σῶμα· ἔπειτα συντόμως τὴν κοιλίαν διαφαγόντας αὐτοὺς μὲν ἀκινδύνους ἐξιέναι, τοὺς δὲ τοῦτο παθόντας νεκροὺς ποιεῖν παραχρῆμα. τῶν δ᾽ ὀρνέων τὴν μὲν ἶβιν χρησίμην ὑπάρχειν πρός τε τοὺς ὄφεις καὶ τὰς ἀκρίδας καὶ τὰς κάμπας, τὸν δ᾽ ἱέρακα πρός τε τοὺς σκορπίους καὶ τοὺς κεράστας καὶ τὰ μικρὰ τῶν δακέτων θηρίων τὰ μάλιστα τοὺς ἀνθρώπους ἀναιροῦντα. ἔνιοι δὲ λέγουσι τιμᾶσθαι τὸ ζῷον τοῦτο διὰ τὸ τοὺς μάντεις οἰωνοῖς τοῖς ἱέραξι χρωμένους προλέγειν τὰ μέλλοντα τοῖς Αἰγυπτίοις. τινὲς δέ φασιν ἐν τοῖς ἀρχαίοις χρόνοις ἱέρακα βιβλίον ἐνεγκεῖν εἰς Θήβας τοῖς ἱερεῦσι φοινικῷ ῥάμματι περιειλημένον, ἔχον γεγραμμένας τὰς τῶν θεῶν θεραπείας τε καὶ τιμάς· διόπερ καὶ τοὺς ἱερογραμματεῖς φορεῖν φοινικοῦν ῥάμμα καὶ πτερὸν ἱέρακος ἐπὶ τῆς κεφαλῆς. τὸν δ᾽ ἀετὸν Θηβαῖοι τιμῶσι διὰ τὸ βασιλικὸν εἶναι δοκεῖν τοῦτο τὸ ζῷον καὶ τοῦ Διὸς ἄξιον.

88 τὸν δὲ τράγον ἀπεθέωσαν, καθάπερ καὶ παρὰ τοῖς Ἕλλησι τετιμῆσθαι λέγουσι τὸν Πρίαπον, διὰ τὸ γεννητικὸν μόριον. τὸ μὲν γὰρ ζῷον εἶναι τοῦτο κατωφερέστατον πρὸς τὰς συνουσίας, τὸ δὲ μόριον τοῦ σώματος τὸ τῆς γενέσεως αἴτιον τιμᾶσθαι προσηκόντως, ὡς ἂν ὑπάρχον ἀρχέγονον τῆς τῶν ζῴων φύσεως. καθόλου δὲ τὸ αἰδοῖον οὐκ Αἰγυπτίους μόνον ἀλλὰ καὶ

31. καταληφθέντα E, caeteri καταλειφθέντα 33. συνέβαινε] συνέβαινεν D 34. γίνεσθαι] γενέσθαι D 35. ἂν γενέσθαι] εἶναι AB

98. 41. διαφαγόντας] διαφυγόντας AB 42. ἀκινδύνους] ἀκινδύνως D 45. κάμπας D Eusebius, caeteri καμπάς τε om. CD Eusebius 46. καὶ τοὺς] καὶ D Eusebius 47. ἀναιροῦντα] ἐπιτηδεύοντα καὶ ἀναιροῦντα ABD, ubi ambigas utrum glossa, utrum glossema sit 52. φοινικῷ ῥάμματι] φοινικώδει ῥάμματι CEQ, φοινικῷ χρώματι Q, puniceis litteris Poggius, qui „γράμματι videtur legisse" Wessel. περιειλημένον Eichstadius, περιειλημένων A, περιειλημμένον BD, caeteri περιδεδεμένον 54. ῥάμμα] γράμμα CE, χρῶμα Q 56. δοκεῖν post Διὸς ponit E 59. Πρίαπον] περίαπτον F 60. κατωφερ.] καταφερ. FG correcti in marg. 63. ὑπάρχον ἀρχέγονον] ἀρχηγὸν ὂν Eusebius



τῶν ἄλλων οὐκ ὀλίγους καθιερωκέναι κατὰ τὰς τελετάς, ὡς αἴτιον τῆς τῶν ζῴων γενέσεως· τούς τε ἱερεῖς τοὺς παραλαβόντας τὰς πατρικὰς ἱερωσύνας κατ᾽ Αἴγυπτον τούτῳ τῷ θεῷ πρῶτον μυεῖσθαι. καὶ τοὺς Πᾶνας δὲ καὶ τοὺς Σατύρους φασὶν ἕνεκα τῆς αὐτῆς αἰτίας τιμᾶσθαι παρ᾽ ἀνθρώποις· διὸ καὶ τὰς εἰκόνας αὐτῶν ἀνατιθέναι τοὺς πλείστους ἐν τοῖς ἱεροῖς ἐντεταμένας καὶ τῇ τοῦ τράγου φύσει παραπλησίας· τὸ γὰρ ζῷον τοῦτο παραδεδόσθαι πρὸς τὰς συνουσίας ὑπάρχειν ἐνεργέστατον· ἐκείνους οὖν διὰ ταύτης τῆς ἐμφάσεως χάριν ἀποδιδόναι περὶ τῆς πολυτεκνίας τῆς ἑαυτῶν. τοὺς δὲ ταύρους τοὺς ἱερούς, λέγω δὲ τόν τε Ἆπιν καὶ τὸν Μνεῦιν, τιμᾶσθαι παραπλησίως τοῖς θεοῖς, Ὀσίριδος καταδείξαντος, ἅμα μὲν διὰ τὴν τῆς γεωργίας χρείαν, ἅμα δὲ καὶ διὰ τὸ τῶν εὑρόντων τοὺς καρποὺς τὴν δόξαν ταῖς τού-
99 των ἐργασίαις παραδόσιμον γεγονέναι τοῖς μεταγενεστέροις εἰς ἅπαντα τὸν αἰῶνα· τοὺς δὲ πυῤῥοὺς βοῦς συγχωρηθῆναι θύειν διὰ τὸ δοκεῖν τοιοῦτον τῷ χρώματι γεγονέναι Τυφῶνα τὸν ἐπιβουλεύσαντα μὲν Ὀσίριδι, τυχόντα δὲ τιμωρίας ὑπὸ τῆς Ἴσιδος διὰ τὸν τἀνδρὸς φόνον. καὶ τῶν ἀνθρώπων δὲ τοὺς ὁμοχρωμάτους τῷ Τυφῶνι τὸ παλαιὸν ὑπὸ τῶν βασιλέων φασὶ θύεσθαι πρὸς τῷ τάφῳ τοῦ Ὀσίριδος· τῶν μὲν οὖν Αἰγυπτίων ὀλίγους τινὰς εὑρίσκεσθαι πυῤῥούς, τῶν δὲ ξένων τοὺς πλείους· διὸ καὶ περὶ τῆς Βουσίριδος ξενοκτονίας παρὰ τοῖς Ἕλλησιν ἐνισχῦσαι τὸν μῦθον, οὐ τοῦ βασιλέως ὀνομαζομένου Βουσίριδος, ἀλλὰ τοῦ Ὀσίριδος τάφου ταύτην ἔχοντος τὴν προςηγορίαν κατὰ τὴν τῶν ἐγχωρίων διάλεκτον. τοὺς δὲ λύκους τιμᾶσθαι λέγουσι διὰ τὴν πρὸς τοὺς κύνας τῆς φύσεως ὁμοιότητα· βραχὺ γὰρ διαλλάττοντας αὐτοὺς ταῖς φύσεσι ταῖς ἐπιμιξίαις ζωογονεῖν ἐξ ἀλλήλων. φέρουσι δὲ καὶ ἄλλην αἰτίαν Αἰγύπτιοι τῆς τοῦ ζῴου τούτου τιμῆς μυθικωτέραν. τὸ γὰρ παλαιόν φασι τῆς Ἴσιδος μετὰ τοῦ παιδὸς Ὥρου μελλούσης διαγωνίζεσθαι πρὸς Τυφῶνα παραγενέσθαι βοη-

67. τὰς πατρικὰς D Eusebius, caeteri πατρικὰς 71. ἐντεταμένας] ἀνατεταμένας FGQ, ἔντασιν αἰδοίων ἐχούσας gl. C 72. παραπλησίας AB(D)EG, caeteri παραπλησίως παραδεδόσθαι] παραδίδοσθαι Eusebius 73. ἐνεργέστατον] ἐνεργότατον Eusebius 74. ἐκείνους] ἐκείνοις D 76. τὸν Μνεῦιν Eusebius, τὸν Μνεύϊν D, Μνεύην C, caeteri Μνεῦιν 80. ἐργασίαις BD, caeteri εὐεργεσίαις

99. 83. Τυφῶνα] Τύφωνα D 85. Τυφῶνι] Τύφωνι D 87. πρὸς] ὑπὸ B τοῦ B(D), om. A, caeteri τῷ Ὀσίριδος] Ὀσίριδι F 96. δὲ καὶ ἄλλην αἰτίαν Αἰγύπτιοι] δ᾽ Αἰγύπτιοι καὶ ἄλλην αἰτίαν D 99. Τυφῶνα] Τύφωνα D

θὸν ἐξ Ἅιδου τὸν Ὄσιριν τῷ τέκνῳ καὶ τῇ γυναικὶ λύκῳ τὴν ὄψιν ὁμοιωθέντα· ἀναιρεθέντος οὖν τοῦ Τυφῶνος τοὺς κρατήσαντας καταδεῖξαι τιμᾶν τὸ ζῷον οὗ τῆς ὄψεως ἐπιφανείσης τὸ νικᾶν ἐπηκολούθησεν. ἔνιοι δὲ λέγουσι τῶν Αἰθιόπων στρατευσάντων ἐπὶ τὴν Αἴγυπτον ἀθροισθείσας παμπληθεῖς ἀγέλας λύκων ἐκδιῶξαι τοὺς ἐπελθόντας ἐκ τῆς χώρας ὑπὲρ πόλιν τὴν ὀνομαζομένην Ἐλεφαντίνην· διὸ καὶ τόν τε νομὸν ἐκεῖνον Λυκοπολίτην ὀνομασθῆναι καὶ τὰ ζῷα τὰ προειρημένα τυχεῖν τῆς τιμῆς.

89 λείπεται δ' ἡμῖν εἰπεῖν περὶ τῆς τῶν κροκοδείλων ἀποθεώσεως, ὑπὲρ ἧς οἱ πλεῖστοι διαποροῦσι πῶς τῶν θηρίων τούτων σαρκοφαγούντων τοὺς ἀνθρώπους ἐνομοθετήθη τιμᾶν ἴσα θεοῖς τοὺς τὰ δεινότατα διατιθέντας. φασὶν οὖν τῆς χώρας τὴν ὀχυρότητα παρέχεσθαι μὴ μόνον τὸν ποταμὸν ἀλλὰ καὶ πολὺ μᾶλλον τοὺς ἐν αὐτῷ κροκοδείλους· διὸ καὶ τοὺς λῃστὰς τούς τε ἀπὸ τῆς Ἀραβίας καὶ Λιβύης μὴ τολμᾶν διανήχεσθαι τὸν Νεῖλον, φοβουμένους τὸ πλῆθος τῶν θηρίων· τοῦτο δ' οὐκ ἄν ποτε γενέσθαι πολεμουμένων τῶν ζῴων καὶ διὰ τῶν σαγηνευόντων ἄρδην ἀναιρεθέντων. ἔστι δὲ καὶ ἄλλος λόγος ἱστορούμενος περὶ τῶν θηρίων τούτων. φασὶ γάρ τινες τῶν ἀρχαίων τινὰ βασιλέων, τὸν προσαγορευόμε- 100 νον Μηνᾶν, διωκόμενον ὑπὸ τῶν ἰδίων κυνῶν καταφυγεῖν εἰς τὴν Μοίριδος καλουμένην λίμνην, ἔπειθ' ὑπὸ κροκοδείλου παραδόξως ἀναληφθέντα εἰς τὸ πέραν ἀπενεχθῆναι. τῆς δὲ σωτηρίας χάριν ἀποδιδόναι βουλόμενον τῷ ζῴῳ πόλιν κτίσαι πλησίον ὀνομάσαντα Κροκοδείλων· καταδεῖξαι δὲ καὶ τοῖς ἐγχωρίοις ὡς θεοὺς τιμᾶν ταῦτα τὰ ζῷα καὶ τὴν λίμνην αὐτοῖς εἰς τροφὴν ἀναθεῖναι· ἐνταῦθα δὲ καὶ τὸν τάφον ἑαυτῷ κατασκευάσαι πυραμίδα τετράπλευρον ἐπιστήσαντα, καὶ τὸν θαυμαζόμενον παρὰ πολλοῖς λαβύρινθον οἰκοδομῆσαι. παραπλήσια δὲ καὶ περὶ τῶν ἄλλων λέγουσιν, ὑπὲρ ὧν τὰ καθ' ἕκαστον μακρὸν ἂν εἴη γράφειν. ὅτι γὰρ τῆς ὠφελείας ἕνεκα τῆς

1. Τυφῶνος] Τύφωνος D 5. παμπληθεῖς] παρεμπληθεῖς F 6. πόλιν] τὴν πόλιν D 10. ἀποθεώσεως] ὑποθέσεως AB, ἀποθέσεως D 15. πολὺ μᾶλλον asterisco notavit Stephanus, neglexit Poggius 16. τούς τε ἀπὸ] τοὺς ἀπὸ (D) Eusebius

100. 22. Μηνᾶν] Μῖνα FG, Μινά D, Minam Poggius 24. Μοίριδος C Poggius Wesselingii: nam meus *Miridis*, caeteri Μύριδος 25. παραδόξως post ἀναληφθέντα ponit BG Eusebius: *a crocodilo susceptum mirabile dictu in continentem fuisse delatum* Poggius ἀπενεχθῆναι] ἀνενεχθῆναι BG 27. ζῴῳ] θηρίῳ FM ὀνομάσαντα] ὀνομάσας B, καὶ ὀνομάσαι A 28. Κροκοδείλων B(D)E, caeteri Κροκόδειλον, *crocodillam* Poggius



εἰς τὸν βίον οὕτως ἑαυτοὺς εἰθίκασι φανερὸν εἶναί φασιν ἐκ τοῦ πολλὰ τῶν ἐδωδίμων παρ' αὐτοῖς ἐνίους μὴ προσφέρεσθαι. τινὰς μὲν γὰρ φακῶν, τινὰς δὲ κυάμων, ἐνίους δὲ τυρῶν ἢ κρομμύων ἤ τινων ἄλλων βρωμάτων τὸ παράπαν μὴ γεύεσθαι, πολλῶν ὑπαρχόντων κατὰ τὴν Αἴγυπτον, δῆλον ποιοῦντας διότι διδακτέον ἐστὶν αὑτοὺς τῶν χρησίμων ἀπέχεσθαι, καὶ διότι πάντων πάντα ἐσθιόντων οὐδὲν ἂν ἐξήρκεσε τῶν ἀναλισκομένων. καὶ ἑτέρας δ' αἰτίας φέροντές τινές φασιν ἐπὶ τῶν παλαιῶν βασιλέων πολλάκις ἀφισταμένου τοῦ πλήθους καὶ συμφρονοῦντος κατὰ τῶν ἡγουμένων τῶν βασιλέων τινὰ συνέσει διαφέροντα διελέσθαι μὲν τὴν χώραν εἰς πλείω μέρη, καθ' ἕκαστον δ' αὐτῶν καταδεῖξαι τοῖς ἐγχωρίοις σέβεσθαί τι ζῷον ἢ τροφῆς τινος μὴ γεύεσθαι, ὅπως ἑκάστων τὸ μὲν παρ' αὐτοῖς τιμώμενον σεβομένων, τῶν δὲ παρὰ τοῖς ἄλλοις ἀφιερωμένων καταφρονούντων, μηδέποτε ὁμονοῆσαι δύνωνται πάντες οἱ κατ' Αἴγυπτον. καὶ τοῦτο ἐκ τῶν ἀποτελεσμάτων φανερὸν εἶναι· πάντας γὰρ τοὺς πλησιοχώρους πρὸς ἀλλήλους διαφέρεσθαι, προσκόπτοντας ταῖς εἰς τὰ προειρημένα παρανομίαις.

90 φέρουσι δέ τινες καὶ τοιαύτην αἰτίαν τῆς τῶν ζῴων ἀφιερώσεως. συναγομένων γὰρ ἐν ἀρχῇ τῶν ἀνθρώπων ἐκ τοῦ θηριώδους βίου τὸ μὲν πρῶτον ἀλλήλους κατεσθίειν καὶ πολεμεῖν, ἀεὶ τοῦ πλεῖον δυναμένου τὸν ἀσθενέστερον κατισχύοντος· μετὰ δὲ ταῦτα τοὺς τῇ ῥώμῃ λειπομένους ὑπὸ τοῦ συμφέροντος διδαχθέντας ἀθροίζεσθαι καὶ ποιῆσαι σημεῖον ἑαυτοῖς ἐκ τῶν ὕστερον καθιερωθέντων ζῴων· πρὸς δὲ τοῦτο τὸ σημεῖον τῶν ἀεὶ δεδιότων συντρεχόντων οὐκ εὐκαταφρόνητον τοῖς ἐπιτιθεμένοις γίνεσθαι τὸ σύστημα. τὸ δ' αὐτὸ καὶ τῶν
101 ἄλλων ποιούντων διαστῆναι μὲν τὰ πλήθη κατὰ συστήματα, τὸ δὲ ζῷον τὸ τῆς ἀσφαλείας ἑκάστοις γενόμενον αἴτιον τιμῶν τυχεῖν ἰσοθέων, ὡς τὰ μέγιστα εὐεργετηκός· διόπερ ἄχρι τῶν νῦν χρόνων τὰ τῶν Αἰγυπτίων

35. ἑαυτοὺς εἰθίκασι A(D), αὑτοὺς ἐοιθίκασι FG, caeteri αὑτοὺς τεθείκασι 38. κρομμύων] κρομύων D 42. καὶ διότι AD FG, caeteri καὶ ὅτι πάντα asterisco notavit Stephanus 43. ἐξήρκεσε] ἐξαρκέσαι D 46. κατὰ] παρὰ ABC τινὰ συνέσει διαφέροντα AB(D)EM, margo G, Poggius, τινὰ Eusebius, caeteri τινὰς συνέσει διαφέροντας 51. ἀφιερωμένων] ἀφιερωθέντων G 54. διαφέρεσθαι] καὶ μάχεσθαι addit E 56. τινες καὶ] καί τινες D 60. κατισχύοντος] κατεσθίοντος G 62. ἑαυτοῖς] ἐν ἑαυτοῖς FG: equidem ἐν requiro, quod latet fortasse in sequenti ἐκ 65. τὸ δ' — 101. 66. συστήματα omisit A

101. 67. γενόμενον] γινόμενον D

ἔθνη διεστηκότα τιμᾶν τὰ παρ' ἑαυτοῖς ἐξ ἀρχῆς τῶν ζῴων καθιερωθέντα. καθόλου δέ φασι τοὺς Αἰγυπτίους ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους εὐχαρίστως διακεῖσθαι πρὸς πᾶν τὸ εὐεργετοῦν, νομίζοντας μεγίστην ἐπικουρίαν εἶναι τῷ βίῳ τὴν ἀμοιβὴν τῆς πρὸς τοὺς εὐεργέτας χάριτος· δῆλον γὰρ εἶναι διότι πάντες πρὸς εὐεργεσίαν ὁρμήσουσι τούτων μάλιστα παρ' οἷς ἂν ὁρῶσι θησαυριζομένας τὰς χάριτας κάλλιστα. διὰ δὲ τὰς αὐτὰς αἰτίας δοκοῦσιν Αἰγύπτιοι τοὺς ἑαυτῶν βασιλεῖς προςκυνεῖν τε καὶ τιμᾶν ὡς πρὸς ἀλήθειαν ὄντας θεούς, ἅμα μὲν οὐκ ἄνευ δαιμονίου τινὸς προνοίας νομίζοντες αὐτοὺς τετευχέναι τῆς τῶν ὅλων ἐξουσίας, ἅμα δὲ τοὺς βουλομένους τε καὶ δυναμένους τὰ μέγιστ' εὐεργετεῖν ἡγούμενοι θείας μετέχειν φύσεως. περὶ μὲν οὖν τῶν ἀφιερωμένων ζῴων εἰ καὶ πεπλεονάκαμεν, ἀλλ' οὖν γε τὰ μάλιστα θαυμαζόμενα τῶν παρ' Αἰγυπτίοις νόμιμα διευκρινήκαμεν.

91 Οὐχ ἥκιστα δ' ἄν τις πυθόμενος τὰ περὶ τοὺς τετελευτηκότας νόμιμα τῶν Αἰγυπτίων θαυμάσαι τὴν ἰδιότητα τῶν ἐθῶν. ὅταν γάρ τις ἀποθάνῃ παρ' αὐτοῖς, οἱ μὲν συγγενεῖς καὶ φίλοι πάντες καταπασάμενοι πηλῷ τὰς κεφαλὰς περιέρχονται τὴν πόλιν θρηνοῦντες, ἕως ἂν ταφῆς τύχῃ τὸ σῶμα· οὐ μὴν οὔτε λουτρῶν οὔτε οἴνου οὔτε τῆς ἄλλης τροφῆς ἀξιολόγου μεταλαμβάνουσιν οὔτε ἐσθῆτας λαμπρὰς περιβάλλονται. τῶν δὲ ταφῶν τρεῖς ὑπάρχουσι τάξεις, ἥ τε πολυτελεστάτη καὶ μέση καὶ ταπεινοτάτη. κατὰ μὲν οὖν τὴν πρώτην ἀναλίσκεσθαί φασιν ἀργυρίου τάλαντον, κατὰ δὲ τὴν δευτέραν μνᾶς εἴκοσι, κατὰ δὲ τὴν ἐσχάτην παντελῶς ὀλίγον τι δαπάνημα γίνεσθαι λέγουσιν. οἱ μὲν οὖν τὰ σώματα θεραπεύοντές εἰσι τεχνῖται τὴν ἐπιστήμην ταύτην ἐκ γένους παρειληφότες· οὗτοι δὲ γραφὴν ἑκάστου τῶν εἰς τὰς ταφὰς δαπανωμένων τοῖς οἰκείοις τῶν τελευτησάντων προςενέγκαντες ἐπερωτῶσι τίνα τρόπον βούλονται τὴν θεραπείαν γενέσθαι τοῦ σώματος. διομολογησάμενοι δὲ περὶ πάντων καὶ τὸν νεκρὸν παραλαβόντες, τοῖς τεταγμένοις ἐπὶ

70. τῶν ζῴων B(D), caeteri ταῖς ζῴων 76. θησαυριζομένας] θηραυρισθησομένας D, θησαυριζομένους F 77. κάλλιστα ante θησαυρ. ponit D: de C mire Wesseling. „κάλλιστα θησαυρ. C Pogg., caeteris prius vocabulum abest.“ 79. τε om. C 82. μέγιστ' A, caeteri μέγιστα 84. πεπλ.] μὴ πεπλ. G 85. μάλιστα] μέγιστα FG 86. διευκρινήκαμεν] διερευνήκαμεν FG 89. ἐθῶν] ἐθνῶν vertit Poggius, *privati diversarum gentium mores* 90. καταπασάμενοι] καταπλαττόμενοι ABD, *deturpato* Poggius 92. λουτρῶν οὔτε om. C, asterisco notavit Stephanus 93. τροφῆς] τρυφῆς D 94. οὔτε] malim οὐδὲ 4. γενέσθαι omisit A



τὴν κατειθισμένην ἐπιμέλειαν τὸ σῶμα παραδιδόασι. καὶ πρῶτος μὲν ὁ γραμματεὺς λεγόμενος τεθέντος χαμαὶ τοῦ σώματος ἐπὶ τὴν λαγόνα περιγράφει τὴν εὐώνυμον ὅσον
102 δεῖ διατεμεῖν· ἔπειτα δ' ὁ λεγόμενος παρασχίστης λίθον ἔχων Αἰθιοπικὸν καὶ διατεμὼν ὅσα νόμος κελεύει τὴν σάρκα παραχρῆμα φεύγει δρόμῳ, διωκόντων τῶν συμπαρόντων καὶ λίθοις βαλλόντων ἔτι δὲ καταρωμένων καὶ καθαπερεὶ τὸ μύσος εἰς ἐκεῖνον τρεπόντων. ὑπολαμβάνουσι γὰρ μισητὸν εἶναι πάντα τὸν ὁμοφύλῳ σώματι βίαν προςφέροντα καὶ τραύματα ποιοῦντα καὶ καθόλου τι κακὸν ἀπεργαζόμενον. οἱ ταριχευταὶ δὲ καλούμενοι πάσης μὲν τιμῆς καὶ πολυωρίας ἀξιοῦνται, τοῖς τε ἱερεῦσι συνόντες καὶ τὰς εἰς ἱερὸν εἰςόδους ἀκωλύτως ὡς καθαροὶ ποιοῦνται· πρὸς δὲ τὴν θεραπείαν τοῦ παρεσχισμένου σώματος ἀθροισθέντων αὐτῶν εἷς καθίησι τὴν χεῖρα διὰ τῆς τοῦ νεκροῦ τομῆς εἰς τὸν θώρακα καὶ πάντα ἐξαιρεῖ χωρὶς νεφρῶν καὶ καρδίας, ἕτερος δὲ καθαίρει τῶν ἐγκοιλίων ἕκαστον ἐγκλύζων οἴνῳ φοινικείῳ καὶ θυμιάμασι. καθόλου δὲ πᾶν τὸ σῶμα τὸ μὲν πρῶτον κεδρίᾳ καὶ τισιν ἄλλοις ἐπιμελείας ἀξιοῦσιν ἐφ' ἡμέρας πλείους τῶν τριάκοντα, ἔπειτα σμύρνῃ καὶ κινναμώμῳ καὶ τοῖς δυναμένοις μὴ μόνον πολυχρόνιον τήρησιν ἀλλὰ καὶ τὴν εὐωδίαν παρέχεσθαι θεραπεύσαντες παραδιδόασι τοῖς συγγενέσι τοῦ τετελευτηκότος οὕτως ἕκαστον τῶν τοῦ σώματος μελῶν ἀκέραιον τετηρημένον ὥςτε καὶ τὰς ἐπὶ τοῖς βλεφάροις καὶ ταῖς ὀφρύσι τρίχας διαμένειν καὶ τὴν ὅλην πρόσοψιν τοῦ σώματος ἀπαράλλακτον εἶναι καὶ τὸν τῆς μορφῆς τύπον γνωρίζεσθαι· διὸ καὶ πολλοὶ τῶν Αἰγυπτίων ἐν οἰκήμασι πολυτελέσι φυλάττοντες τὰ σώματα τῶν προγόνων κατ' ὄψιν ὁρῶσι

9. διατεμεῖν ABD, caeteri τεμεῖν
102. 10. ἔπειτα δ' ABD, margo E, caeteri ἔπειθ' 13. λίθοις AB(D), caeteri λίθους 15. μισητὸν εἶναι] καὶ μύσους (voluerunt μίσους: conf. Hesych. v. μισητὸς) ἄξιον addunt CEFG, καὶ τιμωρίας ἄξιον (εἴξιον A) addunt ABD 18. πολυωρίας] πολυδωρίας ABD et correctus E 19. ἱερεῦσι] γὰρ addit Rhodomannus in Add., emendaturus structuram, quae melius multo procederet, si ποιούμενοι scriptum esset 20. καθαροὶ ABD, margo E, caeteri ἱεροὶ 21. αὐτῶν] δὲ αὐτῶν E 23. ἐξαιρεῖ] scribebatur ἐξαίρει 24. ἐγκλύζων] κλύζων AD φοινικείῳ] φοινικῷ A, φοινικικῷ D, φοινηϊκῷ B 26. κεδρίᾳ] κεδρίους FG 27. τριάκοντα] τετταράκοντα FGQ κιναμώμῳ] κινναμώμῳ D 28. πολυχρόνιον τήρησιν Wesselingius, πολυχρόνιον τηρήσειν ABD, caeteri πολὺν χρόνον τηρεῖν 29. θεραπεύσαντες ABC(D)E, caeteri θεραπεύοντες 30. παραδιδόασι] δὲ παραδιδόασι D 32. ἐπὶ τοῖς βλεφάροις καὶ ταῖς ὀφρύσι] ἀπὸ τῶν βλεφάρων καὶ τῶν ὀφρύων A

τοὺς γενεαῖς πολλαῖς τῆς ἑαυτῶν γενέσεως προτετελευτηκότας, ὥςτε ἑκάστων τά τε μεγέθη καὶ τὰς περιοχὰς τῶν σωμάτων ἔτι δὲ τοὺς τῆς ὄψεως χαρακτῆρας ὁρωμένους παράδοξον ψυχαγωγίαν παρέχεσθαι καθάπερ
92 συμβεβιωκότας τοῖς θεωμένοις. τοῦ δὲ μέλλοντος θάπτεσθαι σώματος οἱ συγγενεῖς προλέγουσι τὴν ἡμέραν τῆς ταφῆς τοῖς τε δικασταῖς καὶ τοῖς συγγενέσιν ἔτι δὲ φίλοις τοῦ τετελευτηκότος, καὶ διαβεβαιοῦνται λέγοντες
ὅτι διαβαίνειν μέλλει τὴν λίμνην τοὔνομα τοῦ μετηλ- 103
λαχότος. ἔπειτα παραγενομένων δικαστῶν δυσὶ πλείω τῶν τετταράκοντα καὶ καθισάντων ἐπί τινος ἡμικυκλίου κατεσκευασμένου πέραν τῆς λίμνης, ἡ μὲν βᾶρις καθέλκεται κατεσκευασμένη πρότερον ὑπὸ τῶν ταύτην ἐχόντων τὴν ἐπιμέλειαν, ἐφέστηκε δὲ ταύτῃ ὁ πορθμεύς, ὃν Αἰγύπτιοι κατὰ τὴν ἰδίαν διάλεκτον ὀνομάζουσι χάρωνα. διὸ καί φασιν Ὀρφέα τὸ παλαιὸν εἰς Αἴγυπτον παραβαλόντα καὶ θεασάμενον τοῦτο τὸ νόμιμον μυθοποιῆσαι τὰ καθ' Ἅιδου, τὰ μὲν μιμησάμενον τὰ δ' αὐτὸν ἰδίᾳ πλασάμενον· περὶ οὗ τὰ κατὰ μέρος μικρὸν ὕστερον ἀναγράψομεν. οὐ μὴν ἀλλὰ τῆς βαρεως εἰς τὴν λίμνην καθελκυσθείσης, πρὶν ἢ τὴν λάρνακα τὴν τὸν νεκρὸν ἔχουσαν εἰς αὐτὴν τίθεσθαι τῷ βουλομένῳ κατηγορεῖν ὁ νόμος ἐξουσίαν δίδωσιν. ἐὰν μὲν οὖν τις παρελθὼν ἐγκαλέσῃ καὶ δείξῃ βεβιωκότα κακῶς, οἱ μὲν κριταὶ γνώμας ἀποφαίνονται, τὸ δὲ σῶμα εἴργεται τῆς εἰθισμένης ταφῆς· ἐὰν δὲ ὁ ἐγκαλέσας δόξῃ μὴ δικαίως κατηγορεῖν, μεγάλοις περιπίπτει προστίμοις. ὅταν δὲ μηδεὶς ὑπακούσῃ κατήγορος ἢ παρελθὼν γνωσθῇ συκοφάντης ὑπάρχειν, οἱ μὲν συγγενεῖς ἀποθέμενοι τὸ πένθος ἐγκωμιάζουσι τὸν τετελευτηκότα, καὶ περὶ μὲν τοῦ γένους οὐδὲν λέγουσιν, ὥςπερ παρὰ τοῖς Ἕλλησιν, ὑπολαμβά-

40. ὁρωμένους] ὁρῶντας AB  41. συμβεβιωκότας] συμβεβηκότας A  θεωμένοις] θεωροῦσιν G, legebatur θεωρουμένοις  44. ταφῆς τοῖς τε] ταφῆς τῆς τε δημοκρατίας τοῖς ἐγκρίτοις καὶ ABE  46. διαβεβαιοῦνται λέγοντες ὅτι διαβαίνειν μέλλει τὴν λίμνην] fortasse legendum διαβεβαιοῦνται ὅτι διαβαίνειν μέλλει τὴν λίμνην, λέγοντες: vide annotationem

103. 47. τοὔνομα] τοῦ νομοῦ E, quae eadem permutatio est apud Agathiam p. 251. 14.  μετηλλαχότος ABD, caeteri τετελευτηκότος  48. δυσὶ πλείω ABD, caeteri πλείω: sed verum demum δυσὶ πλεῖον vel πλειόνων  51. ταύτην] ταύτης AB

52. ὁ πορθμεύς D, πορθμεύς AB, caeteri πρωρεύς  54. τὸ] τὸν AFGQ  55. μυθοποιῆσαι] μυθολογῆσαι D  καθ'] κατὰ D  Ἅιδου] Ἅιδην ABD  57. περὶ] ὕπερ (sic) A  58. ἀλλὰ] ἅμα CGM  60. αὐτὴν] ταύτην BD  62. γνώμας] τὰς γνώμας πᾶσιν AD  64. δὲ ὁ] δ' D  κατηγορεῖν ABD, margo E, caeteri ἐγκαλεῖν  65. περιπίπτει] AB(D), caeteri ὑποπίπτει  69. οὐδὲν] οὐθὲν D



νοντες ἅπαντας ὁμοίως εὐγενεῖς εἶναι τοὺς κατ' Αἴγυπτον, τὴν δ' ἐκ παιδὸς ἀγωγὴν καὶ παιδείαν διελθόντες πάλιν ἀνδρὸς γεγονότος τὴν εὐσέβειαν καὶ δικαιοσύνην ἔτι δὲ τὴν ἐγκράτειαν καὶ τὰς ἄλλας ἀρετὰς αὐτοῦ διεξέρχονται, καὶ παρακαλοῦσι τοὺς κάτω θεοὺς σύνοικον δέξασθαι τοῖς εὐσεβέσι· τὸ δὲ πλῆθος ἐπευφημεῖ καὶ συναποσεμνύνει τὴν δόξαν τοῦ τετελευτηκότος, ὡς τὸν αἰῶνα διατρίβειν μέλλοντος καθ' Ἅιδου μετὰ τῶν εὐσεβῶν. τὸ δὲ σῶμα τιθέασιν οἱ μὲν ἰδίους ἔχοντες τάφους ἐν ταῖς ἀποδεδειγμέναις θήκαις, οἷς δ' οὐχ ὑπάρχουσι τάφων κτήσεις, καινὸν οἴκημα ποιοῦσι κατὰ τὴν ἰδίαν οἰκίαν, καὶ πρὸς τὸν ἀσφαλέστατον τῶν τοίχων ὀρθὴν
104 ἱστᾶσι τὴν λάρνακα. καὶ τοὺς κωλυομένους δὲ διὰ τὰς κατηγορίας ἢ πρὸς δάνειον ὑποθήκας θάπτεσθαι τιθέασι κατὰ τὴν ἰδίαν οἰκίαν· οὓς ὕστερον ἐνίοτε παίδων παῖδες εὐπορήσαντες καὶ τῶν τε συμβολαίων καὶ τῶν ἐγκλη-
μάτων ἀπολύσαντες μεγαλοπρεποῦς ταφῆς ἀξιοῦσι. σε- 93
μνότατα δὲ διείληπται παρ' Αἰγυπτίοις τὸ τοὺς γονεῖς ἢ τοὺς προγόνους φανῆναι περιττότερον τετιμηκότας εἰς τὴν αἰώνιον οἴκησιν μεταστάντας. νόμιμον δ' ἐστὶ παρ' αὐτοῖς καὶ τὸ διδόναι τὰ σώματα τῶν τετελευτηκότων γονέων εἰς ὑποθήκην δανείου· τοῖς δὲ μὴ λυσαμένοις ὄνειδός τε τὸ μέγιστον ἀκολουθεῖ καὶ μετὰ τὴν τελευτὴν στέρησις ταφῆς. θαυμάσαι δ' ἄν τις προςηκόντως τοὺς ταῦτα διηυκρινημένως διατάξαντας, ὅτι τὴν ἐπιείκειαν καὶ σπουδαιότητα τῶν ἠθῶν οὐκ ἐκ τῆς τῶν ζώντων ὁμιλίας μόνον ἀλλὰ καὶ τῆς τῶν τετελευτηκότων ταφῆς καὶ θεραπείας ἐφ' ὅσον ἦν ἐνδεχόμενον τοῖς ἀνθρώποις ἐνοικειοῦν ἐφιλοτιμήθησαν. οἱ μὲν γὰρ Ἕλληνες μύθοις πεπλασμένοις καὶ φήμαις διαβεβλημέναις τὴν

70. ἅπαντας] ἅπαντες BD  71. παιδὸς] παίδων FG  75. σύνοικον δέξασθαι] δέξασθαι σύνοικον D  76. συναποσεμνύνει] ἀποσεμνύνει D, ἀποσεμνύει AB  80. κτήσεις B(D)EFGQ, caeteri κτίσεις  καινὸν] κοινὸν BFGQ et correctus in marg. E  81. ἀσφαλέστατον] suspectum Reiskio, qui ἐπιφανέστατον vel καταφανέστατον, cui compares illud infra p. 128. 31. de Aethiopibus narratum  82. ἱστᾶσι] ἱστῶσι (-ιν D) ABD

104. 83. δάνειον ABDEFG, caeteri δανείων  ὑποθήκας] ὑποθήκης ABCD  85. ἐνίοτε asterisco notavit Stephanus, καὶ ποτὲ gl. C, ἐνίοτε etiam M praebere ait Wessel., quod non intelligo  87. ἀξιοῦσι AB(D), caeteri ἀξιοῦσιν  88. σεμνότατα] σεμνότατον D  93. τὸ μέγιστον ACD, caeteri μέγιστον  94. προςηκόντως ABD, caeteri καθηκόντως  95. διηυκρινημένως om. ADF, asterisco notavit Stephanus, praeteriit etiam Poggius  ὅτι ante τοὺς ταῦτα ponit D  96. σπουδαιότητα] τὴν σπουδαιότητα D  98. ταφῆς] τιμῆς A  100. φήμαις διαβεβλημέναις ABD, caeteri ποιηταῖς διαβεβλημένοις

περὶ τούτων πίστιν παρέδωκαν, τήν τε τῶν εὐσεβῶν τιμὴν καὶ τὴν τῶν πονηρῶν τιμωρίαν. τοιγαροῦν οὐχ οἷον ἰσχῦσαι δύναται ταῦτα προτρέψασθαι ἐπὶ τὸν ἄριστον βίον τοὺς ἀνθρώπους, ἀλλὰ τοὐναντίον ὑπὸ τῶν φαύλων χλευαζόμενα πολλῆς καταφρονήσεως τυγχάνουσι. παρὰ δὲ τοῖς Αἰγυπτίοις οὐ μυθώδους ἀλλ' ὁρατῆς τοῖς μὲν πονηροῖς τῆς κολάσεως, τοῖς δ' ἀγαθοῖς τῆς τιμῆς οὔσης, καθ' ἑκάστην ἡμέραν ἀμφότεροι τῶν ἑαυτοῖς προσηκόντων ὑπομιμνήσκονται, καὶ διὰ τούτου τοῦ τρόπου μεγίστη καὶ συμφορωτάτη διόρθωσις γίνεται τῶν ἠθῶν. κρατίστους δ' εἶναι τῶν νόμων ἡγητέον οὐκ ἐξ ὧν εὐπορωτάτους ἀλλ' ἐξ ὧν ἐπιεικεστάτους τοῖς ἤθεσι καὶ πολιτικωτάτους συμβήσεται γενέσθαι τοὺς ἀνθρώπους.

94 Ῥητέον δ' ἡμῖν καὶ περὶ τῶν γενομένων νομοθετῶν 105 κατ' Αἴγυπτον τῶν οὕτως ἐξηλλαγμένα καὶ παράδοξα νόμιμα καταδειξάντων. μετὰ γὰρ τὴν παλαιὰν τοῦ κατ' Αἴγυπτον βίου κατάστασιν τὴν μυθολογουμένην γεγονέναι ἐπί τε τῶν θεῶν καὶ τῶν ἡρώων πεῖσαί φασι πρῶτον ἐγγράπτοις νόμοις χρήσασθαι τὰ πλήθη [βιοῦν] τὸν Μνεύην, ἄνδρα καὶ τῇ ψυχῇ μέγαν καὶ τῷ βίῳ κοινότατον τῶν μνημονευομένων. προσποιηθῆναι δὲ αὐτῷ τὸν Ἑρμῆν δεδωκέναι τούτους, ὡς μεγάλων ἀγαθῶν αἰτίους ἐσομένους, καθάπερ παρ' Ἕλλησι ποιῆσαί φασιν ἐν μὲν τῇ Κρήτῃ Μίνωα, παρὰ δὲ Λακεδαιμονίοις Λυκοῦργον, τὸν μὲν παρὰ Διός, τὸν δὲ παρ' Ἀπόλλωνος

1. παρέδωκαν] παραδέδωκαν D, παραδεδώκασι B 2. τῶν πονηρῶν τιμωρίαν] τῶν ἀσεβῶν καὶ πονηρῶν τιμωρίαν A, τῶν ἀσεβῶν τιμωρίαν καὶ τῶν πονηρῶν B 3. οἷον] ὅσον FGQ ταῦτα προτρέψασθαι] προτρέψασθαι τοιαῦτα E 4. τοὺς ἀνθρώπους post προτρέψασθαι ponit D τῶν φαύλων] τῶν ἐναντίων ἤγουν τῶν φαύλων M 5. χλευαζόμενα BD, caeteri χλευαζόμενοι πολλῆς καταφρ. (D)E, caeteri καταφρ. 9. ὑπομιμνήσκονται] ὑπομιμνήσκουσι M 10. μεγίστη] ἡ μεγίστη D 11. εἶναι] οἶμαι AD, margo E 13. πολιτικωτάτους] ποικιλωτάτους FG, cum τοῖς ἤθεσι καὶ omisit E

105. 16. ἐξηλλαγμένα] ἐξηλλαγμένων B 18. γεγονέναι] γενέσθαι G Iustinus Martyr, Cyrillus 19. τε τῶν et τῶν om. Iustinus, Cyrillus 20. ἐγγράπτοις AB, ἐν γραπτοῖς CDEF, ἐν ἀγράπτοις G, *scriptis legibus* Poggius, ἀγράπτοις caeteri: ἐγγράφοις Iustinus, Cyrillus νόμοις om. AB: πρῶτον post id ponit Cyrillus χρήσασθαι] χρῆσθαι Iustinus βιοῦν] καὶ βιοῦν Iustinus, delet Reiskius 21. Μνεύην] *Menam* Poggius Wesselingii: nam meus *Minoem*, Μωϋσῆν Iustinus, Μωϋσῆν nescio an Μωσῆν F (nam Μωσῆν eum cum Iustino ferre ait Wessel.), omittunt AD, post κοινότατον ponit C κοινότατον] ἱκανώτατον Iustinus, καινότατον Cyrillus 22. τῶν μνημονευομένων] μνημονευόμενον Iustinus



φήσαντα τούτους εἰληφέναι. καὶ παρ' ἑτέροις δὲ πλείοσιν ἔθνεσι παραδέδοται τοῦτο τὸ γένος τῆς ἐπινοίας ὑπάρξαι καὶ πολλῶν ἀγαθῶν αἴτιον γενέσθαι τοῖς πεισθεῖσι· παρὰ μὲν γὰρ τοῖς Ἀριανοῖς Ζαθραύστην ἱστοροῦσι τὸν ἀγαθὸν δαίμονα προσποιήσασθαι τοὺς νόμους αὐτῷ διδόναι, παρὰ δὲ τοῖς ὀνομαζομένοις Γέταις τοῖς ἀπαθανατίζουσι Ζάμολξιν ὡσαύτως τὴν κοινὴν Ἑστίαν, παρὰ δὲ τοῖς Ἰουδαίοις Μωϋσῆν τὸν Ἰαῶ ἐπικαλούμενον θεόν, εἴτε θαυμαστὴν καὶ θείαν ὅλως ἔννοιαν εἶναι κρίναντας τὴν μέλλουσαν ὠφελήσειν ἀνθρώπων πλῆθος, εἴτε καὶ πρὸς τὴν ὑπεροχὴν καὶ δύναμιν τῶν εὑρεῖν λεγομένων τοὺς νόμους ἀποβλέψαντα τὸν ὄχλον μᾶλλον ὑπακούσεσθαι διαλαβόντας. δεύτερον δὲ νομοθέτην Αἰγύπτου φασὶ γενέσθαι Σάσυχιν, ἄνδρα συνέσει διαφέροντα. τοῦτον δὲ πρὸς τοῖς ὑπάρχουσι νόμοις ἄλλα τε προσθεῖναι καὶ τὰ περὶ τὴν τῶν θεῶν τιμὴν ἐπιμελέστατα διατάξαι. εὑρετὴν δὲ καὶ γεωμετρίας γενέσθαι καὶ τὴν περὶ τῶν ἄστρων θεωρίαν τε καὶ παρατήρησιν διδάξαι τοὺς ἐγχωρίους. τρίτον δὲ λέγουσι Σεσόωσιν τὸν βασιλέα μὴ μόνον τὰς 106 πολεμικὰς πράξεις ἐπιφανεστάτας κατεργάσασθαι τῶν κατ' Αἴγυπτον, ἀλλὰ καὶ περὶ τὸ μάχιμον ἔθνος νομοθεσίαν συστήσασθαι, καὶ τὰ ἀκόλουθα τὰ περὶ τὴν στρατείαν πάντα διακοσμῆσαι. τέταρτον δέ φασι γενέσθαι νομοθέτην Βόκχοριν τὸν βασιλέα, σοφόν τινα καὶ πανουργίᾳ διαφέροντα. τοῦτον οὖν διατάξαι τὰ περὶ τοὺς

27. φήσαντα] φοιτήσαντα FG εἰληφέναι] παρειληφέναι D
30. Ἀριανοῖς ABD Poggius, Ἀρειανοῖς FGQ, caeteri Ἀριμασποῖς Ζαθραύστην] *Zatraysten* Poggius Wesselingii, meus *Zatrastem* 31. τοὺς] τοὺς δὲ C 32. αὐτῷ] αὐτῶν C 33. τοῖς ἀπαθανατίζουσι (ἐπαθ- D) servarunt ABDE Ζάμολξιν] Ζάλμοξιν D 34. Μωϋσῆν AB Iustinus, Poggius, Μωϋσὴν D, caeteri Μωσῆν 35. Ἰαῶ] Ἰαὼ D, om. Iustinus et Cyrillus ἐπικαλ.] καλ. Iustinus et Cyrillus 36. κρίναντας] κρίναντες F et correctus in marg. G, κρίναντος Iustinus 37. εἴτε καὶ] εἴτε Iustinus 39. διαλαβόντας] διαλαβόντος Iustinus, qui et ὑπακούεσθαι 40. Αἰγύπτου] Αἰγύπτιοι ACDE, Αἰγύπτιον Iustinus, *apud Aegyptios* Poggius γενέσθαι] γεγονέναι Iustinus Σάσυχιν ADFGQ et pr. C, qui correctus Σασύχην, Σάγχιν B, Σάσυχνιν Iustinus, *Sasochis* Poggius, caeteri Σασύχην 42. προσθεῖναι] προστεθῆναι FG 43. διατάξαι] διατάξασθαι ABD 45. διδάξαι] δεῖξαι G τοὺς om. G ἐγχωρίους ABG, caeteri ἐπιχωρίους 46. Σεσόωσιν] Σεσόγχωσιν Iustinus, *Sesostrin* Poggius Wesselingii, *Soosim* meus

106. 48. περὶ om. Iustinus νομοθεσίαν συστήσασθαι] νομοθεσίαις στήσασθαι Iustinus 49. ἀκόλουθα τὰ] ἀκόλουθα D 50. πάντα] σύμπαντα D 51. νομοθέτην ante φασὶ ponit D, ante γενέσθαι, pro quo γεγενῆσθαι habet, Iustinus Βόκχοριν] *Bucchoris* Poggius

βασιλεῖς ἅπαντα καὶ τὰ περὶ τῶν συμβολαίων ἐξακριβῶσαι· γενέσθαι δ' αὐτὸν καὶ περὶ τὰς κρίσεις οὕτω συνετὸν ὥστε πολλὰ τῶν ὑπ' αὐτοῦ διαγνωσθέντων διὰ τὴν περιττότητα μνημονεύεσθαι μέχρι τῶν καθ' ἡμᾶς χρόνων. λέγουσι δ' αὐτὸν ὑπάρξαι τῷ μὲν σώματι παντελῶς ἀσθενῆ, τῷ δὲ τρόπῳ πάντων φιλοχρηματώτατον.

95 μετὰ δὲ τοῦτον προσελθεῖν λέγεται τοῖς νόμοις Ἄμασιν τὸν βασιλέα, ὃν ἱστοροῦσι τά τε περὶ τοὺς νομάρχας διατάξαι καὶ τὰ περὶ τὴν σύμπασαν οἰκονομίαν τῆς Αἰγύπτου. παραδέδοται δὲ συνετός τε γεγονέναι καθ' ὑπερβολὴν καὶ τὸν τρόπον ἐπιεικὴς καὶ δίκαιος· ὧν ἕνεκα καὶ τοὺς Αἰγυπτίους αὐτῷ περιτεθεικέναι τὴν ἀρχὴν οὐκ ὄντι γένους βασιλικοῦ. φασὶ δὲ καὶ τοὺς Ἠλείους σπουδάζοντας περὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα πρεσβευτὰς ἀποστεῖλαι πρὸς αὐτὸν ἐρωτήσοντας πῶς ἂν γένοιτο δικαιότατος. τὸν δ' εἰπεῖν, ἐὰν μηδεὶς Ἠλεῖος ἀγωνίζηται. Πολυκράτους δὲ τοῦ Σαμίων δυνάστου συντεθειμένου πρὸς αὐτὸν φιλίαν, καὶ βιαίως προσφερομένου τοῖς τε πολίταις καὶ τοῖς εἰς Σάμον καταπλέουσι ξένοις, τὸ μὲν πρῶτον λέγεται πρεσβευτὰς ἀποστείλαντα παρακαλεῖν αὐτὸν ἐπὶ τὴν μετριότητα· οὐ προσέχοντος δ' αὐτοῦ τοῖς λόγοις [εἰς] ἐπιστολὴν γράψαι τὴν φιλίαν καὶ τὴν ξενίαν τὴν πρὸς αὐτὸν διαλυόμενον· οὐ γὰρ βούλεσθαι λυπηθῆναι συντόμως ἑαυτόν, ἀκριβῶς εἰδότα ὅτι πλησίον ἐστὶν αὐτῷ τὸ κακῶς παθεῖν οὕτω προεστηκότι τῆς τυραννίδος. θαυμασθῆναι δ' αὐτόν φασι παρὰ τοῖς Ἕλλησι διά τε τὴν ἐπιείκειαν καὶ διὰ τὸ τῷ Πολυκράτει ταχέως ἀποβῆναι τὰ ῥηθέντα. ἕκτον δὲ λέγεται τὸν Ξέρξου πατέρα Δαρεῖον τοῖς νόμοις ἐπιστῆναι τοῖς τῶν Αἰγυπτίων. μισήσαντα γὰρ τὴν παρανομίαν τὴν εἰς τὰ κατ' Αἴγυπτον ἱερὰ γενομένην ὑπὸ Καμβύσου τοῦ προβασιλεύσαντος ζηλῶσαι βίον ἐπιεικῆ καὶ φιλόθεον. ὁμιλῆσαι μὲν γὰρ αὐτὸν τοῖς ἱερεῦσι τοῖς ἐν Αἰγύπτῳ καὶ μεταλαβεῖν τῆς τε θεολογίας αὐτῶν καὶ τῶν ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγεγραμμένων πράξεων· ἐκ δὲ τούτων ἱστορήσαντα 107

53. ἅπαντα ABD, caeteri πάντα 55. συνετὸν] δυνατὸν καὶ συνετὸν AB διαγνωσθέντων] γνωσθέντων AB 58. πάντων omisit D 60. λέγεται] λέγουσι D τοῖς νόμοις] τοῖς θεοῖς καὶ τοῖς νόμοις ABD 61. τε om. D Iustinus νομάρχας] μονάρχας B Poggius 67. Ὀλυμπιακὸν] Ὀλυμπικὸν DFG 69. δικαιότατος] δίκαιος G 75. τοῖς λόγοις] λόγοις τούτοις G εἰς delet Wesselingius 76. καὶ τὴν ξενίαν om. M, *societatem* solum Poggius 77. συντόμως ἑαυτόν ABD, caeteri omittunt ἑαυτόν 81. τῷ Πολυκράτει AC(D), caeteri Πολυκράτει 85. ζηλῶσαι] ζηλώσας B 86. αὐτὸν] αὐτοῖς ABD 87. μεταλαβεῖν] αὐτὸν subiiciunt ABDFG



τήν τε μεγαλοψυχίαν τῶν ἀρχαίων βασιλέων καὶ τὴν εἰς τοὺς ἀρχομένους εὔνοιαν μιμήσασθαι τὸν ἐκείνων βίον, καὶ διὰ τοῦτο τηλικαύτης τυχεῖν τιμῆς ὥσθ' ὑπὸ τῶν Αἰγυπτίων ζῶντα μὲν θεὸν προσαγορευθῆναι μόνον τῶν ἁπάντων βασιλέων, τελευτήσαντα δὲ τιμῶν τυχεῖν ἴσων τοῖς τὸ παλαιὸν νομιμώτατα βασιλεύσασι κατ' Αἴγυπτον. τὴν μὲν οὖν κοινὴν νομοθεσίαν συντελεσθῆναί φασιν ὑπὸ τῶν εἰρημένων ἀνδρῶν, καὶ δόξης τυχεῖν τῆς διαδεδομένης παρὰ τοῖς ἄλλοις· ἐν δὲ τοῖς ὕστερον χρόνοις πολλὰ τῶν καλῶς ἔχειν δοκούντων νομίμων φασὶ κινηθῆναι, Μακεδόνων ἐπικρατησάντων καὶ καταλυσάντων εἰς τέλος τὴν βασιλείαν τῶν ἐγχωρίων.

96 Τούτων δ' ἡμῖν διευκρινημένων ῥητέον ὅσοι τῶν παρ' Ἕλλησι δεδοξασμένων ἐπὶ συνέσει καὶ παιδείᾳ παρέβαλον εἰς Αἴγυπτον ἐν τοῖς ἀρχαίοις χρόνοις, ἵνα τῶν ἐνταῦθα νομίμων καὶ παιδείας μετάσχωσιν. οἱ γὰρ ἱερεῖς τῶν Αἰγυπτίων ἱστοροῦσιν ἐκ τῶν ἀναγραφῶν τῶν ἐν ταῖς ἱεραῖς βίβλοις παραβαλεῖν πρὸς αὐτοὺς τὸ παλαιὸν Ὀρφέα τε καὶ Μουσαῖον καὶ Μελάμποδα καὶ Δαίδαλον, πρὸς δὲ τούτοις Ὅμηρόν τε τὸν ποιητὴν καὶ Λυκοῦργον τὸν Σπαρτιάτην ἔτι δὲ Σόλωνα τὸν Ἀθηναῖον καὶ Πλάτωνα τὸν φιλόσοφον, ἐλθεῖν δὲ καὶ Πυθαγόραν τὸν Σάμιον καὶ τὸν μαθηματικὸν Εὔδοξον ἔτι δὲ Δημόκριτον τὸν Ἀβδηρίτην καὶ Οἰνοπίδην τὸν Χῖον. πάντων δὲ τούτων σημεῖα δεικνύουσι τῶν μὲν εἰκόνας, τῶν δὲ τόπων ἢ κατασκευασμάτων ὁμωνύμους προσηγορίας, ἔκ τε τῆς ἑκάστῳ ζηλωθείσης παιδείας ἀποδείξεις φέρουσι, συνιστάντες ἐξ Αἰγύπτου μετενηνοχέναι πάντα δι' ὧν παρὰ τοῖς Ἕλλησιν ἐθαυμάσθησαν. Ὀρφέα μὲν γὰρ τῶν μυστικῶν τελετῶν τὰ πλεῖστα καὶ τὰ περὶ τὴν ἑαυτοῦ πλάνην ὀργιαζόμενα καὶ τὴν τῶν ἐν Ἅιδου μυθοποιίαν ἀπενέγκασθαι. τὴν μὲν γὰρ Ὀσίριδος τελετὴν τῇ

107. 89. εὔνοιαν ABD, caeteri ἐπιείκειαν 91. προσαγορευθῆναι] προσαγορεύεσθαι AB 92. ἁπάντων ABD, caeteri ἄλλων 93. τὸ παλαιὸν νομιμώτατα] κατὰ τὰ παλαιὰ νόμιμα FGQ Poggius 96. διαδεδομένης] δεδομένης AB 98. κινηθῆναι] μετακινηθῆναι FGQ 2. χρόνοις om. A 5. παραβαλεῖν] παραλαβεῖν A αὐτοὺς] ἑαυτοὺς Eusebius τὸ παλαιὸν Ὀρφέα ABD, caeteri Ὀρφέα 10. μαθηματικὸν] μαθητικὸν FG 13. ὁμωνύμους] ὁμωνύμων ABD 15. μετενηνοχέναι] μετενηνέχθαι D πάντα] ταῦτα EQ 17. μυστικῶν] μουσικῶν F et correctus in marg. G: *hymnos deorum plurimos* Poggius ἑαυτοῦ] immo Cereris, ut monuit Wessel. 18. ὀργιαζόμενα] ὀργιζόμενα B μυθοποιίαν ABC(D)FGMQ Eusebius, *fictionem* Poggius, caeteri μυθολογίαν 19. τελετὴν] τελευτὴν FG τῇ] καὶ τὴν AB

Διονύσου τὴν αὐτὴν εἶναι, τὴν δὲ τῆς Ἴσιδος τῇ τῆς Δή-
μητρος ὁμοιοτάτην ὑπάρχειν, τῶν ὀνομάτων μόνον ἐνηλ-
λαγμένων. τὰς δὲ τῶν ἀσεβῶν ἐν Ἅιδου τιμωρίας καὶ
τοὺς τῶν εὐσεβῶν λειμῶνας καὶ τὰς παρὰ τοῖς πολλοῖς
εἰδωλοποιίας ἀναπεπλασμένας παρεισαγαγεῖν μιμησάμε-
νον τὰ γινόμενα περὶ τὰς ταφὰς τὰς κατ' Αἴγυπτον.
τὸν μὲν γὰρ ψυχοπομπὸν Ἑρμῆν κατὰ τὸ παλαιὸν νόμι-
μον παρ' Αἰγυπτίοις ἀναγαγόντα τοῦ Ἄπιδος τὸ σῶμα
μέχρι τινὸς παραδιδόναι τῷ περικειμένῳ τὴν τοῦ Κερ- 108
βέρου προτομήν· τοῦ δ' Ὀρφέως τοῦτο καταδείξαντος
παρὰ τοῖς Ἕλλησι τὸν Ὅμηρον ἀκολούθως τούτῳ θεῖναι
κατὰ τὴν ποίησιν

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσίν.

εἶτα πάλιν ὑποβάντα λέγειν

πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,
ἠδὲ παρ' Ἠελίοιο πύλας καὶ δῆμον Ὀνείρων
ἤισαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,
ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.

Ὠκεανὸν μὲν οὖν καλεῖν τὸν ποταμὸν διὰ τὸ τοὺς Αἰγυπτίους κατὰ τὴν ἰδίαν διάλεκτον Ὠκεανὸν λέγειν τὸν Νεῖλον, Ἡλίου δὲ πύλας τὴν πόλιν τῶν Ἡλιοπολιτῶν, λειμῶνα δ' ὀνομάζειν καὶ τὴν μυθολογουμένην οἴκησιν τῶν μετηλλαχότων τὸν παρὰ τὴν λίμνην τόπον τὴν καλουμένην μὲν Ἀχερουσίαν, πλησίον δὲ οὖσαν τῆς Μέμφεως, ὄντων περὶ αὐτὴν λειμώνων καλλίστων, ἕλους, καὶ λωτοῦ καὶ καλάμου· ἀκολούθως δ' εἰρῆσθαι καὶ τὸ κατοικεῖν τοὺς τελευτήσαντας ἐν τούτοις τοῖς τόποις διὰ τὸ τὰς τῶν Αἰγυπτίων ταφὰς τὰς πλείστας καὶ μεγίστας ἐνταῦθα γίνεσθαι, διαπορθμευομένων μὲν τῶν νεκρῶν διά τε τοῦ ποταμοῦ καὶ τῆς Ἀχερουσίας λίμνης, τιθεμένων δὲ τῶν σωμάτων εἰς τὰς ἐνταῦθα κειμένας θήκας. συμφωνεῖν δὲ καὶ τἄλλα τὰ παρὰ τοῖς Ἕλλησι

21. ἐνηλλαγμένων] ἐναλλαττομένων CEQ 24. τὰ γινόμενα ABD, τὰς C, caeteri τὰ 25. ψυχοπομπὸν] ψυχόπομπον D, τοῦτον γὰρ ἔλεγον τὰς τῶν ἀνθρώπων ψυχὰς διαβιβάζειν εἰς Ἅιδην addit E 27. τοῦ Ἄπιδος τὸ σῶμα] τὸ τοῦ Ἄπιδος σῶμα D
108. 29. προτομὴν] περιτομὴν Eusebius, καὶ εἰκόνα gl. C 33. μνηστήρων A(D), caeteri ἡρώων 34. ὑποβάντα BD, caeteri προβάντα 35. πὰρ δ' ἴσαν] παραδεσπεισαν D 36. ὀνείρων] ἡρώνων C 38. καμόντων] καμνόντων B 39. καλεῖν] καλεῖ BDE 40. Ὠκεανὸν] Ὠκεάνην Wesselingius 41. τῶν] τὴν τῶν D Ἡλιοπολιτῶν AD, caeteri Ἡλιουπολιτῶν 42. δ' ὀνομάζειν Eichstadius: libri δὲ νομίζειν (-ει CE) καὶ omisit D 45. ἕλους ABD, caeteri ἑλῶν 48. καὶ μεγίστας om. FG Poggius, asterisco notavit Stephanus



καθ' Ἅιδου μυθολογούμενα τοῖς ἔτι νῦν γινομένοις κατ'
Αἴγυπτον. τὸ μὲν γὰρ διακομίζον τὰ σώματα πλοῖον
βᾶριν καλεῖσθαι, τὸ δ' ἐπίβαθρον νόμισμα τὸν ὀβολὸν
τῷ πορθμεῖ δίδοσθαι, καλουμένῳ κατὰ τὴν ἐγχώριον
διάλεκτον χάρωνι. εἶναι δὲ λέγουσι πλησίον τῶν τόπων
τούτων καὶ σκοτίας Ἑκάτης ἱερὸν καὶ πύλας Κωκυτοῦ
καὶ Λήθης διειλημμένας χαλκέοις ὀχεῦσιν. ὑπάρχειν δὲ
καὶ ἄλλας πύλας Ἀληθείας, καὶ πλησίον τούτων εἴδωλον
ἀκέφαλον ἑστάναι Δίκης. πολλὰ δὲ καὶ τῶν ἄλλων τῶν 97
μεμυθοποιημένων διαμένειν παρ' Αἰγυπτίοις, τηρουμέ-
νης ἔτι τῆς προσηγορίας καὶ τῆς ἐν τῷ πράττειν ἐνερ-
γείας. ἐν μὲν γὰρ Ἀκανθῶν πόλει πέραν τοῦ Νείλου
109 κατὰ τὴν Λιβύην ἀπὸ σταδίων ἑκατὸν καὶ εἴκοσι τῆς
Μέμφεως πίθον εἶναι τετρημένον, εἰς ὃν τῶν ἱερέων ἑξήκοντα καὶ τριακοσίους καθ' ἑκάστην ἡμέραν ὕδωρ φέρειν εἰς αὐτὸν ἐκ τοῦ Νείλου. τήν τε περὶ τὸν Ὄκνον μυθοποιίαν δείκνυσθαι πλησίον κατά τινα πανήγυριν συντελουμένην, πλέκοντος μὲν ἑνὸς ἀνδρὸς ἀρχὴν σχοινίου μακράν, πολλῶν δ' ἐκ τῶν ὄπισθεν λυόντων τὸ πλεκόμενον. Μελάμποδα δέ φασι μετενεγκεῖν ἐξ Αἰγύπτου τὰ Διονύσῳ νομιζόμενα τελεῖσθαι παρὰ τοῖς Ἕλλησι καὶ τὰ περὶ Κρόνου μυθολογούμενα καὶ τὰ περὶ τῆς Τιτανομαχίας καὶ τὸ σύνολον τὴν περὶ τὰ πάθη τῶν θεῶν ἱστορίαν. τὸν δὲ Δαίδαλον λέγουσιν ἀπομιμήσασθαι τὴν τοῦ λαβυρίνθου πλοκὴν τοῦ διαμένοντος μὲν μέχρι τοῦ νῦν καιροῦ, οἰκοδομηθέντος δέ, ὡς μέν τινές φασιν, ὑπὸ Μένδητος, ὡς δ' ἔνιοι λέγουσιν, ὑπὸ Μάῤῥου τοῦ βασιλέως, πολλοῖς ἔτεσι πρότερον τῆς Μίνω βασιλείας. τόν τε ῥυθμὸν τῶν ἀρχαίων κατ' Αἴγυπτον ἀνδριάντων τὸν αὐτὸν εἶναι τοῖς ὑπὸ Δαιδάλου

52. καθ' Ἅιδου] καθόλου ABD 53. γινομένοις] καλουμένοις FG 54. διακομίζον τὰ σώματα πλοῖον] διακομίζων τῷ σώματι πλεῖον F 55. νόμισμα τὸν ὀβολὸν delet Schaeferus ad Bos. p. 322., νόμισμα Eichstadius, quod omisit Poggius 59. χαλκέοις] χαλκείοις AD: v. ad p. 122. 82. ὀχεῦσιν] ὀχεύειν FG
62. πολλὰ] πολλοὶ ABD τῶν ἄλλων ABD, caeteri ἄλλα μεμυθοποιημένων ABD, caeteri μεμυθολογημένων 63. τηρουμένης] διατηρουμένης BD 64. πράττειν] θάπτειν B
109. 66. εἴκοσι] πεντήκοντα GMQ Poggius τετρημένον] τετριμμένον A 69. Ὄκνον Stephanus: libri ὄνον 71. ἐκ τῶν] ἑκάστων FG ὄπισθεν] ὀπίσω ABD 78. καιροῦ om. FG, asterisco notavit Stephanus 79. ὑπὸ] ἀπὸ FG Μένδητος] Μενδήτου ABD, *aedificasse dicunt Mendetum* Poggius
80. Μάῤῥου ACD, Βάρωνος FGMQ, *Maronem* Poggius Wesselingii, *Naronem* meus, caeteri Μάρου: caedem fere varietates supra p. 75. 17.: conf. autem Stephani annot. ad p. 70. 59. 81. Μίνω ABD, Μίνῳ Eusebius, caeteri Μίνωος: *Saturnus* Poggius 82. ῥυθμὸν] *numerus* Poggius

κατασκευασθεῖσι παρὰ τοῖς Ἕλλησι. τὸ δὲ κάλλιστον πρόπυλον ἐν Μέμφει τοῦ Ἡφαιστείου Δαίδαλον ἀρχιτεκτονῆσαι, καὶ θαυμασθέντα τυχεῖν εἰκόνος ξυλίνης κατὰ τὸ προειρημένον ἱερὸν ταῖς ἰδίαις χερσὶ δεδημιουργημένης, πέρας δὲ διὰ τὴν εὐφυΐαν ἀξιωθέντα μεγάλης δόξης καὶ πολλὰ προσεξευρόντα τυχεῖν ἰσοθέων τιμῶν· κατὰ γὰρ μίαν τῶν πρὸς τῇ Μέμφει νήσων ἔτι καὶ νῦν ἱερὸν εἶναι Δαιδάλου τιμώμενον ὑπὸ τῶν ἐγχωρίων. τῆς δ' Ὁμήρου παρουσίας ἄλλα τε σημεῖα φέρουσι καὶ μάλιστα τὴν τῆς Ἑλένης γενομένην παρὰ Μενελάῳ Τηλεμάχου φαρμακείαν καὶ λήθην τῶν συμβεβηκότων κακῶν. τὸ γὰρ νηπενθὲς φάρμακον, ὃ λαβεῖν φησιν ὁ ποιητὴς τὴν Ἑλένην ἐκ τῶν Αἰγυπτίων Θηβῶν παρὰ τῆς Πολυδάμνης τῆς Θῶνος γυναικός, ἀκριβῶς ἐξητακὼς φαίνεται· ἔτι γὰρ καὶ νῦν τὰς ἐν ταύτῃ γυναῖκας χρῆσθαι τῇ προειρημένῃ δυνάμει λέγουσι, καὶ παρὰ μόναις ταῖς Διοσπολίτισιν ἐκ παλαιῶν χρόνων ὀργῆς καὶ λύπης φάρμακον εὑρῆσθαί φασι· τὰς δὲ Θήβας καὶ Διόσπολιν τὴν αὐτὴν ὑπάρχειν. τήν τε Ἀφροδίτην ὀνομάζεσθαι παρὰ τοῖς ἐγχωρίοις χρυσῆν ἐκ παλαιᾶς παραδόσεως, καὶ πεδίον εἶναι καλούμενον χρυσῆς Ἀφροδίτης περὶ τὴν ὀνο- 110
μαζομένην Μώμεμφιν. τά τε περὶ τὸν Δία καὶ τὴν Ἥραν μυθολογούμενα περὶ τῆς συνουσίας καὶ τὴν εἰς Αἰθιοπίαν ἐκδημίαν ἐκεῖθεν αὐτὸν μετενεγκεῖν· κατ' ἐνιαυτὸν γὰρ παρὰ τοῖς Αἰγυπτίοις τὸν νεὼν τοῦ Διὸς περαιοῦσθαι τὸν ποταμὸν εἰς τὴν Λιβύην, καὶ μεθ' ἡμέρας τινὰς πάλιν ἐπιστρέφειν, ὡς ἐξ Αἰθιοπίας τοῦ θεοῦ παρόντος· τήν τε συνουσίαν τῶν θεῶν τούτων, ἐν ταῖς πανηγύρεσι τῶν ναῶν ἀνακομιζομένων ἀμφοτέρων εἰς ὄρος ἄνθεσι παντοίοις ὑπὸ τῶν ἱερέων κατεστρωμένον.

85. Ἡφαιστείου] Ἡφαιστίου D, *templi Vulcani* Poggius, caeteri Ἡφαίστου 93. Τηλεμάχου] Τηλεμάχῳ Eusebius 94. κακῶν om. FG, asterisco notavit Stephanus, ὅτι τῷ ἀνδρὶ Μενελάῳ δέδωκεν ἡ Ἑλένη φάρμακον, δι' οὗ ἐπιλήσμων γέγονε πάντων ὧν ἔπαθε δι' αὐτὴν addit E 96. Θηβῶν om. Eusebius τῆς om. D Πολυδάμνης Poggius Wesselingii: nam meus *Pollinia*, Eusebius, Πολυδάμνας Iustinus M. p. 25. ed. Steph., Πολύμνης G, caeteri Πολυμνήστης: Πολυμνήτης Eusebii MS. regius 97. Θῶνος] Θόνιος AB, Θώνιος DF, *Thomii* Poggius, Θέωνος Iustinus ἐξητακὼς] ἐξηταχὼς D 98. χρῆσθαι post δυνάμει ponit D, qui et λέγουσιν 99. Διοσπολίτισιν B(D) Eusebius, caeteri Διοπολίτισιν: *Heliopolitas* Poggius, qui etiam deinde *Heliopolin* pro Διόσπολιν et supra p. 54. 35. *Solis* pro Διὸς

110. 4. περὶ] παρὰ Eusebius 5. Μώμεμφιν (D) Eusebius, caeteri Μέμφιν 6. τὴν — ἐκδημίαν] τῆς — ἐκδημίας ABD Poggius 8. νεὼν] νεὼ D 12. παντοίοις] παντοίων FG 13. κατεστρωμένον] κατεστρωμένων D, κατεστεμμένον Eusebius



καὶ Λυκοῦργον δὲ καὶ Πλάτωνα καὶ Σόλωνα πολλὰ 98
τῶν ἐξ Αἰγύπτου νομίμων εἰς τὰς ἑαυτῶν κατατάξαι νομοθεσίας. Πυθαγόραν τε τὰ κατὰ τὸν ἱερὸν λόγον καὶ τὰ κατὰ γεωμετρίαν θεωρήματα καὶ τὰ περὶ τοὺς ἀριθμούς, ἔτι δὲ τὴν εἰς πᾶν ζῷον τῆς ψυχῆς μεταβολὴν μαθεῖν παρ' Αἰγυπτίων. ὑπολαμβάνουσι δὲ καὶ Δημόκριτον παρ' αὐτοῖς ἔτη διατρῖψαι πέντε καὶ πολλὰ διδαχθῆναι τῶν κατ' ἀστρολογίαν. τόν τε Οἰνοπίδην ὁμοίως συνδιατρίψαντα τοῖς ἱερεῦσι καὶ ἀστρολόγοις μαθεῖν ἄλλα τε καὶ μάλιστα τὸν ἡλιακὸν κύκλον ὡς λοξὴν μὲν ἔχει τὴν πορείαν, ἐναντίαν δὲ τοῖς ἄλλοις ἄστροις τὴν φορὰν ποιεῖται· παραπλησίως δὲ καὶ τὸν Εὔδοξον ἀστρολογήσαντα παρ' αὐτοῖς καὶ πολλὰ τῶν χρησίμων εἰς τοὺς Ἕλληνας ἐκδόντα τυχεῖν ἀξιολόγου δόξης. τῶν τε ἀγαλματοποιῶν τῶν παλαιῶν τοὺς μάλιστα διωνομασμένους διατετριφέναι παρ' αὐτοῖς Τηλεκλέα καὶ Θεόδωρον, τοὺς Ῥοίκου μὲν υἱούς, κατασκευάσαντας δὲ τοῖς Σαμίοις τὸ τοῦ Ἀπόλλωνος τοῦ Πυθίου ξόανον. τοῦ γὰρ ἀγάλματος ἐν Σάμῳ μὲν ὑπὸ Τηλεκλέους ἱστορεῖται τὸ ἥμισυ δημιουργηθῆναι, κατὰ δὲ τὴν Ἔφεσον ὑπὸ τοῦ ἀδελφοῦ Θεοδώρου τὸ ἕτερον μέρος συντελεσθῆναι· συντεθέντα δὲ πρὸς ἄλληλα τὰ μέρη συμφωνεῖν οὕτως ὥστε δοκεῖν ὑφ' ἑνὸς τὸ πᾶν σῶμα κατεσκευάσθαι. τοῦτο δὲ τὸ γένος τῆς ἐργασίας παρὰ μὲν τοῖς Ἕλλησι μηδαμῶς ἐπιτηδεύεσθαι, παρὰ δὲ τοῖς Αἰγυπτίοις μάλιστα συντελεῖσθαι. παρ' ἐκείνοις γὰρ οὐκ ἀπὸ τῆς κατὰ τὴν ὅρασιν φαντασίας τὴν συμμετρίαν τῶν ἀγαλμάτων κρίνεσθαι, καθάπερ παρὰ τοῖς Ἕλλησιν, ἀλλ' ἐπειδὰν τοὺς λίθους κατακάνωσι καὶ μερίσαντες κατεργάσωνται, τὸ τηνικαῦτα τὸ ἀνάλογον ἀπὸ τῶν ἐλαχίστων ἐπὶ τὰ μέγιστα λαμβάνεσθαι. τοῦ γὰρ παντὸς

17. τὰ κατὰ γ.] τὰ om. FG, asterisco notavit Stephanus 20. διατρῖψαι] διαπρέψαι D 21. κατ'] κατὰ τὴν D 23. ἡλιακὸν] ἱερὸν ἡλιακὸν D: Poggius pro his μαθεῖν — 28. δόξης *et solis circulum et aliorum cursus astrorum zodiacumque ac multa alia ab eis percepta ad Graecos digna laude attulisse*: quem suspicari licet ζῳδιακὸν pro Εὔδοξον legisse 24. λοξὴν] λόβην F 25. τὴν — 26. αὐτοῖς om. F 27. ἀξιολόγου] τῆς ἀξιολόγου Eusebius 28. τῶν τε ἀγαλματοποιῶν παλαιῶν] πάντων δὲ τῶν παλαιῶν ἀγαλματοποιῶν Eusebius: estque aut illius exemplo παλαιῶν ante ἀγαλματοποιῶν ponendum aut articulo instruendum 30. Τηλεκλέα] Τηρακλέα Eusebius 33. ἱστορεῖται] ἱστορεῖσθαι A, ἱστορῆσαι B κατὰ — 35. συντελεσθῆναι om. F

36. οὕτως ὥστε]. οὕτως τε D 37. σῶμα] ἔργον D κατεσκευάσθαι] συντετελέσθαι D 39. συντελεῖσθαι] συντετελέσθαι A 40. τὴν συμμετρίαν om. F 42. κατακάνωσι] κατακλινῶσι AB, κατακλίνωσιν D, κατακενῶσι FG: legebatur κατακαίνωσι

σώματος τὴν κατασκευὴν εἰς ἓν καὶ εἴκοσι μέρη καὶ 111 προςέτι τέταρτον διαιρουμένους τὴν ὅλην ἀποδιδόναι συμμετρίαν τοῦ ζώου. διόπερ ὅταν περὶ τοῦ μεγέθους οἱ τεχνῖται πρὸς ἀλλήλους συνθῶνται, χωρισθέντες ἀπ' ἀλλήλων σύμφωνα κατασκευάζουσι τὰ μεγέθη τῶν ἔργων οὕτως ἀκριβῶς ὥςτε ἔκπληξιν παρέχειν τὴν ἰδιότητα τῆς πραγματείας αὐτῶν. τὸ δ' ἐν τῇ Σάμῳ ξόανον συμφώνως τῇ τῶν Αἰγυπτίων φιλοτεχνίᾳ κατὰ τὴν κορυφὴν διχοτομούμενον διορίζειν τοῦ ζώου τὸ μέσον μέχρι τῶν αἰδοίων, ἰσάζον ὁμοίως ἑαυτῷ πάντοθεν· εἶναι δ' αὐτὸ λέγουσι κατὰ τὸ πλεῖστον παρεμφερὲς τοῖς Αἰγυπτίοις, ὡς ἂν τὰς μὲν χεῖρας ἔχον παρατεταμένας, τὰ δὲ σκέλη διαβεβηκότα.

Περὶ μὲν οὖν τῶν κατ' Αἴγυπτον ἱστορουμένων καὶ μνήμης ἀξίων ἀρκεῖ τὰ ῥηθέντα· ἡμεῖς δὲ κατὰ τὴν ἐν ἀρχῇ τῆς βίβλου πρόθεσιν τὰς ἑξῆς πράξεις καὶ μυθολογίας ἐν τῇ μετὰ ταύτην διέξιμεν, ἀρχὴν ποιησάμενοι τὰ κατὰ τὴν Ἀσίαν τοῖς Ἀσσυρίοις πραχθέντα.

111. 47. συμμετρίαν τοῦ ζώου ABD, caeteri συμμετρίαν 52. συμφώνως] συμφωνεῖ ABD 53. κορυφὴν Rhodomannus, a capite Poggius: libri ὀροφὴν 59. ἐν ἀρχῇ AB(D), ἐξ ἀρχῆς G, caeteri ἀρχὴν τῆς βίβλου] τοῦ λόγου AB 61. τὰ κατὰ τὴν Ἀσίαν τοῖς] τῶν κατὰ τὴν Ἀσίαν τὰ τοῖς CE 62. πραχθέντα] addunt ABD περὶ μὲν οὖν τῶν κατ' Αἴγυπτον ἱστορουμένων καὶ μνήμης ἀξίων ἀρκεσθέντες ταύτην μὲν τὴν βίβλον (βύβλον D, qui „pro βίβλος et βιβλίον semper scribit βύβλος et βυβλίον, quod semel annotasse sufficiat.“ Ed. Bipont.) αὐτοῦ καταλήξομεν. τὴν δ' ἐχομένην ταύτης ἀναπληρώσομεν ταῖς ἄλλαις βαρβαρικαῖς πράξεσιν ἄλλοις ἔθνεσι συντελεσθείσαις ἐν τοῖς ἄλλοις χρόνοις.

112

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗΙ ΔΕΥΤΕΡΑΙ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

α΄. Περὶ Νίνου τοῦ πρώτου βασιλεύσαντος κατὰ τὴν Ἀσίαν καὶ τῶν ὑπ' αὐτοῦ πραχθέντων.
β΄. Περὶ τῆς Σεμιράμιδος γενέσεως καὶ τῆς περὶ αὐτὴν αὐξήσεως.
γ΄. Ὡς Νίνος ὁ βασιλεὺς ἔγημε τὴν Σεμίραμιν διὰ τὴν ἀρετὴν αὐτῆς.
δ΄. Ὡς Σεμίραμις τελευτήσαντος Νίνου διαδεξαμένη τὴν βασιλείαν πολλὰς καὶ μεγάλας πράξεις ἐπετελέσατο.
ε΄. Κτίσις Βαβυλῶνος καὶ τῆς κατ' αὐτὴν κατασκευῆς ἀπαγγελία.
ς΄. Περὶ τοῦ κρεμαστοῦ λεγομένου κήπου καὶ τῶν ἄλλων τῶν κατὰ τὴν Βαβυλωνίαν παραδόξων.
ζ΄. Στρατεία Σεμιράμιδος εἰς Αἴγυπτον καὶ Αἰθιοπίαν ἔτι δὲ τὴν Ἰνδικήν.
η΄. Περὶ τῶν ἀπογόνων ταύτης τῶν βασιλευσάντων κατὰ τὴν Ἀσίαν καὶ τῆς κατ' αὐτοὺς τρυφῆς τε καὶ ῥαθυμίας.
θ΄. Ὡς ἔσχατος Σαρδανάπαλος ὁ βασιλεὺς διὰ τρυφὴν ἀπέβαλε τὴν ἀρχὴν ὑπὸ Ἀρβάκου τοῦ Μήδου.
ι΄. Περὶ τῶν Χαλδαίων καὶ τῆς παρατηρήσεως τῶν ἄστρων.

112. inscr. τάδε — βίβλων] πίναξ τῆς δευτέρας τῶν Δ. βίβλων A, Δ. Σ. βιβλιοθήκης ἱστορικῆς βιβλίον β΄. τάδε ἔνεστιν ἐν τῇ δευτέρᾳ τῶν Δ. β. B, Δ. Σ. β. ἱ. τῶν (τῆς?) εἰς β΄ (immo μ΄) τὸ δεύτερον CE 5. Νίνος] Νῖνος scribebatur hic et infra 7. Νίνου] τοῦ Νίνου A 11. ἀπαγγελία om. AD 12. περὶ — 13. παραδόξων om. Poggius ἄλλων τῶν D, caeteri ἄλλων 13. τὴν om. D 16. τῶν β.] legebatur καὶ τῶν β. 17. κατ' αὐτοὺς AB(D), κατ' Αἰγυπτίους CE, caeteri κατ' αὐτὴν 20. Ἀρβάκου] Βάκου CDE et fortasse AB 21. περὶ — ἄστρων hic ponunt A(D), post (v. 23.) τοῖς ἱστοριογράφοις caeteri

ιά. Περὶ τῶν βασιλέων τῶν κατὰ τὴν Μηδίαν καὶ τῆς περὶ τούτων διαφωνίας παρὰ τοῖς ἱστοριογράφοις.

ιβ'. Περὶ τοποθεσίας τῆς Ἰνδικῆς καὶ τῶν κατὰ τὴν χώραν φυομένων καὶ τῶν παρ' Ἰνδοῖς νομίμων.

ιγ'. Περὶ Σκυθῶν καὶ Ἀμαζόνων καὶ Ὑπερβορέων.

ιδ'. Περὶ τῆς Ἀραβίας καὶ τῶν κατ' αὐτὴν φυομένων καὶ μυθολογουμένων.

ιέ. Περὶ τῶν νήσων τῶν ἐν τῇ μεσημβρίᾳ κατὰ τὸν Ὠκεανὸν εὑρεθεισῶν.

23. παρὰ τοῖς ἱστοριογράφοις omisit D 24. περὶ τοποθεσίας] τοποθεσία CDEG et fortasse AB: Poggius *descriptio Indiae et de his quae* etc.

---

113 *ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ*

# *ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ*

## *ΒΙΒΛΟΣ ΔΕΥΤΕΡΑ.*

Ἡ μὲν οὖν πρὸ ταύτης βίβλος τῆς ὅλης συντάξεως οὖσα πρώτη περιέχει τὰς κατ' Αἴγυπτον πράξεις· ἐν αἷς ὑπάρχει τά τε περὶ τῶν θεῶν παρ' Αἰγυπτίοις μυθολογούμενα καὶ περὶ τῆς τοῦ Νείλου φύσεως καὶ τἄλλα τὰ περὶ τοῦ ποταμοῦ τούτου παραδοξολογούμενα, πρὸς δὲ τούτοις περί τε τῆς κατ' Αἴγυπτον χώρας καὶ τῶν ἀρχαίων βασιλέων τὰ ὑφ' ἑκάστου πραχθέντα. ἑξῆς δὲ κατετάχθησαν αἱ κατασκευαὶ τῶν πυραμίδων τῶν ἀναγραφομένων ἐν τοῖς ἑπτὰ θαυμαζομένοις ἔργοις. ἔπειτα διήλθομεν περὶ τῶν νόμων καὶ τῶν δικαστηρίων, ἔτι δὲ τῶν ἀφιερωμένων παρ' Αἰγυπτίοις ζῴων τὰ θαυμαζόμενα, πρὸς δὲ τούτοις τὰ περὶ τῶν τετελευτηκότων νόμιμα, καὶ τῶν Ἑλλήνων ὅσοι τῶν ἐπὶ παιδείᾳ θαυμαζομένων παραβαλόντες εἰς Αἴγυπτον καὶ πολλὰ τῶν χρησίμων μαθόντες μετήνεγκαν εἰς τὴν Ἑλλάδα. ἐν ταύτῃ δὲ ἀναγράψομεν τὰς κατὰ τὴν Ἀσίαν γενομένας πράξεις ἐν τοῖς ἀρχαίοις χρόνοις, τὴν ἀρχὴν ἀπὸ τῆς τῶν Ἀσσυρίων ἡγεμονίας ποιησάμενοι.

Τὸ παλαιὸν τοίνυν κατὰ τὴν Ἀσίαν ὑπῆρχον ἐγχώριοι βασιλεῖς, ὧν οὔτε πρᾶξις ἐπίσημος οὔτε ὄνομα

113. 1. οὖν om. AD 4. περὶ τῶν θεῶν] κατὰ θεῶν καὶ τὰ περὶ αὐτῶν AB 7. τούτου om. A 10. αἱ] αἵ τε D 12. ἔπειτα] ἔπειτα δὲ D περὶ τῶν νόμων] καὶ τῶν περὶ αὐτῶν addunt AB 14. ζῴων post ἀφιερωμένων ponit D 18. ἀναγράψομεν] ἀνεγράψαμεν E 22. πρᾶξις ἐπίσημος — ὄνομα] πράξεις ἐπίσημοι — ὀνόματα Eusebius p. 37. et Syncellus p. 166.: utor autem Eusebio qui ab Maio latinus editus est, non qui graecus ab Scaligero; Syncello Goari, quatenus nititur auctoritate codicum Parisinorum 1711. et 1764.

μνημονεύεται. πρῶτος δὲ τῶν εἰς ἱστορίαν καὶ μνήμην παραδεδομένων Νῖνος ὁ βασιλεὺς τῶν Ἀσσυρίων μεγάλας πράξεις ἐπετελέσατο· περὶ οὗ τὰ κατὰ μέρος ἀναγράφειν πειρασόμεθα. γενόμενος γὰρ φύσει πολεμικὸς καὶ ζηλωτὴς τῆς ἀρετῆς καθώπλισε τῶν νέων τοὺς κρατίστους· γυμνάσας δ' αὐτοὺς πλείονα χρόνον συνήθεις ἐποίησε πάσῃ κακοπαθείᾳ καὶ πολεμικοῖς κινδύνοις. συστησάμενος οὖν στρατόπεδον ἀξιόλογον συμμαχίαν ἐποιήσατο πρὸς Ἀριαῖον τὸν βασιλέα τῆς Ἀραβίας, ἣ κατ' ἐκείνους τοὺς χρόνους ἐδόκει πληθύειν ἀλκίμων ἀνδρῶν. ἔστι δὲ καὶ καθόλου τοῦτο τὸ ἔθνος φιλελεύθερον καὶ κατ' οὐδένα τρόπον προςδεχόμενον ἔπηλυν ἡγεμόνα· διόπερ οὔθ' οἱ τῶν Περσῶν βασιλεῖς ὕστερον οὔθ' οἱ τῶν Μακεδόνων, καίπερ πλεῖστον ἰσχύσαντες, 114
ἠδυνήθησαν τοῦτο τὸ ἔθνος καταδουλώσασθαι. καθόλου γὰρ ἡ Ἀραβία δυςπολέμητός ἐστι ξενικαῖς δυνάμεσι διὰ τὸ τὴν μὲν ἔρημον αὐτῆς εἶναι, τὴν δὲ ἄνυδρον καὶ διειλημμένην φρέασι κεκρυμμένοις καὶ μόνοις τοῖς ἐγχωρίοις γνωριζομένοις. ὁ δ' οὖν τῶν Ἀσσυρίων βασιλεὺς Νῖνος τὸν δυναστεύοντα τῶν Ἀράβων παραλαβὼν ἐστράτευσε μετὰ πολλῆς δυνάμεως ἐπὶ Βαβυλωνίους κατοικοῦντας ὅμορον χώραν. κατ' ἐκείνους δὲ τοὺς χρόνους ἡ μὲν νῦν οὖσα Βαβυλὼν οὐκ ἦν ἐκτισμένη, κατὰ δὲ τὴν Βαβυλωνίαν ὑπῆρχον ἄλλαι πόλεις ἀξιόλογοι. ῥᾳδίως δὲ χειρωσάμενος τοὺς ἐγχωρίους διὰ τὸ τῶν ἐν τοῖς πολέμοις κινδύνων ἀπείρως ἔχειν, τούτοις μὲν ἔταξε τελεῖν κατ' ἐνιαυτὸν ὡρισμένους φόρους. τὸν δὲ βασιλέα τῶν καταπολεμηθέντων λαβὼν μετὰ τῶν τέκνων αἰχμάλωτον ἀπέκτεινε. μετὰ δὲ ταῦτα πολλοῖς πλήθεσιν εἰς τὴν Ἀρμενίαν ἐμβαλὼν καί τινας τῶν πόλεων ἀναστάτους ποιήσας κατεπλήξατο τοὺς ἐγχωρίους· διόπερ ὁ βασιλεὺς αὐτῶν Βαρζάνης, ὁρῶν ἑαυτὸν οὐκ ἀξιόμαχον ὄντα, μετὰ πολλῶν δώρων ἀπήντησε καὶ πᾶν ἔφησε

23. εἰς ἱστορίαν καὶ μνήμην] ἱστορίᾳ καὶ μνήμῃ Syncellus 24. παραδεδομένων] παραδιδομένων Syncellus, παραδεδομένων ἡμῖν D, παραδεδομένων εἰς ἡμᾶς Gemistus 27. ζηλωτὴς] ἐπιθυμητὴς M τῆς ἀρετῆς ADE, caeteri ἀρετῆς 31. ἐποιήσατο AB(D), caeteri συνεστήσατο Ἀριαῖον] Ἀριβαῖον B τὸν om. Gemistus ἣ] ὃς AD 32. πληθύειν] πληθύνειν B 33. καὶ καθόλου] καθόλου Gemistus

114. 36. ἰσχύσαντες] χρόνον addit Gemistus ἠδυνήθησαν] ἐδυνήθησαν ed. Wesselingii tacente D 38. ἐστι Gemistus: libri ἐστιν 39. διειλημμένην] διειλαγμένην Gemistus 52. Ἀρμενίαν] ἁρμονίαν Gemistus πόλεων] πολέμων Gemistus 54. αὐτῶν Βαρζάνης omisit Gemistus Wesselingii, non meus ἑαυτὸν] αὐτὸν D 55. δώρων] δυνάμεων Gemistus ἔφησε] ἔφη Gemistus



ποιήσειν τὸ προςταττόμενον. ὁ δὲ Νῖνος μεγαλοψύχως αὐτῷ χρησάμενος τῆς τε Ἀρμενίας συνεχώρησεν ἄρχειν καὶ φίλον ὄντα πέμπειν στρατιὰν καὶ τὴν χορηγίαν τῷ σφετέρῳ στρατοπέδῳ. ἀεὶ δὲ μᾶλλον αὐξόμενος ἐστράτευσεν εἰς τὴν Μηδίαν. ὁ δὲ ταύτης βασιλεὺς Φάρνος παραταξάμενος ἀξιολόγῳ δυνάμει καὶ λειφθείς, τῶν τε στρατιωτῶν τοὺς πλείστους ἀπέβαλε καὶ αὐτὸς μετὰ τέκνων ἑπτὰ καὶ γυναικὸς αἰχμάλωτος ληφθεὶς ἀνεσταυρώθη.

2 οὕτω δὲ τῶν πραγμάτων τῷ Νίνῳ προχωρούντων δεινὴν ἐπιθυμίαν ἔσχε τοῦ καταστρέψασθαι τὴν Ἀσίαν ἅπασαν τὴν ἐντὸς Τανάϊδος καὶ Νείλου· ὡς ἐπίπαν γὰρ τοῖς εὐτυχοῦσιν ἡ τῶν πραγμάτων ἐπίῤῥοια τὴν τοῦ πλείονος ἐπιθυμίαν παρίστησι. διόπερ τῆς μὲν Μηδίας σατράπην ἕνα τῶν περὶ αὐτὸν φίλων κατέστησεν, αὐτὸς δ' ἐπῄει τὰ κατὰ τὴν Ἀσίαν ἔθνη καταστρεφόμενος, καὶ χρόνον ἑπτακαιδεκαέτη καταναλώσας πλὴν Ἰνδῶν καὶ Βακτριανῶν τῶν ἄλλων ἁπάντων κύριος ἐγένετο. τὰς μὲν οὖν καθ' ἕκαστα μάχας ἢ τὸν ἀριθμὸν ἁπάντων τῶν καταπολεμηθέντων οὐδεὶς τῶν συγγραφέων ἀνέγραψε, τὰ δ' ἐπισημότατα τῶν ἐθνῶν ἀκολούθως Κτησίᾳ τῷ Κνιδίῳ πειρασόμεθα συντόμως ἐπιδραμεῖν. κατεστρέψατο μὲν γὰρ τῆς παραθαλαττίου καὶ τῆς συνεχοῦς χώ-
115ρας τήν τε Αἴγυπτον καὶ Φοινίκην ἔτι δὲ κοίλην Συρίαν καὶ Κιλικίαν καὶ Παμφυλίαν καὶ Λυκίαν, πρὸς δὲ ταύταις τήν τε Καρίαν καὶ Φρυγίαν καὶ Μυσίαν καὶ Λυδίαν, προςηγάγετο δὲ τήν τε Τρῳάδα καὶ τὴν ἐφ' Ἑλληςπόντῳ Φρυγίαν καὶ Προποντίδα καὶ Βιθυνίαν καὶ Καππαδοκίαν καὶ τὰ κατὰ τὸν Πόντον ἔθνη βάρβαρα κατοικοῦντα μέχρι Τανάϊδος, ἐκυρίευσε δὲ τῆς τε Καδουσίων χώρας καὶ Ταπύρων ἔτι δ' Ὑρκανίων καὶ

57. τῆς τε] τῆς Gemistus 58. στρατιὰν] στρατείαν FG Gemistus τὴν om. Gemistus 59. ἀεὶ δὲ] ὁ μὲν δὴ Gemistus αὐξόμενος] αὐξανόμενος ABD 62. λειφθείς] ληφθείς Gemistus 65. προχ.] προςχ. E 68. τὴν] καὶ τὴν Gemistus 70. τῶν περὶ αὐτὸν φίλων] τὸν περὶ αὐτὸν φίλον Gemistus 72. ἑπτακαιδεκαέτη Gemistus: scribebatur ἑπτακαιδεκαετῆ 73. Βακτριανῶν] Βακτρίων Gemistus τὰς μὲν οὖν ABC(D)EG, caeteri καὶ τὰς μὲν 74. ἕκαστα] ἑκάστους Gemistus τὸν] τῶν Gemistus

115. 79. τήν τε Αἴγυπτον] πᾶσαν addunt AB: Gemistus τήν τε Φοινίκην καὶ κοίλην Σ. καὶ Κιλικίαν om. G Gemistus 80. Παμφυλ.] Παμφιλ. Gemistus καὶ Λυκίαν om. G 81. καὶ Μυσίαν om. D, cum καὶ Λυδίαν A 83. Βιθυνίαν] Βυθυνίαν Gemistus 84. κατὰ τὸν] τε κατὰ Gemistus μέχρι om. C, cum Τανάϊδος Gemistus 85. δὲ om. Gemistus Καδουσίων B Gemistus, τῶν Καδουσίων D, Cadusios Poggius, caeteri Καδδουσίων 86. Ταπύρων] Ταπυρῶν D, Ταπείρων Gemistus, Tapiros Poggius

*Δραγγῶν, πρὸς δὲ τούτοις Δερβίκων καὶ Καρμανίων καὶ Χωρομναίων ἔτι δὲ Βορκανίων καὶ Παρθυαίων, ἐπῆλθε δὲ καὶ τὴν Περσίδα καὶ τὴν Σουσιανὴν καὶ τὴν καλουμένην Κασπιανήν, εἰς ἣν εἰσιν εἰςβολαὶ στεναὶ παντελῶς, διὸ καὶ προςαγορεύονται Κάσπιαι πύλαι· πολλὰ δὲ καὶ ἄλλα τῶν ἐλαττόνων ἐθνῶν προςηγάγετο, περὶ ὧν μακρὸν ἂν εἴη λέγειν. τῆς δὲ Βακτριανῆς οὔσης δυςεισβόλου καὶ πλήθη μαχίμων ἀνδρῶν ἐχούσης, ἐπειδὴ πολλὰ πονήσας ἄπρακτος ἐγένετο, τὸν μὲν πρὸς Βακτριανοὺς πόλεμον εἰς ἕτερον ἀνεβάλετο καιρόν, τὰς δὲ δυνάμεις ἀπαγαγὼν εἰς τὴν Συρίαν ἐξελέξατο τόπον εὔθετον εἰς πόλεως με-*
3 *γάλης κτίσιν. ἐπιφανεστάτας γὰρ πράξεις τῶν πρὸ αὐτοῦ κατειργασμένος ἔσπευδε τηλικαύτην κτίσαι τὸ μέγεθος πόλιν ὥςτε μὴ μόνον αὐτὴν εἶναι μεγίστην τῶν τότε οὐσῶν κατὰ πᾶσαν τὴν οἰκουμένην, ἀλλὰ μηδὲ τῶν μεταγενεστέρων ἕτερον ἐπιβαλλόμενον ῥᾳδίως ἂν ὑπερθέσθαι. τὸν μὲν οὖν τῶν Ἀράβων βασιλέα τιμήσας δώροις καὶ λαφύροις μεγαλοπρεπέσιν ἀπέλυσε μετὰ τῆς ἰδίας στρατιᾶς εἰς τὴν οἰκείαν, αὐτὸς δὲ τὰς πανταχόθεν δυνάμεις καὶ παρασκευὰς πάντων τῶν ἐπιτηδείων ἀθροίσας παρὰ τὸν Εὐφράτην ποταμὸν ἔκτισε πόλιν εὖ τετειχισμένην, ἑτερόμηκες αὐτῆς ὑποστησάμενος τὸ σχῆμα. εἶχε δὲ τῶν μὲν μακροτέρων πλευρῶν ἑκατέραν ἡ*

*Δραγγῶν* Rhodomannus, *Δραγκῶν* Gemistus, *Δακῶν* GQ, *Drancas* Poggius, caeteri *Δράγκων*  87. *Δερβίκων] Δερβικήων* Gemistus  *Καρμανίων] Καρνανίων* C, *Καρμανῶν* Gemistus (*Καρμάνων* apud Wessel.)  *Χωρομναίων* AB(D)GQ, margo EF, *Rhombos* Poggius Wesselingii, *Corumneos*, *Rhombos* meus, *Χωράσμων* Gemistus Wesselingii, *Χωρασμίων* meus omissis quae sequuntur *ἔτι — Παρθυαίων:* caeteri *Ῥόμνων*  89. *τὴν Περσίδα] Περσίδα* A, *τὴν Παρθίαν* Gemistus Wesselingii, *τὴν Παρθίαν καὶ Περσίδα* meus  *τὴν Σουσιανὴν* BD, caeteri *Σουσιανὴν*  91. *Κάσπιαι] Κασπίαι* omnes: *Κασπιαι* Gemistus  92. *ἐθνῶν* om. Gemistus  *μακρὸν ἂν] ἂν μακρὸν* Gemistus  93. *δυςεισβόλου] δυςειβόλου* FG, *δυςεμβόλου* Gemistus  95. *Βακτριανοὺς] Βακτρίους* Gemistus  96. *ἀνεβάλετο] ἀνεβάλλετο* Gemistus  97. *ἀπαγαγὼν] ἀναγαγὼν* ABD  *Συρίαν] Ἀσσυρίαν* AD Gemistus  98. *μεγάλης* om. AD Poggius  99. *τῶν] ἁπάντων τῶν* Gemistus, *superiores omnis* Poggius  100. *ἔσπευδε] ἔσπευσε* B  1. *τῶν* om. Gemistus  2. *μηδὲ] μὴ* Gemistus  3. *ἐπιβαλλόμενον] ἐπιβαλόμενον* D  6. *στρατιᾶς] στρατείας* F et correctus in margine G  *οἰκείαν* C(D)U Gemistus meus, caeteri *οἰκίαν*  7. *παρασκευὰς* ABC(D)E Gemistus, caeteri *παρασκευὴν*  *ἐπιτηδείων* A(D) Gemistus, caeteri *ἰδίων*  8. *παρὰ* AD, caeteri *ἐπὶ:* *supra* Poggius  *τὸν Εὐφράτην ποταμὸν] τε Εὐφράτην ποταμὸν* D, *τῷ Εὐφράτῃ ποταμῷ* Gemistus  10. *εἶχε* AB(D), margines FG, Gemistus, *εἴχειν* FG, caeteri *ἔχει*



*πόλις ἑκατὸν καὶ πεντήκοντα σταδίων, τῶν δὲ βραχυτέρων ἐνενήκοντα. διὸ καὶ τοῦ σύμπαντος περιβόλου συσταθέντος ἐκ σταδίων τετρακοσίων καὶ ὀγδοήκοντα τῆς ἐλπίδος οὐ διεψεύσθη· τηλικαύτην γὰρ πόλιν οὐδεὶς ὕστερον ἔκτισε κατά τε τὸ μέγεθος τοῦ περιβόλου καὶ τὴν περὶ τὸ τεῖχος μεγαλοπρέπειαν. τὸ μὲν γὰρ ὕψος εἶχε τὸ τεῖχος ποδῶν ἑκατόν, τὸ δὲ πλάτος τρισὶν ἅρμασιν ἱππάσιμον ἦν· οἱ δὲ σύμπαντες πύργοι τὸν μὲν ἀριθμὸν ἦσαν χίλιοι καὶ πεντακόσιοι, τὸ δ' ὕψος εἶχον ποδῶν διακοσίων. κατῴκισε δ' εἰς αὐτὴν τῶν μὲν Ἀσσυρίων τοὺς πλείστους καὶ δυνατωτάτους, ἀπὸ δὲ τῶν*
116 *ἄλλων ἐθνῶν τοὺς βουλομένους. καὶ τὴν μὲν πόλιν ὠνόμασεν ἀφ' ἑαυτοῦ Νίνον, τοῖς δὲ κατοικισθεῖσι πολλὴν τῆς ὁμόρου χώρας προςώρισεν.* 4

*Ἐπεὶ δὲ μετὰ τὴν κτίσιν ταύτην ὁ Νίνος ἐστράτευσεν ἐπὶ τὴν Βακτριανήν, ἐν ᾗ Σεμίραμιν ἔγημε τὴν ἐπιφανεστάτην ἁπασῶν τῶν γυναικῶν ὧν παρειλήφαμεν, ἀναγκαῖόν ἐστι περὶ αὐτῆς προειπεῖν πῶς ἐκ ταπεινῆς τύχης εἰς τηλικαύτην προήχθη δόξαν. κατὰ τὴν Συρίαν τοίνυν ἔστι πόλις Ἀσκάλων, καὶ ταύτης οὐκ ἄποθεν λίμνη μεγάλη καὶ βαθεῖα πλήρης ἰχθύων. παρὰ δὲ ταύτην ὑπάρχει τέμενος θεᾶς ἐπιφανοῦς, ἣν ὀνομάζουσιν οἱ Σύροι Δερκετοῦν· αὕτη δὲ τὸ μὲν πρόςωπον ἔχει γυναικός, τὸ δ' ἄλλο σῶμα πᾶν ἰχθύος διά τινας τοιαύτας αἰτίας. μυθολογοῦσιν οἱ λογιώτατοι τῶν ἐγχωρίων τὴν Ἀφροδίτην προςκόψασαν τῇ προειρημένῃ θεᾷ δεινὸν ἐμβαλεῖν ἔρωτα νεανίσκου τινὸς τῶν θυόντων οὐκ ἀειδοῦς· τὴν δὲ Δερκετοῦν μιγεῖσαν τῷ Σύρῳ γεννῆσαι μὲν θυγατέρα, καταισχυνθεῖσαν δὲ ἐπὶ τοῖς ἡμαρτημέ-*

11. *ἑκατὸν καὶ πεντήκοντα* (D) editio Wesselingii, *ἑκατὸν πεντήκοντα* Gemistus, *ρ̅ν̅* Stephaniana  13. *καὶ ὀγδ.] ὀγδ.* Gemistus  14. *γὰρ] δὲ* FG  16. *μεγαλοπρ. — τεῖχος* om. Gemistus  19. *πεντακόσιοι] διακόσιοι* AB  *εἶχον* om. Gemistus  21. *δυνατωτάτους] δυναμωτάτους* A  *ἀπὸ δὲ τῶν] τῶν δ'* Gemistus

116. 22. *ὠνόμασεν* BD, margo F, Gemistus, caeteri *ἐκάλεσεν*  23. *κατοικισθεῖσι] κατῳκισθεῖσι* D  26. *ἐπὶ] κατὰ* AB  *τὴν* ABD, caeteri *ἣν*  27. *ἁπασῶν τῶν γυναικῶν] γυναικῶν ἁπασῶν* Gemistus  *ὧν* addunt ABD  28. *περὶ* ABD, caeteri *ὑπὲρ*  *πῶς] ὅπως* Gemistus  30. *Συρίαν] Ἀσσυρίαν* AB  *Ἀσκάλων] Ἀσκαλών* D  31. *ἄποθεν] ἀποδέουσα* M, et alius nescio quis Wesselingii in marg. correctus  *πλήρης ἰχθύων* om. EMV, asterisco notavit Stephanus  32. *παρὰ] περὶ* FG  33. *Δερκετοῦν] Δερκέτουν* D et mox iterum  35. *τοιαύτας] τοιάςδε* Gemistus  *μυθ. — ἐγχωρίων] ἃς οἱ ἐγχώριοι μυθολογοῦσι* Gemistus  38. *ἀειδοῦς] ἀηδοῦς* D Gemistus  39. *γεννῆσαι] τεκεῖν* Gemistus  40. *ἡμαρτημένοις] ἡμαρμένοις* FG Gemistus, *πεπραγμένοις* M

νοις τὸν μὲν νεανίσκον ἀφανίσαι, τὸ δὲ παιδίον εἴς τινας ἐρήμους καὶ πετρώδεις τόπους ἐκθεῖναι· [ἐν οἷς πολλοῦ πλήθους περιστερῶν ἐννοσσεύειν εἰωθότος παραδόξως τροφῆς καὶ σωτηρίας τυχεῖν τὸ βρέφος·] ἑαυτὴν δὲ διὰ τὴν αἰσχύνην καὶ λύπην ῥίψασαν εἰς τὴν λίμνην μετασχηματισθῆναι τὸν τοῦ σώματος τύπον εἰς ἰχθύν· διὸ καὶ τοὺς Σύρους μέχρι τοῦ νῦν ἀπέχεσθαι τούτου τοῦ ζῴου καὶ τιμᾶν τοὺς ἰχθῦς ὡς θεούς. περὶ δὲ τὸν τόπον ὅπου τὸ βρέφος ἐξετέθη πλήθους περιστερῶν ἐννοττεύοντος παραδόξως καὶ δαιμονίως ὑπὸ τούτων τὸ παιδίον διατρέφεσθαι· τὰς μὲν γὰρ ταῖς πτέρυξι περιεχούσας τὸ σῶμα τοῦ βρέφους πανταχόθεν θάλπειν, τὰς δ' ἐκ τῶν σύνεγγυς ἐπαύλεων, ὁπότε τηρήσαιεν τούς τε βουκόλους καὶ τοὺς ἄλλους νομεῖς λιπόντας, ἐν τῷ στόματι φερούσας γάλα διατρέφειν παρασταζούσας ἀνὰ μέσον τῶν χειλῶν. ἐνιαυσιαίου δὲ τοῦ παιδίου γενομένου καὶ στερεωτέρας τροφῆς προσδεομένου, τὰς περιστερὰς ἀποκνιζούσας ἀπὸ τῶν τυρῶν παρέχεσθαι τροφὴν ἀρκοῦσαν· τοὺς δὲ νομεῖς ἐπανιόντας καὶ θεωροῦντας περιβεβρωμένους τοὺς τυροὺς θαυμάσαι τὸ παράδοξον· παρατηρήσαντας οὖν καὶ μαθόντας τὴν αἰτίαν εὑρεῖν τὸ βρέφος, διαφέρον τῷ κάλλει. εὐθὺς οὖν αὐτὸ κομίσαντας εἰς τὴν ἔπαυλιν δωρήσασθαι τῷ προεστῶτι 117 τῶν βασιλικῶν κτηνῶν, ὄνομα Σίμμᾳ· καὶ τοῦτον ἄτεκνον ὄντα τὸ παιδίον τρέφειν ὡς θυγάτριον μετὰ πάσης ἐπιμελείας, ὄνομα θέμενον Σεμίραμιν, ὅπερ ἐστὶ κατὰ τὴν τῶν Σύρων διάλεκτον παρωνομασμένον ἀπὸ τῶν περιστερῶν, ἃς ἀπ' ἐκείνων τῶν χρόνων οἱ κατὰ Συ-
5 ρίαν ἅπαντες διετέλεσαν ὡς θεὰς τιμῶντες. τὰ μὲν οὖν κατὰ τὴν γένεσιν τῆς Σεμιράμιδος μυθολογούμενα σχεδὸν ταῦτ' ἐστίν. ἤδη δ' αὐτῆς ἡλικίαν ἐχούσης γάμου

42. ἐν οἷς — 44. βρέφος delet Rhodomannus ἐννοσσεύειν] ἐννεοτεύειν Gemistus 43. εἰωθότος] εἰωθότων ABD παραδόξως] παραδόξου Gemistus, παραδόξως οὖν D 46. ἰχθύν] libri ἰχθῦν 49. ἐννοττεύοντος BD, ἐννεοτεύοντος Gemistus, ἐννοσεύοντος AF, caeteri ἐννοσσεύοντος 50. διατρέφεσθαι] ἀνατρέφεσθαι AB, τρέφεσθαι Gemistus 54. λιπόντας om. AC DFG, asterisco notavit Stephanus, ἀποκεχωρηκότας τοὺς (ἀποκεχωρηγότας τὰς meus) νομεῖς pro illis τοὺς — λιπόντας Gemistus, ἀπόντας U 55. χειλῶν D, caeteri χειλέων ἐνιαυσιαίου] ἐνιαυσίου D Gemistus 60. θαυμάσαι B(D), caeteri θαυμάζειν 62. εὐθὺς οὖν αὐτὸ] εὐθὺς οὖν τούτους μαθόντας τὴν αἰτίαν (ἀλήθειαν E) καὶ αὐτὸ CE

117. 63. προεστῶτι] προεστηκότι D 64. Σίμμᾳ] Σίμμα Gemistus τοῦτον AD Gemistus, caeteri τοῦτον δὲ 66. Σεμίραμιν] Σεμίραμι Gemistus 71. αὐτῆς] αὐτὴν FG



καὶ τῷ κάλλει πολὺ τὰς ἄλλας παρθένους διαφερούσης, ἀπεστάλη παρὰ βασιλέως ὕπαρχος ἐπισκεψόμενος τὰ βασιλικὰ κτήνη· οὗτος δ' ἐκαλεῖτο μὲν Ὄννης, πρῶτος δ' ἦν τῶν ἐκ τοῦ βασιλικοῦ συνεδρίου καὶ τῆς Συρίας ἁπάσης ἀποδεδειγμένος ὕπαρχος. ὃς καταλύσας παρὰ τῷ Σίμμᾳ καὶ θεωρήσας τὴν Σεμίραμιν ἐθηρεύθη τῷ κάλλει· διὸ καὶ τοῦ Σίμμα καταδεηθεὶς αὐτῷ δοῦναι τὴν παρθένον εἰς γάμον ἔννομον, ἀπήγαγεν αὐτὴν εἰς Νίνον, καὶ γήμας ἐγέννησε δύο παῖδας, Ὑαπάτην καὶ Ὑδάσπην. τῆς δὲ Σεμιράμιδος ἐχούσης καὶ τἄλλα ἀκόλουθα τῇ περὶ τὴν ὄψιν εὐπρεπείᾳ, συνέβαινε τὸν ἄνδρα τελέως ὑπ' αὐτῆς δεδουλῶσθαι, καὶ μηδὲν ἄνευ τῆς ἐκείνης γνώμης πράττοντα κατευστοχεῖν ἐν πᾶσι. καθ' ὃν δὴ χρόνον ὁ βασιλεύς, ἐπειδὴ τὰ περὶ τὴν κτίσιν τῆς ὁμωνύμου πόλεως συνετέλεσε, στρατεύειν ἐπὶ Βακτριανοὺς ἐπεχείρησεν. εἰδὼς δὲ τά τε πλήθη καὶ τὴν ἀλκὴν τῶν ἀνδρῶν, ἔτι δὲ τὴν χώραν ἔχουσαν τόπους πολλοὺς ἀπροσίτους διὰ τὴν ὀχυρότητα, κατέλεξεν ἐξ ἁπάντων τῶν ὑπ' αὐτὸν ἐθνῶν στρατιωτῶν πλῆθος. ἐπεὶ γὰρ τῆς πρότερον στρατείας ἀποτετευχὼς ἦν, ἔσπευδε πολλαπλασίονι παραγενέσθαι δυνάμει πρὸς τὴν Βακτριανήν. συναχθείσης δὲ τῆς στρατιᾶς πανταχόθεν ἠριθμήθησαν, ὡς Κτησίας ἐν ταῖς ἱστορίαις ἀναγέγραφε, πεζῶν μὲν ἑκατὸν ἑβδομήκοντα μυριάδες, ἱππέων δὲ μιᾷ πλείους τῶν εἴκοσι μυριάδων, ἅρματα δὲ δρεπανηφόρα μικρὸν ἀπολείποντα τῶν μυρίων ἑξακοσίων. ἔστι μὲν οὖν ἄπιστον τοῖς

72. πολὺ τὰς ἄλλας παρθένους] τῶν ἄλλων παρθένων Gemistus 73. ὕπαρχος ABD, caeteri ἔπαρχος 74. ἐπισκεψόμενος] ἐπισκεπτόμενος D 75. μὲν Ὄννης A, margo G, Gemistus, Μεννόννης D, Menon Poggius Wesselingii, Menones meus, Μενόνης caeteri, Μένωνις Tzetzes Chil. IX. 525. 77. ὕπαρχος ABD, caeteri ἔπαρχος ὃς om. D 79. αὐτῷ] αὐτοῦ Gemistus 80. ἔννομον servarunt ABC(D)EFG Gemistus 81. Ὑαπάτην] Ὑπάτην QV, Ἀπάτην Gemistus, Iapetem Poggius Wesselingii: nam meus Iapatem Ὑδάσπην] Ὑδάπην Gemistus, Ὑδάσπιν AD 82. Σεμιράμιδος] Σεμιράμεως D 84. ἐκείνης] ἐκείνου D 87. συνετέλεσε] συνετελέσθη Gemistus Βακτριανοὺς] Βακτρίους Gemistus ἐπεχείρησεν ABDE, caeteri ἐνεχείρησεν 88. ἀλκὴν — 90. ὀχυρότητα om. G 89. τόπους πολλοὺς] invertit D 91. τῆς πρότερον στρατείας AB et qui στρατιᾶς D, caeteri κατὰ τὴν πρότερον στρατείαν 92. πολλαπλασίονι] πολλαπλάσιον D 93. παραγενέσθαι] γενέσθαι Gemistus 94. Κτησίας] Κτισίας D 95. ἑκατὸν ἑβδομήκοντα (D) Gemistus, editio Wesselingii, ϙο Stephaniana 96. μιᾷ] μία D πλείους] πλείω D εἴκοσι] πεντήκοντα FG correcti in marginibus, M: Poggius pro his μιᾷ — μυριάδων milia ducenta 98. ἔστι μὲν — 118. 20. πολυανθρ. praeteriit Gemistus ἄπιστον] ἄκουστον G

αὐτόθεν ἀκούσασι τὸ πλῆθος τῆς στρατιᾶς, οὐ μὴν ἀδύνατόν γε φανήσεται τοῖς ἀναθεωροῦσι τὸ τῆς Ἀσίας μέγεθος καὶ τὰ πλήθη τῶν κατοικούντων αὐτὴν ἐθνῶν. εἰ γάρ τις ἀφεὶς τὴν ἐπὶ Σκύθας Δαρείου στρατείαν μετὰ ὀγδοήκοντα μυριάδων καὶ τὴν Ξέρξου διάβασιν ἐπὶ τὴν 118
Ἑλλάδα τοῖς ἀναριθμήτοις πλήθεσι τὰς χθὲς καὶ πρῴην συντελεσθείσας πράξεις ἐπὶ τῆς Εὐρώπης σκέψαιτο, τάχιον ἂν πιστὸν ἡγήσαιτο τὸ ῥηθέν. κατὰ μὲν οὖν τὴν Σικελίαν ὁ Διονύσιος ἐκ μιᾶς τῆς τῶν Συρακοσίων πόλεως ἐξήγαγεν ἐπὶ τὰς στρατείας πεζῶν μὲν δώδεκα μυριάδας, ἱππεῖς δὲ μυρίους καὶ δισχιλίους, ναῦς δὲ μακρὰς ἐξ ἑνὸς λιμένος τετρακοσίας, ὧν ἦσαν ἔνιαι τετρήρεις τε καὶ πεντήρεις. Ῥωμαῖοι δὲ μικρὸν πρὸ τῶν Ἀννιβαϊκῶν καιρῶν προορώμενοι τὸ μέγεθος τοῦ πολέμου κατέγραψαν τοὺς κατὰ τὴν Ἰταλίαν ἐπιτηδείους εἰς τὴν στρατείαν πολίτας τε καὶ συμμάχους, ὧν ὁ σύμπας ἀριθμὸς μικρὸν ἀπέλιπε τῶν ἑκατὸν μυριάδων· καίτοι γ' ἕνεκα πλήθους ἀνθρώπων τὴν Ἰταλίαν ὅλην οὐκ ἄν τις συγκρίνειε πρὸς ἓν ἔθνος τῶν κατὰ τὴν Ἀσίαν. ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς ἐκ τῆς νῦν περὶ τὰς πόλεις οὔσης ἐρημίας τεκμαιρομένους τὴν παλαιὰν
6 τῶν ἐθνῶν πολυανθρωπίαν. ὁ δ' οὖν Νίνος μετὰ τοσαύτης δυνάμεως στρατεύσας εἰς τὴν Βακτριανήν, ἠναγκάζετο, δυσεισβόλων τῶν τόπων καὶ στενῶν ὄντων, κατὰ μέρος ἄγειν τὴν δύναμιν. ἡ γὰρ Βακτριανὴ χώρα πολλαῖς καὶ μεγάλαις οἰκουμένη πόλεσι μίαν μὲν εἶχεν ἐπιφανεστάτην, ἐν ᾗ συνέβαινεν εἶναι καὶ τὰ βασίλεια· αὕτη δ' ἐκαλεῖτο μὲν Βάκτρα, μεγέθει δὲ καὶ τῇ κατὰ τὴν ἀκρόπολιν ὀχυρότητι πολὺ πασῶν διέφερε. βασιλεύων δ' αὐτῆς Ὀξυάρτης κατέγραψεν ἅπαντας τοὺς ἐν ἡλικίᾳ στρατείας ὄντας, οἳ τὸν ἀριθμὸν ἠθροίσθησαν

αὐτόθεν om. M 99. ἀκούσασι ABDG, ἐπισκοποῦσι M, omisso πλῆθος, caeteri ἀκούουσι 1. αὐτὴν om. D 2. Σκύθας] Satas Poggius στρατείαν] στρατιὰν D

118. 6. τάχιον] τάχειον D 7. Διονύσιος om. A Συρακοσίων] scribebatur Συρακουσίων 8. στρατείας] στρατιὰς D 10. τετρακοσίας] ιβ' μυριάδας C 11. τετρήρεις F, τε τριήρεις ADG, caeteri τριήρεις: delendum etiam quod sequitur τε 12. Ἀννιβαϊκῶν (D), margo G, caeteri Ἀννιβιακῶν 14. τὴν στρατείαν] στρατείαν ACD, τὴν στρατιὰν F 15. ἀπέλιπε] ἀπελείπετο AB, ἀπελίπετο D 18. ἡμῖν om. A 21. ὁ — δυνάμεως] μετὰ δ' οὖν τοσαύτης δ. ὁ Νῖνος Gemistus 22. δυσεισβόλων ABDFG, δυσεμβόλων Gemistus, caeteri δυσκόλων 26. τὰ βασίλεια] καὶ τὰ βασίλεια ABD, τὸν βασιλέα EQ μὲν om. Gemistus 28. Ὀξυάρτης] Ἐξαόρτης ABD, ὁ Ξαόρτης F Gemistus, ὁ Ζαόρτης GM, Zorvastres Poggius Wesselingii, Zoroastes meus 29. ἡλικίᾳ] ἡλικίαις D, ut est vol. II. p. 374. 82.



εἰς τετταράκοντα μυριάδας. ἀναλαβὼν οὖν τὴν δύναμιν καὶ τοῖς πολεμίοις ἀπαντήσας περὶ τὰς εἰσβολάς, εἴασε μέρος τῆς τοῦ Νίνου στρατιᾶς εἰσβαλεῖν. ἐπεὶ δ' ἔδοξεν ἱκανὸν ἀποβεβηκέναι τῶν πολεμίων πλῆθος εἰς τὸ πεδίον, ἐξέταξε τὴν ἰδίαν δύναμιν. γενομένης δὲ μάχης ἰσχυρᾶς οἱ Βακτριανοὶ τοὺς Ἀσσυρίους τρεψάμενοι καὶ τὸν διωγμὸν μέχρι τῶν ὑπερκειμένων ὀρῶν ποιησάμενοι διέφθειραν τῶν πολεμίων εἰς δέκα μυριάδας. μετὰ δὲ ταῦτα πάσης τῆς δυνάμεως εἰσβαλούσης, κρατούμενοι τοῖς πλήθεσι κατὰ πόλεις ἀπεχώρησαν, ἕκαστοι ταῖς ἰδίαις πατρίσι βοηθήσοντες. τὰς μὲν οὖν ἄλλας ὁ Νίνος ἐχειρώσατο ῥᾳδίως, τὰ δὲ Βάκτρα διά τε τὴν ὀχυρότητα καὶ τὰς ἐν αὐτῇ παρασκευὰς ἠδυνάτει κατὰ κράτος ἑλεῖν. πολυχρονίου δὲ τῆς πολιορκίας γενομένης, ὁ τῆς Σεμι-
119 ράμιδος ἀνήρ, ἐρωτικῶς ἔχων πρὸς τὴν γυναῖκα καὶ συστρατευόμενος τῷ βασιλεῖ, μετεπέμψατο τὴν ἄνθρωπον. ἡ δὲ συνέσει καὶ τόλμῃ καὶ τοῖς ἄλλοις τοῖς πρὸς ἐπιφάνειαν συντείνουσι κεχορηγημένη, καιρὸν ἔλαβεν ἐπιδείξασθαι τὴν ἰδίαν ἀρετήν. πρῶτον μὲν οὖν πολλῶν ἡμερῶν ὁδὸν μέλλουσα διαπορεύεσθαι στολὴν ἐπραγματεύσατο δι' ἧς οὐκ ἦν διαγνῶναι τὸν περιβεβλημένον πότερον ἀνήρ ἐστιν ἢ γυνή. αὕτη δ' ἦν εὔχρηστος αὐτῇ πρός τε τὰς ἐν τοῖς καύμασιν ὁδοιπορίας εἰς τὸ διατηρῆσαι τὸν τοῦ σώματος χρῶτα καὶ πρὸς τὰς ἐν τῷ πράττειν ὃ βούλοιτο χρείας, εὐκίνητος οὖσα καὶ νεανική, καὶ τὸ σύνολον τοσαύτη τις ἐπῆν αὐτῇ χάρις ὥσθ' ὕστερον Μήδους ἡγησαμένους τῆς Ἀσίας φορεῖν τὴν Σεμιράμιδος στολήν, καὶ μετὰ ταῦθ' ὁμοίως Πέρσας. παρα-

31. ἀπαντήσας] συναντήσας FQ 32. τοῦ om. Gemistus, qui et στρατείας 33. ἔδοξεν] ἔδοξε αὐτῷ Gemistus ἀποβεβηκέναι B(D)G, καταβεβηκέναι Gemistus, caeteri ἀποβεβληκέναι 34. εἰς τὸ πεδίον] πεδίων D, omisit F: „A addit ἐναντίον, quod et in ora E“ Wessel. ἐξέταξε] ἐξέταττε Gemistus ἰδίαν om. F, asterisco notavit Stephanus 35. Βακτριανοὶ] Βάκτριοι Gemistus 36. μέχρι] μέχρι καὶ Gemistus 40. πατρίσι] πατρῴοις Gemistus 42. τὰς — παρασκευὰς] τὴν — παρασκευὴν D, τὴν — κατασκευὴν AB 44. γενομένης] γινομένης Gemistus Σεμιράμιδος] Σεμιράμεως ABD ἀνήρ] ἀνὴρ Ὄννης Gemistus

119. 45. πρὸς τὴν γυναῖκα] τῆς γυναικὸς Gemistus 46. τὴν] τὸν Gemistus ἡ δὲ — καιρὸν ἔλαβεν A(D) Gemistus, Poggius, ἐπεὶ δὲ ἦν — καιρὸν ἔλαβεν CQ, caeteri ἦν δὲ — καιρὸν οὖν ἔλαβεν 49. πολλῶν ἡμερῶν ὁδὸν] πολλῶν ὁδὸν C, πολλὴν ὁδὸν EQ 50. ἐπραγματεύσατο] διεπραγματεύσατο ABD 51. τὴν περιβεβλημένην Gemistus 52. αὕτη] ἡ αὐτὴ Gemistus πρός τε] καὶ πρός τε Gemistus 54. ὁδοιπορίας] ὁδοιπορείας Gemistus ἐν τῷ] εἰς τὸ FG correcti in marg. 56. χάρις post τοσαύτη ponit D

γενομένη δ' εἰς τὴν Βακτριανὴν καὶ κατασκεψαμένη τὰ περὶ τὴν πολιορκίαν, ἑώρα κατὰ μὲν τὰ πεδία καὶ τοὺς εὐεφόδους τῶν τόπων προςβολὰς γινομένας, πρὸς δὲ τὴν ἀκρόπολιν οὐδένα προςιόντα διὰ τὴν ὀχυρότητα, καὶ τοὺς ἔνδον ἀπολελοιπότας τὰς ἐνταῦθα φυλακὰς καὶ παρεπιβοηθοῦντας τοῖς ἐπὶ τῶν κάτω τειχῶν κινδυνεύουσι. διόπερ παραλαβοῦσα τῶν στρατιωτῶν τοὺς πετροβατεῖν εἰωθότας, καὶ μετὰ τούτων διά τινος χαλεπῆς φάραγγος προςαναβᾶσα, κατελάβετο μέρος τῆς ἀκροπόλεως καὶ τοῖς πολιορκοῦσι τὸ κατὰ τὸ πεδίον τεῖχος ἐσήμηνεν. οἱ δ' ἔνδον ἐπὶ τῇ καταλήψει τῆς ἄκρας καταπλαγέντες ἐξέλιπον τὰ τείχη καὶ τὴν σωτηρίαν ἀπέγνωσαν. τοῦτον δὲ τὸν τρόπον ἁλούσης τῆς πόλεως ὁ βασιλεὺς θαυμάσας τὴν ἀρετὴν τῆς γυναικὸς τὸ μὲν πρῶτον αὐτὴν μεγάλαις δωρεαῖς ἐτίμησε, μετὰ δὲ ταῦτα διὰ τὸ κάλλος τῆς ἀνθρώπου σχὼν ἐρωτικῶς ἐπεχείρησε τὸν ἄνδρα πείθειν ἑκουσίως αὐτῷ παραχωρῆσαι, ἐπαγγειλάμενος ἀντὶ ταύτης τῆς χάριτος αὐτῷ συνοικιεῖν τὴν ἰδίαν θυγατέρα Σωσάνην. δυςχερῶς δ' αὐτοῦ φέροντος, ἠπείλησεν ἐκκόψειν τὰς ὁράσεις μὴ προχείρως ὑπηρετοῦντος τοῖς προστάγμασιν. ὁ δὲ Ὄννης ἅμα μὲν τὰς τοῦ βασιλέως ἀπειλὰς δείσας, ἅμα δὲ διὰ τὸν ἔρωτα περιπεσὼν λύττῃ τινὶ καὶ μανίᾳ, βρόχον ἑαυτῷ περιθεὶς ἀνεκρέμασε. Σεμίραμις μὲν οὖν διὰ τοιαύτας αἰτίας εἰς βασιλικὸν ἦλθε πρόσχημα.

7 Ὁ δὲ Νίνος τούς τε ἐν Βάκτροις παρέλαβε θησαυρούς, ἔχοντας πολὺν ἄργυρόν τε καὶ χρυσόν, καὶ τὰ κατὰ τὴν Βακτριανὴν καταστήσας ἀπέλυσε τὰς δυνάμεις. 120

58. εἰς τὴν Β.] εἰς Β. ἡ Σεμίραμις Gemistus 60. εὐεφόδους] ἐφόδους E Gemistus 63. ἐνταῦθα ABCDE Gemistus, caeteri ἐνταυθοῖ παρεπιβοηθοῦντας] παραβοηθοῦντας BD 64. τοῖς om. D 67. κατελάβετο D, caeteri κατέλαβε τό: κατέλαβε τὴν ἀκρόπολιν Gemistus 68. πολιορκοῦσι] πολεμίοις Gemistus Wesselingii, πολεμοῦσι meus ἐσήμηνεν] ἐσήμαινεν AD 69. ἄκρας] ἀκροπόλεως Gemistus 70. τὴν σωτηρίαν BD Gemistus, caeteri τῆς σωτηρίας 71. δὲ] οὖν Gemistus 72. αὐτὴν post δωρεαῖς ponit D 73. ἐτίμησε] ἐτίμησεν D 74. σχὼν D, σχεδὸν B, σχεθεὶς A, caeteri ἔχων 75. πείθειν] πείθειν ὅπως D αὐτῷ] ταύτην αὐτῷ Gemistus 76. αὐτῷ post συν. ponit Gemistus συνοικιεῖν D., caeteri συνοικεῖν 77. Σωσάνην] Σωσάνναν Tzetzes 78. ὁράσεις] ὄψεις Gemistus 79. προστάγμασιν] πράγμασιν BD, margo E 80. Ὄννης AD Gemistus, Νόννης B, caeteri Μενόνης 81. λύττῃ Gemistus, quod in Tzetzae exemplari λύπῃ scriptum fuisse videtur, qui posuerit ἐκστὰς φρενῶν ἐκ λύπης: caeteri λύσσῃ 82. Σεμίραμις] ἡ Σεμίραμις Gemistus



μετὰ δὲ ταῦτα γεννήσας ἐκ Σεμιράμιδος υἱὸν Νινύαν ἐτελεύτησε, τὴν γυναῖκα ἀπολιπὼν βασίλισσαν. τὸν δὲ Νίνον ἡ Σεμίραμις ἔθαψεν ἐν τοῖς βασιλείοις, καὶ κατεσκεύασεν ἐπ' αὐτῷ χῶμα παμμέγεθες, οὗ τὸ μὲν ὕψος ἐννέα ἦν σταδίων, τὸ δ' εὖρος, ὥς φησι Κτησίας, δέκα. διὸ καὶ τῆς πόλεως παρὰ τὸν Εὐφράτην ἐν πεδίῳ κειμένης ἀπὸ πολλῶν σταδίων ἐφαίνετο τὸ χῶμα καθαπερεί τις ἀκρόπολις· ὃ καὶ μέχρι τοῦ νῦν φασι διαμένειν, καίπερ τῆς Νίνου κατεσκαμμένης ὑπὸ Μήδων, ὅτε κατέλυσαν τὴν Ἀσσυρίων βασιλείαν. ἡ δὲ Σεμίραμις, οὖσα φύσει μεγαλεπίβολος καὶ φιλοτιμουμένη τῇ δόξῃ τὸν βεβασιλευκότα πρὸ αὐτῆς ὑπερθέσθαι, πόλιν μὲν ἐπεβάλετο κτίζειν ἐν τῇ Βαβυλωνίᾳ, ἐπιλεξαμένη δὲ τοὺς πανταχόθεν ἀρχιτέκτονας καὶ τεχνίτας, ἔτι δὲ τὴν ἄλλην χορηγίαν παρασκευασαμένη, συνήγαγεν ἐξ ἁπάσης τῆς βασιλείας πρὸς τὴν τῶν ἔργων συντέλειαν ἀνδρῶν μυριάδας διακοσίας. ἀπολαβοῦσα δὲ τὸν Εὐφράτην ποταμὸν εἰς μέσον περιεβάλετο τεῖχος τῇ πόλει σταδίων ἑξήκοντα καὶ τριακοσίων, διειλημμένον πύργοις πυκνοῖς καὶ μεγάλοις, [τηλικοῦτον δ' ἦν τὸ βάρος τῶν ἔργων ὥςτε τὸ μὲν πλάτος εἶναι τῶν τειχῶν ἓξ ἅρμασιν ἱππάσιμον, τὸ δ' ὕψος ἄπιστον τοῖς ἀκούουσιν,] ὥς φησι Κτησίας ὁ Κνίδιος, ὡς δὲ Κλείταρχος καὶ τῶν ὕστερον μετ' Ἀλεξάνδρου διαβάντων εἰς τὴν Ἀσίαν τινὲς ἀνέγραψαν, τριακοσίων ἑξήκοντα καὶ πέντε σταδίων· καὶ προςτιθέασιν ὅτι τῶν ἴσων ἡμερῶν εἰς τὸν ἐνιαυτὸν οὐσῶν ἐφιλοτιμήθη τὸν ἴσον ἀριθμὸν τῶν σταδίων ὑποστήσασθαι. ὀπτὰς

120. 87. Σεμιράμιδος] Σεμιράμεως ABD, illud etiam Syncellus p. 166. Νινύαν] Ninum dicit Poggius 89. ἔθαψεν ἐν] ἔθαψε πρὸς Gemistus 91. ἐννέα ἦν] ἦν ἐννέα D δ' εὖρος] δὲ πλάτος EQ 92. τὸν Εὐφράτην ABC(D)E Gemistus, caeteri τῷ Εὐφράτῃ 95. κατεσκαμμένης] κατεσκευασμένης G 97. μεγαλεπίβολος A(D), μεγαλεπήβουλος Gemistus, καὶ φρονιμωτάτη addit E, caeteri μεγαλεπήβολος 98. πρὸ αὐτῆς ABDM, caeteri πρότερον 1. χορηγίαν] χρείαν A 3. μ. διακοσίας] ter decies centena Poggius 4. περιεβάλετο] περιεβάλλετο Gemistus 5. ἑξήκοντα καὶ τριακοσίων ADE Gemistus, τριακοσίων καὶ ἑξήκοντα C „στάδια ἑξήκοντα τριακ. (sic, ut τριακοσίων servare videatur: confer similis erroris exemplum p. 122. 71.) G“ Wessel., caeteri τριακοσίων ἑξήκοντα 6. διειλημμένον — ὑποστήσασθαι praeteriit Gemistus τηλικοῦτον — 9. ἀκούουσιν tollunt Eichstadius et Schaeferus: neque habuit Tzetzes, quem v. Chil. IX. 567. seq. 11. τριακοσίων] „deesse quibusdam notatur in ora G“ Wesseling. 12. καὶ om. D πέντε σταδίων AB(D) Tzetzes: pedum addit Poggius: caeteri πέντε 14. ὀπτὰς AB(D), margo E: εἰς ἄσφαλτον δὲ τὰς πλίνθους Gemistus: Tzetzes v. 562. ἔκτισε ταύτην δὲ ἑνὶ ἐνιαυτῷ καὶ μόνῳ ἀπὸ ὀπτῆς τῆς πλίνθου μέν: caeteri τὰς

δὲ πλίνθους εἰς ἄσφαλτον ἐνδησαμένη τεῖχος κατεσκεύασε τὸ μὲν ὕψος, ὡς μὲν Κτησίας φησί, πεντήκοντα ὀργυιῶν, ὡς δ' ἔνιοι τῶν νεωτέρων ἔγραψαν, πηχῶν πεντήκοντα, τὸ δὲ πλάτος πλεῖον ἢ δυσὶν ἅρμασιν ἱππάσιμον· πύργους δὲ τὸν μὲν ἀριθμὸν διακοσίους καὶ πεντήκοντα, τὸ δ' ὕψος καὶ πλάτος ἐξ ἀναλόγου τῷ βάρει τῶν κατὰ τὸ τεῖχος ἔργων. οὐ χρὴ δὲ θαυμάζειν εἰ τηλικούτου τὸ μέγεθος τοῦ περιβόλου καθεστῶτος ὀλίγους πύργους κατεσκεύασεν· ἐπὶ πολὺν γὰρ τόπον τῆς πόλεως ἕλεσι περιεχομένης, κατὰ τοῦτον τὸν τόπον οὐκ ἔδοξεν αὐτῇ πύργους οἰκοδομεῖν, τῆς φύσεως τῶν ἑλῶν ἱκανὴν παρεχομένης ὀχυρότητα. ἀνὰ μέσον δὲ τῶν οἰκιῶν καὶ τῶν 121
8 τειχῶν ὁδὸς πάντῃ κατελέλειπτο δίπλεθρος. πρὸς δὲ τὴν ὀξύτητα τῆς τούτων οἰκοδομίας ἑκάστῳ τῶν φίλων στάδιον διεμέτρησε, δοῦσα τὴν ἱκανὴν εἰς τοῦτο χορηγίαν καὶ διακελευσαμένη τέλος ἐπιθεῖναι τοῖς ἔργοις ἐν ἐνιαυτῷ. ὧν ποιησάντων τὸ προσταχθὲν μετὰ πολλῆς σπουδῆς, τούτων μὲν ἀπεδέξατο τὴν φιλοτιμίαν, αὐτὴ δὲ κατὰ τὸ στενώτατον μέρος τοῦ ποταμοῦ γέφυραν σταδίων πέντε τὸ μῆκος κατεσκεύασεν, εἰς βυθὸν φιλοτέχνως καθεῖσα τοὺς κίονας, οἳ διειστήκεισαν ἀπ' ἀλλήλων πόδας δώδεκα· τοὺς δὲ συνερειδομένους λίθους τόρμοις σιδηροῖς διελάμβανε, καὶ τὰς τούτων ἁρμονίας ἐπλήρου μόλιβδον ἐντήκουσα· τοῖς δὲ κίοσι πρὸ τῶν τὸ ῥεῦμα δεχομένων πλευρῶν γωνίας προκατεσκεύασεν ἐχούσας τὴν ἀποῤῥοὴν περιφερῆ καὶ συνδεδεμένην κατ' ὀλίγον ἕως

15. ἐνδησαμένη] ἐνδυσαμένη E Gemistus, et ab alia manu margo C  τεῖχος] τὸ τεῖχος Gemistus  κατεσκεύασε] ῥέει δὲ ἡ ἄσφαλτος ἀπὸ πηγῆς τινος ὁμοία ὑγροπίσσῃ addit nescio quis Wessel.  τὸ] καὶ τὸ Gemistus  16. μὲν] μέντοι, omisso quod sequitur μὲν, idem ille ignotus, omisit D  17. πηχῶν] πήχεων Gemistus  18. πλεῖον] πλέον A Gemistus  19. διακοσίους καὶ πεντήκοντα AB(D), διακοσίους πεντήκοντα Gemistus, σν ed. Stephani  20. τὸ δ' ὕψος — 21. ἔργων] τὸ δὲ ὕψος ἑξήκοντα, ὡς δ' ἔνιοι τῶν νεωτέρων φασί, πηχῶν ἑξήκοντα ABD, τὸ δὲ ὕψος ὡς ἐνῆν Gemistus  22. τοῦ περιβόλου] περιβόλου D Gemistus

121. 26. ὀχυρότητα AC(D)E Gemistus, caeteri praeponunt τὴν, quod asterisco notavit Stephanus  27. κατελέλειπτο] κατέλειπτο Gemistus  30. τέλος ἐπιθεῖναι τοῖς ἔργοις] εἰς πέρας ἀγαγεῖν τὸ ἔργον M  32. τούτων] τῶν A  33. στενώτατον Gemistus, omisso μέρος: libri στενότατον  35. καθεῖσα ABD Gemistus, καθίστασα E, *iactis columnis* Poggius, caeteri καθίσασα  οἳ διειστήκεισαν D, διειστήκεισαν F, margo E, uterque nescio an servantes οἱ δὲ, οἱ δ' εἱστήκεισαν Gemistus, caeteri οἱ δὲ εἱστήκεισαν  36. ἀπ' om. Gemistus  δώδεκα] δεκαδύο διέχοντες Gemistus  37. τόρμοις] κορμοῖς G, τόρνοις CE, τόμοις Gemistus, *truncis* Poggius  38. τοῖς δὲ — 44. ποταμοῦ praeteriit Gemistus



τοῦ κατὰ τὸν κίονα πλάτους, ὅπως αἱ μὲν περὶ τὰς γωνίας ὀξύτητες τέμνωσι τὴν καταφορὰν τοῦ ῥεύματος, αἱ δὲ περιφέρειαι τῇ τούτου βίᾳ συνείκουσαι πραΰνωσι τὴν σφοδρότητα τοῦ ποταμοῦ. ἡ μὲν οὖν γέφυρα, κεδρίναις καὶ κυπαριττίναις δοκοῖς ἔτι δὲ φοινίκων στελέχεσιν ὑπερμεγέθεσι κατεστεγασμένη καὶ τριάκοντα ποδῶν οὖσα τὸ πλάτος, οὐδενὸς ἐδόκει τῶν Σεμιράμιδος ἔργων τῇ φιλοτεχνίᾳ λείπεσθαι. ἐξ ἑκατέρου δὲ μέρους τοῦ ποταμοῦ κρηπῖδα πολυτελῆ κατεσκεύασε παραπλησίαν κατὰ τὸ πλάτος τοῖς τείχεσιν ἐπὶ σταδίους ἑκατὸν ἑξήκοντα. ᾠκοδόμησε δὲ καὶ βασίλεια διπλᾶ παρ' αὐτὸν τὸν ποταμὸν ἐξ ἑκατέρου μέρους τῆς γεφύρας, ἐξ ὧν ἅμα [μὲν] ἔμελλε τήν τε πόλιν ἅπασαν κατοπτεύειν καὶ καθαπερεὶ τὰς κλεῖς ἕξειν τῶν ἐπικαιροτάτων τῆς πόλεως τόπων. τοῦ δ' Εὐφράτου διὰ μέσης τῆς Βαβυλῶνος ῥέοντος καὶ πρὸς μεσημβρίαν καταφερομένου, τῶν βασιλείων τὰ μὲν πρὸς ἀνατολὴν ἔνευε, τὰ δὲ πρὸς δύσιν, ἀμφότερα δὲ πολυτελῶς κατεσκεύαστο. τοῦ μὲν γὰρ εἰς τὸ πρὸς ἑσπέραν κειμένου μέρους ἐποίησε τὸν πρῶτον περίβολον ἑξήκοντα σταδίων, ὑψηλοῖς καὶ πολυτελέσι τείχεσιν ὠχυρωμένον, ἐξ ὀπτῆς πλίνθου· ἕτερον δ' ἐντὸς τούτου κυκλοτερῆ κατεσκεύασε, καθ' ὃν ἐν ὠμαῖς ἔτι ταῖς πλίνθοις διετετύπωτο θηρία παντοδαπὰ τῇ τῶν χρωμάτων φιλοτεχνίᾳ τὴν ἀλήθειαν ἀπομιμούμενα. οὗ-
122 τος δ' ὁ περίβολος ἦν τὸ μὲν μῆκος σταδίων τετταράκοντα, τὸ δὲ πλάτος ἐπὶ τριακοσίους πλίνθους, τὸ δ' ὕψος, ὡς Κτησίας φησίν, ὀργυιῶν πεντήκοντα· τῶν δὲ πύργων ὑπῆρχε τὸ ὕψος ὀργυιῶν ἑβδομήκοντα. κατεσκεύασε δὲ καὶ τρίτον ἐνδοτέρω περίβολον, ὃς περιεῖχεν

43. τῇ — βίᾳ] τῆς — βίας G  45. μὲν οὖν] δὲ Gemistus  46. στελέχεσιν A(D)F Gemistus, στελέχεσι κλάδοις C, caeteri στελέχεσι καὶ κλάδοις  κατεστεγασμένη] κατεσκευασμένη Gemistus  51. σταδίους ABCDE Gemistus, caeteri στάδια  ἑκατὸν] *trecentis* Poggius  52. παρ' αὐτὸν τὸν ABD Gemistus, caeteri παρὰ τὸν  53. ἅμα ante καθαπερεὶ ponit Gemistus, omittit autem μὲν  56. μέσης] μέσον AB  57. καταφερομένου] φερομένου F Gemistus  βασιλείων] βασιλέων Gemistus, et mox πρὸς ἀνατολὰς ἔκειτο  59. κατεσκεύαστο] κατεσκευάσατο E pr.: ἀμφοτέρων δὲ πολυτελῶς κατεσκευασμένων πολὺ προεῖχε καὶ τῷ ὕψει καὶ τῇ ἄλλῃ πολητείᾳ (πολυτελείᾳ) τὰ πρὸς ἑσπέραν τὴν (τῶν) πρὸς ἕω Gemistus, omitten reliqua ad finem usque capitis p. 122. 91.  59. εἰς τὸ] haec supervacua  60. περίβολον] περιοχὴν gl. C: post id τῆς αὐλῆς omittunt AC(D)FG Poggius, asterisco ab Stephano notata  63. διετετύπωτο B(D)F, caeteri διετύπωτο  64. παντοδαπὰ τῇ] παντοδαπῇ D, παντοδαπεῖ A

122. 66. σταδίων] στάδια G  τετταράκοντα] τεσσαράκοντα omnes

ἀκρόπολιν, ἧς ἡ μὲν περίμετρος ἦν σταδίων εἴκοσι, τὸ δὲ μῆκος καὶ πλάτος τῆς οἰκοδομίας ὑπεραῖρον τοῦ μέσου τείχους τὴν κατασκευήν. ἐνῆσαν δ' ἔν τε τοῖς πύργοις καὶ τείχεσι ζῷα παντοδαπὰ φιλοτέχνως τοῖς τε χρώμασι καὶ τοῖς τῶν τύπων ἀπομιμήμασι κατεσκευασμένα· τὸ δ' ὅλον ἐπεποίητο κυνήγιον παντοίων θηρίων ὑπάρχον πλῆρες, ὧν ἦσαν τὰ μεγέθη πλεῖον ἢ πηχῶν τεττάρων. κατεσκεύαστο δ' ἐν αὐτοῖς καὶ ἡ Σεμίραμις ἀφ' ἵππου πάρδαλιν ἀκοντίζουσα, καὶ πλησίον αὐτῆς ὁ ἀνὴρ Νῖνος παίων ἐκ χειρὸς λέοντα λόγχῃ. ἐπέστησε δὲ καὶ πύλας τριττάς, ὑφ' ὧν ὑπῆρχον δίαιται χάλκεαι διὰ μηχανῆς ἀνοιγόμεναι. ταῦτα μὲν οὖν τὰ βασίλεια καὶ τῷ μεγέθει καὶ ταῖς κατασκευαῖς πολὺ προεῖχε τῶν ὄντων ἐπὶ θάτερα μέρη τοῦ ποταμοῦ. ἐκεῖνα γὰρ εἶχε τὸν μὲν περίβολον τοῦ τείχους τριάκοντα σταδίων ἐξ ὀπτῆς πλίνθου, ἀντὶ δὲ τῆς περὶ τὰ ζῷα φιλοτεχνίας χαλκᾶς εἰκόνας Νίνου καὶ Σεμιράμιδος καὶ τῶν ὑπάρχων, ἔτι δὲ Διός, ὃν καλοῦσιν οἱ Βαβυλώνιοι Βῆλον· ἐνῆσαν δὲ καὶ παρατάξεις καὶ κυνήγια παντοδαπά, ποικίλην ψυχαγωγίαν παρεχόμενα τοῖς θεωμένοις.

9 Μετὰ δὲ ταῦτα τῆς Βαβυλωνίας ἐκλεξαμένη τὸν ταπεινότατον τόπον ἐποίησε δεξαμενὴν τετράγωνον, ἧς ἦν ἑκάστη πλευρὰ σταδίων τριακοσίων, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεσκευασμένην καὶ τὸ βάθος ἔχουσαν ποδῶν τριάκοντα καὶ πέντε. εἰς ταύτην δ' ἀποστρέψασα τὸν ποταμὸν κατεσκεύασεν ἐκ τῶν ἐπὶ τάδε βασιλείων εἰς θάτερα διώρυγα· ἐξ ὀπτῆς δὲ πλίνθου συνοικοδομήσασα τὰς καμάρας ἐξ ἑκατέρου μέρους ἀσφάλτῳ κατέχρισεν ἡψημένῃ, μέχρι ὅτου τὸ πάχος τοῦ χρίσματος ἐποίησε πηχῶν τεττάρων. τῆς δὲ διώρυγος ὑπῆρχον οἱ

71. εἴκοσι AB(D), *triginta* Poggius, τριακόσια F, caeteri τριακοσίων μῆκος] *altitudo* Poggius 73. ἔν τε] ἐν C 77. πλεῖον] πλείω A 78. καὶ addunt (D)E ἡ Σ. DE, caeteri Σ. 79. ἀφ'] ἐφ' ABD interpunctione post ἵππου posita 81. τριττὰς] τρισσὰς omnes ὑφ'] ἐφ' ABD, *superque eas varia ex aere posita ornamenta* Poggius δίαιται] διὰ τὰ FGM, καὶ διαγωγαὶ addit C 82. χάλκεαι] χαλκαὶ αἱ D, χαλκέα M: scribendum videtur χαλκαῖ, revocandumque ad eandem formam si quid altero modo scribitur apud Diodorum 84. προεῖχε] προέχει ABD 88. ὑπάρχων] ὑπαρχόντων A 89. κυνήγια παντοδαπὰ] κυνηγίαι παντοδαπαὶ CE 90. ποικίλην] ποικίλον F 94. ἧς ἦν] εἰς ἣν FG τριακοσίων] διακοσίων Gemistus, Poggius 95. κατεσκευασμένην — ἔχουσαν A, caeteri κατεσκευασμένη — ἔχουσα 96. ταύτην δ'] ἣν Gemistus 97. τάδε] θάτερα A 100. ἡψημένῃ] ἑψομένῃ FG μέχρι ὅτου D, μέχρι τοῦ FG, caeteri μέχρις ὅτου 1. πηχῶν] πήχεων Gemistus τεττάρων AB Gemistus, caeteri τεσσάρων



μὲν τοῖχοι τὸ πλάτος ἐπὶ πλίνθους εἴκοσι, τὸ δ' ὕψος χωρὶς τῆς καμφθείσης ψαλίδος ποδῶν δώδεκα, τὸ δὲ πλάτος ποδῶν δεκαπέντε. ἐν ἡμέραις δ' ἑπτὰ κατασκευασθείσης αὐτῆς ἀποκατέστησε τὸν ποταμὸν ἐπὶ τὴν προϋπάρχουσαν ῥύσιν, ὥστε τοῦ ῥεύματος ἐπάνω τῆς διώ-
123 ρυγος φερομένου δύνασθαι τὴν Σεμίραμιν ἐκ τῶν πέραν βασιλείων ἐπὶ θάτερα διαπορεύεσθαι μὴ διαβαίνουσαν τὸν ποταμόν. ἐπέστησε δὲ καὶ πύλας τῇ διώρυγι χαλκᾶς ἐφ' ἑκάτερον μέρος, αἳ διέμειναν μέχρι τῆς τῶν Περσῶν βασιλείας. μετὰ δὲ ταῦτα ἐν μέσῃ τῇ πόλει κατεσκεύασεν ἱερὸν Διός, ὃν καλοῦσιν οἱ Βαβυλώνιοι, καθάπερ εἰρήκαμεν, Βῆλον. περὶ δὲ τούτου τῶν συγγραφέων διαφωνούντων, καὶ τοῦ κατασκευάσματος διὰ τὸν χρόνον καταπεπτωκότος, οὐκ ἔστιν ἀποφήνασθαι τἀκριβές. ὁμολογεῖται δ' ὑψηλὸν γεγενῆσθαι καθ' ὑπερβολήν, καὶ τοὺς Χαλδαίους ἐν αὐτῷ τὰς τῶν ἄστρων πεποιῆσθαι παρατηρήσεις, ἀκριβῶς θεωρουμένων τῶν τε ἀνατολῶν καὶ δύσεων διὰ τὸ τοῦ κατασκευάσματος ὕψος. τῆς δ' ὅλης οἰκοδομίας ἐξ ἀσφάλτου καὶ πλίνθου πεφιλοτεχνημένης πολυτελῶς ἐπ' ἄκρας τῆς ἀναβάσεως τρία κατεσκεύασεν ἀγάλματα χρυσᾶ σφυρήλατα, Διός, Ἥρας, Ῥέας. τούτων δὲ τὸ μὲν τοῦ Διὸς ἑστηκὸς ἦν καὶ διαβεβηκός, ὑπάρχον ποδῶν τετταράκοντα τὸ μῆκος, σταθμὸν δ' εἶχε χιλίων ταλάντων Βαβυλωνίων· τὸ δὲ τῆς Ῥέας ἐπὶ δίφρου καθήμενον χρυσοῦ τὸν ἴσον σταθμὸν εἶχε τῷ προειρημένῳ· ἐπὶ δὲ τῶν γονάτων αὐτῆς εἱστήκεισαν λέοντες δύο, καὶ πλησίον ὄφεις ὑπερμεγέθεις ἀργυροῖ, τριάκοντα ταλάντων ἕκαστος ἔχων τὸ βάρος. τὸ δὲ τῆς Ἥρας ἑστηκὸς ἦν ἄγαλμα, σταθμὸν ἔχον ταλάντων ὀκτακοσίων, καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατεῖχε τῆς κεφαλῆς ὄφιν, τῇ δὲ ἀριστερᾷ σκῆπτρον λιθοκόλλητον.

3. καμφθείσης] πεμφθείσης B 4. δώδεκα] δεκαδύο Gemistus 5. δεκαπέντε] v. ad p. 128. 96. δ' ἑπτὰ ABC(D)EF Poggius, Gemistus, caeteri δὲ διακοσίαις ἑξήκοντα 6. ἀποκατέστησε] ἐπέστησε A

123. 8. πέραν] πέρα Gemistus 9. θάτερα] τὰ θάτερα AD quo cum articulo etiam ἐπὶ repetendum foret 10. δὲ om. Gemistus 11. τῶν Περσῶν] Περσῶν AC Gemistus 13. καθάπερ εἰρήκαμεν non ponit Gemistus 14. δὲ τούτου] τούτου δὲ D 16. καταπεπτωκότος] πεπτωκότος E τἀκριβὲς] τὸ ἀκριβὲς Gemistus 22. πεφιλοτεχνημένης] φιλοτεχνημένης FG πολυτελῶς] ἐπιμελῶς Gemistus 23. τρία κατεσκ. ἀγ.] ἀγ. κατεσκεύασε Gemistus, tum pro illis Διός — 34. λιθοκόλλητον sic pergens: Διός τε καὶ ἄλλων θεῶν πολλῶν ταλάντων σταθμὸν ἕλκοντα 25. ὑπάρχον] ὑπάρχον δὲ D τετταράκοντα] τεσσαράκοντα omnes 30. ἀργυροῖ, τριάκοντα ταλάντων] ἀργυροὶ τριάκοντα, τάλαντον D 32. ὀκτακοσίων] ἑξακοσίων AB et correctus in margine D

τούτοις δ' ἅπασι κοινὴ παρέκειτο τράπεζα χρυσῆ σφυρήλατος, τὸ μὲν μῆκος ποδῶν τετταράκοντα, τὸ δ' εὖρος πεντεκαίδεκα, σταθμὸν ἔχουσα ταλάντων πεντακοσίων. ἐπὶ δὲ ταύτης ἐπέκειντο δύο καρχήσια, σταθμὸν ἔχοντα τριάκοντα ταλάντων. ἦσαν δὲ καὶ θυμιατήρια τὸν μὲν ἀριθμὸν ἴσα, τὸν δὲ σταθμὸν ἑκάτερον ταλάντων τριακοσίων. ὑπῆρχον δὲ καὶ κρατῆρες χρυσοῖ τρεῖς, ὧν ὁ μὲν τοῦ Διὸς εἷλκε τάλαντα Βαβυλώνια χίλια καὶ διακόσια, τῶν δ' ἄλλων ἑκάτερος ἑξακόσια. ἀλλὰ ταῦτα μὲν οἱ τῶν Περσῶν βασιλεῖς ὕστερον ἐσύλησαν· τῶν δὲ βασιλείων καὶ τῶν ἄλλων κατασκευασμάτων ὁ χρόνος τὰ μὲν ὁλοσχερῶς ἠφάνισε, τὰ δ' ἐλυμήνατο· καὶ γὰρ αὐτῆς τῆς Βαβυλῶνος νῦν βραχύ τι μέρος οἰκεῖται, τὸ δὲ πλεῖστον ἐντὸς τείχους γεωργεῖται.

10 Ὑπῆρχε δὲ καὶ ὁ κρεμαστὸς καλούμενος κῆπος παρὰ τὴν ἀκρόπολιν, οὐ Σεμιράμιδος ἀλλά τινος ὕστε- 124
ρον Σύρου βασιλέως κατασκευάσαντος χάριν γυναικὸς παλλακῆς. ταύτην γάρ φασιν οὖσαν τὸ γένος Περσίδα καὶ τοὺς ἐν τοῖς ὄρεσι λειμῶνας ἐπιζητοῦσαν ἀξιῶσαι τὸν βασιλέα μιμήσασθαι διὰ τῆς τοῦ φυτουργείου φιλοτεχνίας τὴν τῆς Περσίδος χώρας ἰδιότητα. ἔστι δ' ὁ παράδεισος τὴν μὲν πλευρὰν ἑκάστην παρεκτείνων εἰς τέτταρα πλέθρα, τὴν δὲ πρόςβασιν ὀρεινὴν καὶ τὰς οἰκοδομίας ἄλλας ἐξ ἄλλων ἔχων, ὥςτε τὴν πρόςοψιν εἶναι θεατροειδῆ. ὑπὸ δὲ ταῖς κατεσκευασμέναις ἀναβάσεσιν ᾠκοδόμηντο σύριγγες, ἅπαν μὲν ὑποδεχόμεναι τὸ τοῦ φυτουργείου βάρος, ἀλλήλων δ' ἐκ τοῦ κατ' ὀλίγον ἀεὶ μικρὸν ὑπερέχουσαι κατὰ τὴν πρόςβασιν· ἡ δ' ἀνωτάτη σῦριγξ οὖσα πεντήκοντα πηχῶν τὸ ὕψος εἶχεν

34. δ' ἅπασι] δὲ πᾶσι AD κοινὴ] κοινῇ D: Gemistus pro his καὶ τράπεζαν αὐτοῖς παρέθηκε χρυσῆν καὶ αὐτὴν σφυρήλατον, καὶ ἐπ' αὐτῆς καρχήσια καὶ θυμιτήρια καὶ κρατῆρας, ἅπαντα παμπολλῶν ταλάντων σταθμὸν ἕλκοντα 36. τετταράκοντα] τεσσαράκοντα omnes πέντε καὶ δέκα AD, caeteri δεκαπέντε, *duodecim* Poggius 37. ἔχουσα] ἕλκουσα CEQ πεντακοσίων] *quinquaginta* Poggius 40. τριακοσίων] *triginta* Poggius 41. χρυσοῖ] χρυσοὶ D, ut 35. χρυσὴ τρεῖς] δέκα ABDG 47. νῦν om. F Gemistus, asterisco notavit Stephanus 49. ὑπῆρχε] ὑπάρχει ADEFG, ὑπάρχῃ B

124. 51. Σύρου] Ἀσσυρίου Gemistus 52. παλλακῆς] παλλακίς D, παλλακίδος A γὰρ om. Gemistus Περσίδα] Μηδίαν Gemistus hic et 55. 54. φυτουργείου AD, φυτουργοῦ G, caeteri φυτουργίου 55. ὁ] ὁ μὲν D 57. οἰκοδομίας] οἰκοδομὰς Gemistus 59. ὑπὸ δὲ ταῖς κατεσκευασμέναις ἀναβάσεσιν] ἀπὸ δὲ τῶν κατεσκευασμένων ἀναβάσεων A 60. ὑποδεχόμεναι ABD, caeteri ἀναδεχόμεναι 61. φυτουργείου AD, caeteri φυτουργίου 63. ἀνωτάτη] ἀνωτάτω ABD Gemistus πηχῶν] πήχεων Gemistus



ἐφ' αὐτῇ τοῦ παραδείσου τὴν ἀνωτάτην ἐπιφάνειαν συνεξισουμένην τῷ περιβόλῳ τῶν ἐπάλξεων. ἔπειθ' οἱ μὲν τοῖχοι πολυτελῶς κατεσκευασμένοι τὸ πάχος εἶχον ποδῶν εἴκοσι δύο, τῶν δ' ἐξόδων ἑκάστη τὸ πλάτος δέκα. τὰς δ' ὀροφὰς κατεστέγαζον λίθιναι δοκοί, τὸ μὲν μῆκος σὺν ταῖς ἐπιβολαῖς ἔχουσαι ποδῶν ἑκκαίδεκα, τὸ δὲ πλάτος τεττάρων. τὸ δ' ἐπὶ ταῖς δοκοῖς ὀρόφωμα πρῶτον μὲν εἶχεν ὑπεστρωμένον κάλαμον μετὰ πολλῆς ἀσφάλτου, μετὰ δὲ ταῦτα πλίνθον ὀπτὴν διπλῆν ἐν γύψῳ δεδεμένην, τρίτην δ' ἐπιβολὴν ἐπεδέχετο μολιβᾶς στέγας πρὸς τὸ μὴ διικνεῖσθαι κατὰ βάθος τὴν ἐκ τοῦ χώματος νοτίδα. ἐπὶ δὲ τούτοις ἐσεσώρευτο γῆς ἱκανὸν βάθος, ἀρκοῦν ταῖς τῶν μεγίστων δένδρων ῥίζαις· τὸ δ' ἔδαφος ἐξωμαλισμένον πλῆρες ἦν παντοδαπῶν δένδρων τῶν δυναμένων κατά τε τὸ μέγεθος καὶ τὴν ἄλλην χάριν τοὺς
125 θεωμένους ψυχαγωγῆσαι. αἱ δὲ σύριγγες τὰ φῶτα δεχόμεναι ταῖς δι' ἀλλήλων ὑπεροχαῖς πολλὰς καὶ παντοδαπὰς εἶχον διαίτας βασιλικάς· μία δ' ἦν ἐκ τῆς ἀνωτάτης ἐπιφανείας διατομὰς ἔχουσα καὶ πρὸς τὰς ἐπαντλήσεις τῶν ὑδάτων ὄργανα, δι' ὧν ἀνεσπᾶτο πλῆθος ὕδατος ἐκ τοῦ ποταμοῦ μηδενὸς τῶν ἔξωθεν τὸ γινόμενον συνιδεῖν δυναμένου. οὗτος μὲν οὖν ὁ παράδεισος, ὡς προεῖπον, ὕστερον κατεσκευάσθη.

Ἡ δὲ Σεμίραμις ἔκτισε καὶ ἄλλας πόλεις παρὰ τὸν 11
ποταμὸν τόν τε Εὐφράτην καὶ τὸν Τίγριν, ἐν αἷς ἐμπόρια κατεσκεύασε τοῖς φορτία διακομίζουσιν ἐκ τῆς

64. ἐφ'] ἐν Gemistus, caeteri ἐπ' αὐτῇ] ἑαυτῇ Gemistus, αὑτῇ caeteri ἀνωτάτην] ἀνωτάτω Gemistus 66. οἱ μὲν τοῖχοι] οἱ μὲν τεῖχος Gemistus κατεσκευασμένοι ABD, ἠσφαλισμένοι caeteri 67. εἴκοσι δύο] δύο G, caeteri εἰκοσιδύο δ' ἐξόδων] δὲ διεξόδων D, δὲ διόδων Gemistus 68. δέκα] *duodecim* Poggius, qui mira sed non insueta sibi confusione post illud v. 64. ἐπιφάνειαν ponit *earum latitudo pedes erant duodecim*

69. ἑκκαίδεκα Gemistus, δέκα ἓξ BD Gemistus Wesselingii, ἓξ καὶ δέκα ed. Wesselingii, ις̅ Stephaniana 70. τεττάρων] τέτταρας Gemistus, caeteri τεσσάρων: *sex* Poggius 71. κάλαμον] καλάμους Gemistus 74. ἐπεδέχετο] ἐδέχετο ABFG, om. Gemistus μολιβᾶς] μολυβᾶς ABDFG, μωλυπὰς C, μολυβδίνας Gemistus Wesselingii, μολιβδίδας meus 75. post νοτίδα pergit Poggius *aquarum insuper receptacula, quibus humor efflueret* 76. ἀρκοῦν Gemistus meus: libri ἀρκούμενον 79. κατά τε] κατὰ AD τὸ om. Gemistus

125. 80. ψυχαγωγῆσαι] ψυχαγωγεῖν Gemistus 83. ἀνωτάτης] ἀνωτάτω A Gemistus 84. ἐπαντλήσεις B(D) Gemistus, ἀπαντλήσεις A, caeteri ὑπαντλήσεις 89. Τίγριν] Τίγρητα Gemistus ascriptoque in marg. Τίγρην FG 90. διακομίζουσιν] κομίζουσιν A Gemistus ἐκ τῆς] ἔκ τε Gemistus

*Μηδίας καὶ Παραιτακηνῆς καὶ πάσης τῆς σύνεγγυς χώρας. μετὰ γὰρ τὸν Νεῖλον καὶ Γάγγην ὄντες ἐπισημότατοι σχεδὸν τῶν κατὰ τὴν Ἀσίαν ποταμῶν Εὐφράτης καὶ Τίγρις τὰς μὲν πηγὰς ἔχουσιν ἐκ τῶν Ἀρμενίων ὀρῶν, διεστήκασι δ' ἀπ' ἀλλήλων σταδίους δισχιλίους καὶ πεντακοσίους. ἐνεχθέντες δὲ διὰ Μηδίας καὶ Παραιτακηνῆς ἐμβάλλουσιν εἰς τὴν Μεσοποταμίαν, ἣν ἀπολαμβάνοντες εἰς μέσον αἴτιοι κατέστησαν τῇ χώρᾳ ταύτης τῆς προσηγορίας· μετὰ δὲ ταῦτα τὴν Βαβυλωνίαν διελόντες εἰς τὴν ἐρυθρὰν ἐξερεύγονται θάλατταν. μεγάλοι δ' ὄντες καὶ συχνὴν χώραν διαπορευόμενοι πολλὰς ἀφορμὰς παρέχονται τοῖς ἐμπορικῇ χρωμένοις ἐργασίᾳ· διὸ καὶ συμβαίνει τοὺς παραποταμίους τόπους πλήρεις ὑπάρχειν ἐμπορίων εὐδαιμόνων καὶ μεγάλα συμβαλλομένων πρὸς τὴν τῆς Βαβυλωνίας ἐπιφάνειαν. ἡ δὲ Σεμίραμις ἐκ τῶν Ἀρμενίων ὀρῶν λίθον ἔτεμε τὸ μὲν μῆκος ποδῶν ἑκατὸν καὶ τριάκοντα, τὸ πλάτος δὲ καὶ πάχος εἴκοσι καὶ πέντε. τοῦτον δὲ πολλοῖς πλήθεσι ζευγῶν* 126
*ὀρικῶν τε καὶ βοϊκῶν καταγαγοῦσα πρὸς τὸν ποταμὸν ἐπεβίβασεν ἐπὶ τὴν σχεδίαν· ἐπὶ ταύτης δὲ κατακομίσασα κατὰ τοῦ ῥεύματος μέχρι τῆς Βαβυλωνίας ἔστησεν αὐτὸν παρὰ τὴν ἐπισημοτάτην ὁδόν, παράδοξον θέαμα τοῖς παριοῦσιν· ὃν τινες ὀνομάζουσιν ἀπὸ τοῦ σχήματος ὀβελίσκον, ὃν ἐν τοῖς ἑπτὰ τοῖς κατονομαζομένοις ἔργοις καταριθμοῦσι.*

91. *Παραιτακηνῆς*] *παρὰ Ἐτακίνης* ABD, *Παραιτακυήνης* Gemistus Wesselingii, *Παραιτακηνῆς* et ab altera manu *Παραιτακυνῆς* meus, *Paretanis* Poggius hic et 96. 92. *καὶ Γάγγην*] *καὶ Ἰνδὸν καὶ Γάγγην* Gemistus, quae ne ipsius sit correctio vereor *ὄντες* post *ποταμῶν* ponit Gemistus 94. *Τίγρις*] *Τίγρης* Gemistus 95. *δισχιλίους* AB(D), caeteri *χιλίους*: *διεστήκασι — πεντακοσίους* om. Gemistus 96. *Παραιτακηνῆς*] *παρ' αἰτακήνης* FG, *παρ' ἐτακίνης* ABD, *Παραιτακυήνης* Gemistus Wesselingii, *Παραιτακυνῆς* meus 97. *ἐμβάλλουσιν — ἀπολαμβάνοντες*] *ἐμβάλλοντες* AB 99. *ταύτης*] *ταύτῃ* Gemistus 100. *διελόντες*] *διελθόντες* Gemistus, ut coniecerat Reiskius *τὴν* om. Gemistus *θάλατταν* D, caeteri *θάλασσαν* 1. *συχνὴν*] *στενὴν* FGQ, *alveo compresso* Poggius *διαπορευόμενοι* A(D) Gemistus, caeteri praeponunt *ἔχοντες καί*, nisi quod *καὶ* deest F, *ἔχοντες* punctis notat G 2. *τοῖς ἐμπορικῇ — ἐργασίᾳ*] *τῆς ἐμπορικῆς — ἐργασίαν* Gemistus 4. *ἐμπορίων*] *ἐμπορῶν* G, *mercatores* Poggius 5. *συμβαλλομένων*] *συμβαλομένους* Gemistus *Βαβυλωνίας*] *Βαβυλῶνος* G Gemistus 7. *καὶ τριάκοντα*] *τριάκοντα* AF Gemistus, *καὶ ν'* G Poggius 8. *δὲ* ante *πλάτος* ponit D Gemistus *εἴκοσι καὶ πέντε* ABD, caeteri *εἰκοσιπέντε*: *quattuor et viginti* Poggius: post id *ποδῶν* addit D
126. 9. *ὀρικῶν* AB(D), caeteri *ὀνικῶν* *τὸν ποταμὸν — τὴν σχεδίαν*] *τὴν σχεδίαν — τὸν ποταμὸν* Gemistus 10. *ἐπὶ* D, *εἰς* Gemistus, caeteri *πρὸς* 11. *κατακομίσασα*] *παρακομίσασα* AB Gemistus *κατὰ* om. Gemistus *Βαβυλωνίας*] *Βαβυλῶνος* G



12 *Πολλῶν δὲ καὶ παραδόξων ὄντων θεαμάτων κατὰ τὴν Βαβυλωνίαν οὐχ ἥκιστα θαυμάζεται καὶ τὸ πλῆθος τῆς ἐν αὐτῇ γεννωμένης ἀσφάλτου. τοσοῦτον γάρ ἐστιν ὥστε μὴ μόνον ταῖς τοσαύταις καὶ τηλικαύταις οἰκοδομίαις διαρκεῖν, ἀλλὰ καὶ συλλεγόμενον τὸν λαὸν ἀφειδῶς ἀρύεσθαι καὶ ξηραίνοντα καίειν ἀντὶ ξύλων. ἀναριθμήτων δὲ τὸ πλῆθος ἀνθρώπων ἀρυομένων καθάπερ ἔκ τινος πηγῆς μεγάλης ἀκέραιον διαμένει τὸ πλήρωμα. ἔστι δὲ καὶ πλησίον τῆς πηγῆς ταύτης ἀνάδοσις τῷ μὲν μεγέθει βραχεῖα, δύναμιν δὲ θαυμάσιον ἔχουσα. προσβάλλει γὰρ ἀτμὸν θειώδη καὶ βαρύν, ᾧ τὸ προσελθὸν ζῷον ἅπαν ἀποθνήσκει, περιπῖπτον ὀξείᾳ καὶ παραδόξῳ τελευτῇ· πνεύματος γὰρ κατοχῇ χρόνον ὑπομεῖναν διαφθείρεται, καθάπερ κωλυομένης τῆς τοῦ πνεύματος ἐκφορᾶς ὑπὸ τῆς προσπεσούσης ταῖς ἀναπνοαῖς δυνάμεως· εὐθὺς δὲ διοιδεῖ καὶ πίμπραται τὸ σῶμα, μάλιστα τοὺς περὶ τὸν πνεύμονα τόπους. ἔστι δὲ καὶ πέραν τοῦ ποταμοῦ λίμνη στερεὸν ἔχουσα τὸν περὶ αὐτὴν τύπον, εἰς ἣν ὅταν τις ἐμβῇ τῶν ἀπείρων, ὀλίγον μὲν νήχεται χρόνον, προϊὼν δ' εἰς τὸ μέσον καθάπερ ὑπό τινος βίας κατασπᾶται· ἑαυτῷ δὲ βοηθῶν καὶ πάλιν ἀναστρέψαι προαιρούμενος ἀντέχεται μὲν τῆς ἐκβάσεως, ἀντισπωμένῳ δ' ὑπό τινος ἔοικε. καὶ τὸ μὲν πρῶτον ἀπονεκροῦται τοὺς πόδας, εἶτα τὰ σκέλη μέχρι τῆς ὀσφύος, τὸ δὲ τελευταῖον ὅλον τὸ σῶμα νάρκῃ κρατηθεὶς φέρεται πρὸς βυθόν, καὶ μετ' ὀλίγον τετελευτηκὼς ἀναβάλλεται. περὶ*

13. *ὃν*] *καὶ* Gemistus 14. *ἑπτὰ τοῖς*] *ἑπτὰ* AG 18. *γεννωμένης*] *γινομένης* Gemistus *ὥστε*] *ὡς* FG 19. *οἰκοδομίαις*] *οἰκοδομαῖς* Gemistus 20. *διαρκεῖν*] *ἐξαρκεῖν* Gemistus *λαὸν*] *τὸν τόπον* subiiciunt AB, *ἐπὶ τὸν τόπον* D 21. *ἀρύεσθαι*] *ἀνύεσθαι* A, *ἀρεύεσθαι* Gemistus *ξηραίνοντα*] *ξηραίνοντας* Gemistus 22. *δὲ*] *τε* Gemistus 23. *διαμένει*] *διαμένειν* Gemistus 25. *θαυμάσιον*] *θαυμασίαν* A Gemistus 26. *προσβάλλει*] *προβάλλει* D *ex rasura* *βαρὺν* AB(D)F Gemistus, caeteri *βαρύνοντα* *ᾧ*] *ὅθεν* E, *ὀθ'* (sic) C 28. *χρόνον*] *χρόνον ὀλίγον* Gemistus 30. *ἐκφορᾶς*] *φορᾶς* AD, *ἐμφορᾶς* a pr. manu Gemistus *προσπεσούσης*] *προσεχούσης* Gemistus 31. *εὐθὺς* Gemistus, caeteri *εὐθὺ* *διοιδεῖ*] *διοιδῇ* D *πίμπραται*] *πιμπρᾶται* D 32. *μάλιστα*] *καὶ μάλιστα* Gemistus *πνεύμονα τόπους*] *πνεύματος τόπον* FGM 33. *πέραν*] *πόῤῥω* Gemistus *στερεὸν*] *brevi* Poggius 34. *αὐτὴν*] *αὐτὴν* Gemistus *τύπον* Reiskius, *πῆγον* A, *πόλιν* B, caeteri *τόπον* 36. *ἑαυτῷ*] *αὐτῷ* Gemistus 37. *προαιρούμενος*] *βουλόμενος* M 38. *ἀντισπωμένῳ*] *ἀντισπωμένων* D, *ἀντισπώμενος* A 39. *μέχρι*] *μέχρις* Gemistus 41. *πρὸς*] *εἰς* Gemistus

μὲν οὖν τῶν ἐν τῇ Βαβυλωνίᾳ θαυμαζομένων ἀρκείτω τὰ ῥηθέντα.

13 Ἡ δὲ Σεμίραμις ἐπειδὴ τοῖς ἔργοις ἐπέθηκε πέρας, ἀνέζευξεν ἐπὶ Μηδίας μετὰ πολλῆς δυνάμεως. καταντήσασα δὲ πρὸς ὄρος τὸ καλούμενον Βαγίστανον πλησίον αὐτοῦ κατεστρατοπέδευσε, καὶ κατεσκεύασε παράδεισον, ὃς τὴν μὲν περίμετρον ἦν δώδεκα σταδίων, ἐν πεδίῳ δὲ κείμενος εἶχε πηγὴν μεγάλην, ἐξ ἧς ἀρδεύεσθαι συνέβαινε τὸ φυτουργεῖον. τὸ δὲ Βαγίστανον ὄρος ἐστὶ μὲν ἱερὸν Διός, ἐκ δὲ τοῦ παρὰ τὸν παράδεισον μέρους ἀποτομάδας 127 ἔχει πέτρας εἰς ὕψος ἀνατεινούσας ἑπτακαίδεκα σταδίους. οὗ τὸ κατώτατον μέρος καταξύσασα τὴν ἰδίαν ἐνεχάραξεν εἰκόνα, δορυφόρους αὐτῇ παραστήσασα ἑκατόν· ἐπέγραψε δὲ καὶ Συρίοις γράμμασιν εἰς τὴν πέτραν ὅτι Σεμίραμις τοῖς σάγμασι τοῖς τῶν ἀκολουθούντων ὑποζυγίων ἀπὸ τοῦ πεδίου χώσασα τὸν προειρημένον κρημνὸν διὰ τούτων εἰς τὴν ἀκρώρειαν προσανέβη. ἐντεῦθεν δ' ἀναζεύξασα καὶ παραγενομένη πρὸς Χαύονα πόλιν τῆς Μηδίας, κατενόησεν ἔν τινι μετεώρῳ πεδίῳ πέτραν τῷ τε ὕψει καὶ τῷ μεγέθει καταπληκτικήν. ἐνταῦθα οὖν ἕτερον παράδεισον ὑπερμεγέθη κατεσκεύασεν, ἐν μέσῳ τὴν πέτραν ἀπολαβοῦσα, καθ' ἣν οἰκοδομήματα πολυτελῆ πρὸς τρυφὴν ἐποίησεν, ἐξ ὧν τά τε κατὰ τὸν παράδεισον ἀπεθεώρει φυτουργεῖα καὶ πᾶσαν τὴν στρατιὰν παρεμβεβληκυῖαν ἐν τῷ πεδίῳ. ἐν τούτῳ δὲ τῷ

42. τῶν om. idem τῇ Β.] Β. A Gemistus 43. θαυμαζομένων omisit M ἀρκείτω ABD Gemistus, caeteri ἀρκείσθω 44. τοῖς] τούτοις τοῖς Gemistus 46. ὄρος] τὸ ὄρος Gemistus Βαγίστανον] Μαγίστανον CEMQV semper, Βαγίσανον G 47. κατεστρ. καὶ om. AD 49. δὲ post πεδίῳ ponunt, non interpungentes post κείμενος, ACDEQ Gemistus, post εἶχε, posita post κείμενος interpunctione, caeteri εἶχε] εἶχεν D 50. φυτουργεῖον D, caeteri φυτούργιον Βαγίστανον] Βαγιστάνου G 51. Διὸς om. A παρὰ τὸν παράδεισον] παραδείσου FGQ

127. 53. ἑπτακαίδεκα σταδίους ABD, ἑπτακαίδεκα σταδίων Gemistus, caeteri στάδια ἑπτακαίδεκα τὸ κατώτατον] τῷ κατωτάτω Gemistus 54. ἐνεχάραξεν] ἀνεχάραξεν AB δορυφόρους] *dona ferentes* i. e. δωροφόρους Poggius 55. αὑτῇ (D) ed. Wesselingii, αὐτῇ caeteri παραστήσασα ABC(D) Gemistus, caeteri ἐπιστήσασα ἐπέγραψε — 59. προσανέβη praeteriit Gemistus 59. εἰς] πρὸς FG correcti in marg. ἀκρώρειαν] ἀκρώριαν D 60. Χαύονα G, Χάθωνα AB, Χάτωνα D, Χάωνα Gemistus, caeteri Χάονα 63. τὴν πέτραν AB(D) Gemistus, τῆς πόλεως FG, caeteri τῆς πέτρας 65. ἐποίησεν ABD, caeteri ἐπέθηκεν 66. ἀπεθεώρει] ἐθεώρει AB φυτουργεῖα D, φυτουργίᾳ Gemistus, caeteri φυτούργια παρεμβεβληκυῖαν] παραβεβληκυῖαν F Gemistus 67. ἐν τῷ πεδίῳ] εἰς τὸ πεδίον EQV, ἐν πεδίῳ Gemistus



τόπῳ συχνὸν ἐνδιατρίψασα χρόνον καὶ πάντων τῶν εἰς τρυφὴν ἀνηκόντων ἀπολαύσασα, γῆμαι μὲν νομίμως οὐκ ἠθέλησεν, εὐλαβουμένη μήποτε στερηθῇ τῆς ἀρχῆς, ἐπιλεγομένη δὲ τῶν στρατιωτῶν τοὺς εὐπρεπείᾳ διαφέροντας τούτοις ἐμίσγετο, καὶ πάντας τοὺς αὐτῇ πλησιάσαντας ἠφάνιζε. μετὰ δὲ ταῦτα ἐπ' Ἐκβατάνων τὴν πορείαν ποιησαμένη παρεγένετο πρὸς ὄρος τὸ Ζαρκαῖον καλούμενον. τοῦτο δ' ἐπὶ πολλοὺς παρῆκον σταδίους καὶ πλῆρες ὂν κρημνῶν καὶ φαράγγων μακρὰν εἶχε τὴν περίοδον. ἐφιλοτιμεῖτο οὖν ἅμα μὲν μνημεῖον ἀθάνατον ἑαυτῆς ἀπολιπεῖν, ἅμα δὲ σύντομον ποιήσασθαι τὴν ὁδόν. διόπερ τούς τε κρημνοὺς κατακόψασα καὶ τοὺς κοίλους τόπους χώσασα σύντομον καὶ πολυτελῆ κατεσκεύασεν ὁδόν, ἣ μέχρι τοῦ νῦν ἀπ' ἐκείνης Σεμιράμιδος καλεῖται. παραγενηθεῖσα δ' εἰς Ἐκβάτανα, πόλιν ἐν πεδίῳ κειμένην, κατεσκεύασεν ἐν αὐτῇ πολυτελῆ βασίλεια καὶ τὴν ἄλλην ἐπιμέλειαν ἐποιήσατο τοῦ τόπου περιττοτέραν. ἀνύδρου γὰρ οὔσης τῆς πόλεως καὶ μηδαμοῦ σύνεγγυς ὑπαρχούσης πηγῆς, ἐποίησεν αὐτὴν πᾶσαν κατάρρυτον, ἐπαγαγοῦσα πλεῖστον καὶ κάλλιστον ὕδωρ μετὰ πολλῆς κακοπαθείας τε καὶ δαπάνης. τῶν γὰρ Ἐκβατάνων ὡς δώδεκα σταδίους ἀπέχον ἐστὶν ὄρος ὃ καλεῖται μὲν Ὀρόντης, τῇ δὲ τραχύτητι καὶ τῷ πρὸς ὕψος ἀνατείνοντι μεγέθει διάφορον, ὡς ἂν τὴν πρόσβασιν ἔχον ὄρθιον ἕως τῆς ἀκρωρείας σταδίων εἴκοσι πέντε. ἐκ θατέρου δὲ μέρους οὔσης λίμνης μεγάλης εἰς ποταμὸν ἐκβαλλούσης 128 διέσκαψε τὸ προειρημένον ὄρος κατὰ τὴν ῥίζαν. ἦν δὲ ἡ διῶρυξ τὸ μὲν πλάτος ποδῶν δεκαπέντε, τὸ δ' ὕψος

68. ἐνδιατρ.] διατρ. Gemistus 69. γῆμαι — 73. ἠφάνιζε praeteriit Gemistus νομίμως] ὅλως FG correcti in marg. 73. μετὰ δὲ] μετὰ Gemistus ἐπ'] ἀπ' AB Ἐκβατάνων] Ἐκβατανῶν hic et infra Gemistus τὴν πορείαν ποιησαμένη] πορευομένη Gemistus 74. παρεγένετο] παρεγενήθη CE, παρεγήθη F Ζαρκαῖον] Βαρκαῖον B, Ζβαρκαῖον D, *Iarcieum* Poggius 78. ἑαυτῆς om. Gemistus 81. ἀπ' ἐκείνης om. AD Gemistus 82. παραγενομένη] παραγενηθεῖσα ABD: παραγενομένη — κειμένην] παραγενομένην Gemistus 85. περιττοτέραν] περιττοτέρων Gemistus, ω quidem ab altera manu 86. πηγῆς] τῆς πηγῆς Gemistus 89. ὡς om. AD σταδίους] στάδια G, σταδίων Gemistus 91. ὡς — 92. ὄρθιον om. AB D 93. εἴκοσι πέντε] πέντε Gemistus, caeteri εἰκοσιπέντε 94. ἐκβαλλούσης] ἐμβαλούσης Gemistus τὸ omisit Gemistus

128. 95. διῶρυξ] ἡ διώρυξις Gemistus 96. δεκαπέντε] ιέ Gemistus: scribendum puto πεντεκαίδεκα eodemque modo corrigenda esse quae infra similia reperiuntur, quamvis Heracleensium tabularum auctoritatem prae se ferentia: conf. ad p. 123. 36. 664. 99. Schweigh. ad Polybium vol. V. p. 259.

τετταράκοντα· δι' ἧς ἐπαγαγοῦσα τὸν ἐκ τῆς λίμνης ποταμὸν ἐπλήρωσε τὴν πόλιν ὕδατος. ταῦτα μὲν οὖν
14 ἐποίησεν ἐν τῇ Μηδίᾳ. μετὰ δὲ ταῦτα ἐπῆλθε τήν τε
100 Περσίδα καὶ τὴν ἄλλην χώραν ἅπασαν ἧς ἐπῆρχε κατὰ τὴν Ἀσίαν. πανταχοῦ δὲ τὰ μὲν ὄρη καὶ τὰς ἀποῤῥῶγας πέτρας διακόπτουσα κατεσκεύασεν ὁδοὺς πολυτελεῖς, ἐν δὲ τοῖς πεδίοις ἐποίει χώματα, ποτὲ μὲν τάφους κατασκευάζουσα τοῖς τελευτῶσι τῶν ἡγεμόνων, ποτὲ δὲ πόλεις ἐν τοῖς ἀναστήμασι κατοικίζουσα. εἰώθει δὲ καὶ κατὰ τὰς στρατοπεδείας μικρὰ χώματα κατασκευάζειν, ἐφ' ὧν καθιστᾶσα τὴν ἰδίαν σκηνὴν ἅπασαν κατώπτευε τὴν παρεμβολήν· διὸ καὶ πολλὰ κατὰ τὴν Ἀσίαν μέχρι τοῦ νῦν διαμένει τῶν ὑπ' ἐκείνης κατασκευασθέντων καὶ καλεῖται Σεμιράμιδος ἔργα. μετὰ δὲ ταῦτα τήν τε Αἴγυπτον πᾶσαν ἐπῆλθε καὶ τῆς Λιβύης τὰ πλεῖστα καταστρεψαμένη παρῆλθεν εἰς Ἄμμωνα, χρησομένη τῷ θεῷ περὶ τῆς ἰδίας τελευτῆς. λέγεται δ' αὐτῇ γενέσθαι λόγιον ἐξ ἀνθρώπων ἀφανισθήσεσθαι καὶ κατὰ τὴν Ἀσίαν παρ' ἐνίοις τῶν ἐθνῶν ἀθανάτου τεύξεσθαι τιμῆς· ὅπερ ἔσεσθαι καθ' ὃν ἂν χρόνον ὁ υἱὸς αὐτῇ Νινύας ἐπιβουλεύσῃ. ἀπὸ δὲ τούτων γενομένη τῆς Αἰθιοπίας ἐπῆλθε τὰ πλεῖστα καταστρεφομένη καὶ τὰ κατὰ τὴν χώραν θεωμένη παράδοξα. εἶναι γὰρ ἐν αὐτῇ φασι λίμνην τετράγωνον τὴν μὲν περίμετρον ἔχουσαν ποδῶν ὡς ἑκατὸν ἑξήκοντα, τὸ δ' ὕδωρ τῇ μὲν χρόᾳ παραπλήσιον κινναβάρει, τὴν δ' ὀσμὴν καθ' ὑπερβολὴν ἡδεῖαν, οὐκ ἀνόμοιον οἴνῳ παλαιῷ· δύναμιν δ' ἔχειν παράδοξον· τὸν γὰρ πιόντα φασὶν εἰς μανίαν ἐμπίπτειν καὶ πάνθ' ἃ πρότερον διέλαθεν ἁμαρτήσας ἑαυτοῦ κατηγορεῖν. τοῖς μὲν οὖν ταῦτα λέγουσιν οὐκ ἄν τις ῥᾳδίως συγκατάθοιτο.

15 Ταφὰς δὲ τῶν τελευτησάντων ἰδίως οἱ κατὰ τὴν Αἰθιοπίαν ποιοῦνται. ταριχεύσαντες γὰρ τὰ σώματα καὶ περιχέαντες αὐτοῖς πολλὴν ὕελον ἱστᾶσιν ἐπὶ στήλης,

τετταράκοντα] *quadraginta quinque* Poggius 97. ἐπαγαγοῦσα] ἀπαγαγοῦσα ABD τῆς om. Gemistus 100. τήν τε Περσίδα καὶ τὴν om. A 2. ἀποῤῥῶγας πέτρας AB(D)F Gemistus, caeteri ἀποῤῥῶγας 3. κατεσκεύασεν] κατεσκεύαζεν Gemistus 6. καὶ] καὶ τὰ D 7. κατασκευάζειν] σκευάζειν Gemistus ἐφ'] ἀφ' AB 8. σκηνὴν] σκευὴν Gemistus 10. διαμένει] διαμένειν a. pr. manu Gemistus 13. Ἄμμωνα] Ἄμμωνος F Gemistus 16. τεύξεσθαι] τεύξασθαι Gemistus 17. αὐτῇ] αὐτῆς Gemistus Νινύας] Νυνίας A, *Ninus* Poggius 19. καὶ τὰ — 129. 51. διεξίωμεν praeteriit Gemistus 22. χρόᾳ] χροίᾳ G 23. κινναβάρει] κενναβάρει A, κεννάβαρι D 24. ἀνόμοιον] ἀνομοίαν AB 30. περιχέαντες AD, caeteri περιχεύσαντες 31. πολλὴν ὕελον C(D)M, πολὺν ὕελον A, πολλὴν ὕλον E, *in vasis*



ὥστε τοῖς παριοῦσι φαίνεσθαι διὰ τῆς ὑέλου τὸ τοῦ τετελευτηκότος σῶμα, καθάπερ Ἡρόδοτος εἴρηκε. Κτησίας δ' ὁ Κνίδιος ἀποφαινόμενος τοῦτον σχεδιάζειν, αὐτός φησι τὸ μὲν σῶμα ταριχεύεσθαι, τὴν μέντοι γε ὕελον μὴ περιχεῖσθαι γυμνοῖς τοῖς σώμασι· κατακαυθήσεσθαι γὰρ ταῦτα καὶ λυμανθέντα τελείως τὴν ὁμοιότητα μὴ δυνήσεσθαι διατηρεῖν. διὸ καὶ χρυσῆν εἰκόνα κατα-
129 σκευάζεσθαι κοίλην, εἰς ἣν ἐντεθέντος τοῦ νεκροῦ περὶ τὴν εἰκόνα χεῖσθαι τὴν ὕελον· τοῦ δὲ κατασκευάσματος τεθέντος ἐπὶ τὸν τάφον διὰ τῆς ὑέλου φανῆναι τὸν χρυσὸν ἀφωμοιωμένον τῷ τετελευτηκότι. τοὺς μὲν οὖν πλουσίους αὐτῶν οὕτω θάπτεσθαί φησι, τοὺς δ' ἐλάττονας καταλιπόντας οὐσίας ἀργυρᾶς τυγχάνειν εἰκόνος, τοὺς δὲ πένητας κεραμίνης· τὴν δὲ ὕελον πᾶσιν ἐξαρκεῖν διὰ τὸ πλείστην γεννᾶσθαι κατὰ τὴν Αἰθιοπίαν καὶ τελέως παρὰ τοῖς ἐγχωρίοις ἐπιπολάζειν. περὶ δὲ τῶν νομίμων τῶν παρὰ τοῖς Αἰθίοψι καὶ τῶν ἄλλων τῶν γινομένων ἐν τῇ τούτων χώρᾳ τὰ κυριώτατα καὶ μνήμης ἄξια μικρὸν ὕστερον ἀναγράψομεν, ὅταν καὶ τὰς παλαιὰς αὐτῶν πράξεις καὶ μυθολογίας διεξίωμεν.

16 Ἡ δὲ Σεμίραμις καταστήσασα τά τε κατὰ τὴν Αἰθιοπίαν καὶ τὴν Αἴγυπτον ἐπανῆλθε μετὰ τῆς δυνάμεως εἰς Βάκτρα τῆς Ἀσίας. ἔχουσα δὲ δυνάμεις μεγάλας καὶ πολυχρόνιον εἰρήνην ἄγουσα φιλοτίμως ἔσχε πρᾶξαί τι λαμπρὸν κατὰ πόλεμον. πυνθανομένη δὲ τὸ τῶν Ἰνδῶν ἔθνος μέγιστον εἶναι τῶν κατὰ τὴν οἰκουμένην καὶ πλείστην τε καὶ καλλίστην χώραν νέμεσθαι, διενοεῖτο στρατεύειν εἰς τὴν Ἰνδικήν, ἧς ἐβασίλευε μὲν Σταβροβάτης κατ' ἐκείνους τοὺς χρόνους, στρατιωτῶν δ' εἶχεν ἀναρίθμητον πλῆθος· ὑπῆρχον δ' αὐτῷ καὶ ἐλέφαντες πολλοὶ καθ' ὑπερβολὴν λαμπρῶς κεκοσμημένοι τοῖς εἰς τὸν πόλεμον καταπληκτικοῖς. ἡ γὰρ Ἰνδικὴ χώρα διάφορος οὖσα τῷ κάλλει καὶ πολλοῖς διειλημμένη ποταμοῖς ἀρ-

*vitreis nuda condentes* Poggius, caeteri πολλὴν ὕλην 32. τετελευτηκότος] τεθνηκότος M 37. τελείως] τελέως nescio qui Wesselingii 38. δυνήσεσθαι] δύνασθαι B

129. 41. τάφον AB(D), caeteri τόπον 43. οὕτω] οὕτως D φησι] φασι D ἐλάττονας] ἐλάσσονας ABD 44. ἀργυρᾶς — εἰκόνος] ἀργυρὰς — εἰκόνας G 47. τελέως] τελείως A, ταχέως FG 51. διεξίωμεν] διέξιμεν DG, διέξειμεν B 52. ἡ δὲ Σ. κ.] κ. δὲ Gemistus 56. κατὰ] μετὰ F 58. στρατεύειν] στρατεύεσθαι Gemistus 59. εἰς] ἐπὶ Gemistus, omisso μὲν Σταβροβάτης] Ταβροβάτης D, Ταυροβάτης Tzetzes: Στροβάτης GM, *Staurobates* Poggius constanter 62. τοῖς addunt AB(D)F Gemistus 63. καταπληκτικοῖς AB(D)FM Gemistus, caeteri καταπληκτικοί

δεύεταί τε πολλαχοῦ καὶ διττοὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐκφέρει καρπούς. διὸ καὶ τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων τοσοῦτον ἔχει πλῆθος ὥςτε διὰ παντὸς ἄφθονον ἀπόλαυσιν τοῖς ἐγχωρίοις παρέχεσθαι. λέγεται δὲ μηδέποτε κατ' αὐτὴν γεγονέναι σιτοδείαν ἢ φθορὰν καρπῶν διὰ τὴν εὐκρασίαν τῶν τόπων. ἔχει δὲ καὶ τῶν ἐλεφάντων ἄπιστον πλῆθος, οἳ ταῖς τε ἀλκαῖς καὶ ταῖς τοῦ σώματος ῥώμαις πολὺ προέχουσι τῶν ἐν τῇ Λιβύῃ γινομένων· ὁμοίως δὲ χρυσόν, ἄργυρον, σίδηρον, χαλκόν· πρὸς δὲ τούτοις λίθων παντοίων καὶ πολυτελῶν ἐν αὐτῇ ἐστι πλῆθος, ἔτι δὲ τῶν ἄλλων ἁπάντων σχεδὸν τῶν πρὸς τρυφὴν καὶ πλοῦτον διατεινόντων. ὑπὲρ ὧν τὰ κατὰ μέρος ἡ Σεμίραμις ἀκούσασα προήχθη μηδὲν προαδικηθεῖσα τὸν πρὸς Ἰνδοὺς ἐξενεγκεῖν πόλεμον. ὁρῶσα δ' αὐτὴν μεγάλων καθ' ὑπερβολὴν προςδεομένην δυνάμεων, ἐξέπεμψεν ἀγγέλους εἰς ἁπάσας τὰς στρατοπεδείας, διακελευσαμένη τοῖς ἐπάρχοις καταγράφειν τῶν νέων τοὺς ἀρίστους, δοῦσα τὸν ἀριθμὸν κατὰ τὰ μεγέθη τῶν ἐθνῶν· 130 προςέταξε δὲ πᾶσι κατασκευάζειν καινὰς πανοπλίας καὶ τοῖς ἄλλοις ἅπασι λαμπρῶς παραγενέσθαι κεκοσμημένους μετὰ τρίτον ἔτος εἰς Βάκτρα. μετεπέμψατο δὲ καὶ ναυπηγοὺς ἔκ τε Φοινίκης καὶ Συρίας καὶ Κύπρου καὶ τῆς ἄλλης τῆς παραθαλαττίου χώρας, οἷς ἄφθονον ὕλην μεταγαγοῦσα διεκελεύσατο κατασκευάζειν ποτάμια πλοῖα διαιρετά. ὁ γὰρ Ἰνδὸς ποταμός, μέγιστος ὢν τῶν περὶ τοὺς τόπους καὶ τὴν βασιλείαν αὐτῆς ὁρίζων, πολλῶν προςεδεῖτο πλοίων πρός τε τὴν διάβασιν καὶ πρὸς τὸ τοὺς Ἰνδοὺς ἀπὸ τούτων ἀμύνασθαι· περὶ δὲ τὸν ποταμὸν οὐκ οὔσης ὕλης ἀναγκαῖον ἦν ἐκ τῆς Βακτριανῆς πεζῇ παρακομίζεσθαι τὰ πλοῖα. θεωροῦσα δὲ ἡ Σεμίραμις ἑαυτὴν ἐν τῇ τῶν ἐλεφάντων χρείᾳ πολὺ λειπομένην, ἐπενοήσατό τι κατασκευάζειν ἰδίωμα τούτων τῶν ζῴων,

65. τε om. C 66. τῶν om. ABD 67. ἐπιτηδείων] ἐπιτηδείως AB 75. ἐν αὐτῇ ἐστι] ἐστὶν ἐν αὐτῇ D Gemistus 78. προήχθη] προςήχθη G 79. αὐτὴν] αὑτὴν Gemistus 81. ἁπάσας ABD Gemistus, caeteri πάσας στρατοπεδείας] immo σατραπείας: Poggius brevius *omnibus provinciarum praefectis mandavit* διακελευσαμένη] διακελευομένη Gemistus 82. ἐπάρχοις] ὑπάρχοις D

130. 83. δοῦσα] διδοῦσα Gemistus κατὰ τὰ] καὶ τὰ G, καὶ κατὰ τὰ D προςέταξε] προςέταττε Gemistus 85. παραγενέσθαι] παραγίνεσθαι D Gemistus 90. διαιρετά] διαίρετα Gemistus, διὰ τὴν μετακόμισιν διακεκομμένα καὶ πάλιν ἁρμοζόμενα addunt CE 91. τοὺς] ἐκεῖνος (sic) τοὺς Gemistus τὴν βασιλείαν] χώραν Gemistus 93. περὶ ABCD Gemistus, caeteri παρὰ 96. τῇ — χρείᾳ] ταῖς — χρείαις G 97. ἰδίωμα] μίμημα Schaeferus ad Thes. Steph. c. 3536.



ἐλπίζουσα καταπλήξεσθαι τοὺς Ἰνδοὺς διὰ τὸ νομίζειν αὐτοὺς μηδ' εἶναι τὸ σύνολον ἐλέφαντας ἐκτὸς τῶν κατὰ τὴν Ἰνδικήν. ἐπιλέξασα δὲ βοῶν μελάνων τριάκοντα μυριάδας τὰ μὲν κρέα τοῖς τεχνίταις καὶ τοῖς πρὸς τὴν τῶν κατασκευασμάτων ὑπηρεσίαν τεταγμένοις διένειμε, τὰς δὲ βύρσας συῤῥάπτουσα καὶ χόρτου πληροῦσα κατεσκεύασεν εἴδωλα, κατὰ πᾶν ἀπομιμουμένη τὴν τῶν ζῴων τούτων φύσιν. ἕκαστον δὲ τούτων εἶχεν ἐντὸς ἄνδρα τὸν ἐπιμελησόμενον καὶ κάμηλον, ὑφ' οὗ φερόμενον φαντασίαν τοῖς πόῤῥωθεν ὁρῶσιν ἀληθινοῦ θηρίου παρείχετο. οἱ δὲ ταῦτα κατασκευάζοντες αὐτῇ τεχνῖται προςεκαρτέρουν τοῖς ἔργοις ἔν τινι περιβόλῳ περιῳκοδομημένῳ καὶ πύλας ἔχοντι τηρουμένας ἐπιμελῶς, ὥςτε μηδένα μήτε τῶν ἔσωθεν ἐξιέναι τεχνιτῶν μήτε τῶν ἔξωθεν εἰςιέναι πρὸς αὐτούς. τοῦτο δ' ἐποίησεν, ὅπως μηδεὶς τῶν ἔξωθεν ἴδῃ τὸ γινόμενον, μηδὲ διαπέσῃ φήμη πρὸς Ἰνδοὺς περὶ τούτων.

17 ἐπεὶ δὲ αἵ τε ναῦς καὶ τὰ θηρία κατεσκευάσθησαν ἐν τοῖς δυσὶν ἔτεσι, τῷ τρίτῳ μετεπέμψατο τὰς πανταχόθεν δυνάμεις εἰς τὴν Βακτριανήν. τὸ δὲ πλῆθος τῆς ἀθροισθείσης στρατιᾶς ἦν, ὡς Κτησίας ὁ Κνίδιος ἀνέγραψε, πεζῶν μὲν τριακόσιαι μυριάδες, ἱππέων δὲ πεντήκοντα μυριάδες, ἁρμάτων δὲ δέκα μυριάδες. ὑπῆρχον δὲ καὶ ἄνδρες ἐπὶ καμήλων ὀχούμενοι, μαχαίρας τετραπήχεις ἔχοντες, τὸν ἀριθμὸν ἴσοι τοῖς ἅρμασι. ναῦς δὲ ποταμίας κατεσκεύασε διαιρετὰς διςχιλίας, αἷς παρεσκευάσατο καμήλους τὰς πεζῇ παρακομιζούσας τὰ σκάφη. ἐφόρουν δὲ καὶ τὰ τῶν ἐλεφάντων εἴδωλα κάμηλοι, καθότι προείρηται· πρὸς δ' αὐτὰς τοὺς ἵππους οἱ στρατιῶται

98. καταπλήξεσθαι] καταπλήξασθαι Gemistus 100. ἐπιλέξασα] ἐπιπλεξαμένη Gemistus 1. μελάνων] μεγάλων Q, μελανῶν Gemistus 2. πρὸς] περὶ F 4. κατεσκεύασεν] κατεσκεύαζεν Gemistus 8. παρείχετο] ὁ γὰρ ἐντὸς τοῦ δέρματος ἀνὴρ ᾠκονόμει διὰ τῆς καμήλου, καὶ ἐκινεῖτο τοῦτο καὶ ἐφάνταζε τὸν ἐλέφαντα addit E 9. κατασκευάζοντες] κατασκευάσαντες B 12. ἔσωθεν] ἔξωθεν F et qui εἰςιέναι M τεχνιτῶν asterisco notavit Stephanus τῶν ἔξωθεν εἰςιέναι πρὸς αὐτούς] τῶν ἔσωθεν ἐξιέναι M 14. ἴδῃ] ἰδῇ sed quod εἰδῇ videatur Gemistus μηδὲ διαπέσῃ] καὶ μηδεμία πέσῃ E. καὶ διαπέσῃ C 16. ναῦς] νῆες AB Gemistus 17. μετεπέμψατο] μετεπέμπετο Gemistus 20. ἀνέγραψε AB(D)G Gemistus, συνέγραψε C, caeteri συνεγράψατο ἱππέων — 21. μυριάδες om. Gemistus 21. πεντήκοντα] εἴκοσι ABDEFGQV: conf. p. 117. 96. μυριάδες. ὑπῆρχον δὲ om. CE, asterisco notavit Stephanus: καὶ ἅρματα δρεπανηφόρα μύρια Gemistus 23. ἴσοι vel ἴσοι AB(D) Gemistus, caeteri ἴσον 24. διαιρετὰς] διερέτας Gemistus 25. παρακομιζούσας] παρακομιούσας Gemistus 26. καὶ om. Gemistus 27. καθότι] καθάπερ A πρὸς δ' BD, πρὸς A, πρὸς δὲ Gemistus, caeteri καὶ πρὸς 28. αὐτὰς] αὐτοὺς BCD Gemistus

συνάγοντες συνήθεις ἐποίουν τοῦ μὴ φοβεῖσθαι τὴν 131
ἀγριότητα τῶν θηρίων. τὸ παραπλήσιον δὲ πολλοῖς ἔτεσιν ὕστερον ἔπραξε Περσεὺς ὁ τῶν Μακεδόνων βασιλεύς, ὅτε πρὸς Ῥωμαίους ἔμελλε διακινδυνεύειν ἔχοντας ἐκ Λιβύης ἐλέφαντας. ἀλλ' οὔτ' ἐκείνῳ ῥοπὴν ἐπενεγκεῖν εἰς τὸν πόλεμον συνέβη τὴν περὶ τὰ τοιαῦτα σπουδὴν καὶ φιλοτεχνίαν οὔτε Σεμιράμιδι· περὶ ὧν ἀκριβέστερον ὁ προϊὼν λόγος δηλώσει. ὁ δὲ τῶν Ἰνδῶν βασιλεὺς Σταβροβάτης πυνθανόμενος τά τε μεγέθη τῶν ἑτοιμαζομένων δυνάμεων καὶ τὴν ὑπερβολὴν τῆς εἰς τὸν πόλεμον παρασκευῆς, ἔσπευδεν ἐν ἅπασιν ὑπερθέσθαι τὴν Σεμίραμιν. καὶ πρῶτον μὲν ἐκ τοῦ καλάμου κατεσκεύασε πλοῖα ποτάμια τετρακισχίλια· ἡ γὰρ Ἰνδικὴ παρά τε τοὺς ποταμοὺς καὶ τοὺς ἑλώδεις τόπους φέρει καλάμου πλῆθος, οὗ τὸ πάχος οὐκ ἂν ῥᾳδίως ἄνθρωπος περιλάβοι· λέγεται δὲ καὶ τὰς ἐκ τούτων κατασκευαζομένας ναῦς διαφόρους κατὰ τὴν χρείαν ὑπάρχειν, οὔσης ἀσήπτου ταύτης τῆς ὕλης. ποιησάμενος δὲ καὶ τῆς τῶν ὅπλων παρασκευῆς πολλὴν ἐπιμέλειαν καὶ πᾶσαν ἐπελθὼν τὴν Ἰνδικὴν ἤθροισε δύναμιν πολὺ μείζονα τῆς Σεμιράμιδι συναχθείσης. ποιησάμενος δὲ καὶ τῶν ἀγρίων ἐλεφάντων θήραν καὶ πολλαπλασιάσας τοὺς προϋπάρχοντας, ἐκόσμησεν ἅπαντας τοῖς εἰς τὸν πόλεμον καταπληκτικοῖς λαμπρῶς. διὸ καὶ συνέβαινε κατὰ τὴν ἔφοδον αὐτῶν διά τε τὸ πλῆθος καὶ τὴν ἐπὶ τῶν θωρακίων κατασκευὴν ἀνυπόστατον ἀνθρωπίνῃ φύσει φαίνεσθαι
18 τὴν ἐπιφάνειαν. ἐπεὶ δ' αὐτῷ πάντα τὰ πρὸς τὸν πόλεμον κατεσκεύαστο, πρὸς τὴν Σεμίραμιν καθ' ὁδὸν οὖσαν ἀπέστειλεν ἀγγέλους, ἐγκαλῶν ὅτι προκατάρχεται τοῦ πολέμου μηδὲν ἀδικηθεῖσα· πολλὰ δὲ καὶ ἄῤῥητα κατ' αὐτῆς εἰς ἑταιρείαν βλασφημήσας διὰ τῶν γραμμάτων καὶ θεοὺς ἐπιμαρτυράμενος ἠπείλει καταπολεμήσας αὐτὴν σταυρῷ προςηλώσειν. ἡ δὲ Σεμίραμις ἀναγνοῦσα τὴν ἐπιστολὴν καὶ καταγελάσασα τῶν γεγραμμένων διὰ τῶν ἔργων ἔφησε τὸν Ἰνδὸν πειραθήσεσθαι τῆς περὶ αὐτὴν ἀρετῆς. ἐπεὶ δὲ προάγουσα μετὰ τῆς δυνάμεως ἐπὶ τὸν Ἰνδὸν ποταμὸν παρεγενήθη, κατέλαβε τὰ τῶν πολεμίων πλοῖα πρὸς μάχην ἕτοιμα. διόπερ καὶ αὐτὴ καταρτίσασα ταχέως τὰς ναῦς καὶ πληρώσασα τῶν κρατίστων ἐπιβατῶν συνεστήσατο κατὰ τὸν ποταμὸν ναυμαχίαν, συμφιλοτιμουμένων καὶ τῶν παρεμβεβληκότων παρὰ τὸ ῥεῖθρον πεζῶν. ἐπὶ πολὺν δὲ χρόνον τοῦ κινδύνου παρατείνοντος καὶ προθύμως ἑκατέρων ἀγωνισαμένων τὸ τελευταῖον ἡ Σεμίραμις ἐνίκησε καὶ διέφθειρε
132 τῶν πλοίων περὶ χίλια, συνέλαβε δ' αἰχμαλώτους οὐκ ὀλίγους. ἐπαρθεῖσα δὲ τῇ νίκῃ καὶ τὰς ἐν τῷ ποταμῷ νήσους καὶ πόλεις ἐξηνδραποδίσατο, καὶ συνήγαγεν αἰχμαλώτων σωμάτων ὑπὲρ τὰς δέκα μυριάδας. μετὰ δὲ ταῦθ' ὁ μὲν τῶν Ἰνδῶν βασιλεὺς ἀπήγαγε τὴν δύναμιν ἀπὸ τοῦ ποταμοῦ, προςποιούμενος μὲν ἀναχωρεῖν διὰ φόβον, τῇ δ' ἀληθείᾳ βουλόμενος τοὺς πολεμίους προτρέψασθαι διαβῆναι τὸν ποταμόν. ἡ δὲ Σεμίραμις, κατὰ νοῦν αὐτῇ τῶν πραγμάτων προχωρούντων, ἔζευξε τὸν ποταμὸν κατασκευάσασα πολυτελῆ καὶ μεγάλην γέφυραν, δι' ἧς ἅπασαν διακομίσασα τὴν δύναμιν ἐπὶ μὲν τοῦ ζεύγματος φυλακὴν κατέλιπεν ἀνδρῶν ἑξακισμυρίων, τῇ δ' ἄλλῃ στρατιᾷ προῆγεν ἐπιδιώκουσα τοὺς Ἰνδούς, προηγουμένων τῶν εἰδώλων, ὅπως οἱ τῶν πολεμίων κατάσκοποι τῷ βασιλεῖ ἀπαγγείλωσι τὸ πλῆθος τῶν παρ' αὐτῇ θηρίων. οὐ διεψεύσθη δὲ κατά γε τοῦτο τῆς ἐλπίδος, ἀλλὰ τῶν ἐπὶ κατασκοπὴν ἐκπεμφθέντων τοῖς Ἰνδοῖς ἀπαγγελλόντων τὸ πλῆθος τῶν παρὰ τοῖς πολεμίοις

131. 29. τοῦ] ὑπὲρ τοῦ Gemistus — τὸ παραπλήσιον ACDE Gemistus, caeteri παραπλήσιον — 30. Περσεὺς] καὶ Περσεὺς Gemistus — 31. τῶν om. Gemistus — 32. ἔχοντας] ἔχων τοὺς Gemistus — 33. ἐπενεγκεῖν] ἐνεγκεῖν BD, ἐνεγκεῖ (sic) ἡ περὶ τοιαῦτα σπουδὴ καὶ φιλοτεχνία ἴσχυσεν ἐν τῷ καιρῷ τῆς μάχης οὔτε Gemistus — 35. προϊὼν] προςιὼν G Gemistus — 36. Σταβροβάτης] Στροβάτης G — 37. ἑτοιμαζομένων] ὀνομαζομένων ABC — 45. ἀσήπτου] ἀσήπου G — 46. παρασκευῆς] κατασκευῆς AB — 48. μείζονα τῆς] μεῖζον αὐτῆς A — τῆς Σεμιράμιδι συναχθείσης] τῆς Σεμιράμιδος Gemistus — 53. θωρακίων] θηρίων Gemistus — 55. πάντα τὰ Gemistus: libri πάντα — πρὸς] κατὰ CEG — 59. εἰς ἑταιρείαν] εἰς ἑτέραν C, εἰς ἕτερα AB, ὡς ἑταίραν D, omisit M

63. διὰ τῶν ἔργων] τοῖς ἔργοις M — ἔφησε] ἔφη Gemistus — τὸν Ἰνδὸν] τῶν Ἴνδων G — 64. περὶ αὐτὴν] αὐτῆς Gemistus — προάγουσα DEFG Gemistus, caeteri προαγαγοῦσα — 65. ποταμὸν post παρεγένετο posuit Gemistus — παρεγένετο] παρεγενήθη CDF — 67. καταρτίσασα] καταρτήσασα A — 69. παρεμβεβληκότων AB(D), παραβεβηκότων C, παραβεβληκότων caeteri — 72. ἀγωνισαμένων] συναγωνισαμένων ABD, ἀγωνιζομένων Gemistus — τὸ τελ. ἡ Σ. ἐνίκησε] τέλος ἐνίκησεν ἡ Σ. Gemistus

132. 75. καὶ τὰς] τὰς A(D)E — 76. καὶ — 77. μυριάδας praeteriit Gemistus — συνήγαγεν ABD, caeteri συνήθροισεν: conf. ad p. 619. 34. — 77. δέκα] δώδεκα GQ — 78. ἀπήγαγε] ἐπήγαγε Gemistus — 82. προχωρούντων ABD, caeteri χωρούντων — 85. ἀνδρῶν om. A — 87. οἱ] αἱ Gemistus — τῷ βασιλεῖ ἀπαγγείλωσι (ἀπαγγέλωσι D) ABD, τῷ βασιλεῖ δηλώσωσι Gemistus, caeteri δηλώσωσι τῷ βασιλεῖ — 88. οὐ διεψεύσθη δὲ E Gemistus, οὐ διεψεύσθη γε AD, οὐ διεψεύσθη τε CF, caeteri καὶ οὐ διεψεύσθη

ἐλεφάντων ἅπαντες διηποροῦντο πόθεν αὐτῇ συνακολουθεῖ τοσοῦτο πλῆθος θηρίων. οὐ μὴν ἔμεινέ γε τὸ ψεῦδος πλείω χρόνον κρυπτόμενον· τῶν γὰρ παρὰ τῇ Σεμιράμιδι στρατευομένων κατελήφθησάν τινες νυκτὸς ἐν τῇ στρατοπεδείᾳ ῥαθυμοῦντες τὰ περὶ τὰς φυλακάς· φοβηθέντες δὲ τὴν ἐπακολουθοῦσαν τιμωρίαν ηὐτομόλησαν πρὸς τοὺς πολεμίους καὶ τὴν κατὰ τοὺς ἐλέφαντας πλάνην ἀπήγγειλαν. ἐφ' οἷς θαῤῥήσας ὁ τῶν Ἰνδῶν βασιλεὺς καὶ τῇ δυνάμει διαγγείλας τὰ περὶ τῶν εἰδώλων, ἐπέστρεψεν ἐπὶ τοὺς Ἀσσυρίους διατάξας τὴν δύναμιν.

19 τὸ δ' αὐτὸ καὶ τῆς Σεμιράμιδος ἐπιτελούσης, ὡς ἤγγισαν ἀλλήλοις τὰ στρατόπεδα, Σταβροβάτης ὁ τῶν Ἰνδῶν βασιλεὺς προαπέστειλε πολὺ πρὸ τῆς φάλαγγος τοὺς ἱππεῖς μετὰ τῶν ἁρμάτων. δεξαμένης δὲ τῆς βασιλίσσης εὐρώστως τὴν ἔφοδον τῶν ἱππέων, καὶ τῶν κατεσκευασμένων ἐλεφάντων πρὸ τῆς φάλαγγος ἐν ἴσοις διαστήμασι τεταγμένων, συνέβαινε πτύρεσθαι τοὺς τῶν Ἰνδῶν ἵππους. τὰ γὰρ εἴδωλα πόῤῥωθεν μὲν ὁμοίαν εἶχε τὴν πρόσοψιν τοῖς ἀληθινοῖς θηρίοις, οἷς συνήθεις ὄντες οἱ τῶν Ἰνδῶν ἵπποι τεθαῤῥηκότως προσίππευον· τοῖς δ' ἐγγίσασιν ἥ τε ὀσμὴ προσέβαλλεν ἀσυνήθης καὶ τἄλλα διαφορὰν ἔχοντα πάντα παμμεγέθη τοὺς ἵππους ὁλοσχερῶς συνετάραττε. διὸ καὶ τῶν Ἰνδῶν οἱ μὲν ἐπὶ τὴν γῆν ἔπιπτον, οἱ δὲ τῶν ζῴων ἀπειθούντων τοῖς χαλινοῖς ὡς ἐτύγχανον εἰς τοὺς πολεμίους ἐξέπιπτον μετὰ τῶν κομι- 133 ζόντων αὐτοὺς ἵππων. ἡ δὲ Σεμίραμις μετὰ στρατιωτῶν ἐπιλέκτων μαχομένη καὶ τῷ προτερήματι δεξιῶς χρησαμένη τοὺς Ἰνδοὺς ἐτρέψατο. ὧν φυγόντων πρὸς τὴν

92. διηποροῦντο (D) Gemistus, διηπορούντων A, caeteri διηπόρουν τὸ τοσοῦτο] τοσοῦτον A Gemistus 93. ἔμεινε] ἔμηνε Gemistus 95. κατελ. τινες] τινες κατελ. D Gemistus 96. τὰ — 97. δὲ om. Gemistus 98. πλάνην] ἀπάτην Gemistus
4. ἀλλήλοις AB(D), caeteri ἀλλήλων κατεσκευασμένων] κατασκευασμάτων a pr. manu Gemistus 8. ἐλεφ. — 9. τεταγμένων om. A 9. πτύρεσθαι] φθείρεσθαι A, μὴ πτύρεσθαι E et qui addit ἤγουν ταράσσεσθαι V τοὺς] τοσοῦτον V 11. πρόσοψιν — 12. τεθαῤῥηκότως om. Gemistus τοῖς ἀληθινοῖς θηρίοις] τῶν ἀληθινῶν ἐλεφάντων EQ, ἀληθινῶν ἐλεφάντων C a correctore συνήθεις ὄντες] συνηθήσοντες G, συνήθοντες F 12. τεθαῤῥηκότως] τεθαῤῥηκότες AG προςίππευον ABCDG Gemistus, caeteri προςήρχοντο 13 προςέβαλλεν] προςέβαλεν E Gemistus, προςέλαβεν G ἀσυνήθης] ἀσυνήθεις Gemistus 14. ἔχοντα] ἔχοντες F τοὺς] ἃ τοὺς AD Gemistus 17. ἐτύγχανον ABG Gemistus, caeteri ἐτύγχανεν

133. 19. μαχομένη] ἀγομένη FG, ἡγουμένη Gemistus, omissis καὶ — χρησαμένη 21. τὴν] τὴν τῶν Ἰνδῶν ABD



φάλαγγα Σταβροβάτης ὁ βασιλεὺς οὐ καταπλαγεὶς ἐπήγαγε τὰς τῶν πεζῶν τάξεις προηγουμένων τῶν ἐλεφάντων, αὐτὸς δ' ἐπὶ τοῦ δεξιοῦ κέρατος τεταγμένος καὶ τὴν μάχην ἐπὶ τοῦ κρατίστου θηρίου ποιούμενος ἐπήγαγε καταπληκτικῶς ἐπὶ τὴν βασίλισσαν κατ' αὐτὸν τυχικῶς τεταγμένην. τὸ δ' αὐτὸ καὶ τῶν ἄλλων ἐλεφάντων ποιησάντων ἡ μετὰ τῆς Σεμιράμιδος δύναμις βραχὺν ὑπέστη χρόνον τὴν τῶν θηρίων ἔφοδον· τὰ γὰρ ζῷα διάφορα ταῖς ἀλκαῖς ὄντα καὶ ταῖς ἰδίαις ῥώμαις πεποιθότα πάντα τὸν ὑφιστάμενον ῥᾳδίως ἀνῄρει. διόπερ πολὺς καὶ παντοῖος ἐγίνετο φόνος, τῶν μὲν ὑπὸ τοὺς πόδας ὑποπιπτόντων, τῶν δὲ τοῖς ὀδοῦσιν ἀνασχιζομένων, ἐνίων δὲ ταῖς προβοσκίσιν ἀναῤῥιπτουμένων. συχνοῦ δὲ πλήθους νεκρῶν σωρευομένου καὶ τοῦ κινδύνου τοῖς ὁρῶσι δεινὴν ἔκπληξιν καὶ φόβον παριστάντος, οὐδεὶς ἔτι μένειν ἐπὶ τῆς τάξεως ἐτόλμα. τραπέντος οὖν τοῦ πλήθους ἅπαντος ὁ βασιλεὺς τῶν Ἰνδῶν ἐπ' αὐτὴν ἐβιάζετο τὴν Σεμίραμιν. καὶ τὸ μὲν πρῶτον ἐπ' ἐκείνην τοξεύσας ἔτυχε τοῦ βραχίονος· ἔπειτ' ἀκοντίσας διήλασε διὰ τοῦ νώτου τῆς βασιλίσσης, πλαγίας ἐνεχθείσης τῆς πληγῆς· διόπερ οὐδὲν παθοῦσα δεινὸν ἡ Σεμίραμις ταχέως ἀφίππευσε, πολὺ λειπομένου κατὰ τὸ τάχος τοῦ διώκοντος θηρίου. πάντων δὲ φευγόντων ἐπὶ τὴν σχεδίαν, καὶ τοσούτου πλήθους εἰς ἕνα καὶ στενὸν βιαζομένου τόπον, οἱ μὲν τῆς βασιλίσσης ὑπ' ἀλλήλων ἀπέθνῃσκον συμπατούμενοι καὶ φυρόμενοι παρὰ φύσιν ἀναμὶξ ἱππεῖς τε καὶ πεζοί, τῶν δὲ Ἰνδῶν ἐπικειμένων ὠσμὸς ἐγίνετο βίαιος ἐπὶ τῆς γεφύρας διὰ τὸν φόβον, ὥςτε πολλοὺς ἐξωθουμένους ἐφ' ἑκάτερα μέρη τῆς γεφύρας ἐμπίπτειν εἰς τὸν ποταμόν. ἡ δὲ Σεμίραμις, ἐπειδὴ τὸ πλεῖστον μέρος τῶν ἀπὸ τῆς μάχης διασωζομένων διὰ τὸν ποταμὸν ἔτυχε τῆς ἀσφαλείας, ἀπέκοψε τοὺς συνέ-

Σταβροβάτης] Σταυροβάτης G οὐ servarunt ABC(D)EG Gemistus, Poggius 24. καὶ — ποιούμενος om. Gemistus 26. αὐτὸν] αὐτῶν F τυχικῶς] τεχνικῆς F 27. ἡ μετὰ τῆς Σ. δύναμις B(D), ἅπαν τὸ μετὰ τῆς Σ. δυνάμεως Gemistus, caeteri μετὰ τῆς Σ. δυνάμεως 28. ὑπέστη] ἐπέστη E 29. ταῖς ἀλκαῖς ὄντα καὶ omisit D 30. πάντα om. CM 31. ἀνῄρει] ἔφθειρε M 33. ἐνίων — ἀναῤῥ. praeteriit Gemistus
34. σωρευομένου] σεσωρευομένων AG, σωρευομένων C Gemistus 36. οὐδεὶς] οὐθεὶς omnes 37. ἅπαντος] παντὸς ADG Gemistus, ἅπαντες F 41. οὐδὲν] οὐθὲν D, om. Gemistus
44. καὶ τοσούτου] τοσούτου D 46. παρὰ φύσιν om. Gemistus 47. ἱππεῖς — ἐπικειμένων om. A 48. ὠσμὸς DFG Gemistus, καὶ βιασμὸς A, caeteri διωγμὸς ἐγίνετο] ἐγένετο A Gemistus 49. μέρη] τὰ μέρη CE Gemistus 50. ἐμπίπτειν] ἐκπίπτειν CE

χοντας δεσμοὺς τὴν γέφυραν. ὧν λυθέντων ἡ μὲν σχεδία κατὰ πολλὰ διαιρεθεῖσα μέρη καὶ συχνοὺς ἐφ' ἑαυτῆς ἔχουσα τῶν διωκόντων Ἰνδῶν ὑπὸ τῆς τοῦ ῥεύματος σφοδρότητος ὡς ἔτυχε κατηνέχθη, καὶ πολλοὺς μὲν τῶν Ἰνδῶν διέφθειρε, τῇ δὲ Σεμιράμιδι πολλὴν ἀσφάλειαν παρεσκεύασε κωλύσασα τὴν τῶν πολεμίων ἐπ' αὐτὴν διάβασιν. μετὰ δὲ ταῦθ' ὁ μὲν τῶν Ἰνδῶν βασιλεύς, διοσημείων αὐτῷ γενομένων καὶ τῶν μάντεων ἀποφαινομένων σημαίνεσθαι τὸν ποταμὸν μὴ διαβαίνειν, 134 ἡσυχίαν ἔσχεν· ἡ δὲ Σεμίραμις ἀλλαγὴν ποιησαμένη τῶν αἰχμαλώτων ἐπανῆλθεν εἰς Βάκτρα, δύο μέρη τῆς δυνάμεως ἀποβεβληκυῖα.

20 *Μετὰ δέ τινα χρόνον ὑπὸ Νινύου τοῦ υἱοῦ δι' εὐνούχου τινὸς ἐπιβουλευθεῖσα, καὶ τὸ παρ' Ἄμμωνος λόγιον ἀνανεωσαμένη, τὸν ἐπιβουλεύσαντα κακὸν οὐδὲν εἰργάσατο, τοὐναντίον δὲ τὴν βασιλείαν αὐτῷ παραδοῦσα καὶ τοῖς ὑπάρχοις ἀκούειν ἐκείνου προστάξασα ταχέως ἠφάνισεν ἑαυτήν, ὡς εἰς θεοὺς κατὰ τὸν χρησμὸν μεταστησομένη. ἔνιοι δὲ μυθολογοῦντές φασιν αὐτὴν γενέσθαι περιστεράν, καὶ πολλῶν ὀρνέων εἰς τὴν οἰκίαν καταπετασθέντων μετ' ἐκείνων ἐκπετασθῆναι· διὸ καὶ τοὺς Ἀσσυρίους τὴν περιστερὰν τιμᾶν ὡς θεόν, ἀπαθανατίζοντας τὴν Σεμίραμιν. αὕτη μὲν οὖν βασιλεύσασα τῆς Ἀσίας ἁπάσης πλὴν Ἰνδῶν ἐτελεύτησε τὸν προειρημένον τρόπον, βιώσασα μὲν ἔτη ἑξήκοντα καὶ δύο, βασιλεύσασα δὲ δύο πρὸς τοῖς τετταράκοντα. Κτησίας

55. ἐφ' ἑαυτῆς] ἐπ' αὐτῆς D, ἐφ' ἑαυτὴν Gemistus    διωκόντων Ἰ.] invertit Gemistus    ὑπὸ τῆς om. Gemistus    58. παρεσκεύασε] κατεσκεύασε G, παρέσχε Gemistus    60. διοσημείων D, διοσημιῶν margo C, σημείων AB, σημασιῶν Gemistus, caeteri Διὸς σημασιῶν    αὐτῷ] ἐπ' αὐτῷ AB    γενομένων ABCD EG, γενομένῳ Gemistus, caeteri γεγοννιῶν
134. 62. ἀλλαγὴν] ἀλλαγὴ Gemistus    63. ποιησαμένη τῶν α.] τῶν α. ποιησαμένη Gemistus    Βάκτρα] Βαβυλῶνα EG
65. Νινύου] Ninus Poggius, ut solet    66. Ἄμμωνος B Gemistus, Ἀμμωνίου A, caeteri Ἄμμωνι    67. ἀνανεωσαμένη] ὅτι ὁ Ἄμμων, ὡς πρὸ ὀλίγου εἴρηται, προεῖπεν αὐτῇ ὡς μετὰ τὴν τελευτὴν τοῖς ἀθανάτοις μέλλει συνταχθῆναι καὶ ἐν τῇ ἀνατολῇ παρ' ἔθνους τινὸς ἀξιωθῆναι τιμῆς addit E    70. ὡς] ὢν Gemistus
μεταστησομένη] καταστησαμένη Gemistus pr.    72. ὀρνέων] ὀρνίθων Gemistus    οἰκίαν] οἰκεῖαν D, Ἀσίαν F    καταπετασθέντων] καταπτάντων Gemistus    73. μετ' ἐκείνων ἐκπετασθῆναι] ἐκπτῆναι σὺν ἐκείνοις Gemistus    74. τὴν περιστερὰν om. Gemistus    77. βιώσασα] βεβιωκυῖα Gemistus    καὶ δύο om. AM, καὶ om. D    78. δύο πρὸς τοῖς τετταράκοντα A BDG, δύο πρὸς τοῖς μ' Syncellus p. 166., δύο πρὸς τοῖς κδ' F, πρὸς τοῖς τετταράκοντα καὶ δύο Gemistus, caeteri δύο πρὸς τεσσαράκοντα



μὲν οὖν ὁ Κνίδιος περὶ Σεμιράμιδος τοιαῦθ' ἱστόρηκεν· Ἀθήναιος δὲ καί τινες τῶν ἄλλων συγγραφέων φασὶν αὐτὴν ἑταίραν γεγονέναι εὐπρεπῆ, καὶ διὰ τὸ κάλλος ἐρωτικῶς ἔχειν αὐτῆς τὸν βασιλέα τῶν Ἀσσυρίων. τὸ μὲν οὖν πρῶτον μετρίας αὐτὴν ἀποδοχῆς τυγχάνειν ἐν τοῖς βασιλείοις, μετὰ δὲ ταῦτα γνησίαν ἀναγορευθεῖσαν γυναῖκα πεῖσαι τὸν βασιλέα πένθ' ἡμέρας αὐτῇ παραχωρῆσαι τῆς βασιλείας. τὴν δὲ Σεμίραμιν ἀναλαβοῦσαν τό τε σκῆπτρον καὶ τὴν βασίλειον στολὴν κατὰ μὲν τὴν πρώτην ἡμέραν εὐωχίαν ποιῆσαι καὶ μεγαλοπρεπῆ δεῖπνα, ἐν οἷς τοὺς τῶν δυνάμεων ἡγεμόνας καὶ πάντας τοὺς ἐπιφανεστάτους πεῖσαι συμπράττειν ἑαυτῇ· τῇ δ' ὑστεραίᾳ τοῦ τε πλήθους καὶ τῶν ἀξιολογωτάτων ἀνδρῶν ὡς βασίλισσαν θεραπευόντων τὸν μὲν ἄνδρα καταβαλεῖν εἰς τὴν εἱρκτήν, αὐτὴν δὲ φύσει μεγαλεπίβολον οὖσαν καὶ τολμηρὰν κατασχεῖν τὴν ἀρχήν, καὶ μέχρι γήρως βασιλεύσασαν πολλὰ καὶ μεγάλα κατεργάσασθαι. περὶ μὲν οὖν τῶν κατὰ τὴν Σεμίραμιν τοιαύτας ἀντιλογίας εἶναι συμβαίνει παρὰ τοῖς συγγραφεῦσι.

*Μετὰ δὲ τὸν ταύτης θάνατον Νινύας ὁ Νίνου καὶ 21 Σεμιράμιδος υἱὸς παραλαβὼν τὴν ἀρχὴν ἦρχεν εἰρηνικῶς, τὸ φιλοπόλεμον καὶ κεκινδυνευμένον τῆς μητρὸς οὐδαμῶς ζηλώσας. πρῶτον μὲν γὰρ ἐν τοῖς βασιλείοις 135 τὸν ἅπαντα χρόνον διέτριβεν ὑπ' οὐδενὸς ὁρώμενος πλὴν τῶν παλλακίδων καὶ τῶν περὶ αὐτὸν εὐνούχων, ἐξήλου δὲ τρυφὴν καὶ ῥαθυμίαν καὶ τὸ μηδέποτε κακοπαθεῖν μηδὲ μεριμνᾶν, ὑπολαμβάνων βασιλείας εὐδαίμονος εἶναι τέλος τὸ πάσαις χρῆσθαι ταῖς ἡδοναῖς ἀνεπικωλύτως. πρὸς δὲ τὴν ἀσφάλειαν τῆς ἀρχῆς καὶ τὸν κατὰ τῶν ἀρχομένων γινόμενον φόβον κατ' ἐνιαυτὸν μετεπέμπετο στρατιωτῶν ἀριθμὸν ὡρισμένον καὶ στρατηγὸν ἀπὸ ἔθνους ἑκάστου. καὶ τὸ μὲν ἐκ πάντων ἀθροι-

79. ἱστόρηκεν] ἱστόρησεν D    81. εὐπρεπῆ] μάλα εὐπρεπῆ Gemistus, qui mox om. καὶ    82. βασιλέα τῶν Ἀσσυρίων] Ἀσσυρίων βασιλέα Gemistus    85. αὐτῇ παραχ. ADE Gemistus, caeteri παραχ. αὐτῇ    86. ἀναλαβοῦσαν] ἀναλαβοῦσα Gemistus
87. μὲν om. D    89. τῶν] τούτων G    92. καταβαλεῖν] καταβαλόντων CG, καταβαλοῦσαν M    93. τὴν εἱρκτὴν] τὴν om. Gemistus    μεγαλεπίβολον A(D), caeteri μεγαλεπήβολον    95. κατεργάσασθαι] καταπράξασθαι M    96. τὴν Σ.] Σ. Gemistus    97. συγγραφεῦσι] συγγράφουσι Gemistus    99. υἱὸς om. Gemistus    100. οὐδαμῶς BC(D)EFQ Gemistus, caeteri οὐδαμοῦ
135. 2. ὁρώμενος] ὁρμώμενος E    3. εὐνούχων om. F, asterisco notavit Stephanus    6. ἀνεπικωλύτως D, ἀνεπικολύπτως A, caeteri ἀνεπικαλύπτως    8. γινόμενον om. Gemistus

σθὲν στράτευμα ἐκτὸς τῆς πόλεως συνεῖχεν, ἑκάστου τῶν ἐθνῶν τὸν εὐνούστατον τῶν περὶ αὐτὸν ἀποδεικνύων ἡγεμόνα· τοῦ δ' ἐνιαυτοῦ διελθόντος μετεπέμπετο πάλιν ἀπὸ τῶν ἐθνῶν τοὺς ἴσους στρατιώτας, καὶ τοὺς προτέρους ἀπέλυεν εἰς τὰς πατρίδας. οὗ συντελουμένου συνέβαινε τοὺς ὑπὸ τὴν βασιλείαν τεταγμένους πάντας καταπεπλῆχθαι, θεωροῦντας ἀεὶ δυνάμεις μεγάλας ἐν ὑπαίθρῳ στρατοπεδευομένας, καὶ τοῖς ἀφισταμένοις ἢ μὴ πειθαρχοῦσιν ἑτοίμην οὖσαν τιμωρίαν. τὰς δὲ κατ' ἐνιαυτὸν ἀλλαγὰς τῶν στρατιωτῶν ἐπενόησεν, ἵνα πρὶν ἢ καλῶς γνωσθῆναι τοὺς στρατηγοὺς καὶ τοὺς ἄλλους ἅπαντας ὑπ' ἀλλήλων εἰς τὴν ἰδίαν ἕκαστος χωρίζηται πατρίδα· ὁ γὰρ πολὺς χρόνος τῆς στρατείας ἐμπειρίαν τε τῶν κατὰ τὸν πόλεμον καὶ φρόνημα τοῖς ἡγεμόσι περιτίθησι καὶ τὸ πλεῖστον ἀφορμὰς μεγάλας παρέχεται πρὸς ἀπόστασιν καὶ συνωμοσίαν κατὰ τῶν ἡγουμένων. τὸ δὲ μηδ' ὑφ' ἑνὸς τῶν ἔξωθεν θεωρεῖσθαι τῆς μὲν ἀληθοῦς περὶ αὐτὸν τρυφῆς ἄγνοιαν παρείχετο πᾶσι, καθάπερ δὲ θεὸν ἀόρατον διὰ τὸν φόβον ἕκαστος οὐδὲ λόγῳ βλασφημεῖν ἐτόλμα. στρατηγοὺς δὲ καὶ σατράπας καὶ διοικητὰς ἔτι δὲ δικαστὰς καθ' ἕκαστον ἔθνος ἀποδείξας καὶ τἄλλα πάντα διατάξας ὥς ποτ' ἔδοξεν αὐτῷ συμφέρειν, τὸν τοῦ ζῆν χρόνον κατέμεινεν ἐν τῇ Νίνῳ. παραπλησίως δὲ τούτῳ καὶ οἱ λοιποὶ βασιλεῖς παῖς παρὰ πατρὸς διαδεχόμενος τὴν ἀρχὴν ἐπὶ γενεὰς τριάκοντα ἐβασίλευσαν μέχρι Σαρδαναπάλλου· ἐπὶ τούτου γὰρ ἡ τῶν Ἀσσυρίων ἡγεμονία μετέπεσεν εἰς Μήδους, ἔτη διαμείνασα πλείω

11. ἑκάστου AB(D)E Gemistus, caeteri ἑκάστῳ 12. αὐτὸν] αὑτὸν Gemistus 14. ἀπέλυεν] ἀπήλαυνεν BD 15. ὑπὸ] ἀπὸ Gemistus 17. δυνάμεις μ.] invertit Gemistus στρατοπεδευομένας] στρατευομένας CG 18. ἢ] εἰ AD 19. τὰς δὲ — 29. ἐτόλμα praeteriit Gemistus ἀλλαγὰς ABD, caeteri καταλλαγὰς 21. ὑπ'] ἀπ' ABD, D quidem interpunctione post ἀλλήλων sublata 22. ἕκαστος ante εἰς ponit D χωρίζηται] διαχωρίζηται D 24. τὸ A, caeteri τὸ μὲν 25. μεγάλας παρέχεται AB, παρέχεται μεγάλας D, caeteri παρέχεται 27. ἀληθοῦς om. AD 28. δὲ] γὰρ F 30. στρατηγοὺς δὲ καὶ σατράπας — ἔθνος] ἀποδείξας δὲ καὶ στρατηγοὺς καὶ σατράπας — ἔθνος Gemistus 31. τἄλλα πάντα] invertit Gemistus 32. αὐτῷ] ἑαυτῷ Gemistus 33. τὸν] πάντα τὸν Gemistus ἐν τῇ B(D)E Gemistus, caeteri τῇ 34. παῖς — διαδεχόμενος] παῖδες — διαδεχόμενοι Eusebius p. 38. et Syncellus, sed huius MS. 1764. παῖς παρὰ om. D 36. τριάκοντα] με' Syncellus: Eusebius Maii caret illis ἐπὶ — τριάκοντα: λε' in suo posuit Scaliger p. 32. Σαρδαναπάλλου] hac scriptura utitur D et hic et 137. 24. 138. 33. 60. 140. 42. 141. 80. 146. 1.: caeteri constanter simplici λ. 37. ἡγεμονία] βασιλεία Gemistus



τῶν χιλίων καὶ τριακοσίων [ἔτι δ' ἑξήκοντα], καθάπερ φησὶ Κτησίας ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ.

Τὰ δ' ὀνόματα πάντων τῶν βασιλέων καὶ τὸ πλῆ- 22
136 θος τῶν ἐτῶν ὧν ἕκαστος ἐβασίλευσεν οὐ κατεπείγει γράφειν διὰ τὸ μηδὲν ὑπ' αὐτῶν πεπρᾶχθαι μνήμης ἄξιον. μόνη γὰρ τέτευχεν ἀναγραφῆς ἡ πεμφθεῖσα συμμαχία τοῖς Τρωσὶν ὑπ' Ἀσσυρίων, ἧς ἐστρατήγει Μέμνων ὁ Τιθωνοῦ. Τευτάμου γὰρ βασιλεύοντος τῆς Ἀσίας, ὃς ἦν εἰκοστὸς ἀπὸ Νινύου τοῦ Σεμιράμιδος, φασὶ τοὺς μετ' Ἀγαμέμνονος Ἕλληνας ἐπὶ Τροίαν στρατεῦσαι, τὴν ἡγεμονίαν ἐχόντων τῆς Ἀσίας τῶν Ἀσσυρίων ἔτη πλείω τῶν χιλίων. καὶ τὸν μὲν Πρίαμον βαρυνόμενον τῷ πολέμῳ καὶ βασιλεύοντα τῆς Τρῳάδος, ὑπήκοον δ' ὄντα τῷ βασιλεῖ τῶν Ἀσσυρίων, πέμψαι πρὸς αὐτὸν πρεσβευτὰς περὶ βοηθείας· τὸν δὲ Τεύταμον μυρίους μὲν Αἰθίοπας, ἄλλους δὲ τοσούτους Σουσιανοὺς σὺν ἅρμασι διακοσίοις ἐξαποστεῖλαι, στρατηγὸν ἐπικαταστήσαντα Μέμνονα τὸν Τιθωνοῦ. καὶ τὸν μὲν Τιθωνὸν κατ' ἐκείνους τοὺς χρόνους ὄντα στρατηγὸν τῆς Περσίδος εὐδοκιμεῖν παρὰ τῷ βασιλεῖ μάλιστα τῶν καθεσταμένων ἐπάρχων,

38. ἔτι δ' ἑξήκοντα om. Eusebius et Syncellus l. c. et p. 168., tenent Diodori etiam tres Ambrosiani apud Maium ad Euseb. p. 38., et legerunt Gemistus et Agathias II. p. 63. D, quorum ille ἔτη διαμείνασα ἑξήκοντα πλείοσι τῶν χιλίων καὶ τριακοσίων, hic ἕξ τε καὶ τριακοσίων ἤδη πρὸς τοῖς χιλίοις καὶ ὀλίγῳ πλειόνων ἐτῶν παρῳχηκότων ἀφ' οὗ τὰ πρῶτα ὁ Νῖνος τὴν ἐκείνῃ κατέσχε πραγμάτων· οὕτω γὰρ Κτησίᾳ τῷ Κνιδίῳ τοὺς χρόνους ἀναγραψαμένῳ καὶ Διόδωρος ξύμφησιν ὁ Σικελιώτης, cui quod pro ἕξ Wesselingius post alios restituebat ἑξήκοντα Syncellus quidem apud eum non invenerat, qui describens haec Agathiae p. 359. D ἐβασίλευσαν οὖν inquit οἱ Ἀσσύριοι ἔτη ατϛ'· οὕτω γὰρ λέγοντι Κτησίᾳ καὶ Διόδωρος ὁ Σ. συμφθέγγεται, nisi et ibi scribas cum Scaligero ατξ'
40. δευτέρᾳ βίβλῳ] δ' Eusebius Scaligeri, „quod esse δευτέρᾳ bene monuit Petav. XII. Doctr. Temp. 21." Wessel.

136. 41. πάντων] πάντα ABCEQ Gemistus, om. Syncellus 42. ὧν — ἐβασίλευσεν om. Syncellus οὐ κατεπείγει] οὐκ ἄξιον Gemistus 44. τέτευχεν D Syncelli MS. 1764., τέτεχεν B, τέτυχεν CFG, τέτυχε Syncellus, ἔτυχεν Gemistus, caeteri τετύχηκεν
46. Τευτάμου] Ταυτάμου M, Ταυτάνου Eusebius et Syncellus βασιλεύοντος] βασιλεύσαντος FG 47. εἰκοστὸς] κϛ' Eusebius et Syncellus Νινύου] Νίνου AB Syncellus, a Nino atque Semiramide Poggius Σεμιράμιδος] Νίνου Gemistus 49. τῶν om. D Syncellus 51. βασιλεύοντα] μὲν addit Gemistus Τρῳάδος] Τρωίδας C 52. πέμψαι] πέμψας Gemistus 53. πρεσβευτὰς] πρέσβεις Gemistus 54. Σουσιανοὺς] Nusianos Eusebius 55. ἐξαποστεῖλαι] ἐξαποστείλας D, ἐξαποστείλαντα A ἐπικαταστήσαντα ABD, caeteri καταστήσαντα 57. τῆς Περσίδος] ante ὄντα ponit D, τῆς Σουσιανῆς Gemistus ponens et ipse ante ὄντα 58. καθεσταμένων] καθεστηκότων Gemistus

τὸν δὲ Μέμνονα τὴν ἡλικίαν ἀκμάζοντα διαφέρειν ἀνδρείᾳ τε καὶ ψυχῆς λαμπρότητι. οἰκοδομῆσαι δ' αὐτὸν ἐπὶ τῆς ἄκρας τὰ ἐν Σούσοις βασίλεια τὰ διαμείναντα μέχρι τῆς Περσῶν ἡγεμονίας, κληθέντα δ' ἀπ' ἐκείνου Μεμνόνεια· κατασκευάσαι δὲ καὶ διὰ τῆς χώρας λεωφόρον ὁδὸν τὴν μέχρι τῶν νῦν χρόνων ὀνομαζομένην Μεμνόνειον. ἀμφισβητοῦσι δὲ καὶ οἱ περὶ τὴν Αἴγυπτον Αἰθίοπες λέγοντες ἐν ἐκείνοις τοῖς τόποις γεγονέναι τὸν ἄνδρα τοῦτον, καὶ βασίλεια παλαιὰ δεικνύουσιν, ἃ μέχρι τοῦ νῦν ὀνομάζεσθαί φασι Μεμνόνεια. οὐ μὴν ἀλλὰ τοῖς Τρωσὶ λέγεται βοηθῆσαι τὸν Μέμνονα μετὰ δισμυρίων μὲν πεζῶν, ἁρμάτων δὲ διακοσίων· ὃν θαυμασθῆναί τε δι' ἀνδρείαν καὶ πολλοὺς ἐν ταῖς μάχαις ἀνελεῖν τῶν Ἑλλήνων, τὸ δὲ τελευταῖον ὑπὸ Θετταλῶν ἐνεδρευθέντα κατασφαγῆναι· τοῦ δὲ σώματος τοὺς Αἰθίοπας ἐγκρατεῖς γενομένους κατακαῦσαί τε τὸν νεκρὸν καὶ τὰ ὀστᾶ πρὸς Τιθωνὸν ἀποκομίσαι. περὶ μὲν οὖν τοῦ Μέμνονος τοιαῦτ' ἐν ταῖς βασιλικαῖς ἀναγραφαῖς ἱστορεῖσθαί φασιν οἱ βάρβαροι.

23 Σαρδανάπαλλος δέ, τριακοστὸς μὲν ὢν ἀπὸ Νίνου τοῦ συστησαμένου τὴν ἡγεμονίαν, ἔσχατος δὲ γενόμενος Ἀσσυρίων βασιλεύς, ὑπερῆρεν ἅπαντας τοὺς πρὸ αὐτοῦ τρυφῇ καὶ ῥᾳθυμίᾳ. χωρὶς γὰρ τοῦ μηδ' ὑφ' ἑνὸς τῶν ἔξωθεν ὁρᾶσθαι βίον ἔζησε γυναικός, καὶ διαιτώμενος μὲν μετὰ τῶν παλλακίδων, πορφύραν δὲ καὶ τὰ μαλακώτατα τῶν ἐρίων ταλασιουργῶν, στολὴν μὲν γυναικείαν ἐνεδεδύκει, τὸ δὲ πρόςωπον καὶ πᾶν τὸ σῶμα ψιμυθίοις 137

60. ἀνδρείᾳ] ἀνδρίᾳ A Gemistus 61. δ'] δὲ δὴ Gemistus ἐπὶ — Σούσοις] καὶ τὰ ἐν Σούσοις ἐπὶ τῆς ἄ. Gemistus 62. ἡγεμονίας] βασιλείας Gemistus 63. Μεμνόνεια] Μεμνόνια Gemistus 64. τὴν omisit D τῶν νῦν χρόνων ὀν. ABDV, τοῦ νῦν χρόνων ὀν. C, τοῦ νῦν χρόνου ὀν. M, τῶν νῦν ὀν. χρόνων EGQ, caeteri τοῦ νῦν ὀν. 65. Μεμνόνειον] Μεμνόνειαν D περὶ τὴν] ὑπὲρ Gemistus 66. λέγοντες] λέγοντες ὅτι AB γεγονέναι post τὸν ἄ. ponit Gemistus 69. βοηθῆσαι ABD, caeteri βοηθήσαντα μετὰ — 70. διακοσίων praeteriit Gemistus 70. ὃν θαυμασθῆναί ABD, caeteri ὀνομασθῆναι 71. ἀνδρείαν] ἀνδρίαν Gemistus 72. ἀνελεῖν post πολλοὺς ponit D τῶν Ἑλλήνων post πολλοὺς ponit Gemistus 73. τοὺς om. Gemistus 74. κατακαῦσαί τε AD Gemistus, caeteri κατακαῦσαι 75. τοῦ om. D Gemistus 78. τριακοστὸς] καὶ πέμπτος addunt Eusebius et Syncellus ὢν post Νίνου ponit Gemistus, om. Syncellus 80. Ἀ. βασιλεὺς] invertit Syncellus 82. γυναικὸς ABD, caeteri γυναικώδη 83. μὲν om. Gemistus δὲ] τε Gemistus

137. 85. ἐνεδεδύκει] ἐνεδύετο FGM ψιμυθίοις C Gemistus, caeteri ψιμμυθίοις



καὶ τοῖς ἄλλοις τοῖς τῶν ἑταιρῶν ἐπιτηδεύμασιν ἁπαλώτερον πάσης γυναικὸς τρυφερᾶς κατεσκεύαστο. ἐπετήδευσε δὲ καὶ τὴν φωνὴν ἔχειν γυναικώδη καὶ κατὰ τοὺς πότους οὐ μόνον βρωτῶν καὶ ποτῶν τῶν δυναμένων μάλιστα τὰς ἡδονὰς παρέχεσθαι συνεχῶς ἀπολαύειν, ἀλλὰ καὶ τὰς ἀφροδισιακὰς τέρψεις μεταδιώκειν ἀνδρὸς ἅμα καὶ γυναικός· ἐχρῆτο γὰρ ταῖς ἐπ' ἀμφότερα συνουσίαις ἀνέδην, τῆς ἐκ τῆς πράξεως αἰσχύνης οὐδὲν ὅλως φροντίζων. ἐπὶ τοσοῦτο δὲ προήχθη τρυφῆς καὶ τῆς αἰσχίστης ἡδονῆς καὶ ἀκρασίας ὥστε ἐπικήδειον εἰς αὐτὸν ποιῆσαι καὶ παραγγεῖλαι τοῖς διαδόχοις τῆς ἀρχῆς μετὰ τὴν ἑαυτοῦ τελευτὴν ἐπὶ τὸν τάφον ἐπιγράψαι τὸ συγγραφὲν μὲν ὑπ' ἐκείνου βαρβαρικῶς, μεθερμηνευθὲν δὲ ὕστερον ὑπό τινος Ἕλληνος,

εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι· θανόντι σοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

τοιοῦτος δ' ὢν τὸν τρόπον οὐ μόνον αὐτὸς αἰσχρῶς κατέστρεψε τὸν βίον, ἀλλὰ καὶ τὴν Ἀσσυρίων ἡγεμονίαν ἄρδην ἀνέτρεψε, πολυχρονιωτάτην γενομένην τῶν μνημονευομένων.

24 Ἀρβάκης γάρ τις, Μῆδος μὲν τὸ γένος, ἀνδρείᾳ δὲ καὶ ψυχῆς λαμπρότητι διαφέρων, ἐστρατήγει Μήδων τῶν κατ' ἐνιαυτὸν ἐκπεμπομένων εἰς τὴν Νίνον. κατὰ δὲ τὴν στρατείαν γενόμενος συνήθης τῷ στρατηγῷ τῶν Βα-

86. ἑταιρῶν AB(D)FQ Gemistus, ἑτέρων C, caeteri ἑταιρίδων 88. κατὰ τοὺς πότους om. Gemistus 89. βρωτῶν καὶ ποτῶν] ποτῶν καὶ βρωτῶν D Gemistus, βρωμάτων καὶ ποτῶν M 91. ἀφροδισιακὰς] ἀφροδισιαστικὰς Gemistus 93. ἀνέδην] ἀναιδὴν omnes 95. καὶ ἀκρασίας] ἀκρασίας F Gemistus Wesselingii: meus sic locum concipit: τρυφῆς καὶ ἀκρασίας ἡδονῆς τῆς αἰσχίστης ἐπικήδειον] ἐπικήδιον D, ἐπιτύμβιον Gemistus 96. αὐτὸν] αὑτὸν DE, ἑαυτὸν Gemistus παραγγεῖλαι] παραγγέλειν Gemistus 97. ἑαυτοῦ] αὐτοῦ Gemistus ἐπὶ τὸν τάφον] τῷ τάφῳ Gemistus 98. ὑπ'] ἀπ' Gemistus 99. ὑπό] ἀπό Gemistus 100. 1. 2. servavit Tzetzes Chil. III, 453., servarunt eosdem ABD cum his vitiis: ἔφυς σὸν] ἐφυσσὸν A, ἐφῆς σὸν B: ἄεξε] δέξαι AD, δεῖξαι B: ὄνησις] ὀνήσεις AB: σποδός εἰμι] σποδὸς εἶμι AB 4. ἔφαγον] ἔγραφον Gemistus pr. 6. ὄλβια] ὀλίγα A 8. κατέστρ. τὸν βίον] invertit Gemistus 10. ἀνέτρεψε] ἀνέστρεψεν Syncellus 12. ἀνδρείᾳ] ἀνδρίᾳ Gemistus 13. ἐστρατήγει] στρατηγὸς ἦν M 15. στρατείαν] στρατιὰν DF, στρατηγίαν vel στρατηγείαν Syncellus

βυλωνίων ὑπ' ἐκείνου παρεκλήθη καταλῦσαι τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν. ἦν δ' οὗτος ὄνομα μὲν Βέλεσυς, τῶν δ' ἱερέων ἐπισημότατος, οὓς Βαβυλώνιοι καλοῦσι Χαλδαίους. ἐμπειρίαν οὖν ἔχων μεγίστην ἀστρολογίας τε καὶ μαντικῆς προέλεγε τοῖς πολλοῖς τὸ ἀποβησόμενον ἀδιαπτώτως. διὸ καὶ θαυμαζόμενος ἐπὶ τούτοις τῷ στρατηγῷ τῶν Μήδων ὄντι φίλῳ προεῖπεν ὅτι πάντως αὐτὸν δεῖ βασιλεῦσαι πάσης τῆς χώρας ἧς ἄρχει Σαρδανάπαλλος. ὁ δ' Ἀρβάκης ἐπαινέσας τὸν ἄνδρα, τούτῳ μὲν ἐπηγγείλατο δώσειν σατραπείαν τῆς Βαβυλωνίας τῆς πράξεως ἐπὶ τέλος ἐλθούσης, αὐτὸς δὲ καθαπερεὶ τινος θεοῦ φωνῇ μετεωρισθεὶς τοῖς τε ἡγεμόσι τῶν ἄλλων ἐθνῶν συνίστατο καὶ πρὸς τὰς ἑστιάσεις καὶ κοινὰς ὁμιλίας ἐκτενῶς ἅπαντας παρελάμβανε, φιλίαν ἐγκατασκευάζων 138 πρὸς ἕκαστον. ἐφιλοτιμήθη δὲ καὶ τὸν βασιλέα κατ' ὄψιν ἰδεῖν καὶ τὸν ὅλον τούτου βίον κατασκέψασθαι. διόπερ δοὺς τινι τῶν εὐνούχων χρυσῆν φιάλην εἰσήχθη πρὸς τὸν Σαρδανάπαλλον, καὶ τήν τε τρυφὴν αὐτοῦ καὶ τὸν γυναικώδη τῶν ἐπιτηδευμάτων ζῆλον ἀκριβῶς κατανοήσας κατεφρόνησε μὲν τοῦ βασιλέως ὡς οὐδενὸς ἀξίου, προήχθη δὲ πολὺ μᾶλλον ἀντέχεσθαι τῶν δοθεισῶν ἐλπίδων ὑπὸ τοῦ Χαλδαίου. τέλος δὲ συνωμοσίαν ἐποιήσατο πρὸς τὸν Βέλεσυν, ὥστε αὐτὸν μὲν Μήδους ἀποστῆσαι καὶ Πέρσας, ἐκεῖνον δὲ πεῖσαι Βαβυλωνίους κοινωνῆσαι τῆς πράξεως καὶ τὸν τῶν Ἀράβων ἡγεμόνα φίλον ὄντα προσλαβέσθαι πρὸς τὴν τῶν ὅλων ἐπίθεσιν. ὡς δὲ ὁ ἐνιαύσιος τῆς στρατείας διεληλύθει χρόνος, διαδοχῆς δ' ἑτέρας ἐλθούσης ἀπελύθησαν οἱ πρότεροι κατὰ τὸ ἔθος εἰς τὰς πατρίδας, ἐνταῦθα ὁ Ἀρβάκης ἔπεισε τοὺς μὲν Μήδους ἐπιθέσθαι τῇ βασιλείᾳ, Πέρσας δ' ἐπ' ἐλευθερίᾳ κοινωνῆσαι τῆς ἡγεμονίας. παραπλησίως

16. ὑπ'] ἀπ' Gemistus 17. *Βέλεσυς* A(D) Gemistus, caeteri *Βέλεσις* 23. *βασιλεῦσαι*] *κύριον γενέσθαι* M *πάσης τῆς*] *πάσης* F Gemistus 26. *Βαβυλωνίας*] *ἡγεμονίας* F correctus in marg. 27. *τε* om. Gemistus 28. *πρὸς τὰς*] *πρὸς* F Gemistus 29. *ἐκτενῶς*] *ἐκτενεῖς* Gemistus

138. 30. *φιλίαν*] *φιλίας* BD *ἐγκατασκευάζων*] *κατασκευάζων* Gemistus recte, opinor *πρὸς* — 38. *ἐποιήσατο* om. Gemistus 31. *ὅλον* post *βίον* ponit D 35. *κατανοήσας*] *σκοπήσας* M 36. *πολὺ μᾶλλον ἀντέχεσθαι*] *μᾶλλον ἀντέχεσθαι κατὰ πολὺ* Q 38. *Βέλεσυν* A(D) Gemistus, caeteri *Βέλεσιν* 41. *Ἀράβων* AB(D) et omisso *τῶν* Gemistus, *βαρβάρων δηλαδὴ τῶν Ἀράβων* E, caeteri *βαρβάρων* 42. *δὲ* om. Gemistus *στρατείας*] *στρατιᾶς* F 43. *διαδοχῆς δ'*] *καὶ διαδοχῆς* Gemistus 44. *πρότεροι*] *ἕτεροι* A *ἔθος*] *ἔθνος* F 47. *ἡγεμονίας*] sententia *συνωμοσίας* poscit



δὲ καὶ ὁ Βέλεσυς τούς τε Βαβυλωνίους ἔπεισεν ἀντέχεσθαι τῆς ἐλευθερίας καὶ πρεσβεύσας εἰς Ἀραβίαν παρεστήσατο τὸν ἡγούμενον τῶν ἐγχωρίων ὄντα φίλον αὐτοῦ καὶ ξένον μετασχεῖν τῆς ἐπιθέσεως. τοῦ δ' ἐνιαυσιαίου χρόνου διελθόντος πάντες οὗτοι πλῆθος στρατιωτῶν συναγαγόντες ἧκον πανδημεὶ πρὸς τὴν Νίνον, τῷ μὲν λόγῳ διαδοχὴν ἄγοντες, ὡς ἦν σύνηθες, τῇ δ' ἀληθείᾳ καταλύσοντες τὴν τῶν Ἀσσυρίων ἡγεμονίαν. ἀθροισθέντων οὖν τῶν προειρημένων τεττάρων ἐθνῶν εἰς ἕνα τόπον ὁ μὲν σύμπας αὐτῶν ἀριθμὸς ὑπῆρχεν εἰς τετταράκοντα μυριάδας· εἰς μίαν δὲ παρεμβολὴν συνελθόντες 25 ἐβουλεύοντο κοινῇ περὶ τοῦ συμφέροντος. Σαρδανάπαλλος δὲ γνοὺς τὴν ἀπόστασιν εὐθὺς ἐξήγαγεν ἐπ' αὐτοὺς τὰς ἀπὸ τῶν ἄλλων ἐθνῶν δυνάμεις. καὶ τὸ μὲν πρῶτον γενομένης ἐν τῷ πεδίῳ παρατάξεως ἐλείφθησαν οἱ τὴν ἀπόστασιν ποιησάμενοι, καὶ πολλοὺς ἀποβαλόντες συνεδιώχθησαν εἰς ὄρος ἀπέχον τῆς Νίνου σταδίους ἑβδομήκοντα· μετὰ δὲ ταῦτα πάλιν καταβάντων αὐτῶν εἰς τὸ πεδίον καὶ πρὸς μάχην παρασκευαζομένων, ὁ μὲν Σαρδανάπαλλος ἀντιτάξας τὴν ἰδίαν στρατιὰν προαπέστειλε πρὸς τὸ τῶν πολεμίων στρατόπεδον τοὺς κηρύξοντας διότι Σαρδανάπαλλος τοῖς μὲν ἀνελοῦσιν Ἀρβάκην τὸν Μῆδον δώσει χρυσίου διακόσια τάλαντα, τοῖς δὲ ζῶντα παραδοῦσι χρήματα μὲν δωρήσεται δὶς τοσαῦτα, τῆς δὲ Μηδίας ἔπαρχον καταστήσει. παραπλησίας δὲ ἐπηγγείλατο δώσειν δωρεὰς τοῖς Βέλεσυν τὸν Βαβυλώνιον ἀνελοῦσιν ἢ ζωγρήσασιν. οὐδενὸς δὲ προσέχοντος τοῖς κηρύγμασι συνῆψε μάχην, καὶ πολλοὺς μὲν ἐφόνευσε τῶν ἀποστατῶν, τὸ δ' ἄλλο πλῆθος συνεδίωξεν 139 εἰς τὴν ἐν τοῖς ὄρεσι παρεμβολήν. οἱ δὲ περὶ τὸν Ἀρ-

*Βέλεσυς* A(D)G Gemistus, caeteri *Βέλεσις* 50. *ἐγχωρίων*] *Ἀράβων* Gemistus *φίλον αὐτοῦ καὶ ξένον*] *αὐτῷ ξένον* Gemistus 51. *ἐνιαυσιαίου*] *ἐνιαυσίου* idem et mox *δ. χρόνου* 53. *πρὸς τὴν*] *εἰς τὸν* Gemistus *ἄγοντες*] *ἔχοντες* FG et pr. Gemistus 58. *παρεμβολὴν*] *ἤτοι στρατόπεδον* gl. C *συνελθόντες* ABCD, margo F, Gemistus, *ἀθροισθέντες* FM, caeteri *συναχθέντες* 60. *ἐξήγαγεν*] *ἐπήγαγεν* Gemistus 61. *αὐτοὺς*] *αὐτὰς* Gemistus 62. *παρατάξεως*] *μάχης* ABD 63. *ἐλείφθησαν* D, *ἡττήθησαν* M, *ἐκρατήθησαν* V, caeteri *ἐλήφθησαν*: *καὶ ἐκρατήθησαν* gl. C *ποιησάμενοι*] *πεποιημένοι* Gemistus 68. *προαπέστειλε*] *προσαπέστειλε* E Gemistus 69. *κηρύξοντας*] *κηρύξαντας* A *διότι*] *ὅτι* Gemistus 72. *ἔπαρχον*] *ἔπαρχον τὸν τῆς πράξεως ἡγησάμενον* Gemistus, offensus eo quod *τοῖς παραδοῦσι*, non *τῷ παραδόντι* scriptum esset 73. *παραπλησίας* Gemistus, caeteri *παραπλησίως* 74. *τοῖς*] *καὶ τοῖς* Gemistus 76. *ἀποστατῶν* ACD Gemistus, caeteri *ἀποστάντων* 77. *συνεδίωξεν*] *ἀπεδίωξε* AB

βάκην διὰ τὰς ἥττας ἀθυμοῦντες συνήγαγον τῶν φίλων συνέδριον καὶ προέθηκαν βουλὴν τί δέοι πράττειν. οἱ πλεῖστοι μὲν οὖν ἔφασαν δεῖν εἰς τὰς πατρίδας ἀπιέναι καὶ τόπους ὀχυροὺς καταλαμβάνεσθαι καὶ τῶν ἄλλων τῶν εἰς τὸν πόλεμον χρησίμων τὴν ἐνδεχομένην παρασκευὴν ποιεῖσθαι· Βέλεσυς δ' ὁ Βαβυλώνιος, φήσας τοὺς θεοὺς αὐτοῖς σημαίνειν μετὰ πόνων καὶ κακοπαθείας ἐπὶ τέλος ἄξειν τὴν προαίρεσιν καὶ τἄλλα παρακαλέσας ἐνδεχομένως, ἔπεισεν ἅπαντας ὑπομένειν τοὺς κινδύνους. γενομένης οὖν τρίτης παρατάξεως πάλιν ὁ βασιλεὺς ἐνίκησε καὶ τῆς παρεμβολῆς τῶν ἀποστατῶν ἐκυρίευσε καὶ τοὺς ἡττηθέντας ἐδίωξε μέχρι τῶν ὅρων τῆς Βαβυλωνίας· συνέβη δὲ καὶ τὸν Ἀρβάκην αὐτὸν λαμπρότατα κινδυνεύσαντα καὶ πολλοὺς ἀνελόντα τῶν Ἀσσυρίων γενέσθαι τραυματίαν. τηλικούτων δ' ἐλαττωμάτων κατὰ τὸ συνεχὲς γενομένων τοῖς ἀφεστηκόσιν οἱ τὰς ἡγεμονίας ἔχοντες ἀπελπίσαντες περὶ τῆς νίκης παρεσκευάζοντο διαχωρίζεσθαι πρὸς τοὺς οἰκείους ἕκαστοι τόπους. ὁ δὲ Βέλεσυς ἐν ὑπαίθρῳ τὴν νύκτα διηγρυπνηκὼς καὶ περὶ τὴν τῶν ἄστρων παρατήρησιν φιλοτιμηθείς, ἔφησε τοῖς ἀπηλπικόσι τὰ πράγματα, ἂν πένθ' ἡμέρας ἀναμείνωσιν, αὐτομάτην ἥξειν βοήθειαν καὶ μεταβολὴν ἔσεσθαι τῶν ὅλων παμμεγέθη εἰς τοὐναντίον· ταῦτα γὰρ ὁρᾶν διὰ τῆς τῶν ἄστρων ἐμπειρίας προσημαίνοντας αὐτοῖς τοὺς θεούς· καὶ παρεκάλει ταύτας τὰς ἡμέρας μείναντας πεῖραν λαβεῖν τῆς ἰδίας τέχνης καὶ τῆς τῶν θεῶν εὐεργεσίας.

26 μετακληθέντων οὖν πάλιν ἁπάντων καὶ τὸν ὡρισμένον χρόνον ἀναμεινάντων ἧκέ τις ἀπαγγέλλων διότι δύναμις ἐκ τῆς Βακτριανῆς ἀπεσταλμένη τῷ βασιλεῖ πλησίον ἐστὶ πορευομένη κατὰ

139. 78. τὰς ἥττας ABD, *adversis proeliis* Poggius: caeteri τὴν ἧτταν 86. ἅπαντας] ἅπαντα Gemistus 87. τρίτης παρατάξεως ABD, caeteri παρατάξεως 88. καὶ — 89. ἐκυρίευσε om. A τῆς] τῆς τε D τῶν (D) Gemistus, caeteri καὶ τῶν 89. καὶ τοὺς] τοὺς δ' Gemistus 91. ἀνελόντα post Ἀσσυρίων ponit Gemistus τῶν] ὑπὸ τῶν BD 93. γενομένων] γινομένων D 94. ἀπελπίσαντες περὶ τῆς νίκης] ἀπεγνωκότες τὴν νίκην Gemistus 95. παρεσκ. διαχ. post οἰκείους ponit Gemistus 96. ἐν ὑπαίθρῳ] ὑπαίθρως B: ἐν — 97. φιλοτιμηθεὶς praeteriit Gemistus 98. ἔφησε — πράγματα post 100. βοήθειαν ponit Gemistus 99. αὐτομάτην] αὐτοματεὶ G 100. παμμεγέθη post τοὐναντίον ponit Gemistus 1. διὰ — ἐμπειρίας om. idem 2. καὶ om. idem, posito mox μείναντας ante τὰς ἡ. 3. τῆς ἰδίας] τῆς τε αὐτοῦ Gemistus 5. μετακληθέντων] μετακλιθέντων A, μεταβληθέντων Gemistus πάλιν ἁπάντων] πάντων πάλιν D 7. διότι] ὅτι Gemistus τῆς Βακτριανῆς] Βάκτρων Gemistus



σπουδήν. ἔδοξεν οὖν τοῖς περὶ τὸν Ἀρβάκην απαντῆσαι τοῖς στρατηγοῖς τὴν ταχίστην ἀναλαβόντας τῶν στρατιωτῶν τοὺς κρατίστους καὶ μάλιστα εὐζώνους, ὅπως, ἂν μὴ διὰ τῶν λόγων τοὺς Βακτριανοὺς δύνωνται πεῖσαι συναποστῆναι, τοῖς ὅπλοις βιάσωνται μετασχεῖν τῶν αὐτῶν ἐλπίδων. τέλος δὲ πρὸς τὴν ἐλευθερίαν ἀσμένως ὑπακουσάντων τὸ μὲν πρῶτον τῶν ἡγεμόνων, ἔπειτα καὶ τῆς ὅλης δυνάμεως, πάντες ἐν ταὐτῷ κατεστρατοπέδευσαν. ὅτε δὴ συνέβη τὸν βασιλέα τῶν Ἀσσυρίων τὴν μὲν ἀπόστασιν τῶν Βακτριανῶν ἀγνοοῦντα, ταῖς δὲ προγεγενημέναις εὐημερίαις μετεωρισθέντα, τραπῆναι πρὸς ἄνεσιν, καὶ τοῖς στρατιώταις διαδοῦναι πρὸς εὐωχίαν ἱερεῖα καὶ πλῆθος οἴνου τε καὶ τῶν ἄλλων ἐπιτηδείων. διόπερ τῆς δυνάμεως ἁπάσης ἑστιωμένης οἱ περὶ τὸν Ἀρβάκην παρά τινων αὐτομόλων πυθόμενοι τὴν ἐν τῇ παρεμβολῇ τῶν πολεμίων ῥαθυμίαν καὶ μέθην νυκτὸς
140 ἀπροσδοκήτως τὴν ἐπίθεσιν ἐποιήσαντο. προσπεσόντες δὲ συντεταγμένοι μὲν ἀσυντάκτοις, ἕτοιμοι δὲ ἀπαρασκεύοις, τῆς τε παρεμβολῆς ἐκράτησαν καὶ τῶν στρατιωτῶν πολλοὺς ἀνελόντες τοὺς ἄλλους μέχρι τῆς πόλεως κατεδίωξαν. μετὰ δὲ ταῦτα ὁ μὲν βασιλεὺς Σαλαιμένην τὸν ἀδελφὸν τῆς γυναικὸς ἀποδείξας στρατηγὸν αὐτὸς τῶν κατὰ τὴν πόλιν ἐπιμέλειαν ἐποιεῖτο· οἱ δ' ἀποστάται κατὰ τὸ πεδίον τὸ πρὸ τῆς πόλεως παραταξάμενοι δυσὶ μάχαις ἐνίκησαν τοὺς Ἀσσυρίους, καὶ τόν τε Σαλαιμένην ἀνεῖλον καὶ τῶν ἀντιταξαμένων τοὺς μὲν ἐν τῇ φυγῇ κατέσφαξαν, τοὺς δ' ἀποκλεισθέντας τῆς εἰς τὴν πόλιν ἐπανόδου καὶ συναναγκασθέντας ἑαυτοὺς ῥίπτειν εἰς τὸν Εὐφράτην ποταμὸν πλὴν ὀλίγων ἅπαντας ἀνεῖλον. τοσοῦτο δὲ πλῆθος ἦν τῶν φονευθέντων ὥστε τὸ φερόμε-

9. στρατηγοῖς] στρατηγοῖς τῶν Βακτρίων Gemistus ἀναλαβόντας] ἀναλαβόντες Gemistus 10. τοὺς κρατίστους omisit M, κρατίστους καὶ om. C, καὶ μάλ. εὐζώνους Gemistus 11. Βακτριανοὺς] Βακτρίους Gemistus 12. δύνωνται] δυνήσωνται ABD 14. ὑπακουσάντων] ὑπακούσαντος C 16. ταὐτῷ] τ' αὐτὸ D, αὐτῷ Gemistus δὴ] δὴ καὶ Gemistus 17. Βακτριανῶν] Βακτρίων Gemistus 19. διαδοῦναι AB(D) Gemistus, caeteri μεταδοῦναι 23. ῥαθυμίαν] καὶ ῥαθυμίαν AG 24. ἐποιήσαντο] ποιήσαντες F

140. 29. Σαλαιμένην] Σαλαμένην F Gemistus, Γαλαιμένην ABD, *Salamenum* Poggius 30. ἐπιμέλειαν ἐποιεῖτο] ἐπεμελεῖτο M 33. τόν τε Σαλαιμένην] τόν τε Γαλαιμένην D, τὸν Σαλαμένην Gemistus, τῶν περὶ Γαλαιμένην A, *Salameno* Poggius ἀνεῖλον καὶ τῶν om. AD 36. ῥίπτειν] ῥιπτεῖν Gemistus 37. ἅπαντας BCDF Gemistus, caeteri πάντας τοσοῦτο] τοσοῦτον A

νον ῥεῦμα κερασθὲν αἵματι τὴν χρόαν ἐφ' ἱκανὸν τόπον μεταβαλεῖν. ἔπειτα τοῦ βασιλέως συγκλεισθέντος εἰς πολιορκίαν πολλὰ τῶν ἐθνῶν ἀφίστατο, ἑκάστου πρὸς τὴν ἐλευθερίαν αὐτομολοῦντος. ὁ δὲ Σαρδανάπαλλος ὁρῶν τὴν ὅλην βασιλείαν ἐν τοῖς μεγίστοις οὖσαν κινδύνοις, τοὺς μὲν υἱοὺς τρεῖς ὄντας καὶ θυγατέρας δύο μετὰ πολλῶν χρημάτων εἰς Παφλαγονίαν ἀπέστειλε πρὸς Κότταν τὸν ἔπαρχον, ὄντα τῶν ἀρχομένων εὐνούστατον, αὐτὸς δὲ βιβλιαφόρους ἀποστείλας πρὸς ἅπαντας τοὺς ὑπ' αὐτὸν τεταγμένους μετεπέμπετο δυνάμεις καὶ τὰ πρὸς τὴν πολιορκίαν παρεσκευάζετο. ἦν δ' αὐτῷ λόγιον παραδεδομένον ἐκ προγόνων ὅτι τὴν Νίνον οὐδεὶς ἑλεῖ κατὰ κράτος, ἐὰν μὴ πρότερον ὁ ποταμὸς τῇ πόλει γένηται πολέμιος. ὑπολαμβάνων δὲ τοῦτο μηδέποτε ἔσεσθαι, ταῖς ἐλπίσιν ἀντεῖχε, διανοούμενος ὑπομένειν τὴν πολιορκίαν, καὶ τὰ παρὰ τῶν ἐπάρχων ἀποσταλησόμενα
27 στρατόπεδα προσεδέχετο. οἱ δ' ἀποστάται τοῖς προτερήμασιν ἐπαρθέντες προσέκειντο μὲν τῇ πολιορκίᾳ, διὰ δὲ τὴν ὀχυρότητα τῶν τειχῶν οὐδὲν ἠδύναντο βλάψαι τοὺς ἐν τῇ πόλει· πετροβόλοι γὰρ ἢ χελῶναι χωστρίδες ἢ κριοὶ πρὸς ἀνατροπὴν μεμηχανημένοι τειχῶν οὔπω κατ' ἐκείνους τοὺς καιροὺς ἐξεύρηντο. τῶν δ' ἐπιτηδείων ἁπάντων οἱ κατὰ τὴν πόλιν πολλὴν εἶχον δαψίλειαν, προνενοημένου τοῦ βασιλέως τούτου τοῦ μέρους. διὸ καὶ χρονιζούσης τῆς πολιορκίας ἐπ' ἔτη μὲν δύο προσέκειντο προσβολὰς ποιούμενοι τοῖς τείχεσι καὶ τῆς ἐπὶ τὴν χώραν ἐξόδου τοὺς ἐκ τῆς πόλεως εἴργοντες· τῷ τρίτῳ δ' ἔτει συνεχῶς ὄμβρων μεγάλων καταῤῥαγέντων συνέβη τὸν Εὐφράτην μέγαν γενόμενον κατακλύσαι

38. ῥεῦμα κερασθὲν αἵματι] αἷμα κερασθὲν ὕδατι FG 39. ἐφ' ἱκανὸν] ἐπὶ συχνὸν Gemistus 41. ἀφίστατο] ἀφίστατο (ἀφίσταντο D) τοῦ βασιλέως ABD 43. οὖσαν κινδύνοις] invertit Gemistus 44. υἱοὺς] υἱεῖς Gemistus 45. Κότταν] Cottum Poggius 46. τὸν om. D non interpungens post ἔπαρχον 47. βιβλιαφόρους A(D)EG, caeteri βιβλιοφόρους 50 παραδεδ.] παραδιδ. A τὴν] τὸν Gemistus ἑλεῖ D, εἰςέλει CE, ἑλεῖν, post κράτος addito δύναται, Gemistus, caeteri ἕλη 52. δὲ] οὖν D 53. ἀντεῖχε AB(D). ἀνείχετο Gemistus, caeteri ἀντείχετο 54. ἐπάρχων ABD, caeteri ὑποτεταγμένων 55. προσεδέχετο] προσδέχεσθαι D 56. προτερήμασιν] εὐτυχήμασιν Gemistus 58. πετροβόλοι] προβόλοι A: πετρ. — 61. ἐξεύρηντο praeteriit Gemistus 61. καιροὺς] χρόνους FG ἐξεύρηντο] εὕρηντο ABD δ'] γὰρ Gemistus 62. προνενοημένου ABC(D)E Gemistus, caeteri προνοουμένου 64. προσέκειντο] ἐπέκειντο AB 66. ἐκ τῆς πόλεως] ἐν τῇ πόλει Gemistus 67. μεγάλων ABCDEFG Gemistus, caeteri ῥαγδαίων καταῤῥαγέντων — 68. γενόμενον om. Gemistus 68. κατακλύσαι] καταλύσαι C



τε μέρος τῆς πόλεως καὶ καταβαλεῖν τὸ τεῖχος ἐπὶ σταδίους εἴκοσιν. ἐνταῦθα ὁ βασιλεὺς νομίσας τετελέσθαι τὸν
141 χρησμόν, καὶ τῇ πόλει τὸν ποταμὸν γεγονέναι φανερῶς πολέμιον, ἀπέγνω τὴν σωτηρίαν. ἵνα δὲ μὴ τοῖς πολεμίοις γένηται ὑποχείριος, πυρὰν ἐν τοῖς βασιλείοις κατεσκεύασεν ὑπερμεγέθη, καὶ τόν τε χρυσὸν καὶ τὸν ἄργυρον ἅπαντα, πρὸς δὲ τούτοις τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν ἐπὶ ταύτην ἐσώρευσε· τὰς δὲ παλλακίδας καὶ τοὺς εὐνούχους συγκλείσας εἰς τὸν ἐν μέσῃ τῇ πυρᾷ κατεσκευασμένον οἶκον ἅμα τούτοις ἅπασιν ἑαυτόν τε καὶ τὰ βασίλεια κατέκαυσεν. οἱ δ' ἀποστάται πυθόμενοι τὴν ἀπώλειαν τοῦ Σαρδαναπάλλου, τῆς μὲν πόλεως ἐκράτησαν εἰςπεσόντες κατὰ τὸ πεπτωκὸς μέρος τοῦ τείχους, τὸν δ' Ἀρβάκην ἐνδύσαντες τὴν βασιλικὴν στολὴν προςηγόρευσαν βασιλέα, καὶ τὴν τῶν ὅλων ἐξουσίαν αὐτῷ ἐπέτρεψαν.

Ἔνθα δὴ τοῦ βασιλέως τοῖς συναγωνισαμένοις στρα- 28
τηγοῖς δωρεάς τε διδόντος κατὰ τὴν ἀξίαν καὶ σατράπας ἐθνῶν καθιστάντος, προςελθὼν αὐτῷ Βέλεσυς ὁ Βαβυλώνιος ὁ προειπὼν ὅτι βασιλεὺς ἔσται τῆς Ἀσίας τῆς τε εὐεργεσίας ὑπέμνησε καὶ τὴν Βαβυλωνίαν ἀρχὴν ἠξίου δοῦναι, καθάπερ ἐξ ἀρχῆς ὑπέσχετο. ἀπεφαίνετο δὲ καὶ κατὰ τοὺς κινδύνους ἑαυτὸν εὐχὴν πεποιῆσθαι τῷ Βήλῳ Σαρδαναπάλλου κρατηθέντος καὶ τῶν ἄλλων βασιλείων ἐμπυρισθέντων ἀποκομιεῖν τὴν σποδὸν τὴν ἐκ τούτων εἰς Βαβυλῶνα, καὶ πλησίον τοῦ τεμένους τοῦ θεοῦ καταθέμενον χῶμα κατασκευάσειν τὸ παρεξόμενον τοῖς κατὰ τὸν Εὐφράτην πλέουσιν ἀθάνατον ὑπόμνημα τοῦ καταλύσαντος τὴν Ἀσσυρίων ἀρχήν. τοῦτο δ' ᾐτεῖτο πυ-

τε om. ACD, τι Gemistus 69. εἴκοσιν] τεσσαράκοντα F correctus in margine

141. 73. γένηται ὑποχείριος] ὑποχείριος γένηται D Gemistus 76. τὰς δὲ] τάς τε E εὐνούχους] εὐνουστάτους F correctus in marg. 80. τοῦ Σ. A Gemistus, τὴν Σ. D, caeteri Σ. 82. προσηγόρευσαν] ἀνηγόρευσαν M 83. αὐτῷ om. D, post ὅλων ponit αὐτῶν scribens Gemistus ἐξ. ἐπέτρ.] invertit Gemistus 84. τοῦ βασιλέως — διδόντος — καθιστάντος] ὁ βασιλεὺς — ἐδίδου — καθίστα Gemistus: tum Βέλεσυν τε τῷ Β. τὴν Βαβυλῶνος ἣν ὑπέσχετο σατραπείαν ἀτελῆ ἔδωκε νέμεσθαι, omissis quae sequuntur ad 142. 19. συναγωνισαμένοις στρατηγοῖς ABD, συνηγωνισμένοις Gemistus, caeteri συναγωνισαμένοις 85. διδόντος] διαδόντος D 88. Βαβυλωνίαν] Βαβυλῶνος D ἀρχὴν] ἐξουσίαν G 89. ἀπεφαίνετο] ἔφασκε M 91. ἄλλων suspectum est Wesselingio 92 τὴν ἐκ D, caeteri ἐκ 93. τοῦ θεοῦ] καὶ τοῦ ποταμοῦ subiiciunt ABD 95. κατὰ om. CEMV, asterisco notavit Stephanus 96. καταλύσαντος] βασιλέως subiiciunt AB ᾐτεῖτο] ἡγεῖτο CG

θόμενός τινος εὐνούχου τὰ περὶ τὸν ἄργυρον καὶ χρυσόν, ὃν διαδράντα καὶ πρὸς αὐτὸν αὐτομολήσαντα κατέκρυψεν. ὁ δ' Ἀρβάκης τούτων οὐδὲν εἰδὼς διὰ τὸ πάντας τοὺς ἐν τοῖς βασιλείοις συγκατακαῆναι τῷ βασιλεῖ, τήν τε σποδὸν ἀποκομίσαι καὶ τὴν Βαβυλῶνα ἔχειν ἀτελῆ συνεχώρησεν. εἶθ' ὁ μὲν Βέλεσυς πλοῖα παραστησάμενος μετὰ τῆς σποδοῦ τὸ πλεῖστον τοῦ τε ἀργύρου καὶ τοῦ χρυσοῦ συντόμως ἀπέστειλεν εἰς τὴν Βαβυλῶνα· ὁ δὲ βασιλεύς, μηνυθείσης αὐτῷ τῆς πράξεως αὐτοφώρου, δικαστὰς ἀπέδειξε τοὺς συναγωνισαμένους στρατηγούς. τοῦ πράξαντος δ' ὁμολογοῦντος ἀδικεῖν, τὸ μὲν δικαστήριον αὐτοῦ κατέγνω θάνατον, ὁ δὲ βασιλεύς, μεγαλόψυχος ὢν καὶ τὴν ἀρχὴν τῆς ἡγεμονίας βουλόμενος ἐπιεικῆ παρέχεσθαι, τῶν τε κινδύνων ἀπέλυσε τὸν Βέλεσυν καὶ τὸν ἀποκεκομισμένον ἄργυρον καὶ χρυσὸν ἔχειν συνεχώρησεν· ὁμοίως δὲ καὶ τὴν δοθεῖσαν ἐξ ἀρχῆς ἐξουσίαν τῆς Βαβυλῶνος οὐκ ἀφείλετο, φήσας μείζονας εἶναι τὰς ἐξ αὐτοῦ προγεγενημένας εὐεργεσίας τῶν ὕστερον ἀδικημάτων. διαβοηθείσης δὲ τῆς ἐπιεικείας οὐ τὴν τυχοῦσαν εὔνοιαν ἀλλὰ καὶ δόξαν παρὰ τῶν ἐθνῶν ἀπηνέγκατο, πάντων κρινόντων ἄξιον 142 εἶναι τῆς βασιλείας τὸν οὕτω προσενεχθέντα τοῖς ἀδικήσασιν. ὁ δ' οὖν Ἀρβάκης τοῖς κατὰ τὴν πόλιν ἐπιεικῶς προσενεχθεὶς αὐτοὺς μὲν κατὰ κώμας διῴκισε, τὰς ἰδίας κτήσεις ἑκάστοις ἀποδούς, τὴν δὲ πόλιν εἰς ἔδαφος κατέσκαψεν. ἔπειτα τόν τε ἄργυρον καὶ χρυσὸν τὸν ἐκ τῆς πυρᾶς ὑπολειφθέντα πολλῶν ὄντα ταλάντων ἀπεκόμισε τῆς Μηδίας εἰς Ἐκβάτανα. ἡ μὲν οὖν ἡγεμονία τῶν Ἀσσυρίων ἀπὸ Νίνου διαμείνασα τριάκοντα μὲν γενεάς, ἔτη δὲ πλείω τῶν χιλίων καὶ τριακοσίων, ὑπὸ Μήδων κατελύθη τὸν προειρημένον τρόπον.

29 Ἡμῖν δ' οὐκ ἀνάρμοστον εἶναι δοκεῖ περὶ τῶν ἐν Βαβυλῶνι καλουμένων Χαλδαίων καὶ τῆς ἀρχαιότητος

98. διαδράντα] διαδράσαντα ABD 3. παραστησάμενος] παρεσκευασμένος G σποδοῦ] σπουδῆς AB 4. τὴν om. D 6. αὐτοφώρου Rhodomannus: αὐτοφόνου margo G, caeteri αὐτοφόρου συναγωνισαμένους D, caeteri συναγωνιζομένους 8. κατέγνω θάνατον] invertit D 13. ἐξ ἀρχῆς ante δοθεῖσαν ponit D Βαβυλῶνος ABCDE, caeteri Βαβυλωνίας ἀφείλετο] ἀφείλατο D 16. ἀλλὰ] malim ἅμα

142. 19. ὁ δ' — πόλιν] τοῖς δ' ἐν τῇ πόλει Gemistus 22. ἐκ — ὑπολειφθέντα] ἐν τῇ πυρᾷ κεχονευμένον συμφορήσας Gemistus 24. τῶν] ἢ τῶν Gemistus 25. τριάκοντα μὲν ABD Gemistus, caeteri μὲν τριάκοντα 26. τριακοσίων B(D) Gemistus, caeteri τετρακοσίων 27. κατελύθη post τρόπον ponit Gemistus προειρημένον] εἰρημένον Gemistus 29. καλουμένων om. AD



αὐτῶν βραχέα διελθεῖν, ἵνα μηδὲν παραλείπωμεν τῶν ἀξίων μνήμης. Χαλδαῖοι τοίνυν τῶν ἀρχαιοτάτων ὄντες Βαβυλωνίων τῇ μὲν διαιρέσει τῆς πολιτείας παραπλησίαν ἔχουσι τάξιν τοῖς κατ' Αἴγυπτον ἱερεῦσι. πρὸς γὰρ τῇ θεραπείᾳ τῶν θεῶν τεταγμένοι πάντα τὸν τοῦ ζῆν χρόνον φιλοσοφοῦσι, μεγίστην δόξαν ἔχοντες ἐν ἀστρολογίᾳ. ἀντέχονται δ' ἐπὶ πολὺ καὶ μαντικῆς, ποιούμενοι προῤῥήσεις περὶ τῶν μελλόντων, καὶ τῶν μὲν καθαρμοῖς, τῶν δὲ θυσίαις, τῶν δ' ἄλλαις τισὶν ἐπῳδαῖς ἀποτροπὰς κακῶν καὶ τελειώσεις ἀγαθῶν πειρῶνται πορίζειν. ἐμπειρίαν δ' ἔχουσι καὶ τῆς διὰ τῶν οἰωνῶν μαντικῆς, ἐνυπνίων τε καὶ τεράτων ἐξηγήσεις ἀποφαίνονται. οὐκ ἀσόφως δὲ ποιοῦνται καὶ τὰ περὶ τὴν ἱεροσκοπίαν ἀκριβῶς ἐπιτυγχάνειν νομίζονται. τὴν δὲ τούτων μάθησιν ἁπάντων οὐχ ὁμοίαν ποιοῦνται τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσι τῶν Ἑλλήνων. παρὰ μὲν γὰρ τοῖς Χαλδαίοις ἐκ γένους ἡ τούτων φιλοσοφία παραδέδοται, καὶ παῖς παρὰ πατρὸς διαδέχεται τῶν ἄλλων λειτουργιῶν πασῶν ἀπολελυμένος. διὸ καὶ γονεῖς ἔχοντες διδασκάλους ἅμα μὲν ἀφθόνως ἅπαντα μανθάνουσιν, ἅμα δὲ τοῖς παραγγελλομένοις προσέχουσι πιστεύοντες βεβαιότερον. ἔπειτ' εὐθὺς ἐκ παίδων συντρεφόμενοι τοῖς μαθήμασι μεγάλην ἕξιν εἰς τὴν ἀστρολογίαν περιποιοῦνται διά τε τὸ τῆς ἡλικίας εὐδίδακτον καὶ διὰ τὸ πλῆθος τοῦ προς-
143 καρτερουμένου χρόνου. παρὰ δὲ τοῖς Ἕλλησιν ὁ πολὺς

30. βραχέα] ὀλίγα A ἵνα — 31. μνήμης praeteriit Gemistus 31. ἀρχαιοτάτων] ἀρχαίων FG Gemistus 32. τῇ μὲν διαιρέσει AB(D), τὴν μὲν διαίρεσιν FQ, τὴν μὲν δὴ αἵρεσιν G, τὴν μὲν προαίρεσιν Gemistus, caeteri τὴν μὲν αἵρεσιν τῆς πολιτείας] τοῦ βίου Gemistus 33. ἔχουσι τάξιν AB(D), caeteri ἔχουσι 35. φιλοσοφοῦσι] φιλολογοῦσι BD 36. ἐν] ἐπ' Gemistus ἀστρολογίᾳ] ἀστρολογίαις D, ἀστρολογίας A 37. καὶ — 39. πορίζειν hic omisit Gemistus καθαρμοῖς] καθαρισμοῖς F, auguriis Poggius 40. δ'] γὰρ Gemistus 41. ἐξηγήσεις] ἐξηγήσεων, καὶ δὴ καὶ περὶ τὴν ἱεροσκοπίαν. πειρῶνται δὲ καὶ τῶν μὲν καθαρμοῖς τῶν δὲ θυσίαις τῶν δὲ ἄ. τ. ἐ. ἀποτροπάς τε κακῶν καὶ τελ. ἀ. πορίζειν περὶ τῶν μεγίστων δοξῶν, τὴν μὲν et caetera quae sunt 143. 72. Gemistus 42. aut ποιοῦνται in ποιούμενοι mutandum aut καὶ ἀκριβῶς scribendum monet Rhodomannus: ego ad ποιοῦνται aliquid desidero 43. ἀκριβῶς] ἄκρως BDGQ 46. γένους] γέρους F παραδέδοται] παραδίδοται CE 47. πασῶν] ἁπασῶν EG 49. μανθάνουσιν] μανθάνωσιν D 52. εἰς τὴν ἀστρολογίαν om. ACDFG Poggius 53. εὐδίδακτον] ἀδίδακτον A

143. 54. προσκαρτερουμένου BD, caeteri καρτερουμένου τοῖς Ἕλλησιν ὁ πολὺς ACEGQ et qui πολλοῖς BD, caeteri τοῖς πολλοῖς τῶν Ἑλλήνων ὁ πολύς: Poggius *apud Graecos ut plurimum — accedunt*

ἀπαράσκευος προσιὼν ὀψέ ποτε τῆς φιλοσοφίας ἅπτεται, καὶ μέχρι τινὸς φιλοπονήσας ἀπῆλθε περισπασθεὶς ὑπὸ βιωτικῆς χρείας· ὀλίγοι δέ τινες ἐπὶ φιλοσοφίαν ἀποδύντες ἐργολαβίας ἕνεκεν παραμένουσιν ἐν τῷ μαθήματι, καινοτομοῦντες ἀεὶ περὶ τῶν μεγίστων δογμάτων καὶ τοῖς πρὸ αὐτῶν οὐκ ἀκολουθοῦντες. τοιγαροῦν οἱ μὲν βάρβαροι διαμένοντες ἐπὶ τῶν αὐτῶν ἀεὶ βεβαίως ἕκαστα λαμβάνουσιν, οἱ δὲ Ἕλληνες τοῦ κατὰ τὴν ἐργολαβίαν κέρδους στοχαζόμενοι καινὰς αἱρέσεις κτίζουσι, καὶ περὶ τῶν μεγίστων θεωρημάτων ἀλλήλοις ἀντιδοξοῦντες διχονοεῖν ποιοῦσι τοὺς μανθάνοντας καὶ τὰς ψυχὰς αὐτῶν πλανᾶσθαι, τὸν πάντα βίον ἐν αἰώρᾳ γινομένας καὶ μηδενὶ ὅλως δυναμένας πιστεῦσαι βεβαίως· τὰς γοῦν ἐπιφανεστάτας αἱρέσεις τῶν φιλοσόφων εἴ τις ἀκριβῶς ἐξετάζοι, πλεῖστον ὅσον εὑρήσει διαφερούσας ἀλλήλων καὶ περὶ τῶν μεγίστων δοξῶν ἐναντία δοξαζού-
30 σας. οἱ δ' οὖν Χαλδαῖοι τὴν μὲν τοῦ κόσμου φύσιν ἀΐδιόν φασιν εἶναι καὶ μήτε ἐξ ἀρχῆς γένεσιν ἐσχηκέναι μήθ' ὕστερον φθορὰν ἐπιδέξεσθαι· τὴν δὲ τῶν ὅλων τάξιν τε καὶ διακόσμησιν θείᾳ τινὶ προνοίᾳ γεγονέναι, καὶ νῦν ἕκαστα τῶν ἐν οὐρανῷ γινομένων οὐχ ὡς ἔτυχεν οὐδ' αὐτομάτως ἀλλ' ὡρισμένῃ τινὶ καὶ βεβαίως κεκυρωμένῃ θεῶν κρίσει συντελεῖσθαι. τῶν δ' ἄστρων πολυχρονίους παρατηρήσεις πεποιημένοι, καὶ τὰς ἑκάστου κινήσεις τε καὶ δυνάμεις ἀκριβέστατα πάντων ἀνθρώπων ἐπεγνωκότες, πολλὰ τῶν μελλόντων συμβαίνειν προλέγουσι τοῖς ἀνθρώποις. μεγίστην τέ φασιν εἶναι θεωρίαν καὶ δύναμιν περὶ τοὺς πέντε ἀστέρας τοὺς πλανήτας καλουμένους, οὓς ἐκεῖνοι κοινῇ μὲν ἑρμηνεῖς ὀνομάζουσιν, ἰδίᾳ δὲ τὸν ὑπὸ τῶν Ἑλλήνων Κρόνον ὀνομαζόμενον, ἐπιφανέστατον δὲ καὶ πλεῖστα καὶ μέγιστα προσημαίνοντα, καλοῦσιν Ἧλον· τοὺς δ' ἄλλους τέτταρας ὁμοίως τοῖς παρ' ἡμῖν ἀστρολόγοις ὀνομάζουσιν, Ἄρεος, Ἀφροδίτης, Ἑρμοῦ, Διός. διὰ τοῦτο δ' αὐτοὺς ἑρμηνεῖς καλοῦσιν, ὅτι τῶν ἄλλων ἀστέρων ἀπλανῶν ὄντων καὶ
144 τεταγμένῃ πορείᾳ μίαν περιφορὰν ἐχόντων οὗτοι μόνοι πορείαν ἰδίαν ποιούμενοι τὰ μέλλοντα γίνεσθαι δεικνύουσιν, ἑρμηνεύοντες τοῖς ἀνθρώποις τὴν τῶν θεῶν ἔννοιαν. τὰ μὲν γὰρ διὰ τῆς ἀνατολῆς, τὰ δὲ διὰ τῆς δύσεως, τινὰ δὲ διὰ τῆς χρόας προσημαίνειν φασὶν αὐτοὺς τοῖς προσέχειν ἀκριβῶς βουληθεῖσι. ποτὲ μὲν γὰρ πνευμάτων μεγέθη δηλοῦν αὐτούς, ποτὲ δὲ ὄμβρων ἢ καυμάτων ὑπερβολάς, ἔστι δὲ ὅτε κομητῶν ἀστέρων ἐπιτολάς, ἔτι δὲ ἡλίου τε καὶ σελήνης ἐκλείψεις, καὶ σεισμούς, καὶ τὸ σύνολον πάσας τὰς ἐκ τοῦ περιέχοντος γεννωμένας περιστάσεις ὠφελίμους τε καὶ βλαβερὰς οὐ μόνον ἔθνεσι καὶ τόποις ἀλλὰ καὶ βασιλεῦσι καὶ τοῖς τυχοῦσιν ἰδιώταις. ὑπὸ δὲ τὴν τούτων φορὰν λέγουσι τετάχθαι τριάκοντα ἀστέρας, οὓς προσαγορεύουσι βουλαίους θεούς· τούτων δὲ τοὺς μὲν ἡμίσεις τοὺς ὑπὲρ γῆν τόπους ἐφορᾶν, τοὺς δὲ ἡμίσεις τοὺς ὑπὸ τὴν γῆν, τὰ κατ' ἀνθρώπους ἐπισκοποῦντας ἅμα καὶ τὰ κατὰ τὸν οὐρανὸν συμβαίνοντα· διὰ δ' ἡμερῶν δέκα πέμπεσθαι τῶν μὲν ἄνω πρὸς τοὺς κάτω καθάπερ ἄγγελον ἕνα τῶν ἀστέρων, τῶν δ' ὑπὸ γῆν πρὸς τοὺς ἄνω πάλιν ὁμοίως ἕνα· καὶ ταύτην ἔχειν αὐτοὺς φορὰν ὡρισμένην καὶ περιόδῳ κεκυρωμένην αἰωνίῳ. τῶν θεῶν δὲ κυρίους εἶναί φασι δώδεκα τὸν ἀριθμόν, ὧν ἑκάστῳ μῆνα καὶ τῶν δώδεκα λεγομένων ζῳδίων ἓν προσνέμουσι. διὰ δὲ τούτων φασὶ

55. τῆς] τὰ τῆς BD, τῶν τῆς A 56. ἅπτεται] ὀπέχεται F φιλοπ.] φιλοσοφήσας A, φισοφὴς B 57. τινες ABD, caeteri παντελῶς 58. φιλοσοφίαν] φιλοσοφίας D ἐργολαβίας] καὶ ἕνεκα ἔργου ἀρχὴν λαβεῖν gl. C 59. 62. ἀεὶ] αἰεὶ D 67. ἐν αἰώρᾳ margo G, ἐν ἀψωραίᾳ ABD, ἐνωρίας pr. C, ἐν γήρει idem correctus et Stephani nescio quis, ὡρέας (nescio an omisso ἐν) FG, caeteri ἐνωρέας: *animum dubium* Poggius: ἐν ἀψοῤῥοίᾳ Wesselingius, ἐν ἀπορίᾳ Coraës ad Plutarchum vol. III. p. 357. γινομένας Coraës: libri γενομένας μηδενὶ] μηδὲν AD 68. πιστεῦσαι post ὅλως ponit D 71. ἐναντία ABC(D)EQ, caeteri ἐναντίως 74. ἐπιδέξεσθαι] ἐπιδέξασθαι BD Gemistus τὴν δὲ] τήν δε ed. Wessel. tacente D, τήν τε ed. Steph. 75. νῦν] νῦν δὲ Gemistus 76. οὐρανῷ] τῷ κόσμῳ Gemistus γινομένων] γενομένων D 77. ὡρισμένῃ] ὁρωμένῃ F correctus in marg. 78. ἄστρων ABCDEQ Gemistus, caeteri ἀστέρων 80. δυνάμεις — 82. θεωρίαν καὶ om. AB 82. μεγίστην — 144. 25. ἀνθρώποις praeteriit Gemistus τέ] malim δέ 83. δύναμιν ABD, caeteri κίνησιν: *maximam vero vim ac motum* Poggius — πλανήτας] ita πλανήτας est paullo post p. 144. 15. 216. 51. et πλανητῶν 144. 19., quum πλανήτων fuerit p. 92. 99.

84. ἐκεῖνοι κοινῇ ABE, caeteri ἐκεῖνοι 85. ante ὑπὸ omittunt νῦν D Poggius ὀνομαζόμενον B(D), caeteri νομιζόμενον 86. καὶ πλεῖστα om. M, καὶ μέγιστα asterisco notavit Stephanus 87. Ἧλον vel Βῆλον Wesselingius: libri ἥλιον τέτταρας D, caeteri τέσσαρας 88. Ἄρεος] libri Ἄρεως 89. ἑρμηνεῖς] *Mercurios* Poggius

144. 91 τεταγμένῃ πορείᾳ μίαν περιφορὰν ἐχόντων ABD, caeteri τεταγμένην ἐχόντων πορείαν 92. γίνεσθαι] γενέσθαι D 93. ἔννοιαν] εὔνοιαν libri: *voluntatis* Poggius 94. τὰ δὲ] τινὰ δὲ AD 96. πνευμάτων] πνεύματος A μεγέθη] μέγεθος ABD 98. κομητῶν] κομήτων omnes 99. καὶ σεισμοὺς om. A 1. ἔθνεσι καὶ] ἔθνεσιν ἢ CF 5. τοὺς ὑπὲρ ACD, caeteri εἰς τοὺς ὑπὲρ 6. τοὺς ὑπὸ Reiskius, ὑπὸ AB(D)EFG Poggius, caeteri ἐπὶ 7. ἅμα om. E, asterisco notavit Stephanus 9. ἄγγελον ἕνα AD Poggius, ἀγγέλων EG, caeteri ἄγγελον γῆν] γῆς D 12. θεῶν δὲ] θεῶν δὲ τούτων AD 13. τῶν — ζῳδίων] τοῖς — ζῳδίοις F, quem non puto servare λεγομένων

ποιεῖσθαι τὴν πορείαν τόν τε ἥλιον καὶ τὴν σελήνην καὶ πέντε τοὺς πλανήτας ἀστέρας, τοῦ μὲν ἡλίου τὸν ἴδιον κύκλον ἐν ἐνιαυτῷ τελοῦντος, τῆς δὲ σελήνης ἑνὶ
31 μηνὶ τὴν ἰδίαν περίοδον διαπορευομένης. τῶν δὲ πλανητῶν ἕκαστον ἴδιον ἔχειν δρόμον καὶ διηλλαγμένως καὶ ποικίλως χρῆσθαι τοῖς τάχεσι καὶ τῇ τῶν χρόνων διαιρέσει. πλεῖστα δὲ πρὸς τὰς γενέσεις τῶν ἀνθρώπων συμβάλλεσθαι τούτους τοὺς ἀστέρας ἀγαθά τε καὶ κακά· διὰ δὲ τῆς τούτων φύσεώς τε καὶ θεωρίας μάλιστα γινώσκειν τὰ συμβαίνοντα τοῖς ἀνθρώποις. πεποιῆσθαι δέ φασι προῤῥήσεις ἄλλοις τε βασιλεῦσιν οὐκ ὀλίγοις καὶ τῷ καταπολεμήσαντι Δαρεῖον Ἀλεξάνδρῳ καὶ τοῖς μετ' αὐτὸν βασιλεύσασιν Ἀντιγόνῳ τε καὶ Σελεύκῳ τῷ Νικάτορι, ἐν ἅπασι δὲ τοῖς ῥηθεῖσιν εὐστοχηκέναι δοκοῦσιν· ὑπὲρ ὧν τὰ κατὰ μέρος ἐν οἰκειοτέροις ἀναγράψομεν καιροῖς. προλέγουσι δὲ καὶ τοῖς ἰδιώταις τὰ μέλλοντα συμβαίνειν οὕτως εὐστόχως ὥςτε τοὺς πειραθέντας θαυμάζειν τὸ γινόμενον καὶ μεῖζον ἢ κατ' ἄνθρωπον ἡγεῖσθαι. μετὰ δὲ τὸν ζῳδιακὸν κύκλον εἴκοσι καὶ τέτταρας 145 ἀφορίζουσιν ἀστέρας, ὧν τοὺς μὲν ἡμίσεις ἐν τοῖς βορείοις μέρεσι, τοὺς δ' ἡμίσεις ἐν τοῖς νοτίοις τετάχθαι φασί, καὶ τούτων τοὺς μὲν ὁρωμένους τῶν ζώντων εἶναι καταριθμοῦσι, τοὺς δ' ἀφανεῖς τοῖς τετελευτηκόσι προςωρίσθαι νομίζουσιν, οὓς δικαστὰς τῶν ὅλων προςαγορεύουσιν. ὑπὸ πάντα δὲ τὰ προειρημένα τὴν σελήνην λέγουσι φέρεσθαι, ἔγγιστα μὲν τῆς γῆς οὖσαν διὰ τὴν βαρύτητα, διαπορευομένην δ' ἐν ἐλαχίστῳ χρόνῳ τὸν ἑαυτῆς δρόμον οὐ διὰ τὴν ὀξύτητα τῆς φορᾶς ἀλλὰ διὰ τὴν βραχύτητα τοῦ κύκλου. ὅτι δὲ τὸ φῶς ἀλλότριον ἔχει καὶ διότι τὰς ἐκλείψεις ποιεῖται διὰ τὸ σκίασμα τῆς γῆς παραπλήσια λέγουσι τοῖς Ἕλλησι. περὶ δὲ τῆς κατὰ τὸν ἥλιον ἐκλείψεως ἀσθενεστάτας ἀποδείξεις φέροντες οὐ τολμῶσι προλέγειν οὐδ' ἀκριβῶς ὑπὲρ αὐτῆς παραγράφειν τοὺς χρόνους. περὶ δὲ τῆς γῆς ἰδιωτάτας ἀποφάσεις ποιοῦνται, λέγοντες ὑπάρχειν αὐτὴν σκαφοειδῆ καὶ κοίλην, καὶ πολλὰς καὶ πιθανὰς ἀποδείξεις εὐποροῦσι περί τε ταύτης καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὸν κόσμον· ὑπὲρ ὧν τὰ κατὰ μέρος διεξιέναι τῆς ὑποκειμένης ἱστορίας ἀλλότριον εἶναι νομίζομεν. τοῦτο μέντοι γε διαβεβαιώσαιτ' ἄν τις προςηκόντως, ὅτι Χαλδαῖοι μεγίστην ἕξιν ἐν ἀστρολογίᾳ τῶν ἁπάντων ἀνθρώπων ἔχουσι καὶ διότι πλείστην ἐπιμέλειαν ἐποιήσαντο ταύτης τῆς θεωρίας. περὶ δὲ τοῦ πλήθους τῶν ἐτῶν ἐν οἷς φασι τὴν θεωρίαν τῶν κατὰ τὸν κόσμον πεποιῆσθαι τὸ σύστημα τῶν Χαλδαίων οὐκ ἄν τις ῥᾳδίως πιστεύσειεν· ἐτῶν γὰρ ἑπτὰ καὶ τετταράκοντα μυριάδας καὶ τρεῖς ἐπὶ ταύταις χιλιάδας εἰς τὴν Ἀλεξάνδρου διάβασιν γεγονέναι καταριθμοῦσιν, ἀφ' ὅτου τὸ παλαιὸν ἤρξαντο τῶν ἄστρων τὰς παρατηρήσεις ποιεῖσθαι. καὶ περὶ μὲν Χαλδαίων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσιν, ἵνα μὴ μακρότερον ἀποπλανώμεθα τῆς οἰκείας ἱστορίας. περὶ δὲ τῆς Ἀσσυρίων βασιλείας ὡς ὑπὸ Μήδων κατελύθη προειρηκότες ἐπάνιμεν ὅθεν ἐξέβημεν.

32 Ἐπεὶ δὲ διαφωνοῦσιν οἱ παλαιότατοι τῶν συγγραφέων περὶ τῆς μεγίστης τῶν Μήδων ἡγεμονίας, οἰκεῖον εἶναι διαλαμβάνομεν τοῖς φιλαλήθως τὰς πράξεις ἱστορεῖν βουλομένοις τὴν διαφορὰν τῶν ἱστοριογράφων παρ' ἄλληλα θεῖναι. Ἡρόδοτος μὲν οὖν κατὰ Ξέρξην γεγονὼς τοῖς χρόνοις φησὶν Ἀσσυρίους ἔτη πεντακόσια πρότερον τῆς Ἀσίας ἄρξαντας ὑπὸ Μήδων καταλυθῆναι· ἔπειτα βασιλέα μὲν μηδένα γενέσθαι τὸν ἀμφισβητήσοντα 146 τῶν ὅλων ἐπὶ πολλὰς γενεάς, τὰς δὲ πόλεις καθ' ἑαυτὰς ταττομένας διοικεῖσθαι δημοκρατικῶς· τὸ δὲ τελευταῖον

14. πορείαν] ἰδίαν περίοδον F 16. ἐν ἐνιαυτῷ ABD, caeteri ἐνιαυτῷ 17. ἑνὶ] ἐν D περίοδον ABD, caeteri πορείαν 25. ἄλλοις τε (D) Stephanus, caeteri ἄλλοις τε καὶ, unde Gemistus ἐν οἷς καὶ Ἀλ. τῷ Δ. καταπολ. 27. καὶ om. Gemistus μετ' αὐτὸν] μετὰ ταῦτα BCD Gemistus, *postmodum* Poggius: conf. ad II. p. 200. 21. κατὰ τὸ ἑξῆς fuit supra p. 60. 54. 28. Νικάτορι A(D), caeteri Νικάνορι ἐν — 145. 57. θεωρίας praeteriit Gemistus 32. πειραθέντας] πειρασθέντας AD γινόμενον] γενόμενον AD

145. 34. εἴκοσι καὶ τέτταρας ABD, caeteri εἰκοσιτέσσαρας 36. νοτίοις] νοτείοις D 38. προςωρίσθαι D, προςορεῖσθαι B, ἀθροισθῆναι E, caeteri ἠθροῖσθαι: *adesse* Poggius 40. λέγουσι φέρεσθαι] invertit D 41. βαρύτητα ABD, caeteri βραχύτητα ἐλαχίστῳ ABD, caeteri ὀλίγῳ 44. ἐκλείψεις] ἐλλείψεις V

48. αὐτῆς] ταύτης AD 51. εὐποροῦσι] λέγουσι F, ἔχουσι M περί] παρά F 53. ὑποκειμένης] ὑπερκειμένης AB 54. διαβεβαιώσαιτ' A(D)FG, caeteri διαβεβαιώσαιτο προςηκόντως om. D 60. ἑπτὰ omisit Poggius τετταράκοντα] τριάκοντα AB 63. τὸ παλαιὸν] Χαλδαῖοι Gemistus, qui ἤρξαντο post ἄστρων ponit 64. ποιεῖσθαι] πεποιῆσθαι CE 65. s. ἵνα — ἐξέβημεν] εἰρηκότες δὲ πρὸ τούτων περὶ τῆς Ἀσσυρίων ἡγεμονίας, ὡς ἀπὸ Μ. κ. ἐπ. ὅ. ἐ. Gemistus 68. παλαιότατοι ABD, caeteri μέγιστοι: *plurimi* Poggius 69. μεγίστης τῶν om. Gemistus ἡγεμονίας] εὐδαιμονίας A correctus in marg. οἰκεῖον] δέον M οἰκεῖον etc.] ἡμεῖς τὰ ὑπὸ τοῦ ἰατροῦ Κτησίου παραδεδομένα, ὡς τῶν ἄλλων πιστότερα ἀναγράφομεν, ὃς τοῖς μὲν etc. 146. 91. Gemistus 70. φιλαλήθως] φιλαληθῶς D 71. παρ' ἄλληλα] παρ' ἀλλήλων FG, caeteri παράλληλα 72. huc respicit Photius cod. LX. 74. Ἀσίας] Ἀσσυρίας ABD 75. μηδένα (D) ed. Wess., μηθένα Steph. ἀμφισβητήσοντα] ἀμφισβητήσαντα E

πολλῶν ἐτῶν διελθόντων αἱρεθῆναι βασιλέα παρὰ τοῖς Μήδοις ἄνδρα δικαιοσύνῃ διάφορον, ὄνομα Κυαξάρην. τοῦτον δὲ πρῶτον ἐπιχειρῆσαι προςάγεσθαι τοὺς πλησιοχώρους, καὶ τοῖς Μήδοις ἀρχηγὸν γενέσθαι τῆς τῶν ὅλων ἡγεμονίας. ἔπειτα τοὺς ἐγγόνους ἀεὶ προςκατακτωμένους πολλὴν τῆς ὁμόρου χώρας αὐξῆσαι τὴν βασιλείαν μέχρι Ἀστυάγους τοῦ καταπολεμηθέντος ὑπὸ Κύρου καὶ Περσῶν· περὶ ὧν νῦν ἡμεῖς τὰ κεφάλαια προειρηκότες τὰ κατὰ μέρος ὕστερον ἀκριβῶς ἀναγράψομεν, ἐπειδὰν ἐπὶ τοὺς οἰκείους χρόνους ἐπιβάλωμεν. κατὰ γὰρ τὸ δεύτερον ἔτος τῆς ἑπτακαιδεκάτης Ὀλυμπιάδος ᾑρέθη βασιλεὺς ὑπὸ Μήδων Κυαξάρης καθ' Ἡρόδοτον. Κτησίας δὲ ὁ Κνίδιος τοῖς μὲν χρόνοις ὑπῆρξε κατὰ τὴν Κύρου στρατείαν ἐπὶ Ἀρταξέρξην τὸν ἀδελφόν, γενόμενος δὲ αἰχμάλωτος, καὶ διὰ τὴν ἰατρικὴν ἐπιστήμην ἀναληφθεὶς ὑπὸ τοῦ βασιλέως, ἑπτακαίδεκα ἔτη διετέλεσε τιμώμενος ὑπ' αὐτοῦ. οὗτος οὖν φησιν ἐκ τῶν βασιλικῶν διφθερῶν, ἐν αἷς οἱ Πέρσαι τὰς παλαιὰς πράξεις κατά τινα νόμον εἶχον συντεταγμένας, πολυπραγμονῆσαι τὰ καθ' ἕκαστον καὶ συνταξάμενος τὴν ἱστορίαν εἰς τοὺς Ἕλληνας ἐξενεγκεῖν. φησὶν οὖν μετὰ τὴν κατάλυσιν τῆς Ἀσσυρίων ἡγεμονίας Μήδους προστῆναι τῆς Ἀσίας Ἀρβάκου βασιλεύοντος τοῦ Σαρδανάπαλλον καταπολεμήσαντος, καθότι προείρηται. τούτου δ' ἄρξαντος ἔτη δυσὶ λείποντα τῶν τριάκοντα διαδέξασθαι τὴν βασιλείαν τὸν υἱὸν Μανδάκην, ὃν ἄρξαι τῆς Ἀσίας ἔτη πεντήκοντα. μετὰ δὲ τοῦτον τριάκοντα μὲν ἔτη βασιλεῦσαι Σώσαρμον, πεντήκοντα δὲ Ἀρτύκαν, δύο δὲ πρὸς τοῖς εἴκοσι τὸν προςαγορευόμενον Ἀρβιάνην, τετταράκοντα δὲ Ἀρταῖον.

146\. 78. *πολλῶν* A(D)M, caeteri *ὑπὸ πολλῶν* 80. *Κυαξάρην*] *Κυάξαριν* D et postea *Κυάξαρις* 81. *καὶ τοῖς Μήδοις* D, *τοῖς Μήδοις* A, caeteri *τοῖς Μήδοις, καὶ* 82. *ἀεὶ*] *αἰεὶ* D 84. *μέχρι*] *μέχρις* ABFG 88. *ἐπιβάλωμεν* D, caeteri *ἐπιβάλλωμεν* 90. *τοῖς μὲν χρόνοις* AB(D) Gemistus, *post Herodotum* Poggius, caeteri *τοῖς καθ' Ἡρόδοτον μὲν χρόνοις* 91. *τὴν*] *τοῦ* Gemistus 93. *ἐπιστήμην* om. Gemistus 95. *διφθερῶν*] *διφθέρων* D 97. *ἕκαστον* ABD, caeteri *ἕκαστα* 98. *συνταξάμενος* Gemistus, caeteri *συνταξάμενον* *τὴν* om. Gemistus 99. *φησὶν οὖν*] *φησὶ γοῦν* Gemistus 1. *καταπολεμήσαντος*] *καταπολεμήσαντα* Gemistus 3. *Μανδάκην* AB D, *Μανδάκην* Gemistus, *Μανδαύκην* EQV, *Mandanes* Poggius, caeteri *Μαδαύκην* 5. *Σώσαρμον*] *Sosarmonem* Poggius *Ἀρτύκαν* ABC(D)EFGQ Gemistus, *Ἀρτίκαν* M, *Artecamim* Poggius, caeteri *Ἀρτίαν* 6. *εἴκοσι τὸν πρ.*] *εἴκοσιν* Gemistus 7. *Ἀρβιάνην*] *Ἀρβίνην* F Gemistus *τετταράκοντα* Gemistus, caeteri *τεσσαράκοντα* *Ἀρταῖον* AB(D) Gemistus, *Arsteum* Poggius, caeteri *Ἀρσαῖον*



33 Ἐπὶ δὲ τούτου συστῆναι μέγαν πόλεμον τοῖς Μήδοις πρὸς Καδουσίους διὰ τοιαύτας αἰτίας. Παρσώνδην τὸν Πέρσην, θαυμαζόμενον ἐπ' ἀνδρείᾳ καὶ συνέσει καὶ ταῖς ἄλλαις ἀρεταῖς, φίλον τε ὑπάρξαι τῷ βασιλεῖ καὶ μέγιστον ἰσχῦσαι τῶν μετεχόντων τοῦ βασιλικοῦ συνεδρίου. τοῦτον δ' ὑπὸ τοῦ βασιλέως ἔν τινι κρίσει λυπηθέντα φυγεῖν μετὰ πεζῶν μὲν τριςχιλίων ἱππέων δὲ χιλίων εἰς Καδουσίους, παρ' οἷς ἦν ἐκδεδομένος τὴν ἰδίαν ἀδελφὴν τῷ μάλιστα δυναστεύοντι κατὰ τούτους τοὺς
147 τόπους. γενόμενον δὲ ἀποστάτην καὶ πείσαντα τὸ σύμπαν ἔθνος ἀντέχεσθαι τῆς ἐλευθερίας αἱρεθῆναι στρατηγὸν διὰ τὴν ἀνδρείαν. ἔπειτα πυνθανόμενον ἀθροιζομένην ἐπ' αὐτὸν μεγάλην δύναμιν, καθοπλίσαι τοὺς Καδουσίους πανδημεί, καὶ καταστρατοπεδεῦσαι πρὸς ταῖς εἰς τὴν χώραν εἰςβολαῖς ἔχοντα τοὺς σύμπαντας οὐκ ἐλάττους εἴκοσι μυριάδων. τοῦ δὲ βασιλέως Ἀρταίου στρατεύσαντος ἐπ' αὐτὸν μυριάσιν ὀγδοήκοντα, μάχῃ κρατῆσαι καὶ πλείους μὲν τῶν πεντακισμυρίων ἀνελεῖν, τὴν δ' ἄλλην δύναμιν ἐκβαλεῖν ἐκ τῆς Καδουσίων χώρας. διὸ καὶ παρὰ τοῖς ἐγχωρίοις θαυμαζόμενον αἱρεθῆναι βασιλέα, καὶ τὴν Μηδίαν συνεχῶς λεηλατεῖν καὶ πάντα τόπον καταφθείρειν. μεγάλης δὲ δόξης τυχόντα, καὶ γήρᾳ μέλλοντα καταστρέφειν τὸν βίον, ἀρὰν θέσθαι παραστησάμενον τὸν διαδεχόμενον τὴν ἀρχήν, ὅπως μηδέποτε διαλύσωνται τὴν ἔχθραν Καδούσιοι πρὸς Μήδους· εἰ δὲ συνθοῖντο ὁμολογίας, ἐξώλεις γενέσθαι τούς τε ἀπὸ τοῦ γένους αὐτοῦ καὶ Καδουσίους ἅπαντας. διὰ δὲ ταύτας τὰς αἰτίας ἀεὶ πολεμικῶς ἐσχηκέναι Καδου-

9\. *τοιαύτας*] *τοιάςδε* Gemistus *Παρσώνδην* Gemistus, *Περσώνδην* D, caeteri *Παρσώδην* 10. *ἀνδρείᾳ*] *ἀνδρίαν* Gemistus 11. *ταῖς* om. Gemistus 14. *μετὰ*] *μὲν τὰ* Gemistus 15. *παρ' οἷς ἦν*] *ἦν δὲ* EQ *ἐκδεδομένος* AB(D)EQV Gemistus, caeteri *ἐκδεχόμενος* 17. *τόπους*] *tempore* Poggius

147\. 18. *ἔθνος*] *γένος* A 19. *ἀνδρείαν*] *ἀνδρίαν* Gemistus 20. *αὐτὸν*] *αὐτῷ* AB *καθοπλίσαι*] *καθώπλισε* D et mox *κατεστρατοπέδευσε*, *καθοπλίσαι τε* Gemistus 22. *εἰςβολαῖς* AB(D) et qui *εἰς τὴν χ.* om. Gemistus, caeteri *ἐκβολαῖς* *ἔχοντα*] *ἔχοντας* Gemistus 24. *Ἀρταίου*] *Arceum* Poggius hic et 39. *στρατεύσαντος* (D)E Gemistus, caeteri *συστρατεύσαντος* 25. *μάχῃ κρατῆσαι* AB(D), *pugna inita superavit* Poggius, caeteri *κρατῆσαι* *πεντακισμυρίων*] *πεντακοσίων καὶ τετρακισμυρίων* Gemistus 26. *ἐκβαλεῖν ἐκ*] *ἀπελάσαι* Gemistus *Καδουσίων*] *τῶν Καδουσίων* Gemistus, *Καδουσίας* BD 28. *αἱρεθῆναι*] *τε* subiicit D 29. *τόπον*] *τρόπον* Gemistus 30. *γήρᾳ*] *γηραιὸν* F, *γήρασι* Gemistus 31. *παραστησάμενον* ABD, caeteri *παραιτησάμενον* 33. *εἰ*] *οἱ* A *συνθοῖντο*] *σύνθοιντο* Gemistus 35. *δὲ*] *δὴ* D *ἀεὶ*] *αἰεὶ* D

σίους πρὸς Μήδους, καὶ μηδέποτε τοῖς τούτων βασιλεῦσιν ὑπηκόους γεγονέναι, μέχρι οὗ Κῦρος εἰς Πέρσας μετέστησε τὴν ἡγεμονίαν.

34 Τῶν δὲ Μήδων βασιλεῦσαι μετὰ τὴν Ἀρταίου τελευτὴν Ἀρτύνην μὲν ἔτη δύο πρὸς τοῖς εἴκοσι, Ἀστιβάραν δὲ τετταράκοντα. ἐπὶ δὲ τούτου Πάρθους ἀποστάντας Μήδων Σάκαις τήν τε χώραν καὶ τὴν πόλιν ἐγχειρίσαι. διόπερ συστάντος πολέμου τοῖς Σάκαις πρὸς Μήδους ἐπ᾽ ἔτη πλείω γενέσθαι τε μάχας οὐκ ὀλίγας καὶ συχνῶν παρ᾽ ἀμφοτέροις ἀναιρεθέντων τὸ τελευταῖον εἰρήνην αὐτοὺς ἐπὶ τοῖςδε συνθέσθαι, Πάρθους μὲν ὑπὸ Μήδους τετάχθαι, τῶν δὲ προϋπαρχόντων ἑκατέρους κυριεύσαντας φίλους εἶναι καὶ συμμάχους ἀλλήλοις εἰς τὸν ἅπαντα χρόνον. βασιλεῦσαι δὲ τότε τῶν Σακῶν γυναῖκα τὰ κατὰ πόλεμον ἐζηλωκυῖαν καὶ τόλμῃ τε καὶ πράξει πολὺ διαφέρουσαν τῶν ἐν Σάκαις γυναικῶν, ὄνομα Ζαρίναν. καθόλου μὲν οὖν τὸ ἔθνος τοῦτο γυναῖκας ἀλκίμους ἔχει καὶ κοινωνούσας τοῖς ἀνδράσι τῶν ἐν τοῖς πολέμοις κινδύνων, ταύτην δὲ λέγεται τῷ τε κάλλει γενέσθαι πασῶν εὐπρεπεστάτην καὶ ταῖς ἐπιβολαῖς καὶ τοῖς κατὰ μέρος ἐγχειρήμασι θαυμαστήν. τῶν μὲν γὰρ πλησιοχώρων βαρβάρων τοὺς ἐπηρμένους τῷ θράσει καὶ καταδουλουμένους τὸ ἔθνος τῶν Σακῶν καταπολεμῆσαι, 148 τῆς δὲ χώρας πολλὴν ἐξημερῶσαι, καὶ πόλεις οὐκ ὀλίγας κτίσαι, καὶ τὸ σύνολον εὐδαιμονέστερον τὸν βίον τῶν ὁμοεθνῶν ποιῆσαι. διὸ καὶ τοὺς ἐγχωρίους μετὰ τὴν τελευτὴν αὐτῆς χάριν ἀποδιδόντας τῶν εὐεργεσιῶν καὶ τῆς ἀρετῆς μνημονεύοντας τάφον οἰκο-

37. *μέχρι* D, caeteri *μέχρις* *οὗ* ABD, caeteri *ὅτου* 38. *μετέστησε* ABD, *διέστησε* FG Gemistus, caeteri *περιέστησε* 40. *Ἀρτύνην*] *Ἀρτιήνην* AD, *Artines* Poggius, Gemistus *εἴκοσιν* Gemistus, caeteri *εἴκοσι* *Ἀστιβάραν* Wesselingius, *Ἀστυβάραν* Gemistus, *Γαρταμάρνην* AB, *Γαρταμέρνην* D, *Artibanus* Poggius, caeteri *Ἀρτιβάρναν* 41. *τετταράκοντα* Gemistus, *τεσσαράκοντα* (D) ed. Wessel.: *μ* ed. Stephani 44. *πλείω*] *δύο* Q Gemistus, *πλείους δύο* F, *annis duobus* Poggius 45. *ἀμφοτέροις* AB(D) E Gemistus, caeteri *ἀμφοτέρων* *ἀναιρεθέντων*] *ἀναλωθέντων* Gemistus 46. *αὐτοὺς*] *αὐτοῖς* A 47. *δὲ προϋπ.*] *δ᾽ ὑπ.* Gemistus 48. *ἑκατέρους*] *ἀμφοτέρους* A *καὶ συμμάχους* om. Gemistus 50. *πόλεμον*] *τὸν πόλεμον* Gemistus, *πόλεμον μὲν* D 51. *πράξει* om. F *τῶν ἐν Σάκαις γυναικῶν* ACD Gemistus, caeteri *τῶν ἄλλων γυναικῶν τῶν ἐν Σάκαις* 52. *Ζαρίναν*] *Ζαρίνναν* D, *Ζαριάναν* M, *Tarinam* Poggius *οὖν*] *γὰρ* Gemistus 53. *ἔχει*] *ἔχειν* D 55. *λέγεται* om. Gemistus cum illis *πασῶν — ἐπιβολαῖς* 56. *καὶ τοῖς*] *τοῖς τε* Gemistus 57. *πλησιοχώρων — 58. θράσει καὶ*] *πλησιοχωρῶν τοὺς ἐπηρμένους τῷ θράσει καὶ βαρβάρων* Gemistus 58. *τὸ ἔθνος* om. AM



δομῆσαι πολὺ τῶν ὄντων παρ᾽ αὐτοῖς ὑπερέχοντα. ὑποστησαμένους γὰρ πυραμίδα τρίγωνον τριῶν μὲν σταδίων ἑκάστην πλευρὰν αὐτῆς κατασκευάσαι τὸ μῆκος, τὸ δ᾽ ὕψος σταδιαῖον, εἰς ὀξὺ συνηγμένης τῆς κορυφῆς. ἐπιστῆσαι δὲ τῷ τάφῳ καὶ χρυσῆν εἰκόνα κολοττικήν, καὶ τιμὰς ἡρωικὰς ἀπονεῖμαι, καὶ τἄλλα πάντα μεγαλοπρεπέστερα ποιεῖν τῶν τοῖς προγόνοις αὐτῆς συγχωρηθέντων. Ἀστιβάρα δὲ τοῦ βασιλέως τῶν Μήδων γήρᾳ τελευτήσαντος ἐν Ἐκβατάνοις τὴν ἀρχὴν Ἀσπάδαν τὸν υἱὸν διαδέξασθαι τὸν ὑπὸ τῶν Ἑλλήνων Ἀστυάγην καλούμενον· τούτου δ᾽ ὑπὸ Κύρου τοῦ Πέρσου καταπολεμηθέντος μεταπεσεῖν τὴν βασιλείαν εἰς Πέρσας· περὶ ὧν ἡμεῖς τὰ κατὰ μέρος ἐν τοῖς ἰδίοις χρόνοις ἀκριβῶς ἀναγράψομεν. περὶ μὲν οὖν τῆς Ἀσσυρίων καὶ Μήδων βασιλείας καὶ τῆς τῶν συγγραφέων διαφωνίας ἱκανῶς εἰρῆσθαι νομίζομεν· περὶ δὲ τῆς Ἰνδικῆς καὶ τῶν ἐν ταύτῃ μυθολογουμένων ἐν μέρει διέξιμεν.

35 Ἡ τοίνυν Ἰνδικὴ τετράπλευρος οὖσα τῷ σχήματι, τὴν μὲν πρὸς ἀνατολὰς νεύουσαν πλευρὰν καὶ τὴν πρὸς τὴν μεσημβρίαν ἡ μεγάλη περιέχει θάλαττα, τὴν δὲ πρὸς τὰς ἄρκτους τὸ Ἡμωδὸν ὄρος διείργει τῆς Σκυθίας, ἣν κατοικοῦσι τῶν Σκυθῶν οἱ προςαγορευόμενοι Σάκαι· τὴν δὲ τετάρτην τὴν πρὸς δύσιν ἐστραμμένην διείληφεν ὁ Ἰνδὸς προςαγορευόμενος ποταμός, μέγιστος ὢν σχεδὸν τῶν ἁπάντων μετὰ τὸν Νεῖλον. τὸ δὲ μέγεθος τῆς ὅλης Ἰνδικῆς φασιν ὑπάρχειν ἀπὸ μὲν ἀνατολῶν πρὸς δύσιν διςμυρίων ὀκτακιςχιλίων σταδίων, ἀπὸ δὲ τῶν ἄρκτων πρὸς μεσημβρίαν τριςμυρίων διςχιλίων. τηλικαύτη δὲ οὖσα τὸ μέγεθος δοκεῖ μάλιστα τοῦ κόσμου περιέχειν τὸν τῶν θερινῶν τροπῶν κύκλον, καὶ πολλαχῇ μὲν ἐπ᾽ ἄκρας τῆς Ἰνδικῆς ἰδεῖν ἔστιν ἀσκίους ὄντας τοὺς γνώμονας, νυκτὸς δὲ τὰς ἄρκτους ἀθεωρήτους· ἐν δὲ τοῖς

148. 66. *πλευρὰν αὐτῆς*] invertit Gemistus 67. *σταδιαῖον*] *σταδιαίαν* Gemistus *συνηγμένης*] *συνημμένης* Gemistus 68. *χρυσῆν*] *χρυσίχην* F *κολοττικήν*] *κολοσσίνην* G, *κολοσινήν* Gemistus, caeteri *κολοσσικήν* 70. *ποιεῖν*] *ποιεῖν αὐτῇ* Gemistus *προγόνοις* ABD Gemistus, caeteri *προγεγονόσιν* *αὐτῆς*] *αὐτῇ* Gemistus 71. *Ἀστιβάρα*] *Ἀστυβάρα* Gemistus 72. *γήρᾳ τ. ἐν Ἐκβατάνοις*] *ἐν Ἐκβατάνοις γήρᾳ τ.* D *Ἀσπάδαν*] *Ἀπάνδαν* FQ Gemistus, *Apanda* Poggius, *Ἀσπάνδαν* DM 75. *μεταπεσεῖν* post *Πέρσας* ponit Gemistus 77. *ἀκριβῶς* om. A 80. *ταύτῃ*] *αὐτῇ* AD 82. *τὴν πρὸς τὴν*] *πρὸς* D 83. *ἡ μεγάλη περιέχει* om. E *θάλαττα*] *θάλασσα* B *τὴν* A(D), *γῆς* G, caeteri *τῆς* *δὲ* om. G 84. *Ἡμωδὸν*] *Ἥμον* G 86. *τὴν πρὸς*] *πρὸς* D 88. *σχεδὸν* om. AD *ἁπάντων*] *πάντων* AD 89. *πρὸς* ABD, caeteri *ἐπὶ* 92. *μάλιστα* post *κόσμου* ponit D 94. *ἐπ᾽*] *ἀπ᾽* B

ἐσχάτοις οὐδ' αὐτὸν τὸν ἀρκτοῦρον φαίνεσθαι· καθ' ὃν δὴ τρόπον φασὶ καὶ τὰς σκιὰς κεκλίσθαι πρὸς μεσημβρίαν. ἡ δ' οὖν Ἰνδικὴ πολλὰ μὲν ὄρη καὶ μεγάλα ἔχει δένδρεσι παντοδαποῖς καρπίμοις πληθύοντα, πολλὰ δὲ πεδία καὶ μεγάλα καρποφόρα, τῷ μὲν κάλλει διάφορα, ποταμῶν δὲ πλήθεσι διαιρούμενα. τὰ πολλὰ δὲ τῆς χώρας ἀρδεύεται, καὶ διὰ τοῦτο διττοὺς ἔχει τοὺς 149 κατ' ἔτος καρπούς. ζώων τε παντοδαπῶν γέμει διαφόρων τοῖς μεγέθεσι καὶ ταῖς ἀλκαῖς, τῶν μὲν χερσαίων, τῶν δὲ καὶ πτηνῶν. καὶ πλείστους δὲ καὶ μεγίστους ἐλέφαντας ἐκτρέφει, χορηγοῦσα τὰς τροφὰς ἀφθόνως, δι' ἃς ταῖς ῥώμαις τὰ θηρία ταῦτα πολὺ προέχει τῶν κατὰ τὴν Λιβύην γεννωμένων. διὸ καὶ πολλῶν θηρευομένων ὑπὸ τῶν Ἰνδῶν καὶ πρὸς τοὺς πολεμικοὺς ἀγῶνας κατασκευαζομένων μεγάλας συμβαίνει γίνεσθαι ῥοπὰς πρὸς τὴν νίκην.

36 Ὁμοίως δὲ καὶ τοὺς ἀνθρώπους ἡ πολυκαρπία τρέφουσα τοῖς τε ἀναστήμασι τῶν σωμάτων καὶ τοῖς ὄγκοις ὑπερφέροντας κατασκευάζει. εἶναι δὲ αὐτοὺς συμβαίνει καὶ πρὸς τὰς τέχνας ἐπιστήμονας, ὡς ἂν ἀέρα μὲν ἕλκοντας καθαρόν, ὕδωρ δὲ λεπτομερέστατον πίνοντας. ἡ δὲ γῆ πάμφορος οὖσα τοῖς ἡμέροις καρποῖς ἔχει καὶ φλέβας καταγείους πολλῶν καὶ παντοδαπῶν μετάλλων. γίνεται γὰρ ἐν αὐτῇ πολὺς μὲν ἄργυρος καὶ χρυσός, οὐκ ὀλίγος δὲ χαλκὸς καὶ σίδηρος ἔτι δὲ καττίτερος καὶ τἄλλα τὰ πρὸς κόσμον τε καὶ χρείαν καὶ πολεμικὴν παρασκευὴν ἀνήκοντα. χωρὶς δὲ τῶν δημητριακῶν καρπῶν φύεται κατὰ τὴν Ἰνδικὴν πολλὴ μὲν κέγχρος, ἀρδευομένη τῇ τῶν ποταμίων ναμάτων δαψιλείᾳ, πολὺ δὲ ὄσπριον καὶ διάφορον, ἔτι δὲ ὄρυζα καὶ τὸ προσαγορευόμενον βόσπορον, καὶ μετὰ ταῦτ' ἄλλα πολλὰ τῶν πρὸς διατροφὴν χρησίμων· καὶ τούτων τὰ πολλὰ ὑπάρχει αὐτοφυῆ. οὐκ ὀλίγους δὲ καὶ ἄλλους ἐδωδίμους καρποὺς φέρει

96. τὸν om. A  1. πλήθεσι om. A  διαιρούμενα] διαῤῥεόμενα D

149. 3. γέμει BCEQ, caeteri γένη: conf. ad p. 365, 21.  5. τῶν δὲ καὶ] τῶν δὲ AC  7. ἀφθόνως] ἀφθόνους D  10. συμβαίνει] συμβάλλειν F correctus in marg.  11. ῥοπὰς ante γίνεσθαι ponit D  12. τρέφουσα AB(D)FG, caeteri φέρουσα  17. ἡμέροις] ἡμετέροις G  21. καττίτερος F, caeteri κασσίτερος  24. ναμάτων] ὑδάτων M  25. ὄσπριον] ὄσπρειον F  καὶ διάφορον — 26. βόσπορον om. A  26. ὄρυζα] ὄρυξα F  τὸ προσαγορευόμενον βόσπορον] ὁ προσαγορευόμενος βόσπορος D  μετὰ ταῦτ' ἄλλα] μετὰ ταῦτα ἄλλα D, μετ' αὐτὴ τἄλλα FG, τἄλλα M  27. πολλὰ ABD, caeteri πλείω  καὶ τούτων τὰ πολλὰ ὑπάρχει αὐτοφυῆ servarunt ABD  28. φέρει servarunt AB(D)



δυναμένους τρέφειν ζῷα, περὶ ὧν μακρὸν ἂν εἴη γράφειν. διὸ καί φασι μηδέποτε τὴν Ἰνδικὴν ἐπισχεῖν λιμὸν ἢ καθόλου σπάνιν τῶν πρὸς τροφὴν ἥμερον ἀνηκόντων. διττῶν γὰρ ὄμβρων ἐν αὐτῇ γινομένων καθ' ἕκαστον ἔτος, τοῦ μὲν χειμερινοῦ, καθὰ παρὰ τοῖς ἄλλοις ὁ σπόρος τῶν πυρίνων γίνεται καρπῶν, τοῦ δ' ἑτέρου κατὰ τὴν θερινὴν τροπήν, καθ' ἣν σπείρεσθαι συμβαίνει τὴν ὄρυζαν καὶ τὸ βόσπορον ἔτι δὲ σήσαμον καὶ κέγχρον, κατὰ [δὲ] τὸ πλεῖστον ἀμφοτέροις τοῖς καρποῖς οἱ κατὰ τὴν Ἰνδικὴν ἐπιτυγχάνουσι· πάντων δὲ τελεσφορουμένων θατέρου τῶν καρπῶν οὐκ ἀποτυγχάνουσιν. οἵ τε αὐτοματίζοντες καρποὶ καὶ αἱ κατὰ τοὺς ἑλώδεις τόπους φυόμεναι ῥίζαι διάφοροι ταῖς γλυκύτησιν οὖσαι πολλὴν παρέχονται τοῖς ἀνθρώποις δαψίλειαν· πάντα γὰρ σχεδὸν τὰ κατὰ τὴν χώραν πεδία γλυκεῖαν ἔχει τὴν ἀπὸ τῶν ποταμῶν ἰκμάδα καὶ τὴν ἀπὸ τῶν ὄμβρων τῶν ἐν τῷ θέρει [γινομένων] κατ' ἐνιαυτὸν κυκλικῇ τινι περιόδῳ παραδόξως εἰωθότων γίνεσθαι δαψίλειαν, χλιαρῶν πιπτόντων ὑδάτων ἐκ τοῦ περιέχοντος ἀέρος, καὶ 150 τὰς ἐν τοῖς ἕλεσι ῥίζας ἕψοντος τοῦ καύματος, καὶ μάλιστα τῶν μεγάλων καλάμων. συμβάλλονται δὲ παρὰ τοῖς Ἰνδοῖς καὶ τὰ νόμιμα πρὸς τὸ μηδέποτε ἔνδειαν τροφῆς παρ' αὐτοῖς εἶναι. παρὰ μὲν γὰρ τοῖς ἄλλοις ἀνθρώποις οἱ πολέμιοι καταφθείροντες τὴν χώραν ἀγεώργητον κατασκευάζουσι· παρὰ δὲ τούτοις τῶν γεωργῶν ἱερῶν καὶ ἀσύλων ἐωμένων οἱ πλησίον τῶν παρατάξεων γεωργοῦντες ἀνεπαίσθητοι τῶν κινδύνων εἰσίν. ἀμφότεροι γὰρ οἱ πολεμοῦντες ἀλλήλους μὲν ἀποκτείνουσιν ἐν ταῖς μάχαις, τοὺς δὲ περὶ τὴν γεωργίαν ὄντας ἐῶσιν ἀβλαβεῖς, ὡς κοινοὺς ὄντας ἁπάντων εὐεργέτας, τάς τε χώρας τῶν ἀντιπολεμούντων οὔτ' ἐμπυρίζουσιν οὔτε δενδροτομοῦσιν.

37 Ἔχει δὲ καὶ ποταμοὺς ἡ χώρα τῶν Ἰνδῶν πολλοὺς καὶ μεγάλους πλωτούς, οἳ τὰς πηγὰς ἔχοντες ἐν τοῖς

31. σπάνιν] σπάνιον C  32. ὄμβρων AB(D), caeteri καρπῶν  33. post χειμερινοῦ deest quod Eichstadius addidit οὗ aut alia eiusmodi particula  καθὰ — 34. σπόρος om. F  35. σπείρεσθαι] σπείρεται F  36. τὸ Wesselingius: libri τὸν  37. δὲ aut delendum cum Reiskio aut μὲν scribendum  38. τελεσφ.] μὴ τελεσφ. Rhodomannus recte, nisi malis πάντως δὲ τελεσφορουμένου  45. γινομένων tollit Reiskius  δαψίλειαν (δαψιλεία D) — ἀέρος servarunt ABD

150. 47. ἕψοντος] ἑψόντων D, ἑψόντων, ἑψῶντας F, nisi post ἑψόντων libri alterius nota excidit in ed. Wessel.  καὶ om. D  48. Ἰνδοῖς] Ἰνδικοῖς A  49. ἔνδειαν τροφῆς παρ' αὐτοῖς εἶναι ABD, caeteri λιμὸν γενέσθαι παρ' αὐτοῖς  53. ἐωμένων] θεωμένων C

ὄρεσι τοῖς πρὸς τὰς ἄρκτους κεκλιμένοις φέρονται διὰ τῆς πεδιάδος, ὧν οὐκ ὀλίγοι συμμίσγοντες ἀλλήλοις ἐμβάλλουσιν εἰς ποταμὸν τὸν ὀνομαζόμενον Γάγγην. οὗτος δὲ τὸ πλάτος γενόμενος σταδίων τριάκοντα φέρεται μὲν ἀπὸ τῆς ἄρκτου πρὸς μεσημβρίαν, ἐξερεύγεται δὲ εἰς τὸν Ὠκεανόν, ἀπολαμβάνων εἰς τὸ πρὸς ἕω μέρος τὸ ἔθνος τὸ τῶν Γανδαριδῶν, πλείστους ἔχον καὶ μεγίστους ἐλέφαντας. διὸ καὶ τῆς χώρας ταύτης οὐδεὶς πώποτε βασιλεὺς ἔπηλυς ἐκράτησε, πάντων τῶν ἀλλοεθνῶν φοβουμένων τὸ πλῆθος καὶ τὴν ἀλκὴν τῶν θηρίων. καὶ γὰρ Ἀλέξανδρος ὁ Μακεδὼν ἁπάσης τῆς Ἀσίας κρατήσας μόνους τοὺς Γανδαρίδας οὐκ ἐπολέμησε· καταντήσας γὰρ ἐπὶ τὸν Γάγγην ποταμὸν μετὰ πάσης τῆς δυνάμεως, καὶ τοὺς ἄλλους Ἰνδοὺς καταπολεμήσας, ὡς ἐπύθετο τοὺς Γανδαρίδας ἔχειν τετρακισχιλίους ἐλέφαντας πολεμικῶς κεκοσμημένους, ἀπέγνω τὴν ἐπ' αὐτοὺς στρατείαν. ὁ δὲ παραπλήσιος τῷ Γάγγῃ ποταμός, προσαγορευόμενος δὲ Ἰνδός, ἄρχεται μὲν ὁμοίως ἀπὸ τῶν ἄρκτων, ἐμβάλλων δὲ εἰς τὸν Ὠκεανὸν ἀφορίζει τὴν Ἰνδικήν· πολλὴν δὲ διεξιὼν πεδιάδα χώραν δέχεται ποταμοὺς οὐκ ὀλίγους πλωτούς, ἐπιφανεστάτους δὲ Ὕπανιν καὶ Ὑδάσπην καὶ Ἀκεσῖνον. χωρὶς δὲ τούτων ἄλλο πλῆθος ποταμῶν παντοδαπῶν διαῤῥεῖ, καὶ ποιεῖ κατάφυτον πολλοῖς κηπεύμασι καὶ καρποῖς παντοδαποῖς τὴν χώραν. τοῦ δὲ κατὰ τοὺς ποταμοὺς πλήθους καὶ τῆς τῶν ὑδάτων ὑπερβολῆς αἰτίαν φέρουσιν οἱ παρ' αὐτοῖς φιλόσοφοι καὶ φυσικοὶ τοιαύτην. τῆς Ἰνδικῆς φασι τὰς περικειμένας χώρας, τήν τε Σκυθῶν καὶ Βακτριανῶν ἔτι δὲ καὶ τῶν Ἀριανῶν, ὑψηλοτέρας εἶναι τῆς Ἰνδικῆς· ὥστε εὐλόγως εἰς τὴν ὑποκειμένην χώραν πανταχόθεν συῤῥεούσας τὰς λιβάδας ἐκ τοῦ κατ' ὀλίγον ποιεῖν τοὺς 151 τόπους καθύγρους καὶ γεννᾶν ποταμῶν πλῆθος. ἴδιον

64. ποταμὸν] τὸν ποταμὸν D 65. Γάγγην] Σάρτην FG
γενόμενος] γινόμενος D 68. Γανδαριδῶν] Γαδαρίδων D, Γαρδαριδῶν AB, Γανδαρικῶν CEFGQ, Γαδαρικῶν V, *Gandaros* Poggius Wesselingii: meus hic *Gangaricos*, 73. et 76. *Gangaros*: iisdemque iidem deinceps varietatibus, nisi quod 73. C a correctore Γαδαρικούς, V Γαδαρίκας 71. ἀλλοεθνῶν] ἄλλων ἐθνῶν Q
τὸ] τό τε D 76. τοὺς Γ.] τοὺς ἄλλους Γ. Q 79. ποταμός AB(D), caeteri ποταμῷ 80. Ὠκεανόν] Ἰνδόν vel Ἴνδον ABD 82. πλωτούς] *egregiis* Poggius (πρώτους: conf. ad p. 210. 8.) 83. Ὕπανιν] Ὕσπανιν AD Ὑδάσπην] Ὕδασπιν BE Ἀκεσῖνον] Ἀκαίσεινον D, Ἀκεσίνην Wesselingius
85. κατάφυτον] legebatur κατάῤῥυτον: *uberes* Poggius 90. Ἀριανῶν] Ἀριαίων ABD, Ἀρειανῶν C 92. συῤῥεούσας] παρεούσας F
151. 93. τόπους] ποταμοὺς ABD, *plures et aquosiores fluvios*



δέ τι συμβαίνει περί τινα τῶν κατὰ τὴν Ἰνδικὴν ποταμῶν τὸν ὀνομαζόμενον Σίλλαν, ῥέοντα δὲ ἔκ τινος ὁμωνύμου κρήνης. ἐπὶ γὰρ τούτου μόνου τῶν ἁπάντων ποταμῶν οὐδὲν τῶν ἐμβαλλομένων εἰς αὐτὸν ἐπιπλεῖ, πάντα δ' εἰς τὸν βυθὸν καταδύεται παραδόξως.

38 Τὴν δ' ὅλην Ἰνδικὴν οὖσαν ὑπερμεγέθη λέγεται κατοικεῖν ἔθνη πολλὰ καὶ παντοδαπά, καὶ τούτων μηδὲν ἔχειν τὴν ἐξ ἀρχῆς γένεσιν ἔπηλυν, ἀλλὰ πάντα δοκεῖν ὑπάρχειν αὐτόχθονα, πρὸς δὲ τούτοις μήτε ξενικὴν ἀποικίαν προςδέχεσθαι πώποτε μήτε εἰς ἄλλο ἔθνος ἀπεσταλκέναι. μυθολογοῦσι δὲ τοὺς ἀρχαιοτάτους ἀνθρώπους τροφαῖς μὲν κεχρῆσθαι τοῖς αὐτομάτως φυομένοις ἐκ τῆς γῆς καρποῖς, ἐσθῆσι δὲ ταῖς δοραῖς τῶν ἐγχωρίων ζῴων, καθάπερ καὶ παρ' Ἕλλησιν. ὁμοίως δὲ καὶ τῶν τεχνῶν τὰς εὑρέσεις καὶ τῶν ἄλλων τῶν πρὸς βίον χρησίμων ἐκ τοῦ κατ' ὀλίγον γενέσθαι, τῆς χρείας αὐτῆς ὑφηγουμένης εὐφυεῖ ζῴῳ καὶ συνεργοὺς ἔχοντι πρὸς ἅπαντα χεῖρας καὶ λόγον καὶ ψυχῆς ἀγχίνοιαν. μυθολογοῦσι δὲ παρὰ τοῖς Ἰνδοῖς οἱ λογιώτατοι περὶ ὧν καθῆκον ἂν εἴη συντόμως διελθεῖν. φασὶ γὰρ ἐν τοῖς ἀρχαιοτάτοις χρόνοις, παρ' αὐτοῖς ἔτι τῶν ἀνθρώπων κωμηδὸν οἰκούντων, παραγενέσθαι τὸν Διόνυσον ἐκ τῶν πρὸς ἑσπέραν τόπων ἔχοντα δύναμιν ἀξιόλογον· ἐπελθεῖν δὲ τὴν Ἰνδικὴν ἅπασαν, μηδεμιᾶς οὔσης ἀξιολόγου πόλεως τῆς δυναμένης ἀντιτάξασθαι. ἐπιγενομένων δὲ καυμάτων μεγάλων, καὶ τῶν τοῦ Διονύσου στρατιωτῶν λοιμικῇ νόσῳ διαφθειρομένων, συνέσει διαφέροντα τὸν ἡγεμόνα τοῦτον ἀπαγαγεῖν τὸ στρατόπεδον ἐκ τῶν πεδινῶν τόπων εἰς τὴν ὀρεινήν. ἐνταῦθα δὲ πνεόντων ψυχρῶν ἀνέμων καὶ τῶν ναματιαίων ὑδάτων καθαρῶν ῥεόντων πρὸς αὐταῖς ταῖς πηγαῖς, ἀπαλλαγῆναι τῆς νόσου τὸ στρατόπεδον. ὀνομάζεσθαι δὲ τῆς ὀρεινῆς τὸν τόπον τοῦτον Μηρόν, καθ' ὃν ὁ Διόνυσος ἐξέτρεψε τὰς

*reddere* Poggius 95. περί τινα om. CE 96. Σίλλαν] Auctor Excerptorum var. MS. Paris. apud Ruhnkenium ad fragmenta Callimachi p. 448. ὅτι ποταμός ἐστιν ἐν τῇ Ἰνδικῇ ὁ καλούμενος Σίλα διὰ τὸ ἀπὸ κρήνης ὁμωνύμου ῥέειν, ἐν ᾧ οὐδὲν τῶν ἐμβαλλομένων ἐπιπλεῖ, πάντα δὲ εἰς τὸν βυθὸν καταδύεται παραδόξως. quae hinc petita esse monuit Nicolaus ad Antigonum Carystium p. 206., qui et ipse scribit τὴν ἐν τοῖς Ἰνδοῖς κρήνην Σίλαν οὐδὲ τὸ κουφότατον τῶν βληθέντων ἐᾶν ἐπιμένειν κρήνης] *monte abrupto* (κρημνοῦ) Poggius 3. ὑπάρχειν om. C 5. δὲ] δὲ δὴ E 6. αὐτομάτως] αὐτομάτοις F 11. εὐφυεῖ] ἐκφυεῖ B 12. πρὸς ἅπαντα om. M 13. παρὰ τοῖς Ἰνδοῖς] μετὰ τῶν Ἰνδῶν M 14. ὧν] οὗ ABCDE 16. ἔτι] ὅτι FG 19. τῆς δυν.] δυν. ACD 23. ἐνταῦθα] ἐν ταύτῃ BD 27. ἐξέτρεψε] ἐξέθρεψε DE, ἐθεράπευσε M

δυνάμεις ἐκ τῆς νόσου· ἀφ' οὗ δὴ καὶ τοὺς Ἕλληνας περὶ τοῦ θεοῦ τούτου παραδεδωκέναι τοῖς μεταγενεστέροις τετράφθαι τὸν Διόνυσον ἐν μηρῷ. μετὰ δὲ ταῦτα τῆς παραθέσεως τῶν καρπῶν ἐπιμεληθέντα μεταδιδόναι τοῖς Ἰνδοῖς, καὶ τὴν εὕρεσιν τοῦ οἴνου καὶ τῶν ἄλλων τῶν εἰς τὸν βίον χρησίμων παραδοῦναι. πρὸς δὲ τούτοις πόλεών τε ἀξιολόγων γενηθῆναι κτίστην μεταγαγόντα τὰς κώμας εἰς τοὺς εὐθέτους τόπους, τιμᾶν τε καταδεῖξαι τὸ θεῖον καὶ νόμους εἰσηγήσασθαι καὶ δικαστήρια, καθόλου δὲ πολλῶν καὶ καλῶν ἔργων εἰσηγητὴν γενόμενον θεὸν νομισθῆναι καὶ τυχεῖν ἀθανάτων τιμῶν. ἱστο- 152
ροῦσι δ' αὐτὸν καὶ γυναικῶν πλῆθος μετὰ τοῦ στρατοπέδου περιάγεσθαι, καὶ κατὰ τὰς ἐν τοῖς πολέμοις παρατάξεις τυμπάνοις καὶ κυμβάλοις κεχρῆσθαι, μήπω σάλπιγγος εὑρημένης. βασιλεύσαντα δὲ πάσης τῆς Ἰνδικῆς ἔτη δύο πρὸς τοῖς πεντήκοντα γήρᾳ τελευτῆσαι. διαδεξαμένους δὲ τοὺς υἱοὺς αὐτοῦ τὴν ἡγεμονίαν ἀεὶ τοῖς ἀφ' ἑαυτῶν ἀπολιπεῖν τὴν ἀρχήν. τὸ δὲ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον καταλυθείσης τῆς ἡγεμονίας δημοκρατη-
39 θῆναι τὰς πόλεις. περὶ μὲν οὖν τοῦ Διονύσου καὶ τῶν ἀπογόνων αὐτοῦ τοιαῦτα μυθολογοῦσιν οἱ τὴν ὀρεινὴν τῆς Ἰνδικῆς κατοικοῦντες. τόν τε Ἡρακλέα φασὶ παρ' αὐτοῖς γεγενῆσθαι, καὶ παραπλησίως τοῖς Ἕλλησι τό τε ῥόπαλον καὶ τὴν λεοντῆν αὐτῷ προσάπτουσι. τῇ δὲ τοῦ σώματος ῥώμῃ καὶ ἀλκῇ πολλῷ τῶν ἄλλων ἀνθρώπων διενεγκεῖν, καὶ καθαρὰν ποιῆσαι τῶν θηρίων γῆν τε καὶ θάλατταν. γαμήσαντα δὲ πλείους γυναῖκας υἱοὺς μὲν πολλούς, θυγατέρα δὲ μίαν γεννῆσαι· καὶ τούτων ἐνηλίκων γενομένων πᾶσαν τὴν Ἰνδικὴν διελόμενον εἰς ἴσας τοῖς τέκνοις μερίδας ἅπαντας τοὺς υἱοὺς ἀποδεῖξαι βασιλέας· μίαν δὲ θυγατέρα θρέψαντα καὶ ταύτην βασίλισσαν ἀποδεῖξαι. κτίστην τε πόλεων οὐκ ὀλίγων γενέσθαι, καὶ τούτων τὴν ἐπιφανεστάτην καὶ μεγίστην προσαγορεῦσαι Παλίβοθρα. κατασκευάσαι δ' ἐν αὐτῇ καὶ βασίλεια πολυτελῆ καὶ πλῆθος οἰκητόρων καθιδρῦσαι· τήν τε πόλιν ὀχυρῶσαι τάφροις ἀξιολόγοις ποταμίοις ὕδασι πληρουμέναις. καὶ τὸν μὲν Ἡρακλέα τὴν ἐξ ἀνθρώπων μετάστασιν ποιησάμενον ἀθανάτου τυχεῖν τιμῆς· τοὺς δ' ἀπογόνους αὐτοῦ βασιλεύσαντας ἐπὶ πολλὰς γενεὰς καὶ πράξεις ἀξιολόγους μεταχειρισαμένους μήτε στρατείαν ὑπερόριον ποιήσασθαι μήτε ἀποικίαν εἰς ἄλλο ἔθνος ἀποστεῖλαι. ὕστερον δὲ πολλοῖς ἔτεσι τὰς πλείστας μὲν τῶν πόλεων δημοκρατηθῆναι, τινῶν δὲ ἐθνῶν τὰς βασιλείας διαμεῖναι μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως.

Νομίμων δ' ὄντων παρὰ τοῖς Ἰνδοῖς ἐνίων ἐξηλλαγμένων θαυμασιώτατον ἄν τις ἡγήσαιτο τὸ καταδειχθὲν ὑπὸ τῶν ἀρχαίων παρ' αὐτοῖς φιλοσόφων. νενομοθέτηται γὰρ παρ' αὐτοῖς δοῦλον μηδένα τὸ παράπαν εἶναι, ἐλευθέρους δ' ὑπάρχοντας τὴν ἰσότητα τιμᾶν ἐν πᾶσι. τοὺς γὰρ μαθόντας μήθ' ὑπερέχειν μήθ' ὑποπίπτειν ἄλλοις κράτιστον ἕξειν βίον πρὸς ἁπάσας τὰς περιστάσεις. εὔηθες γὰρ εἶναι νόμους μὲν ἐπ' ἴσης τιθέναι
153 πᾶσι, τὰς δ' ἐξουσίας ἀνωμάλους κατασκευάζειν. τὸ δὲ 40
πᾶν πλῆθος τῶν Ἰνδῶν εἰς ἑπτὰ μέρη διῄρηται, ὧν ἐστι τὸ μὲν πρῶτον σύστημα φιλοσόφων, πλήθει μὲν τῶν ἄλλων μερῶν λειπόμενον, τῇ δ' ἐπιφανείᾳ πάντων πρωτεῦον. ἀλειτούργητοι γὰρ ὄντες οἱ φιλόσοφοι πάσης ὑπουργίας οὔθ' ἑτέρων κυριεύουσιν οὔθ' ὑφ' ἑτέρων δεσπόζονται. παραλαμβάνονται δὲ ὑπὸ μὲν τῶν ἰδιωτῶν εἴς τε τὰς ἐν τῷ βίῳ θυσίας καὶ εἰς τὰς τῶν τετελευτηκότων ἐπιμελείας, ὡς θεοῖς γεγονότες προσφιλέστατοι καὶ περὶ τῶν ἐν Ἅιδου μάλιστα ἐμπείρως ἔχοντες, ταύτης τε τῆς ὑπουργίας δῶρά τε καὶ τιμὰς λαμβάνουσιν ἀξιολόγους· τῷ δὲ κοινῷ τῶν Ἰνδῶν μεγάλας παρέχονται χρείας παραλαμβανόμενοι μὲν κατὰ τὸ νέον ἔτος ἐπὶ τὴν μεγάλην σύνοδον, προλέγοντες δὲ τοῖς πλήθεσι περὶ αὐχμῶν καὶ ἐπομβρίας ἔτι δὲ

31. παραθέσεως AB(D), caeteri καταθέσεως  μεταδιδόναι] παραδιδόναι ABD  36. δικαστήρια] καταδεῖξαι subiiciunt ABD

152. 41. κεχρῆσθαι] χρῆσθαι A  43. γήρᾳ] γηραιὸν G, senex Poggius  45. ἀφ'] ὑφ' C  ἀπολιπεῖν] ἀπολείπειν D  46. τελευταῖον] τελευτᾶν FG  48. περὶ — 49. μυθολογοῦσιν om. A  49. τῆς Ἰνδικῆς] τοῖς Ἰνδικοῖς A  50. αὐτοῖς] αὑτοῖς (D) ed. Wess.  55. πλείους] πλείουσι A, πολλὰς G, multas Poggius  58. ἅπαντας τοὺς υἱοὺς AB, ἅπαντας τοὺς τόπους D, ἅπαντας τοῖς τόποις CEQ, caeteri εἰς ἅπαντας τοὺς τόπους: de Poggio, ut saepe, non liquet  59. θρέψαντα] θρέψαι A  60. ἀποδεῖξαι] ἀναδεῖξαι B  61. μεγίστην] μεγίστην ἣν ABD  62. Παλίβοθρα] Παλιβόθραν AB, Παλικόθραν FM Poggius

64. τάφροις] τάφοις B Poggius  65. πληρουμέναις Rhodomannus, πληρουμένην A, πληρουμένην. οἷς D, caeteri πληρουμένοις  μὲν om. D  68. καὶ] καὶ μήτε FG Poggius  70. ἄλλο ἔθνος] ἀλλοεθνεῖς AD, alias nationes Poggius  75. καταδειχθὲν] καταδιδαχθὲν E  77. παρ' om. EV, asterisco notavit Stephanus: lege sanxerunt Poggius  εἶναι post μηδένα ponit D  ἐλευθέρους δὲ ὑπάρχοντας AB(D) Poggius, caeteri ἐλεύθερον δ' ὑπάρχοντα  79. ὑπερέχειν] παρέχειν A, ex quo nihil ad μήθ' annotatum  81. εὔηθες Rhodomannus, εὐήθης A, caeteri εὐήθεις: stultum sane videri Poggius  82. ἐξουσίας] legebatur οὐσίας

153. 87. ὑπουργίας] ὑπουργείας A  89. ἰδιωτῶν D, privatis Poggius, caeteri ἰδίων  τε om. D  θυσίας καὶ AB (D), caeteri θυσίας τε καὶ  95. τοῖς πλήθεσι servarunt ABD

ἀνέμων εὐπνοίας καὶ νόσων καὶ τῶν ἄλλων τῶν δυναμένων τοὺς ἀκούοντας ὠφελῆσαι. τὰ μέλλοντα γὰρ προακούσαντες οἵ τε πολλοὶ καὶ ὁ βασιλεὺς ἐκπληροῦσιν ἀεὶ τὸ μέλλον ἐκλείπειν καὶ προκατασκευάζουσιν ἀεί τι τῶν χρησίμων. ὁ δὲ ἀποτυχὼν τῶν φιλοσόφων ἐν ταῖς προῤῥήσεσιν ἄλλην μὲν οὐδεμίαν ἀναδέχεται τιμωρίαν ἢ βλασφημίαν, ἄφωνος δὲ διατελεῖ τὸν λοιπὸν βίον. δεύτερον δ' ἐστὶ μέρος τὸ τῶν γεωργῶν, οἳ τῷ πλήθει τῶν ἄλλων πολὺ προέχειν δοκοῦσιν. οὗτοι δὲ πολέμων καὶ τῆς ἄλλης λειτουργίας ἀφειμένοι περὶ τὰς γεωργίας ἀσχολοῦνται· καὶ οὐδεὶς ἂν πολέμιος περιτυχὼν γεωργῷ κατὰ τὴν χώραν ἀδικήσειεν, ἀλλ' ὡς κοινοὺς εὐεργέτας ἡγούμενοι πάσης ἀδικίας ἀπέχονται. διόπερ ἀδιάφθορος ἡ χώρα διαμένουσα καὶ καρποῖς βρίθουσα πολλὴν ἀπόλαυσιν παρέχεται τῶν ἐπιτηδείων τοῖς ἀνθρώποις. βιοῦσι δ' ἐπὶ τῆς χώρας μετὰ τέκνων καὶ γυναικῶν οἱ γεωργοί, καὶ τῆς εἰς τὴν πόλιν καταβάσεως παντελῶς ἀφεστήκασι. τῆς δὲ χώρας μισθοὺς τελοῦσι τῷ βασιλεῖ διὰ τὸ πᾶσαν τὴν Ἰνδικὴν βασιλικὴν εἶναι, ἰδιώτῃ δὲ μηδενὶ γῆν ἐξεῖναι κεκτῆσθαι· χωρὶς δὲ τῆς μισθώσεως τετάρτην εἰς τὸ βασιλικὸν τελοῦσι. τρίτον δ' ἐστὶ φῦλον τὸ τῶν βουκόλων καὶ ποιμένων καὶ καθόλου πάντων τῶν νομέων, οἳ πόλιν μὲν ἢ κώμην οὐκ οἰκοῦσι, σκηνίτῃ δὲ βίῳ χρῶνται. οἱ δ' αὐτοὶ καὶ κυνηγοῦντες καθαρὰν ποιοῦσι τὴν χώραν ὀρνέων καὶ θηρίων. εἰς ταῦτα δὲ ἀσκοῦντες καὶ φιλοπονοῦντες ἐξημεροῦσι τὴν Ἰνδικήν, πλήθουσαν
41 πολλῶν καὶ παντοδαπῶν θηρίων τε καὶ ὀρνέων τῶν κατεσθιόντων τὰ σπέρματα τῶν γεωργῶν. τέταρτον δ' ἐστὶ 154
μέρος τὸ τῶν τεχνιτῶν· καὶ τούτων οἱ μέν εἰσιν ὁπλοποιοί, οἱ δὲ τοῖς γεωργοῖς ἢ τισιν ἄλλοις τὰ χρήσιμα πρὸς ὑπηρεσίαν κατασκευάζουσιν. οὗτοι δὲ οὐ μόνον ἀτελεῖς εἰσιν, ἀλλὰ καὶ σιτομετρίαν ἐκ τοῦ βασιλικοῦ

99. ἀεὶ] αἰεὶ D 100. προκατασκευάζουσιν] προςκατασκευάζουσιν F ἀεί] αἰεί D 2. ἀναδέχεται ABC(D)EQ, caeteri δέχεται 8. ἀδικήσειεν] ἂν subiicit D 10. καρποῖς] καρπῶν F 14. μισθοὺς] μισθὸν FG correcti in marg. 17. τετάρτην] μοῖραν addit M εἰς τὸ βασιλικὸν ABC(D)EQ, caeteri τῷ βασιλεῖ 20. σκηνίτῃ A(D), caeteri σκηνήτῃ χρῶνται] καθὼς οἱ Κώμανοι subiicit E κυνηγετοῦντες] κυνηγοῦντες D, κυνηγετοῦντες καὶ ζωγροῦντες F, κυνιγοῦντες καὶ ζωγροῦντες C, *venatu ac retibus* Poggius 21. καθαρὰν — 22. ἀσκοῦντες om. C ποιοῦσι] ποιοῦνται AB ὀρνέων καὶ] ὀρνέων τε καὶ D 22. φιλοπονοῦντες] φιλοσοφοῦντες AC, φιλοτεχνοῦντες B D 23. παντοδαπῶν] παντοίων B

154. 27. χρήσιμα] χρήματα B 28. σιτομετρίαν] συμμετρίαν AB



λαμβάνουσι. πέμπτον δὲ στρατιωτικόν, εἰς τοὺς πολέμους εὔθετοῦν, τῷ μὲν πλήθει δεύτερον, ἀνέσει δὲ καὶ παιδιᾷ πλείστῃ χρώμενον ἐν ταῖς εἰρήναις. τρέφεται δ' ἐκ τοῦ βασιλικοῦ πᾶν τὸ πλῆθος τῶν στρατιωτῶν καὶ τῶν πολεμιστῶν ἵππων τε καὶ ἐλεφάντων. ἕκτον δ' ἐστὶ τὸ τῶν ἐφόρων· οὗτοι δὲ πολυπραγμονοῦντες πάντα καὶ ἐφορῶντες τὰ κατὰ τὴν Ἰνδικὴν ἀπαγγέλλουσι τοῖς βασιλεῦσιν, ἐὰν δὲ ἡ πόλις αὐτῶν ἀβασίλευτος ᾖ, τοῖς ἄρχουσιν. ἕβδομον δ' ἐστὶ μέρος τὸ βουλεῦον μὲν καὶ συνεδρεῦον τοῖς ὑπὲρ τῶν κοινῶν βουλευομένοις, πλήθει μὲν ἐλάχιστον, εὐγενείᾳ δὲ καὶ φρονήσει μάλιστα θαυμαζόμενον. ἐκ τούτων γὰρ οἵ τε σύμβουλοι τοῖς βασιλεῦσίν εἰσιν οἵ τε διοικηταὶ τῶν κοινῶν καὶ οἱ δικασταὶ τῶν ἀμφισβητουμένων, καὶ καθόλου τους ἡγεμόνας καὶ τοὺς ἄρχοντας ἐκ τούτων ἔχουσι. τὰ μὲν οὖν μέρη τῆς διῃρημένης πολιτείας παρ' Ἰνδοῖς σχεδὸν ταῦτά ἐστιν. οὐκ ἔξεστι δὲ γαμεῖν ἐξ ἄλλου γένους ἢ προαιρέσεις ἢ τέχνας μεταχειρίζεσθαι, οἷον στρατιώτην ὄντα γεωργεῖν ἢ τεχνίτην ὄντα φιλοσοφεῖν.

42 Ἔχει δ' ἡ τῶν Ἰνδῶν χώρα πλείστους καὶ μεγίστους ἐλέφαντας ἀλκῇ τε καὶ μεγέθει πολὺ διαφέροντας. ὀχεύεται δὲ τοῦτο τὸ ζῷον, οὐχ ὥςπερ τινές φασιν, ἐξηλλαγμένως, ἀλλ' ὁμοίως ἵπποις καὶ τοῖς ἄλλοις τετραπόδοις ζῴοις. κύουσι δὲ τοὺς μὲν ἐλαχίστους μῆνας ἑκκαίδεκα, τοὺς δὲ πλείστους ὀκτωκαίδεκα. τίκτουσι δὲ καθάπερ ἵπποι κατὰ τὸ πλεῖστον ἕν, καὶ τρέφουσι τὸ γεννηθὲν αἱ μητέρες ἐπ' ἔτη ἕξ. ζῶσι δ' οἱ πλεῖστοι καθάπερ ὁ μακροβιώτατος ἄνθρωπος, οἱ δὲ μάλιστα γηράσαντες ἔτη διακόσια. εἰσὶ δὲ παρ' Ἰνδοῖς καὶ ἐπὶ τοὺς ξένους ἄρχοντες τεταγμένοι καὶ φροντίζοντες ὅπως μηδεὶς ξένος ἀδικῆται. τοῖς δ' ἀῤῥωστοῦσι τῶν ξένων ἰατροὺς εἰςάγουσι καὶ τὴν ἄλλην ἐπιμέλειαν ποιοῦνται, καὶ τελευτήσαντας θάπτουσιν, ἔτι δὲ τὰ καταλειφθέντα χρήματα τοῖς προςή-

30. εἰς τοὺς πολέμους] εἰς τοὺς πολεμίους AB, εἰς τὸ πολεμίους ἀποτρέπειν E et corr. C 31. παιδιᾷ] „παιδείᾳ (sic et D) et mox εἰρηνικαῖς, sed melius libri eius margo“ Wessel. omissa codicis nota 32. τῶν στρ. καὶ om. D 33. τῶν πολεμιστῶν] πολεμιστῶν C 44. ταῦτα] ταύτῃ C 45. ἔξεστι ABDFG, caeteri ἔστι γένους ABD, caeteri μέρους ἢ προαιρέσεις ἢ τέχνας μεταχειρίζεσθαι] fortasse πλείους addendum cum Wesselingio 46. στρατιώτην ὄντα AC(D)F Poggius, caeteri subiiciunt στρατεύεσθαι καὶ 51. ὁμοίως] ομως C 52. κύουσι] μύουσι F 54. καθάπερ ἵπποι] κατὰ τοὺς ἵππους F 55. αἱ addidit Reiskius 59. ἀδικῆται] ἀδικεῖται A 61. τελευτήσαντας AB(D)M, caeteri τελευτήσαντα 62. χρήματα AC(D)FG, caeteri τοῦ ξένου praemittunt, quae asterisco notavit Stephanus: *eorum* Poggius

κουσιν ἀποδιδόασιν. οἵ τε δικασταὶ τὰς κρίσεις παρ' αὐτοῖς ἀκριβῶς διαγινώσκουσι, καὶ πικρῶς τοῖς ἁμαρτάνουσι προςφέρονται. περὶ μὲν οὖν τῆς Ἰνδικῆς καὶ τῶν κατ' αὐτὴν ἀρχαιολογουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

43 Περὶ δὲ τῶν Σκυθῶν τῶν οἰκούντων τὴν ὅμορον 155 χώραν ἐν μέρει διέξιμεν. οὗτοι γὰρ τὸ μὲν ἐξ ἀρχῆς ὀλίγην ἐνέμοντο χώραν, ὕστερον δὲ κατ' ὀλίγον αὐξηθέντες διὰ τὰς ἀλκὰς καὶ τὴν ἀνδρείαν πολλὴν μὲν κατεκτήσαντο χώραν, τὸ δὲ ἔθνος εἰς μεγάλην ἡγεμονίαν καὶ δόξαν προήγαγον. τὸ μὲν οὖν πρῶτον παρὰ τὸν Ἀράξην ποταμὸν ὀλίγοι κατῴκουν παντελῶς καὶ διὰ τὴν ἀδοξίαν καταφρονούμενοι· ἕνα δὲ τῶν ἀρχαίων ἔχοντες βασιλέα φιλοπόλεμον καὶ διαφέροντα στρατηγίᾳ προςεκτήσαντο χώραν, τῆς μὲν ὀρεινῆς ἕως πρὸς τὸν Καύκασον, τῆς δὲ πεδινῆς τὰ παρὰ τὸν Ὠκεανὸν καὶ τὴν Μαιῶτιν λίμνην καὶ τὴν ἄλλην χώραν ἕως Ταναΐδος ποταμοῦ. ὕστερον δὲ μυθολογοῦσι Σκύθαι γηγενῆ παρ' αὐτοῖς γενέσθαι παρθένον· ταύτην δ' ἔχειν τὰ μὲν ἄνω μέρη τοῦ σώματος μέχρι τῆς ζώνης γυναικεῖα, τὰ δὲ κατώτερα ἐχίδνης. ταύτῃ δὲ Δία μιγέντα γεννῆσαι παῖδα Σκύθην ὄνομα. τοῦτον δὲ γενόμενον ἐπιφανέστατον τῶν πρὸ αὐτοῦ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Σκύθας προςαγορεῦσαι. τῶν δὲ ἀπογόνων τούτου τοῦ βασιλέως ἀδελφοὺς δύο γενέσθαι διαφόρους ἀρετῇ, καὶ τὸν μὲν Πάλον τὸν δὲ Νάπην ὠνομάσθαι. τούτων δ' ἐπιφανεῖς πράξεις κατεργασαμένων καὶ διελομένων τὴν βασιλείαν, ἀφ' ἑκατέρου τοὺς λαοὺς τοὺς μὲν Πάλους, τοὺς δὲ Νάπας προςαγορευθῆναι. μετὰ δέ τινας χρόνους τοὺς ἀπογόνους τούτων τῶν βασιλέων ἀνδρείᾳ καὶ στρατηγίᾳ διενεγκόντας πολλὴν μὲν πέραν τοῦ Ταναΐδος ποταμοῦ χώραν καταστρέψασθαι μέχρι τῆς Θρᾴκης· ἐπὶ δὲ θάτερα μέρη στρατεύσαντας διατεῖναι τῇ δυνάμει μέχρι τοῦ κατ' Αἴγυπτον Νείλου. πολλὰ δὲ καὶ μεγάλα τῶν ἀνὰ μέσον τούτων ἐθνῶν καταδουλωσαμένους προβιβάσαι τὴν ἡγεμονίαν τῶν Σκυθῶν τῇ μὲν ἐπὶ τὸν πρὸς ἀνατολὰς

ἀποδιδόασιν] ἀποδίδωσιν D 64. προςφέρονται] προφέρονται A 66. ἀρκεσθησόμεθα] ἀρκεσθήσομαι B
155. 72. προήγαγον] προηγάγοντο BD 73. ὀλίγοι κατῴκουν παντελῶς] ὀλίγοι κατῴκουν, παντελῶς ὀλίγοι ὄντες D 77. παρὰ] περὶ AB 79. γεγενῆ (sic) post γενέσθαι ponit D: tum libri αὐτοῖς 84. τῶν] τοῦ A λαοὺς] ἄλλους C 86. Πάλον] Πλοῦτον FG, Plutonem Poggius 87. Νάπην] Νάπιν AD, Napim Poggius 89. Πάλους] Πλούτους FG, Plutones Poggius, Νάπας D Νάπας] Νάπους FG, Πάλους D 91. διενεγκόντας D, διενέγκοντας (sic notatur) ABG, caeteri διενέγκαντας 94. τῇ δυνάμει] τὴν δύναμιν ABD



Ὠκεανόν, τῇ δ' ἐπὶ τὴν Κασπίαν θάλατταν καὶ Μαιῶτιν λίμνην. ηὐξήθη γὰρ ἐπὶ πολὺ τοῦτο τὸ ἔθνος καὶ βασιλεῖς ἔσχεν ἀξιολόγους· ἀφ' ὧν τοὺς μὲν Σάκας προςαγορευθῆναι, τοὺς δὲ Μασσαγέτας, τινὰς δὲ Ἀριμασποὺς, καὶ τούτοις ὁμοίως ἄλλους πλείονας. ὑπὸ δὲ τούτων τῶν βασιλέων πολλὰ μὲν καὶ τῶν ἄλλων τῶν καταπολεμηθέντων ἐθνῶν μετῳκίσθαι, δύο δὲ μεγίστας ἀποικίας γενέσθαι, τὴν μὲν ἐκ τῶν Ἀσσυρίων μετασταθεῖσαν εἰς τὴν μεταξὺ χώραν τῆς τε Παφλαγονίας καὶ τοῦ Πόντου, τὴν δὲ ἐκ τῆς Μηδίας παρὰ τὸν Τάναϊν 156 καθιδρυθεῖσαν, ἧς τοὺς λαοὺς Σαυρομάτας ὀνομασθῆναι. τούτους δ' ὕστερον πολλοῖς ἔτεσιν αὐξηθέντας πορθῆσαι πολλὴν τῆς Σκυθίας, καὶ τοὺς καταπολεμηθέντας ἄρδην ἀναιροῦντας ἔρημον ποιῆσαι τὸ πλεῖστον μέρος τῆς χώρας.

44 μετὰ δὲ ταῦτα ἀναρχίας γενομένης κατὰ τὴν Σκυθίαν ἐβασίλευσαν γυναῖκες ἀλκῇ διαφέρουσαι. ἐν τούτοις γὰρ τοῖς ἔθνεσιν αἱ γυναῖκες γυμνάζονται πρὸς πόλεμον παραπλησίως τοῖς ἀνδράσι καὶ ταῖς ἀνδρείαις οὐδὲν λείπονται τῶν ἀνδρῶν. διὸ καὶ γυναικῶν ἐπιφανῶν πολλαὶ καὶ μεγάλαι πράξεις ἐπετελέσθησαν οὐ μόνον κατὰ τὴν Σκυθίαν ἀλλὰ καὶ κατὰ τὴν ὅμορον ταύτης χώραν. Κύρου μὲν γὰρ τοῦ Περσῶν βασιλέως πλεῖστον ἰσχύσαντος τῶν καθ' αὐτόν, καὶ στρατεύσαντος ἀξιολόγοις δυνάμεσιν εἰς τὴν Σκυθίαν, ἡ βασίλισσα τῶν Σκυθῶν τό τε στρατόπεδον τῶν Περσῶν κατέκοψε καὶ τὸν Κῦρον αἰχμάλωτον γενόμενον ἀνεσταύρωσε· τό τε συσταθὲν ἔθνος τῶν Ἀμαζόνων τοσοῦτον ἀνδρείᾳ διήνεγκεν ὥςτε μὴ μόνον πολλὴν χώραν ὅμορον καταδραμεῖν, ἀλλὰ καὶ πολλὴν τῆς Εὐρώπης καὶ τῆς Ἀσίας καταστρέψασθαι.

Ἡμεῖς δ' ἐπειδὴ περὶ τῶν Ἀμαζονίδων ἐμνήσθημεν, οὐκ ἀνοίκειον εἶναι νομίζομεν διελθεῖν περὶ αὐτῶν, εἰ καὶ διὰ τὴν παραδοξολογίαν μύθοις ὅμοια φανήσεται

98. θάλατταν D, caeteri θάλασσαν 100. ἔσχεν] εἶχεν AB 2. Ἀριμασποὺς] Arimaspae Poggius ὁμοίως ABC(D), caeteri ὁμοίους 4. μετοικισθῆναι] μετιχίσθαι F vel G correctus in marg., μετοικεῖσθαι ABD, μετοικεῖσαι C: quae omnia ab μετῳκίσθαι orta, quod restitui 5. ἐκ BC(D)FG Poggius, caeteri ὑπὸ 6. μετασταθεῖσαν] μετατεθεῖσαν ABD 8. καθιδρυθεῖσαν] καθίδρυσαν D, caeteri καθιδρυνθεῖσαν ἧς] εἰς C
156. 10. πολλὴν] χώραν subiicit BD 15. αἱ γυναῖκες servarunt ABD Poggius 18. ἐπετελέσθησαν] ἐτελέσθησαν M 26. καταδραμεῖν B(D), caeteri ἐπιδραμεῖν 28. ἐπειδὴ AD, caeteri ἐπεὶ ἀνοίκειον] ἀνάκειον F 29. εἰ καὶ BD, καὶ A, caeteri τὰ διὰ τὴν παραδοξολογίαν] μάτην παραδοξολογία F correctus in marg. 30. φανήσεται τὰ ῥηθέντα BD et fortasse A, δοκοῦντα M, caeteri διαληφθέντα

45 τὰ ῥηθέντα. παρὰ τὸν Θερμώδοντα τοίνυν ποταμὸν ἔθνους κατοικοῦντος γυναικοκρατουμένου, καὶ τῶν γυναικῶν ὁμοίως τοῖς ἀνδράσι τὰς πολεμικὰς χρείας μεταχειριζομένων, φασὶ μίαν ἐξ αὐτῶν βασιλικὴν ἐξουσίαν ἔχουσαν ἀλκῇ καὶ ῥώμῃ διενεγκεῖν· συστησαμένην δὲ γυναικῶν στρατόπεδον γυμνάσαι τε τοῦτο καί τινας τῶν ὁμόρων καταπολεμῆσαι. αὐξομένης δὲ τῆς περὶ αὐτὴν ἀρετῆς τε καὶ δόξης συνεχῶς ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν στρατεύειν, καὶ τῆς τύχης εὐροούσης φρονήματος ἐμπίπλασθαι. καὶ θυγατέρα μὲν Ἄρεος ἑαυτὴν προσαγορεῦσαι, τοῖς δὲ ἀνδράσι προσνεῖμαι τὰς ταλασιουργίας καὶ τὰς τῶν γυναικῶν κατ᾽ οἴκους ἐργασίας. νόμους τε καταδεῖξαι δι᾽ ὧν τὰς μὲν γυναῖκας ἐπὶ τοὺς πολεμικοὺς ἀγῶνας προάγειν, τοῖς δὲ ἀνδράσι ταπείνωσιν καὶ δουλείαν περιάπτειν. τῶν δὲ γεννωμένων τοὺς μὲν ἄῤῥενας πηροῦν τά τε σκέλη καὶ τοὺς βραχίονας, ἀχρήστους κατασκευάζοντες πρὸς τὰς πολεμικὰς χρείας, τῶν δὲ θηλυτερῶν τὸν δεξιὸν μαστὸν ἐπικαίειν, ἵνα μὴ κατὰ τὰς μάχας τῶν σωμάτων ἐπαιρόμενος ἐνοχλῇ· ἀφ᾽ ἧς αἰτίας συμβῆναι τὸ ἔθνος τῶν Ἀμαζόνων ταύτης τυχεῖν τῆς προσηγορίας. καθόλου δὲ διαφέρουσαν αὐτὴν συνέσει καὶ 157 στρατηγίᾳ πόλιν μὲν κτίσαι μεγάλην παρὰ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος ποταμοῦ, τοὔνομα Θεμίσκυραν, καὶ βασίλεια κατασκευάσαι περιβόητα· κατὰ δὲ τὰς στρατείας ἐπιμελομένην πολὺ τῆς εὐταξίας τὸ μὲν πρῶτον καταπολεμῆσαι πάντας τοὺς ὁμόρους μέχρι τοῦ Ταναΐδος ποταμοῦ. καὶ ταύτην μέν φασι ταύτας τὰς πράξεις ἐπιτελεσαμένην, καὶ κατά τινα μάχην λαμπρῶς ἀγωνισαμένην, ἡρωικῶς τελευτῆσαι τὸν βίον. 46 διαδεξαμένην δὲ τὴν ταύτης θυγατέρα τὴν βασιλείαν ζηλῶσαι μὲν τὴν ἀρετὴν τῆς μητρός, ὑπερβαλέσθαι δὲ ταῖς κατὰ μέρος πράξεσι. τὰς μὲν γὰρ παρθένους ἀπὸ τῆς πρώτης ἡλικίας ἔν τε ταῖς θήραις γυμνάζειν καὶ καθ᾽ ἡμέραν ἀσκεῖν τὰ πρὸς πόλεμον ἀνήκοντα. καταδεῖξαι δὲ καὶ θυσίας μεγαλοπρεπεῖς Ἄρει τε καὶ Ἀρτέμιδι τῇ προσαγορευομένῃ ταυροπόλῳ. στρατεύσασαν δὲ εἰς τὴν πέραν τοῦ Ταναΐδος ποταμοῦ χώραν καταπολεμῆσαι πάντα τὰ ἔθνη τὰ συνεχῆ μέχρι τῆς Θρᾴκης· ἀνακάμψασαν δὲ μετὰ πολλῶν λαφύρων εἰς τὴν οἰκείαν ναούς τε μεγαλοπρεπεῖς κατασκευάσαι τῶν προειρημένων θεῶν καὶ τῶν ὑποτεταγμένων ἐπιεικῶς ἄρχουσαν ἀποδοχῆς τυγχάνειν τῆς μεγίστης. στρατεῦσαι δὲ καὶ ἐπὶ θάτερα μέρη, καὶ πολλὴν τῆς Ἀσίας κατακτήσασθαι, καὶ διατεῖναι τῇ δυνάμει μέχρι τῆς Συρίας. μετὰ δὲ τὴν ταύτης τελευτὴν ἀεὶ τὰς προσηκούσας τῷ γένει διαδεχομένας τὴν βασιλείαν ἄρξαι μὲν ἐπιφανῶς, αὐξῆσαι δὲ τὸ ἔθνος τῶν Ἀμαζονίδων δυνάμει τε καὶ δόξῃ. μετὰ δὲ ταῦτα πολλαῖς γενεαῖς ὕστερον, διαβεβοημένης κατὰ πᾶσαν τὴν οἰκουμένην τῆς περὶ αὐτὰς ἀρετῆς, Ἡρακλέα φασὶ τὸν ἐξ Ἀλκμήνης καὶ Διὸς ἆθλον λαβεῖν παρ᾽ Εὐρυσθέως τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ζωστῆρα. διόπερ στρατεῦσαι μὲν αὐτόν, παρατάξει δὲ μεγάλῃ νικήσαντα τό τε στρατόπεδον τῶν Ἀμαζόνων κατακόψαι καὶ τὴν Ἱππολύτην μετὰ τοῦ ζωστῆρος ζωγρήσαντα τὸ ἔθνος τοῦτο τελέως συντρῖψαι. διόπερ τοὺς περιοικοῦντας βαρβάρους τῆς μὲν ἀσθενείας αὐτῶν καταφρονήσαντας, τῶν δὲ καθ᾽ ἑαυτοὺς μνησικακήσαντας πολεμῆσαι συνεχῶς τὸ ἔθνος ἐπὶ τοσοῦτον ὥστε μηδ᾽ ὄνομα τοῦ γένους τῶν Ἀμαζονίδων ἀπολιπεῖν. μετὰ γὰρ τὴν Ἡρακλέους στρατείαν ὀλίγοις ὕστερον ἔτεσι κατὰ τὸν Τρωικὸν πόλεμόν φασι Πενθεσίλειαν τὴν βασιλεύουσαν τῶν ὑπολελειμμέ- 158 νων Ἀμαζονίδων, Ἄρεος μὲν οὖσαν θυγατέρα, φόνον δ᾽ ἐμφύλιον ἐπιτελεσαμένην, φυγεῖν ἐκ τῆς πατρίδος διὰ τὸ μύσος. συμμαχήσασαν δὲ τοῖς Τρωσὶ μετὰ τὴν Ἕκτορος τελευτὴν πολλοὺς ἀνελεῖν τῶν Ἑλλήνων· ἀρι-

31. Θερμώδοντα] Θερμόδοντα D  κατοικοῦντος Rhodomannus: libri κρατοῦντος: *fuit* Poggius  32. γυναικοκρατουμ.] γυναικὸς κρατουμ. AB  37. δὲ om. A  39. εὐροούσης] εὐῤῥοούσης A, καὶ subiicit C  40. ἐμπίπλασθαι] ἐμπιπλᾶσθαι D  Ἄρεος] Ἄρεως D  ἑαυτὴν] αὐτήν D  42. τῶν γυναικῶν κατ᾽ οἴκους ἐργασίας] περὶ τὰς ἐργασίας καρτερίας EQV  46. ἄῤῥενας AB, caeteri ἄρσενας  πηροῦν Stephanus: libri ἐπήρουν  τά τε] fortasse legendum τε τὰ  47. κατασκευάζοντες] κατασκευάζειν Rhodomannus, inserto ὥστε ante ἀχρήστους, quo recte carebit infinitivus, si τε τὰ scribas v. 46.  48. θηλυτερῶν (D) Stephanus, caeteri θηλυτέρων  μαστὸν ABCDG, caeteri μαζὸν  ἐπικαίειν] ἐπέκαον ABD  49. τῶν σωμάτων] τοῦ σώματος M, cum ἐπαιρόμενος omisit Poggius, neque iam aut cum μάχας aut cum ἐπαιρόμενος bene coit, ut ἀκμὰς scribendum videatur pro μάχας

157. 53. Θερμώδοντος] Θερμόδοντος D  54. Θεμίσκυραν] *Themistram* et in margine *Themystram* Poggius  55. στρατείας] στρατιὰς D  ἐπιμελομένην D, ἐπιμελουμένην B, ἐπιμελισομένην C, caeteri ἐπιμελησαμένην  58. ἐπιτελεσαμένην] ἐντελεσαμένην D, ἐκτελεσαμένην B, ἐκτελεσαμένους A



60. τελευτῆσαι τὸν βίον ABD, caeteri τελευτῆσαι  62. ἀρετὴν τῆς μητρὸς ACDE, caeteri μητρὸς ἀρετὴν  ὑπερβαλέσθαι] ὑπερβάλλεσθαι D  66. Ἄρει] Ἀρεΐ omnes  71. οἰκείαν] οἰκίαν D  τε omittunt AD  78. ἔθνος] γένος AB  81. Ἀλκμήνης BC(D), caeteri Ἀλκμένης  86. τελέως A, caeteri τελείως  90. Ἀμαζονίδων] Ἀμαζόνων G  92. ἔτεσι] χρόνοις EQV

158. 97. τῶν Ἑλλήνων om. A et cum aliis Poggius  ἀριστεύσασαν BD, caeteri ἀριστεύουσαν

στεύσασαν δ' αὐτὴν ἐν τῇ παρατάξει καταστρέψαι τὸν βίον ἡρωικῶς ὑπὸ Ἀχιλλέως ἀναιρεθεῖσαν. τῶν μὲν οὖν Ἀμαζονίδων ἐσχάτην ταύτην λέγουσιν ἀνδρείᾳ διενεγκεῖν, καὶ τὸ λοιπὸν ἀεὶ τὸ ἔθνος ταπεινούμενον ἀσθενῆσαι παντελῶς· διὸ καὶ κατὰ τοὺς νεωτέρους καιρούς, ἐπειδάν τινες περὶ τῆς αὐτῶν ἀνδρείας διεξίωσι, μύθους ἡγοῦνται πεπλασμένους τὰς περὶ τῶν Ἀμαζονίδων ἀρχαιολογίας.

47 Ἡμεῖς δ' ἐπεὶ τὰ πρὸς ἄρκτους κεκλιμένα μέρη τῆς Ἀσίας ἠξιώσαμεν ἀναγραφῆς, οὐκ ἀνοίκειον εἶναι νομίζομεν τὰ περὶ τῶν Ὑπερβορέων μυθολογούμενα διελθεῖν. τῶν γὰρ τὰς παλαιὰς μυθολογίας ἀναγεγραφότων Ἑκαταῖος καὶ τινες ἕτεροί φασιν ἐν τοῖς ἀντιπέραν τῆς Κελτικῆς τόποις κατὰ τὸν Ὠκεανὸν εἶναι νῆσον οὐκ ἐλάττω τῆς Σικελίας. ταύτην ὑπάρχειν μὲν κατὰ τὰς ἄρκτους, κατοικεῖσθαι δὲ ὑπὸ τῶν ὀνομαζομένων Ὑπερβορέων ἀπὸ τοῦ πόῤῥωτέρω κεῖσθαι τῆς βορείου πνοῆς· οὖσαν δ' αὐτὴν εὔγειόν τε καὶ πάμφορον ἔτι δὲ εὐκρασίᾳ διαφέρουσαν διττοὺς κατ' ἔτος ἐκφέρειν καρπούς. μυθολογοῦσι δ' ἐν αὐτῇ τὴν Λητὼ γεγονέναι· διὸ καὶ τὸν Ἀπόλλω μάλιστα τῶν ἄλλων θεῶν παρ' αὐτοῖς τιμᾶσθαι. εἶναι δ' αὐτοὺς ὥςπερ ἱερεῖς τινας Ἀπόλλωνος διὰ τὸ τὸν θεὸν τοῦτον καθ' ἡμέραν ὑπ' αὐτῶν ὑμνεῖσθαι μετ' ᾠδῆς συνεχῶς καὶ τιμᾶσθαι διαφερόντως. ὑπάρχειν δὲ καὶ κατὰ τὴν νῆσον τέμενός τε Ἀπόλλωνος μεγαλοπρεπὲς καὶ ναὸν ἀξιόλογον ἀναθήμασι πολλοῖς κεκοσμημένον, σφαιροειδῆ τῷ σχήματι. καὶ πόλιν μὲν ὑπάρχειν ἱερὰν τοῦ θεοῦ τούτου, τῶν δὲ κατοικούντων αὐτὴν τοὺς πλείστους εἶναι κιθαριστάς, καὶ συνεχῶς ἐν τῷ ναῷ κιθαρίζοντας ὕμνους λέγειν τῷ θεῷ μετ' ᾠδῆς, ἀποσεμνύνοντας αὐτοῦ τὰς πράξεις. ἔχειν δὲ τοὺς Ὑπερβορέους ἰδίαν τινὰ διάλεκτον, καὶ πρὸς τοὺς Ἕλληνας οἰκειότατα διακεῖσθαι, καὶ μάλιστα πρὸς τοὺς Ἀθηναίους καὶ Δηλίους, ἐκ παλαιῶν χρόνων παρειληφότας τὴν εὔνοιαν ταύτην. καὶ τῶν Ἑλλήνων τινὰς μυθολογοῦσι παραβαλεῖν εἰς Ὑπερβορέους, καὶ ἀναθήματα πολυτελῆ καταλιπεῖν γράμ- 159

99. ὑπὸ] ὑπ' ed. Wessel. tacente D 100. ἀνδρείᾳ A(D)E, caeteri ἀνδρείᾳ δὲ 4. Ἀμαζονίδων] Ἀμαζόνων CF 8. Ὑπερβορέων] Βορείων CE 12. κατὰ] pone Poggius 16. ἐκφέρειν] φέρειν A 22. δὲ καὶ κατὰ τὴν νῆσον] δ' ἐν τῇ νήσῳ F correctus in marg. νῆσον] νῆσον ταύτην AB τε om. D 23. ἀξιόλογον om. A 25. μὲν ὑπάρχειν omisit M 32. καὶ] καὶ γὰρ M, etenim Poggius 33. καὶ ἀναθ.] ἀναθ. A 159. 34. πολυτελῆ] πολλὰ EQ



μασιν Ἑλληνικοῖς ἐπιγεγραμμένα. ὡςαύτως δὲ καὶ ἐκ τῶν Ὑπερβορέων Ἄβαριν εἰς τὴν Ἑλλάδα καταντήσαντα τὸ παλαιὸν ἀνασῶσαι τὴν πρὸς Δηλίους εὔνοιάν τε καὶ συγγένειαν. φασὶ δὲ καὶ τὴν σελήνην ἐκ ταύτης τῆς νήσου φαίνεσθαι παντελῶς ὀλίγον ἀπέχουσαν τῆς γῆς καί τινας ἐξοχὰς γεώδεις ἔχουσαν ἐν αὐτῇ φανεράς. λέγεται δὲ καὶ τὸν θεὸν δι' ἐτῶν ἐννεακαίδεκα καταντᾶν εἰς τὴν νῆσον, ἐν οἷς καὶ αἱ τῶν ἄστρων ἀποκαταστάσεις ἐπὶ τέλος ἄγονται· καὶ διὰ τοῦτο τὸν ἐννεακαιδεκαέτη χρόνον ὑπὸ τῶν Ἑλλήνων Μέτωνος ἐνιαυτὸν ὀνομάζεσθαι. κατὰ δὲ τὴν ἐπιφάνειαν ταύτην τὸν θεὸν κιθαρίζειν τε καὶ χορεύειν συνεχῶς τὰς νύκτας ἀπὸ ἰσημερίας ἐαρινῆς ἕως πλειάδος ἀνατολῆς ἐπὶ τοῖς ἰδίοις εὐημερήμασι τερπόμενον. βασιλεύειν τε τῆς πόλεως ταύτης καὶ τοῦ τεμένους ἐπάρχειν τοὺς ὀνομαζομένους Βορεάδας, ἀπογόνους ὄντας Βορέου, καὶ κατὰ γένος ἀεὶ διαδέχεσθαι τὰς ἀρχάς.

Τούτων δ' ἡμῖν διευκρινημένων μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὰ ἕτερα μέρη τῆς Ἀσίας τὰ μὴ τετευχότα τῆς ἀναγραφῆς, καὶ μάλιστα τὰ κατὰ τὴν Ἀραβίαν. αὕτη γὰρ κεῖται μὲν μεταξὺ Συρίας καὶ τῆς Αἰγύπτου, πολλοῖς δὲ καὶ παντοδαποῖς ἔθνεσι διείληπται. τὰ μὲν οὖν πρὸς τὴν ἕω μέρη κατοικοῦσιν Ἄραβες οὓς ὀνομάζουσι Ναβαταίους, νεμόμενοι χώραν τὴν μὲν ἔρημον τὴν δὲ ἄνυδρον, ὀλίγην δὲ καρποφόρον. ἔχουσι δὲ βίον λῃστρικόν, καὶ πολλὴν τῆς ὁμόρου χώρας κατατρέχοντες λῃστεύουσιν, ὄντες δύςμαχοι κατὰ τοὺς πολέμους. κατὰ γὰρ τὴν ἄνυδρον χώραν λεγομένην κατεσκευακότες εὔκαιρα φρέατα, καὶ ταῦτα πεποιηκότες τοῖς ἄλλοις ἔθνεσιν ἄγνωστα, συμφεύγουσιν εἰς τὴν χώραν ταύτην ἀκινδύνως. αὐτοὶ μὲν γὰρ εἰδότες τὰ κατακεκρυμμένα τῶν ὑδάτων, καὶ ταῦτ' ἀνοίγοντες, χρῶνται δαψιλέσι ποτοῖς· οἱ δὲ τούτους ἐπιδιώκοντες ἀλλοεθνεῖς σπανίζοντες τῆς ὑδρείας διὰ τὴν ἄγνοιαν τῶν φρεάτων, οἱ μὲν ἀπόλλυν-

(48 stands in the margin beside the first line of the paragraph "Τούτων δ' ἡμῖν…")

35. ὡςαύτως] ὡςαύτω V δὲ] δὲ πολλὰ V (v. ad 34.) „nullo sensu, nisi πάλαι fuerit olim aliaque sint mutanda: quorum nihil necesse.“ Wesseling. καὶ om. F, asterisco notavit Stephanus 39. ἔχουσαν ἐν αὐτῇ ABD, habentem in se Poggius, caeteri ἔχουσαν 41. καὶ αἱ] καὶ om. ADF Poggius, asterisco notavit Stephanus 43. ἐννεακαιδεκαέτη] scribebatur ἐννεακαιδεκαετῆ Μέτωνος ABDFGQ Poggius, caeteri μέγαν 48. ἐπάρχειν] ὑπάρχειν A 50. ἀεὶ] αἰεὶ AD 51. μεταβιβάσομεν] μεταβιβάσωμεν FQ 52. ἕτερα] ἑκάτερα FG 53. Ἀραβίαν] Ἀῤῥαβίαν A, qui et Ἄῤῥαβες 54. μὲν om. D 59. χώρας] χώραν AB 61. κατεσκευακότες ABDFG, caeteri κατασκευάζοντες εὔκαιρα] ἄκαιρα ABFG 65. ποτοῖς] πότοις omnes

ται διὰ τὴν σπάνιν τῶν ὑδάτων, οἱ δὲ πολλὰ κακοπαθήσαντες μόγις εἰς τὴν οἰκείαν σῴζονται. διόπερ οἱ ταύτην τὴν χώραν κατοικοῦντες Ἄραβες, ὄντες δυςκαταπολέμητοι, διατελοῦσιν ἀδούλωτοι, πρὸς δὲ τούτοις ἔπηλυν μὲν ἡγεμόνα τὸ παράπαν οὐ προςδέχονται, διατελοῦσι 160
δὲ τὴν ἐλευθερίαν διαφυλάττοντες ἀσάλευτον. διόπερ οὔτ' Ἀσσύριοι τὸ παλαιὸν οὔθ' οἱ Μήδων καὶ Περσῶν ἔτι δὲ Μακεδόνων βασιλεῖς ἠδυνήθησαν αὐτοὺς καταδουλώσασθαι, πολλὰς μὲν καὶ μεγάλας δυνάμεις ἐπ' αὐτοὺς ἀγαγόντες, οὐδέποτε δὲ τὰς ἐπιβολὰς συντελέσαντες. ἔστι δ' ἐν τῇ χώρᾳ τῶν Ναβαταίων καὶ πέτρα καθ' ὑπερβολὴν ὀχυρά, μίαν ἀνάβασιν ἔχουσα, δι' ἧς κατ' ὀλίγους ἀναβαίνοντες ἀποτίθενται τὰς ἀποσκευάς· λίμνη τε μεγάλη φέρουσα πολλὴν ἄσφαλτον, ἐξ ἧς λαμβάνουσιν οὐκ ὀλίγας προςόδους. αὕτη δ' ἔχει τὸ μὲν μῆκος σταδίων ὡς πεντακοσίων, τὸ δὲ πλάτος ὡς ἑξήκοντα, τὸ δ' ὕδωρ δυςῶδες καὶ διάπικρον, ὥςτε μὴ δύνασθαι μήτε ἰχθὺν τρέφειν μήτ' ἄλλο τῶν καθ' ὕδατος εἰωθότων ζῴων εἶναι. ἐμβαλλόντων δ' εἰς αὐτὴν ποταμῶν μεγάλων τῇ γλυκύτητι διαφόρων, τούτων μὲν περιγίνεται κατὰ τὴν δυςωδίαν, ἐξ αὐτῆς δὲ μέσης κατ' ἐνιαυτὸν ἐκφυσᾷ ἀσφάλτου μέγεθος ποτὲ μὲν μεῖζον ἢ τρίπλεθρον, ἔστι δ' ὅτε δυοῖν πλέθρων· ἐφ' ᾧ δὴ συνήθως οἱ περιοικοῦντες βάρβαροι τὸ μὲν μεῖζον καλοῦσι ταῦρον, τὸ δ' ἔλαττον μόσχον ἐπονομάζουσιν. ἐπιπλεούσης δὲ τῆς ἀσφάλτου πελαγίας ὁ τόπος φαίνεται τοῖς ἐξ ἀποστήματος θεωροῦσιν οἱονεὶ νῆσος. τὴν δ' ἔκπτωσιν τῆς ἀσφάλτου συμβαίνει φανερὰν γίνεσθαι τοῖς ἀνθρώποις πρὸ ἡμερῶν εἴκοσι. κύκλῳ γὰρ τῆς λίμνης ἐπὶ πολλοὺς σταδίους ὀσμὴ προςπίπτει μετὰ πνεύματος, καὶ πᾶς ὁ περὶ τὸν τόπον ἄργυρός τε καὶ χρυσὸς καὶ χαλκὸς ἀποβάλλει τὴν ἰδιότητα τοῦ χρώματος. ἀλλ' αὕτη

69. μόγις ABD, caeteri μόλις
160. 74. οὔτ' D, οὔθ' (?) AC, caeteri οὔθ' οἱ 76. μὲν δὲ ADFG 78. χώρᾳ ACDM Poggius, caeteri addunt ταύτῃ asterisco ab Stephano notatum 79. τῶν Ναβαταίων] τῶν Ἀβαταίων AB Poggius, qui etiam 159. 56. legebat ὀνομάζουσιν Ἀβαταίους 83. πεντακοσίων] quinquaginta Poggius 86. εἰωθότων om. A 87. ἐμβαλλόντων BD XIX. 98., caeteri ἐκβαλλόντων 88. περιγίνεται] παραγίνεται B 89. αὐτῆς] αὐτῆς E ἐκφυσᾷ] ἐκφύουσα ABDFGQ 91. δυοῖν] δυεῖν A ᾧ XIX. 98., hic libri ὧν 94. τόπος] τύπος Schaeferus τοῖς XIX. 98., hic libri τοῖς μὲν 95. ἀποστήματος] ἀποστώματος D 96. γίνεσθαι] γενέσθαι B 97. εἴκοσι] εἴκοσι δύο vel iunctim ABDFGQ Poggius 98. προςπίπτει] πίπτει C 99. καὶ χαλκὸς om. AM, asterisco notavit Stephanus



μὲν ἀποκαθίσταται πάλιν, ἐπειδὰν ἀναφυσηθῆναι συμβῇ πᾶσαν τὴν ἄσφαλτον· ὁ δὲ πλησίον τόπος ἔμπυρος ὢν καὶ δυςώδης ποιεῖ τὰ σώματα τῶν ἀνθρώπων ἐπίνοσα καὶ παντελῶς ὀλιγοχρόνια. ἀγαθὴ δ' ἐστὶ φοινικόφυτος ὅσην αὐτῆς συμβαίνει ποταμοῖς διειλῆφθαι χρησίμοις ἢ πηγαῖς δυναμέναις ἀρδεύειν. γίνεται δὲ περὶ τοὺς τόπους τούτους ἐν αὐλῶνί τινι καὶ τὸ καλούμενον βάλσαμον, ἐξ οὗ πρόςοδον λαμπρὰν λαμβάνουσιν, οὐδαμοῦ μὲν τῆς ἄλλης οἰκουμένης εὑρισκομένου τοῦ φυτοῦ τούτου, τῆς
161 δ' ἐξ αὐτοῦ χρείας εἰς φάρμακα τοῖς ἰατροῖς καθ' ὑπερβολὴν εὐθετούσης.

Ἡ δ' ἐχομένη τῆς ἀνύδρου καὶ ἐρήμου χώρας Ἀρα- 49
βία τοσοῦτο διαφέρει ταύτης ὥςτε διὰ τὸ πλῆθος τῶν ἐν αὐτῇ φυομένων καρπῶν τε καὶ τῶν ἄλλων ἀγαθῶν εὐδαίμονα Ἀραβίαν προςαγορευθῆναι. κάλαμον μὲν γὰρ καὶ σχοῖνον καὶ τὴν ἄλλην ὕλην τὴν ἀρωματίζουσαν πολλὴν φέρει, καὶ καθόλου παντοδαπὰς φύλλων εὐωδίας, καὶ τῶν ἀποσταζόντων δακρύων ὀσμαῖς ποικίλαις διείληπται. τήν τε γὰρ σμύρναν καὶ τὸν προςφιλέστατον τοῖς θεοῖς εἴς τε τὴν οἰκουμένην ἅπασαν διαπόμπιμον λιβανωτὸν αἱ ταύτης ἐσχατιαὶ φέρουσι. τοῦ δὲ κόστου καὶ κασίας ἔτι δὲ κινναμώμου καὶ τῶν ἄλλων τῶν τοιούτων χόρτοι καὶ θάμνοι βαθεῖαι τοσαῦται πεφύκασιν ὥςτε τὰ παρὰ τοῖς ἄλλοις σπανίως ἐπὶ βωμοὺς θεῶν τιθέμενα παρ' ἐκείνοις καὶ κριβάνων ὑπάρχειν ἐκκαύματα, καὶ τὰ παρὰ τοῖς ἄλλοις μικρῷ δείγματι ὑπάρχοντα παρ' ἐκείνοις στιβάδας οἰκετικὰς ἐπὶ τῶν οἰκιῶν παρέχεσθαι· τό τε καλούμενον κινάμωμον διάφορον χρείαν παρεχόμενον καὶ ῥητίνη καὶ τερέβινθος ἄπλατος εὐώδης φύεται περὶ τοὺς τόπους. ἐν δὲ τοῖς ὄρεσιν οὐ μόνον ἐλάτη καὶ πεύκη φύεται δαψιλής, ἀλλὰ καὶ κέδρος καὶ ἄρκευθος

1. ἀναφυσηθῆναι XIX. 98., hic libri ἀναφυσῆσαι 3. ποιεῖ D XIX. 98., caeteri ποιεῖται 5. φοινικόφυτος AB(D)FGMQ XIX. 98., caeteri φοινίκων φυτοῖς: *fertilis est palmis* Poggius ὅσην] ὅση CV, ὅσον FG αὐτῆς] αὐτοῖς DFG 6. ἀρδεύειν GM XIX. 98., caeteri ἀρδεῦσαι 7. τόπους τούτους] τόπους ACDFG 8. καὶ τὸ CDG XIX. 98., caeteri τὸ: *nascitur et — balsamum* Poggius λαμπρὰν] μικρὰν ABD, ἁδρὰν XIX. 98.: fortasse fuerat hic οὐ μικράν, sicut οὐκ ὀλίγας est v. 82.
161. 13. τοσοῦτο] τοσοῦτον ABD 14. διαφέρει] διαφέρεται C 16. σχοῖνον AC(D)FG, caeteri σχίνον 17. καὶ καθόλου] καθόλου D 18. ὀσμαῖς] ὀδμαῖς AB διείληπται AC(D)E, caeteri διείλειπται 20. ἅπασαν BD, caeteri πᾶσαν 21. αἱ ταύτης Reiskius, ἐπ' αὐτῆς αἱ ταύτης FG, caeteri ἀπ' αὐτῆς αἱ ταύτης: ἀπ' αὐτῆς praeteriit etiam Poggius 23. χόρτοι] οἱ χόρτοι CE θάμνοι] θάμναι D 26. κριβάνων] κλιβάνων ABCDE 30. ἄπλατος] ἄπλαστος E, ἄπαστος C 31. πεύκη] *populos* (λεύκη) Poggius

*ἄπλατος καὶ τὸ καλούμενον βόρατον. πολλαὶ δὲ καὶ ἄλλαι φύσεις εὐώδεις καρποφοροῦσαι τὰς ἀποῤῥοίας καὶ προσπνεύσεις ἔχουσι τοῖς ἐγγίσασι προσηνεστάτας. καὶ γὰρ αὐτὸ τὸ τῆς γῆς ἔχει τι φυσικὸν ἔνατμον καὶ θυμιάμασιν ἡδέσιν ἐοικός. διὸ καὶ κατά τινας τόπους τῆς Ἀραβίας ὀρυττομένης τῆς γῆς εὑρίσκονται φλέβες εὐώδεις, ὧν μεταλλευομένων ἐξαίσιοι τὸ μέγεθος λατομίαι γίνονται· ἐκ δὲ τούτων τὰς οἰκίας συλλέγοντες κατασκευάζουσιν, αἷς ὅταν ἐκ τοῦ περιέχοντος προσπέσωσι ψεκάδες, τὸ διατηκόμενον ὑπὸ τῆς ἰκμάδος συῤῥεῖ εἰς τὰς ἁρμογὰς τῶν λίθων, καὶ πηγνύμενον συμφυεῖς ἀπεργάζεται τοίχους.*

50 *μεταλλεύεται δὲ κατὰ τὴν Ἀραβίαν καὶ ὁ προσαγορευόμενος ἄπυρος χρυσός, οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἐκ ψηγμάτων καθεψόμενος, ἀλλ' εὐθὺς ὀρυτ-*162 *τόμενος εὑρίσκεται τὸ μέγεθος καρύοις κασταναϊκοῖς παραπλήσιος, τὴν δὲ χρόαν οὕτω φλογώδης ὥστε τοὺς ἐντιμοτάτους λίθους ὑπὸ τῶν τεχνιτῶν ἐνδεθέντας ποιεῖν τὰ κάλλιστα τῶν κοσμημάτων. θρεμμάτων τε παντοδαπῶν τοσοῦτο κατ' αὐτὴν ὑπάρχει πλῆθος ὥστε ἔθνη πολλὰ νομάδα βίον ᾑρημένα δύνασθαι καλῶς διατρέφεσθαι, σίτου μὲν μὴ προσδεόμενα, τῇ δ' ἀπὸ τούτων δαψιλείᾳ χορηγούμενα. θηρίων τε πλῆθος ἀλκίμων ἡ προσορίζουσα τῇ Συρίᾳ τρέφει· καὶ γὰρ λέοντας καὶ παρδάλεις ἐν αὐτῇ πολλῷ πλείονας καὶ μείζους καὶ ταῖς ἀλκαῖς διαφόρους πεφυκέναι ἤπερ ἐν τῇ Λιβύῃ συμβέβηκε· πρὸς δὲ τούτοις οἱ καλούμενοι Βαβυλώνιοι τίγρεις. φέρει δὲ καὶ ζῷα διφυῆ καὶ μεμιγμένα ταῖς ἰδέαις, ὧν αἱ μὲν ὀνομαζόμεναι στρουθοκάμηλοι περιειλήφασι τοῖς τύποις μίγματα πτηνῶν καὶ καμήλων ἀκολούθως τῇ προσηγορίᾳ. τὸ μὲν γὰρ μέγεθος ἔχουσι νεογενεῖ καμήλῳ παραπλήσιον, τὰς δὲ κεφαλὰς πεφυκυίας θριξὶ λεπταῖς,*

33. *βόρατον* AB(D)FGQ Poggius Wesselingii, *baraton* meus, *γύρατον* CEQ, caeteri *ἀγύραιον* 35. *τοῖς ἐγγίσασι* om. A 36. *ἔνατμον*] *καὶ ἀνάπνευμα* gl. C 37. *ἡδέσιν* ABD, *dulces odores* Poggius, caeteri *εὐώδεσιν* 39. *μεταλλευομένων* notavit Stephanus, *λατομουμένων* FM 42. *τὸ διατηκόμενον* Wesselingius, *διατηκόμενον* AD, caeteri *διὰ τὸ τηκόμενον* *ὑπὸ*] *ἀπὸ* omnes *συῤῥεῖ* A(D), caeteri *συῤῥεῖν* 43. *ἁρμογὰς*] *ἁρμὰς* AB, *ἁρμοὺς* GQ 44. *τοίχους*] *ἡ γὰρ ὑγρότης λιπωδεστέρα οὖσα ἐκ τῆς εὐωδίας καὶ παχυτέρα ποιεῖ τοὺς λίθους συναρμόττεσθαι καὶ εἰς ἓν συγκολλᾶσθαι* subiicit E 45. *δὲ*] *δὲ καὶ* (D) ed. Wess.

162. 49. *οὕτω*] *οὕτως* omnes 52. *τοσοῦτο*] *τοσοῦτον* A 53. *ᾑρημένα*] *εἰρημένα* A 57. *πλείονας* — 58. *πεφυκέναι* om. A 63. *χηνῶν*] *πτηνῶν* vel *στρουθῶν* Rhodomannus, *qui ex struthione camelisque constant* Poggius *τὸ μὲν γὰρ* AC(D)E, caeteri *τὸ γὰρ* 64. *νεογενεῖ* (D)G, caeteri *νεογονεῖ*



*τοὺς δὲ ὀφθαλμοὺς μεγάλους καὶ κατὰ τὴν χρόαν μέλανας, ἀπαραλλάκτους κατὰ τὸν τύπον καὶ τὸ χρῶμα τοῖς τῶν καμήλων. μακροτράχηλον δ' ὑπάρχον ῥύγχος ἔχει βραχὺ παντελῶς καὶ εἰς ὀξὺ συνηγμένον. ἐπτέρωται δὲ ταρσοῖς μαλακοῖς καὶ τετριχωμένοις, καὶ δυσὶ σκέλεσι στηριζόμενον καὶ ποσὶ διχήλοις χερσαῖον ἅμα φαίνεται καὶ πτηνόν. διὰ δὲ τὸ βάρος οὐ δυνάμενον ἐξᾶραι καὶ πέτεσθαι κατὰ τῆς γῆς ὠκέως ἀκροβατεῖ, καὶ διωκόμενον ὑπὸ τῶν ἱππέων τοῖς ποσὶ τοὺς ὑποπίπτοντας λίθους οὕτως εὐτόνως ἀποσφενδονᾷ πρὸς τοὺς διώκοντας ὥστε πολλάκις καρτεραῖς πληγαῖς αὐτοὺς περιπίπτειν. ἐπειδὰν δὲ περικατάληπτον ᾖ, τὴν κεφαλὴν εἴς τινα θάμνον ἢ τοιαύτην σκέπην ἀποκρύπτεται, οὐχ ὡς οἴονταί τινες, ἀφροσύνῃ καὶ νωθρότητι ψυχῆς διὰ τὸ μὴ βλέπειν ἑτέρους μηδ' αὐτὸ βλέπεσθαι διαλαμβάνον ὑφ' ἑτέρων, ἀλλὰ διὰ τὸ τοῦ σώματος ἔχειν τοῦτο τὸ μέρος ἀσθενέστατον σκέπην αὐτῷ πρὸς σωτηρίαν περιποιοῦν. ἀγαθὴ γὰρ ἡ φύσις διδάσκαλος ἅπασι τοῖς ζῴοις πρὸς*
163 *διατήρησιν οὐ μόνον ἑαυτῶν ἀλλὰ καὶ τῶν γεννωμένων, διὰ τῆς συγγενοῦς φιλοζωίας τὰς διαδοχὰς εἰς ἀΐδιον ἄγουσα διαμονῆς κύκλον.*

51 *αἱ δὲ καλούμεναι καμηλοπαρδάλεις τὴν μὲν μῖξιν ἀμφοτέρων ἔχουσι τῶν ἐν τῇ προσηγορίᾳ περιειλημμένων ζῴων. τῷ μὲν γὰρ μεγέθει μικρότεραι τῶν καμήλων εἰσὶ καὶ βραχυτραχηλότεραι, τὴν δὲ κεφαλὴν καὶ τὴν τῶν ὀμμάτων διάθεσιν παρδάλει παρεμφερῆ διατετύπωνται. τὸ δὲ κατὰ τὴν ῥάχιν κύρτωμα παρεμφερὲς ἔχουσαι καμήλῳ τῷ χρώματι καὶ τῇ τριχώσει παρδάλεσιν ἐοίκασιν· ὁμοίως δὲ καὶ τὴν οὐρὰν μακρὰν ἔχουσαι τὴν τοῦ θηρίου φύσιν ἀποτυποῦνται. γίνονται δὲ καὶ τραγέλαφοι καὶ βούβαλοι καὶ ἄλλα πλείω γένη δίμορφα ζῴων καὶ τὴν σύνθεσιν ἐκ τῶν πλεῖστον*

70. *μαλακοῖς καὶ*] *καὶ μαλακοῖς* F, *μαλακοῖς* CD, quod malim 71. *διχήλοις*] libri *διχηλοῖς* 74. *ὑποπίπτοντας* ABC(D)EQ, caeteri *πίπτοντας* 75. *ἀποσφενδονᾷ* ABC(D)EFGMQ, caeteri *ἀποσφενδονίζει* 77. *περιπίπτειν* AB(D)FGQ, caeteri *ὑποπίπτειν* *τὴν κεφαλὴν* om. E 78. *ᾖ*] *ᾖ τινα* D *ἀποκρύπτεται*] *ἀποκρύπτονται* B 79. *νωθρότητι*] *νωθρότησι* G 80. *ἑτέρους*] *ἕτερον* C *αὐτὸ*] *αὐτοὶ* BD 81. *διαλαμβάνον*] *διαλαμβάνοντες* BD, *καταλαμβανόμενον* M 83. *περιποιοῦν* Reiskius, *περιποιεῖ* D, caeteri *περιποιεῖν* 84. post *ζῴοις* om. *ἐστὶ* ACD

163. 86. *διαδοχὰς*] *διαμονὰς* ABDFG 87. *διαμονῆς*] *διαδοχῆς* C 88. *καμηλοπαρδάλεις*] *καμηλοπάρδεις* ABD, *camelopardi* Poggius *μὲν* abesse malim 92. *παρεμφερῆ*] *προσεμφερῆ* D, *προσεμφερεῖ* AB, *παρεμφερεῖ* C 93. *τὸ κατὰ τὴν ῥάχιν κύρτωμα*] *ungulae fissura* Poggius 97. *δίμορφα*] *διάμορφα* AB

τῇ φύσει κεχωρισμένων ἔχοντα, περὶ ὧν τὰ κατὰ μέρος μακρὸν ἂν εἴη γράφειν. δοκεῖ γὰρ ἡ συνεγγίζουσα χώρα τῇ μεσημβρίᾳ τὴν ἀφ' ἡλίου δύναμιν ζωτικωτάτην οὖσαν πολλὴν ἐμπνεῖσθαι, καὶ διὰ τοῦτο πολλῶν καὶ ποικίλων ἔτι δὲ καλῶν ζῴων φύσεις γεννᾶν. διὰ δὲ τὰς αὐτὰς αἰτίας κατὰ μὲν τὴν Αἴγυπτον τούς τε κροκοδείλους φύεσθαι καὶ τοὺς ποταμίους ἵππους, κατὰ δὲ τὴν Αἰθιοπίαν καὶ τὴν τῆς Λιβύης ἔρημον ἐλεφάντων τε πλῆθος καὶ παντοδαπῶν ὄφεών τε καὶ τῶν ἄλλων θηρίων καὶ δρακόντων ἐξηλλαγμένων τοῖς τε μεγέθεσι καὶ ταῖς ἀλκαῖς, ὁμοίως δὲ καὶ τοὺς περὶ τὴν Ἰνδικὴν ἐλέφαντας, ὑπερβάλλοντας τοῖς τε ὄγκοις καὶ πλήθεσιν ἔτι δὲ ταῖς ἀλκαῖς.

52 Οὐ μόνον δ' ἐν ταύταις ταῖς χώραις ζῷα γεννᾶται ταῖς ἰδέαις ἐξηλλαγμένα διὰ τὴν ἀφ' ἡλίου συνεργίαν καὶ δύναμιν, ἀλλὰ καὶ λίθων παντοίων ἐκφύσεις διάφοροι ταῖς χρόαις καὶ ταῖς λαμπρότησι διαφανεῖς. τοὺς γὰρ κρυστάλλους λίθους ἔχειν τὴν σύστασιν ἐξ ὕδατος καθαροῦ παγέντος οὐχ ὑπὸ ψύχους ἀλλ' ὑπὸ θείου πυρὸς δυνάμεως, δι' ἣν ἀσήπτους μὲν αὐτοὺς διαμένειν, βαφῆναι δὲ πολυμόρφως ἀναθυμιάσει πνεύματος. σμαράγδους γὰρ καὶ τὰ καλούμενα βηρύλλια κατὰ τὰς ἐν τοῖς χαλκουργείοις μεταλλείας γινόμενα διὰ τὴν ἀπὸ τῶν θείων βαφὴν καὶ σύνδεσιν συγχρῴζεσθαι, τοὺς δὲ χρυσολίθους ὑπὸ καπνώδους ἀναθυμιάσεως ἡλίου θερμό- 164
τητι φυομένους λέγουσι τυγχάνειν τούτου τοῦ χρώματος. διὸ καὶ τοὺς ὀνομαζομένους ψευδοχρύσους κατασκευάζεσθαι διὰ τοῦ θνητοῦ καὶ ὑπ' ἀνθρώπων γεγονότος πυρὸς βαπτομένων τῶν κρυστάλλων. τὰς δὲ τῶν ἀνθράκων φύσεις φωτὸς δύναμιν ἐμπιληθεῖσαν τῇ πήξει φασὶν ἀποτελεῖν τῷ μᾶλλον καὶ ἧττον τὰς ἐν αὐτοῖς διαφοράς. παραπλησίως δὲ καὶ τὰς τῶν ὀρνέων μορφὰς ἐπιχρῴζεσθαι, τὰς μὲν ὁλοπορφύρους φαινομένας, τὰς δὲ κατὰ μέρος παντοίαις χρόαις διειλημμένας. τὰ μὲν γὰρ φλόγινα, τὰ δὲ κροκώδη, τινὰ δὲ σμαραγδίζοντα, πολλὰ

98. τῇ φύσει] τὴν φύσιν ABD  κεχωρισμένων] κεχωρισμένη C, κεχωρισμένην B  100. συνεγγίζουσα] σύνεγγυς οὖσα EQ  ἀφ'] ἀπὸ τοῦ E  7. τῶν ἄλλων om. E  13. παντοίων] παντίων A  ἐκφύσεις] φύσεις reddere videtur Poggius *lapides naturae variae*

164. 23. θερμότητι AB(D)EQV, caeteri θερμότητος  24. ψευδοχρύσους] ψευδοχρυσολίθους Salmasius  25. ὑπ'] ἐπ' G  28. φασὶν (D) Rhodomannus, caeteri φύσιν  29. αὐτοῖς ACD, caeteri αὐτῇ  διαφορὰς — 30. ἐπιχρῴζεσθαι] διαχρῴζεσθαι A, διαχρ. etiam B  30. φαινομένας] φαινομένους D  32. φλόγινα] φλόγια FG



δὲ χρυσοειδῆ φαίνεσθαι κατὰ τὰς πρὸς τὸ φῶς ἐγκλίσεις αὐτῶν, καὶ καθόλου πολυειδεῖς καὶ δυσερμηνεύτους ἀποτελεῖσθαι χρόας. ὅπερ καὶ ἐπὶ τῆς κατ' οὐρανὸν ἴριδος ὁρᾶσθαι γινόμενον ὑπὸ τοῦ περὶ τὸν ἥλιον φωτός. ἐκ δὲ τούτων τοὺς φυσιολόγους συλλογιζομένους ἀποφαίνεσθαι διότι καὶ τὴν ἄνωθεν τῆς τῶν προειρημένων ἐκφύσεως ποικιλίαν ἔβαψεν ἡ συγγενὴς θερμασία, συνεργήσαντος ἡλίου τοῦ ζωοποιοῦντος τὰς ἑκάστων μορφάς. καθόλου δὲ καὶ τῆς περὶ τὰ ἄνθη διαφορᾶς τῆς χρόας καὶ [τὰς] τῆς γῆς ποικιλίας τοῦτον ὑπάρχειν αἴτιον καὶ δημιουργόν· οὗ τὴν φυσικὴν ἐνέργειαν τὰς θνητὰς τέχνας μιμησαμένας βάπτειν ἕκαστα καὶ ποικίλλειν, μαθητρίας γενομένας τῆς φύσεως. τὰ μὲν γὰρ χρώματα τὸ φῶς ἀπεργάζεσθαι, τὰς δὲ ὀσμὰς τῶν καρπῶν καὶ τὰς ἰδιότητας τῶν χυλῶν, ἔτι δὲ τὰ μεγέθη τῶν ζῴων καὶ τὰς ἑκάστου διαθέσεις, πρὸς δὲ τούτοις τὰς τῆς γῆς ἰδιότητας γεννᾶν τὴν περὶ τὸν ἥλιον θερμασίαν, εἰς πολυτραφῆ χώραν καὶ γόνιμον ὕδωρ ἐνθάλπουσαν καὶ δημιουργὸν γινομένην τῆς ἑκάστου φύσεως. διόπερ οὔτε ἡ Παρία λύγδος οὔτ' ἄλλη θαυμαζομένη πέτρα τοῖς Ἀραβίοις λίθοις ἐξισωθῆναι δύναται, ὧν λαμπροτάτη μὲν ἡ λευκότης, βαρύτατος δὲ ὁ σταθμός, ἡ δέ γε λειότης ὑπερβολὴν ἑτέροις οὐκ ἀπολείπουσα. αἰτία δὲ τῆς χώρας τῆς κατὰ μέρος ἰδιότητος, καθάπερ προεῖπον, ἡ
165 περὶ τὸν ἥλιον δύναμις, θερμασίᾳ μὲν πήξασα, ξηρότητι δὲ πιλήσασα, φέγγει δὲ λαμπρύνασα.

53 διὸ καὶ τὸ τῶν ὀρνέων γένος πλείστης θερμασίας κεκοινωνηκὸς ἐγένετο διὰ μὲν τὴν κουφότητα πτηνόν, διὰ δὲ τὴν ἀφ' ἡλίου συνεργίαν ποικίλον, καὶ μάλιστα κατὰ τὰς προκειμένας ἡλίῳ χώρας. ἡ μὲν γὰρ Βαβυλωνία

36. ἴριδος] ἴριος AD  39. ἔβαψεν (D)E, caeteri ἔβλαψεν  42. τὰς τῆς γῆς] τῆς τῆς γῆς Eichstadius, qui duplicem hunc articulum restituit etiam p. 176. 11. 559. 42. 625. 34., invito Rhodomanno ad p. 197. 55.: aut omittere enim alterum boni scriptores solent aut verbis aliter collocandis repetitionem vitare: veluti Eurip. Hecuba v. 996. μηδ' ἔρα τῶν πλησίον dicere maluit quam τῶν τῶν πέλας, Plato Lys. p. 205. D τῆς τοῦ δήμου ἀρχηγέτου θυγατρός, Lachete p. 188. D τῷ ὄντι ζῆν, Thucyd. V. 77. τῷ σιῷ σύματος. Excerpentis autem videtur διὰ τὸ τὸ Exc. Vat. p. 22. 11.: illa enim aetate nemo non sic loquebatur.  47. χυλῶν] χίλων A  52. Παρία] Παραλία M  λύγδος Wesselingius, λίθος AB, λίγδος, οὕτω καλουμένη λίθος gl. C, omisit D Poggius, caeteri λίγδος: „in V scholio Ursinus Πάριος λίθος legit.“ Wessel.  55. δέ γε] δὲ BCDG

165. 62. συνεργίαν] συνεργείαν A  63. ἡλίῳ AB(D), caeteri ἡλίου

ταώνων ἐκτρέφει πλῆθος παντοίαις χρόαις ἐπηνθισμένων, αἱ δὲ τῆς Συρίας ἐσχατιαὶ ψιττακοὺς καὶ πορφυρίωνας καὶ μελεαγρίδας καὶ ἄλλων ζῴων ἰδίας φύσεις τοῖς χρώμασι καὶ ποικίλας συγκρίσεις. ὁ δ' αὐτὸς λόγος καὶ κατὰ τὰς ἄλλας χώρας τῆς γῆς τὰς κατὰ τὴν ὁμοίαν κρᾶσιν κειμένας, λέγω δ' Ἰνδικὴν καὶ τὴν ἐρυθρὰν θάλατταν ἔτι δὲ Αἰθιοπίαν καί τινα μέρη τῆς Λιβύης. ἀλλὰ τῆς μὲν πρὸς ἀνατολὰς κεκλιμένης πιοτέρας οὔσης εὐγενέστερα καὶ μείζονα φύεται ζῷα· τῆς δ' ἄλλης ἀεὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον ἕκαστα ταῖς διαθέσεσι γεννᾶται. ὁμοίως δὲ καὶ τῶν δένδρων οἱ φοίνικες κατὰ μὲν τὴν Λιβύην αὐχμηροὺς καὶ μικροὺς ἐκφέρουσι καρπούς, τῆς δὲ Συρίας κατὰ μὲν τὴν κοίλην οἱ καρυωτοὶ προςαγορευόμενοι γεννῶνται, διάφοροι κατά τε τὴν γλυκύτητα καὶ τὸ μέγεθος ἔτι δὲ τοὺς χυμούς. τούτων δὲ πολλῷ μείζους κατὰ τὴν Ἀραβίαν καὶ τὴν Βαβυλωνίαν ὁρᾶν ἔστι γινομένους, κατὰ μὲν τὸ μέγεθος ἓξ δακτύλων ὄντας, τῇ δὲ χρόᾳ τοὺς μὲν μηλίνους, τοὺς δὲ φοινικοῦς, ἐνίους δὲ πορφυρίζοντας· ὥςθ' ὑπ' αὐτῶν ἅμα καὶ τὴν ὄψιν τέρπεσθαι καὶ τὴν γεῦσιν ψυχαγωγεῖσθαι. τὰ δὲ στελέχη τῶν φοινίκων τὸ μὲν μῆκος ἀέριον ἔχει, τὴν δὲ περιφέρειαν ψιλὴν πανταχόθεν μέχρι τῆς κορυφῆς. ἀκρόκομα δ' ὄντα διαφόρους ἔχει τὰς ἀπὸ τῆς κόμης διαθέσεις. τὰ μὲν γὰρ πάντῃ τοὺς ῥάδικας ἔχει περικεχυμένους, καὶ κατὰ μέσον ἔκ τινος περιῤῥαγέντος φλοιοῦ βοτρυώδη καρπὸν ἀνίησι, τὰ δὲ ἐφ' ἓν μέρος ἔχοντα κεκλιμένας τὰς ἐπὶ τῆς κορυφῆς κόμας σχηματισμὸν ἀποτελεῖ λαμπάδος ἀπαιθυσσομένης, ἔνια δ' ἐπ' 166 ἀμφότερα τὰ μέρη περικλώμενα καὶ διπλῇ τῇ καταθέσει τῶν κλάδων ἀμφίχαιτα γινόμενα γραφικὴν ἀποτελεῖ τὴν πρόςοψιν.

54 Τῆς δ' ὅλης Ἀραβίας τὴν μὲν ἐπὶ μεσημβρίαν νεύουσαν εὐδαίμονα προςαγορεύουσι, τὴν δ' ἐνδοτέρω κειμένην νέμεται πλῆθος Ἀράβων νομάδων καὶ σκηνίτην

66. μελεαγρίδας] μελεαγρίας AB ἄλλων] ἄλλας ABCEQ 68. τῆς γῆς τὰς] τὰς τῆς γῆς D 71. κεκλιμένης AB(D)EQ, caeteri κειμένης 72. πιοτέρας] λιπαροτέρας gl. V 73. ἀεὶ] αἰεὶ D 74. διαθέσεσι] διάθεσι C γεννᾶται] γεννῶνται FG 75. μικροὺς] πικροὺς CEQ 85. ψιλὴν] ὑψηλὴν ABDE, ὑψιλὴν C 87. τοὺς ῥάδικας] καὶ τοὺς κλάδους gl. C 89. βοτρυώδη] βοτουνώδη FG ἐφ' A(D), caeteri ὑφ' 90. ἔχοντα] ἔχον AB 91. ἀποτελεῖ] ἀποτελεῖν BCD ἀπαιθυσσομένης] ἀπαιθυμένης B

166. 93. καταθέσει] an καθέσει? 95. ὅλης] ἄλλης B, om. FM Poggius, asterisco notavit Stephanus 96. προςαγορεύουσι A (D), caeteri προςαγορεύουσιν 97. σκηνίτην] σκηνήτην omnes



βίον ᾑρημένων. οὗτοι δὲ θρεμματοτροφοῦντες ἀγέλας μεγάλας βοσκημάτων ἐναυλίζονται πεδίοις ἀμετρήτοις. ἡ δ' ἀνὰ μέσον ταύτης τε καὶ τῆς εὐδαίμονος Ἀραβίας ἔρημος καὶ ἄνυδρός ἐστι, καθάπερ προείρηται. τὰ δὲ πρὸς δυσμὰς μέρη κεκλιμένα τῆς Ἀραβίας διείληπται πεδίοις ἀμμώδεσιν ἀερίοις τὸ μέγεθος, δι' ὧν οἱ τὰς ὁδοιπορίας ποιούμενοι καθάπερ οἱ ἐν τοῖς πελάγεσι πρὸς τὰς ἀπὸ τῶν ἄρκτων σημασίας τὴν διέξοδον ποιοῦνται. τὸ δ' ὑπολειπόμενον μέρος τῆς Ἀραβίας τὸ πρὸς τὴν Συρίαν κεκλιμένον πληθύει γεωργῶν καὶ παντοδαπῶν ἐμπόρων, οἳ διὰ τὰς τῶν φορτίων εὐκαίρους ἀντιδόσεις τὰ παρ' ἀμφοτέροις σπανίζοντα πρὸς δαψίλειαν τῶν χρησίμων διορθοῦνται. ἡ δὲ παρὰ τὸν Ὠκεανὸν Ἀραβία κεῖται μὲν ὑπεράνω τῆς εὐδαίμονος, ποταμοῖς δὲ πολλοῖς καὶ μεγάλοις διειλημμένη πολλοὺς ποιεῖ τόπους λιμνάζοντας καὶ μεγάλων ἑλῶν περιμέτρους. τοῖς δ' ἐκ τῶν ποταμῶν ἐπακτοῖς ὕδασι καὶ τοῖς ἐκ τῶν θερινῶν ὄμβρων γινομένοις ἀρδεύοντες πολλὴν χώραν καὶ διπλοῦς καρποὺς λαμβάνουσι. τρέφει δὲ ὁ τόπος οὗτος ἐλεφάντων ἀγέλας καὶ ἄλλα ζῷα κητώδη χερσαῖα καὶ δίμορφα, ταῖς ἰδέαις ἐξηλλαγμένα. πρὸς δὲ τούτοις θρεμμάτων παντοδαπῶν πληθύει, καὶ μάλιστα βοῶν καὶ προβάτων τῶν τὰς μεγάλας καὶ παχείας οὐρὰς ἐχόντων. πλεῖστα δὲ καὶ διαφορώτατα γένη καμήλων τρέφει, τῶν τε ψιλῶν καὶ δασέων καὶ διπλοῦν ἀνατετακότων τὸ κατὰ τὴν ῥάχιν κύρτωμα καὶ διὰ τοῦτο διτύλων ὀνομαζομένων, ὧν αἱ μὲν γάλα παρεχόμεναι καὶ κρεοφαγούμεναι πολλὴν παρέχονται τοῖς ἐγχωρίοις δαψίλειαν, αἱ δὲ πρὸς νωτοφορίαν ἠσκημέναι πυρῶν μὲν ἀνὰ δέκα μεδίμνους νωτοφοροῦσιν, ἀνθρώπους δὲ κατακειμένους ἐπὶ κλίνης πέντε βαστάζουσιν· αἱ δὲ ἀνάκωλοι καὶ λαγαραὶ ταῖς συστάσεσι δρομάδες εἰσί, καὶ διατείνουσι πλεῖστον ὁδοῦ μῆκος,
167 καὶ μάλιστα πρὸς τὰς διὰ τῆς ἀνύδρου καὶ ἐρήμου συντελουμένας ὁδοιπορίας. αἱ δ' αὐταὶ καὶ κατὰ τοὺς πολέ-

98. βίον om. A θρεμματοτροφοῦντες] θρεμματοφοροῦντες D ἀγέλας μεγάλας AB(D), caeteri ἀγέλαις μεγάλαις 3. διείληπται — μέγεθος om. A 5. ἀπὸ om. D 7. τὴν Συρ.] Συρ. A 8. ἐμπόρων om. D 16. καὶ διπλοῦς] rectius videtur διπλοῦς 18. θηρία post χερσαῖα omisit E, asterisco notavit Stephanus 21. οὐρὰς ἐχόντων] invertunt ADE 25. γάλα] μεγάλαι AB 28. ἀνθρώπους — 29. βαστάζουσιν om. M 29. αἱ] οἱ FG ἀνάκωλοι] καὶ μὴ πολύσαρκοι (κιμηπολύσακοι V) addunt CEV λαγαραὶ] καὶ συνεσφιγμέναι τὰς λαγόνας addunt CE 31. πρὸς τὰς διὰ τῆς ἀνύδρου] διὰ τῆς πρὸς ἀνύδρου AD

167. 32. συντελουμένας] συντελουμένης AB

μους εἰς τὰς μάχας ἔχουσαι τοξότας ἄγονται δύο ἀντικαθημένους ἀλλήλοις ἀντινώτους· τούτων δὲ ὁ μὲν τοὺς κατὰ πρόςωπον ἀπαντῶντας, ὁ δὲ τοὺς ἐπιδιώκοντας ἀμύνεται. περὶ μὲν οὖν τῆς Ἀραβίας καὶ τῶν ἐν αὐτῇ φυομένων εἰ καὶ πεπλεονάκαμεν, ἀλλ' οὖν πολλὰ τοῖς φιλαναγνωστοῦσι πρὸς φιληκοΐαν ἀπηγγέλκαμεν.

55 Περὶ δὲ τῆς κατὰ τὸν Ὠκεανὸν εὑρεθείσης νήσου κατὰ τὴν μεσημβρίαν καὶ τῶν κατ' αὐτὴν παραδοξολογουμένων πειρασόμεθα συντόμως διελθεῖν, προεκθέμενοι τὰς αἰτίας τῆς εὑρέσεως ἀκριβῶς. Ἰαμβοῦλος ἦν ἐκ παίδων παιδείαν ἐζηλωκώς, μετὰ δὲ τὴν τοῦ πατρὸς τελευτὴν ὄντος ἐμπόρου καὶ αὐτὸς ἔδωκεν ἑαυτὸν ἐπὶ τὴν ἐμπορίαν. ἀναβαίνων δὲ διὰ τῆς Ἀραβίας ἐπὶ τὴν ἀρωματοφόρον ὑπό τινων λῃστῶν συνελήφθη μετὰ τῶν συνοδοιπόρων. τὸ μὲν οὖν πρῶτον μετά τινος τῶν συνεαλωκότων ἀπεδείχθη νομεύς, ὕστερον δ' ὑπό τινων Αἰθιόπων μετὰ τοῦ συνόντος λῃστευθεὶς ἀπήχθη πρὸς τὴν παραθαλάττιον τῆς Αἰθιοπίας. οὗτοι δὲ συνηρπάγησαν εἰς καθαρμὸν τῆς χώρας, ὄντες ἀλλοεθνεῖς· νόμιμον γὰρ ἦν τοῖς τῇδε κατοικοῦσιν Αἰθίοψι παραδεδομένον ἐκ παλαιῶν χρόνων, χρησμοῖς θεῶν κεκυρωμένον, διὰ γενεῶν μὲν εἴκοσιν, ἐτῶν δ' ἑξακοσίων, τῆς γενεᾶς ἀριθμουμένης τριακονταέτους. τοῦ δὲ καθαρμοῦ γινομένου δυσὶν ἀνθρώποις, ἦν αὐτοῖς πλοιάριον κατεσκευασμένον τῷ μεγέθει σύμμετρον, τοὺς δ' ἐν τῇ θαλάττῃ χειμῶνας ἀναφέρειν ἰσχῦον καὶ ῥᾳδίως ὑπὸ δυοῖν ἀνθρώπων ὑπηρετεῖσθαι δυνάμενον· εἰς δὲ τοῦτο τροφὴν δυσὶν ἀνθρώποις ἱκανὴν εἰς ἓξ μῆνας ἐνθέμενοι, καὶ τοὺς ἄνδρας ἐμβιβάσαντες, προςέταττον ἀνάγεσθαι κατὰ τὸν χρησμόν. πλεῖν δὲ διεκελεύοντο πρὸς τὴν μεσημβρίαν· ἥξειν γὰρ αὐτοὺς εἰς νῆσον εὐδαίμονα καὶ ἐπιεικεῖς ἀνθρώπους, παρ' οἷς μακαρίως ζήσεσθαι· ὁμοίως δὲ καὶ τὸ ἑαυτῶν ἔθνος ἔφασαν, ἐὰν μὲν οἱ πεμφθέντες εἰς τὴν νῆσον διασωθῶσιν, ἑξακοσίων ἐτῶν εἰρήνης καὶ βίου κατὰ πᾶν εὐδαίμονος ἀπολαύσειν· εἰ δὲ καταπλαγέντες τὸ μῆκος τοῦ πελάγους εἰς τοὐπίσω ποιήσονται τὸν πλοῦν, ὡς ἀσεβεῖς καὶ λυμεῶνας ὅλου τοῦ ἔθνους

36. περὶ — 37. φυομένων] περὶ τούτων G  37. ἀλλ' οὖν AB C(D)EQ, caeteri ἀλλὰ  42. πειρασόμεθα — προεκθέμενοι] πειράσομαι — προεκθέμενος FG  43. Ἰαμβοῦλος] Ἀμβοῦλος AD 45. ὄντος] ὄντες FG  53. τῇδε] τήνδε AD  56. τριακονταέτους] τριάκοντ' ἔτη ABDFGM, caeteri τριακονταετοῦς  δὲ omisit Poggius, praecedentibus haec iungens  58. δ'] τ' A(D) θαλάττῃ] θαλάσσῃ omnes  61. ἐνθέμενοι] ἐκθέμενοι B. „ab A autem omnia haec usque in (63.) πλεῖν absunt“ Wessel.  66. εἰς τὴν] εἰς AD  69. ποιήσονται D, caeteri ποιήσωνται



τιμωρίαις περιπεσεῖσθαι ταῖς μεγίσταις. τοὺς μὲν οὖν
168 Αἰθίοπας μεγάλην φασὶ πανήγυριν ἀγαγεῖν παρὰ τὴν θάλατταν, καὶ θυσίας μεγαλοπρεπεῖς ἐπιτελέσαντας καταστέψαι τοὺς σκεψομένους καὶ καθαρμὸν ποιησαμένους τοῦ ἔθνους ἐξαποστεῖλαι. τούτους δὲ πλεύσαντας πέλαγος μέγα καὶ χειμασθέντας ἐν μησὶ τέτταρσι προςενεχθῆναι τῇ προσημανθείσῃ νήσῳ, στρογγύλῃ μὲν ὑπαρχούσῃ τῷ σχήματι, τὴν δὲ περίμετρον ἐχούσῃ σταδίων ὡς πεν- 56
ταχισχιλίων. ἤδη δ' αὐτῶν ἐγγιζόντων τῇ νήσῳ τῶν ἐγχωρίων τινὰς ἀπαντήσαντας καταγαγεῖν τὸ σκάφος· τοὺς δὲ κατὰ τὴν νῆσον συνδραμόντας θαυμάζειν μὲν τὸν τῶν ξένων κατάπλουν, προςενεχθῆναι δὲ αὐτοῖς ἐπιεικῶς καὶ μεταδιδόναι τῶν παρ' αὐτοῖς χρησίμων. εἶναι δὲ τοὺς τὴν νῆσον οἰκοῦντας ταῖς τῶν σωμάτων ἰδιότησι καὶ ταῖς ἀγωγαῖς πολὺ διαλλάττοντας τῶν κατὰ τὴν ἡμετέραν οἰκουμένην. πάντας μὲν γὰρ παραπλησίους εἶναι τοῖς ἀναπλάσμασι τῶν σωμάτων, καὶ κατὰ τὸ μέγεθος ὑπεράγειν τοὺς τέτταρας πήχεις, τὰ δὲ ὀστᾶ τοῦ σώματος ἔχειν ἐπὶ ποσὸν καμπτόμενα καὶ πάλιν ἀποκαθιστάμενα παραπλησίως τοῖς νευρώδεσι τόποις. εἶναι δὲ τοῖς σώμασιν ἁπαλοὺς μὲν καθ' ὑπερβολήν, εὐτονωτέρους δὲ πολὺ τῶν παρ' ἡμῖν· δραξαμένων γὰρ αὐτῶν ταῖς χερσὶν ὁδηποτοῦν μηδένα δύνασθαι τὸ τοῖς δακτύλοις περιληφθὲν ἐκτρέψαι. τρίχας δ' ἁπλῶς μηδαμοῦ τοῦ σώματος ἔχειν πλὴν ἐν τῇ κεφαλῇ καὶ ὀφρύσι καὶ βλεφάροις ἔτι δὲ καὶ πώγωνι, τὰ δὲ ἄλλα μέρη τοῦ σώματος οὕτω λεῖα ὥςτε μηδὲ τὸν ἐλάχιστον χνοῦν ἐν τῷ σώματι φαίνεσθαι. εἶναι δὲ καὶ τῷ κάλλει διαπρεπεῖς καὶ ταῖς ἄλλαις τοῦ σώματος περιγραφαῖς εὐρύθμους. καὶ τὰ μὲν τῆς ἀκοῆς τρήματα πολὺ τῶν παρ' ἡμῖν ἔχειν εὐρυχωρέστερα, καὶ καθάπερ ἐπιγλωττίδας αὐτοῖς ἐκπεφυκέναι. ἴδιον δέ τι καὶ περὶ τὴν γλῶτταν αὐτοὺς ἔχειν, τὸ μὲν φυσικῶς αὐτοῖς συγγεγενημένον,

168. 72. μεγάλην φασὶ] φασὶ μεγάλην D  παρὰ] ἐπὶ A 74. καταστέψαι A(D), om. M, caeteri καταστρέψαι  σκεψομένους] πεμπομένους A  ποιησαμένους] malim ποιησομένους: optantes quo solita fiat expiatio prosperum navigantium cursum Poggius  76. τέτταρσι] τέσσαρσι ABD  82. μὲν om. A  τὸν] τὸ G  84. μεταδιδόναι] παραδιδόναι nescio quis Wesselingii 85. τῶν] τε τῶν D  86. ἀγωγαῖς] διαγωγαῖς AB  87. παραπλησίους] παρασίους A  88. ὑπεράγειν] καὶ ὑπερέχειν gl. C 89. τέτταρας] τέσσαρας omnes  91. τόποις] τύπους (sic) G corr. in marg., τόνοις M  96. μηδαμοῦ] μηδαμῇ ABCD  98. οὕτω A, caeteri οὕτως  1. περιγραφαῖς post (100.) ἄλλαις ponit D  μὲν τῆς] τῆς μὲν M  ἀκοῆς] ῥινὸς CEMQ  2. καὶ — 3. ἐκπεφυκέναι om. E, delet C  3. αὐτοῖς] αὐταῖς B

τὸ δ' ἐξ ἐπινοίας φιλοτεχνούμενον. δίπτυχον μὲν γὰρ
αὐτοὺς ἔχειν τὴν γλῶτταν ἐπὶ ποσόν, τὰ δ' ἐνδοτέρω
προςδιαιρεῖν, ὥςτε διπλῆν αὐτὴν γίνεσθαι μέχρι τῆς
ῥίζης. διὸ καὶ ποικιλωτάτους αὐτοὺς εἶναι ταῖς φωναῖς
καὶ οὐ μόνον πᾶσαν ἀνθρωπίνην καὶ διηρθρωμένην διά-
λεκτον μιμουμένους, ἀλλὰ καὶ τὰς τῶν ὀρνέων πολυ-
φωνίας καὶ καθόλου πᾶσαν ἤχου ἰδιότητα προΐεσθαι,
τὸ δὲ πάντων παραδοξότατον, ἅμα πρὸς δύο τῶν ἐν-
τυγχανόντων λαλεῖν ἐντελῶς, ἀποκρινομένους τε καὶ ταῖς
ὑποκειμέναις περιστάσεσιν οἰκείως ὁμιλοῦντας· τῇ μὲν
γὰρ ἑτέρᾳ πτυχὶ πρὸς τὸν ἕνα, τῇ δ' ἄλλῃ πάλιν ὁμοίως 169
πρὸς τὸν ἕτερον διαλέγεσθαι. εὐκρατότατον δ' εἶναι τὸν
ἀέρα παρ' αὐτοῖς, ὡς ἂν κατὰ τὸν ἰσημερινὸν οἰκοῦν-
τας, καὶ μήθ' ὑπὸ καύματος μήθ' ὑπὸ ψύχους ἐνοχλου-
μένους. καὶ τὰς ὀπώρας δὲ παρ' αὐτοῖς παρ' ὅλον τὸν
ἐνιαυτὸν ἀκμάζειν, ὥςπερ καὶ ὁ ποιητής φησιν

ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,
αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ.

εἶναι δὲ διὰ παντὸς παρ' αὐτοῖς τὴν ἡμέραν ἴσην τῇ
νυκτί, καὶ κατὰ τὸ μέσον τῆς ἡμέρας μὴ γίνεσθαι παρ'
αὐτοῖς σκιὰν μηδενὸς διὰ τὸ κατὰ κορυφὴν εἶναι τὸν
57 ἥλιον. βιοῦν δ' αὐτοὺς κατὰ συγγενείας καὶ συστήματα,
συνηγμένων τῶν οἰκείων οὐ πλειόνων ἢ τετρακοσίων.
τούτους δ' ἐν τοῖς λειμῶσι διαζῆν, πολλὰ τῆς χώρας
ἐχούσης πρὸς διατροφήν· διὰ γὰρ τὴν ἀρετὴν τῆς νήσου
καὶ τὴν εὐκρασίαν τοῦ ἀέρος γεννᾶσθαι τροφὰς αὐτο-
μάτους πλείους τῶν ἱκανῶν. φύεσθαι γὰρ παρ' αὐτοῖς
κάλαμον πολύν, φέροντα καρπὸν δαψιλῆ, παρεμφερῆ
τοῖς λευκοῖς ὀρόβοις. τοῦτον οὖν συναγαγόντες βρέχου-
σιν ἐν ὕδατι θερμῷ, μέχρι ἂν τὸ μέγεθος σχῶσιν ὡς
ᾠοῦ περιστερᾶς· ἔπειτα συνθλάσαντες καὶ τρίψαντες ἐμ-
πείρως ταῖς χερσὶ διαπλάττουσιν ἄρτους, οὓς ὀπτήσαν-
τες σιτοῦνται, διαφόρους ὄντας τῇ γλυκύτητι. εἶναι δὲ

φιλοτεχνούμενον ABCDE, caeteri πεφιλοτεχνημένον 7. προς-διαιρεῖν] πρὸς διαίρεσιν omnes, quod eodem modo correxerat Schaeferus: Poggius *divisam enim linguam natura dedit qua scinditur in inferiori parte* 9. ταῖς φωναῖς καὶ Schaeferus: libri καὶ ταῖς φωναῖς: emendatius legisse videtur Poggius, qui *ita varia utuntur loquela, ut non solum voce hominum loquantur*

169. 16. ὁμοίως om. D 17. εὐκρατότατον] εὐκρατότερον ABCDEQ αὐτοῖς] αὐταῖς FG 19. ὀπώρας] ὥρας ABDFG 24. παντὸς] παντὸς μὴ γίνεσθαι F 27. συστήματα] συστήματι B, συγγένειαν A 33. παρεμφερῆ] ἐμφερῆ A 34. ὀρόβοις ABC(D)EQ, caeteri ὀροβίοις συναγαγόντες] malim συνάγοντες 35. μέχρι] μέχρις omnes σχῶσιν ABFG, caeteri ἔχωσιν



καὶ πηγὰς ὑδάτων δαψιλεῖς, τὰς μὲν θερμῶν εἰς λουτρὰ
καὶ κόπων ἀφαίρεσιν εὐθέτους, τὰς δὲ ψυχρῶν τῇ γλυ-
κύτητι διαφόρους καὶ πρὸς ὑγίειαν συνεργεῖν δυναμέ-
νας. ὑπάρχειν δὲ παρ' αὐτοῖς καὶ παιδείας πάσης ἐπι-
μέλειαν, μάλιστα δὲ ἀστρολογίας. γράμμασί τε αὐτοὺς
χρῆσθαι κατὰ μὲν τὴν δύναμιν τῶν σημαινόντων εἴκοσι
καὶ ὀκτὼ τὸν ἀριθμόν, κατὰ δὲ τοὺς χαρακτῆρας ἑπτά,
ὧν ἕκαστον τετραχῶς μετασχηματίζεσθαι. πολυχρονίους
δ' εἶναι τοὺς ἀνθρώπους καθ' ὑπερβολήν, ὡς ἂν ἄχρι
τῶν πεντήκοντα καὶ ἑκατὸν ἐτῶν ζῶντας καὶ γινομέ-
νους ἀνόσους κατὰ τὸ πλεῖστον· τὸν δὲ πηρωθέντα ἢ
καθόλου τι ἐλάττωμα ἔχοντα ἐν τῷ σώματι μεθιστάνειν
ἑαυτὸν ἐκ τοῦ ζῆν ἀναγκάζουσι κατά τινα νόμον ἀπό-
τομον. γράφουσι δὲ τοὺς στίχους οὐκ εἰς τὸ πλάγιον
ἐκτείνοντες, ὥςπερ ἡμεῖς, ἀλλ' ἄνωθεν κάτω καταγρά-
φοντες εἰς ὀρθόν. νόμιμον δ' αὐτοῖς ἐστι ζῆν ἄχρι ἐτῶν
ὡρισμένων, καὶ τὸν χρόνον τοῦτον ἐκπληρώσαντας ἑκου-
σίως μεταλλάττειν ἐξηλλαγμένῳ θανάτῳ· φύεσθαι γὰρ
παρ' αὐτοῖς διφυῆ βοτάνην, ἐφ' ἧς ὅταν τις κοιμηθῇ,
λεληθότως καὶ προςηνῶς εἰς ὕπνον κατενεχθεὶς ἀποθνή-
170 σκει. γυναῖκας δὲ μὴ γαμεῖν, ἀλλὰ κοινὰς ἔχειν, καὶ 58
τοὺς γεννηθέντας παῖδας ὡς κοινοὺς τρέφοντας ἐπ' ἴσης
ἀγαπᾶν· νηπίων δ' ὄντων αὐτῶν πολλάκις τὰς τρεφού-
σας διαλλάττειν τὰ βρέφη, ὅπως μηδὲ αἱ μητέρες ἐπιγι-
νώσκωσι τοὺς ἰδίους. διόπερ μηδεμιᾶς παρ' αὐτοῖς γι-
νομένης φιλοτιμίας ἀστασιάστους καὶ τὴν ὁμόνοιαν
περὶ πλείστου ποιουμένους διατελεῖν. εἶναι δὲ παρ' αὐ-
τοῖς καὶ ζῷα, μικρὰ μὲν τοῖς μεγέθεσι, παράδοξα δὲ τῇ
φύσει τοῦ σώματος καὶ τῇ δυνάμει τοῦ αἵματος. εἶναι
γὰρ αὐτὰ τῷ σχήματι στρογγύλα καὶ παρεμφερέστατα
ταῖς χελώναις, τὴν δ' ἐπιφάνειαν δυσὶ γραμμαῖς μηλί-
ναις κεχιασμένα. ἐφ' ἑκάστης δὲ ἄκρας ἔχειν ὀφθαλμὸν
καὶ στόμα· διὸ καὶ τέτταρσιν ὄμμασι βλέποντα καὶ τοῖς
ἴσοις στόμασι χρώμενα εἰς ἕνα φάρυγγα συνάγειν τὰ
σιτία, καὶ διὰ τούτου καταπινομένης τῆς τροφῆς εἰς

40. εὐθέτους] ἐχόντων ABDFG 44. σημαινόντων] immo σημαινομένων 48. τῶν om. D πεντήκοντα καὶ ἑκατὸν AC(D), caeteri ἑκατὸν πεντήκοντα 49. πηρωθέντα] πειρωθέντα FG 52. γράφουσι] ἀναγκάζουσι G στίχους] στίλους F, καὶ ὀρδίνους gl. C 54. ὀρθόν ABC(D)EQ, caeteri ὄρθιον 55. ἄχρι] ἄχρις D 58. προςηνῶς AB(D)EQ, caeteri ἀπόνως εἰς ABDE, caeteri πρὸς

170. 61. τοὺς om. A κοινοὺς] κοινὰς B 64. ἐπιγινώσκωσι] ἐπιγινώσκουσι D 65. γινομένης] γινωσκομένης CEQ 69. σχήματι ABC(D), caeteri σώματι 71. ἐφ'] ἀφ' A 72. στόμα — 73. στόμασι] *auris* — *auribus* Poggius

μίαν κοιλίαν συῤῥεῖν ἅπαντα· ὁμοίως δὲ τὰ σπλάγχνα καὶ τἄλλα τὰ ἐντὸς πάντα ἔχειν μοναχά. πόδας δὲ ὑποκεῖσθαι κύκλῳ τῆς περιφερείας πολλούς, δι᾽ ὧν δύνασθαι πορεύεσθαι πρὸς ὃ ἂν μέρος βούληται. τὸ δ᾽ αἷμα τούτου τοῦ ζῴου θαυμάσιον ἔχειν δύναμιν· πᾶν γὰρ τὸ διατμηθὲν ἔμπνουν σῶμα κολλᾶν παραχρῆμα, κἂν ἀποκοπεῖσα χεὶρ ἢ ὅμοιον εἰπεῖν τύχῃ, δι᾽ αὐτοῦ κολλᾶσθαι προσφάτου τῆς τομῆς οὔσης, καὶ τἄλλα δὲ μέρη τοῦ σώματος, ὅσα μὴ κυρίοις τόποις καὶ συνέχουσι τὸ ζῆν κατέχεται. ἕκαστον δὲ τῶν συστημάτων τρέφειν ὄρνεον εὐμέγεθες ἰδιάζον τῇ φύσει, καὶ διὰ τούτου πειράζεται τὰ νήπια τῶν βρεφῶν ποίας τινὰς ἔχει τὰς τῆς ψυχῆς διαθέσεις· ἀναλαμβάνουσι γὰρ αὐτὰ ἐπὶ τὰ ζῷα, καὶ τούτων πετομένων τὰ μὲν τὴν διὰ τοῦ ἀέρος φορὰν ὑπομένοντα τρέφουσι, τὰ δὲ περιναύτια γινόμενα καὶ θάμβους πληρούμενα ῥίπτουσιν, ὡς οὔτε πολυχρόνια καθεστῶτα οὔτε τοῖς ἄλλοις τοῖς τῆς ψυχῆς λήμασιν ἀξιόλογα. ἑκάστου δὲ συστήματος ὁ πρεσβύτερος ἀεὶ τὴν ἡγεμονίαν ἔχει, καθάπερ τις βασιλεύς, καὶ τούτῳ πάντες πείθονται. ὅταν δ᾽ ὁ πρῶτος τελέσας τὰ ἑκατὸν καὶ πεντήκοντα ἔτη κατὰ τὸν νόμον ἀπαλλάξῃ ἑαυτὸν τοῦ ζῆν, ὁ μετὰ τοῦτον πρεσβύτατος διαδέχεται τὴν ἡγεμονίαν. ἡ δὲ περὶ τὴν νῆσον θάλαττα, ῥοώδης οὖσα καὶ μεγάλας ἀμπώτεις καὶ πλημμύρας ποιουμένη, γλυκεῖα τὴν γεῦσιν καθέστηκε. τῶν δὲ παρ᾽ ἡμῖν ἄστρων τὰς ἄρκτους καὶ πολλὰ καθόλου μὴ φαίνεσθαι. ἑπτὰ δ᾽ ἦσαν αὗται 171
νῆσοι παραπλήσιαι μὲν τοῖς μεγέθεσι, σύμμετρον δ᾽ ἀλλήλων διεστηκυῖαι, πᾶσαι δὲ τοῖς αὐτοῖς ἔθεσι καὶ νό-
59 μοις χρώμεναι. πάντες δ᾽ οἱ κατοικοῦντες ἐν αὐταῖς, καίπερ δαψιλεῖς ἔχοντες πάντων χορηγίας αὐτοφυεῖς, ὅμως οὐκ ἀνέδην χρῶνται ταῖς ἀπολαύσεσιν, ἀλλὰ τὴν λιτότητα διώκουσι καὶ τὴν ἀρκοῦσαν τροφὴν προσφέρονται. κρέα δὲ καὶ τἄλλα πάντα ὀπτὰ καὶ ἐξ ὕδατος ἑφθὰ σκευάζουσι· τῶν δὲ ἄλλων τῶν τοῖς μαγείροις πε-

78. πρὸς ὃ] καθ᾽ ἣ F, nescio an omisso *μέρος* 79. θαυμάσιον] θαυμασίαν CE ἔχειν] ἔχει BC 81. κἂν] καὶ ABD ἢ om. ACF εἰπεῖν] ἢ ποῦς G 84. ἕκαστον] ἑκάστου A 90. περιναύτια] περιναύσια ABCM 92. τοῖς ἄλλοις] ἄλλοις D λήμασιν Wesselingius, ὄμμασιν FG, correctus uterque in marg., *animi exercitio* Poggius, caeteri λήμμασιν 93. ἀεὶ] αἰεὶ D 95. τελέσας] τελέσῃ G 96. κατὰ A, caeteri καὶ κατὰ 99. τὴν γεῦσιν] τῇ γεύσει EG καθέστηκε] φαίνεσθαι M 100. πολλὰ E, πολλὰ τὸ C, caeteri πολλὰ τῶν καθ᾽ ἡμᾶς, quorum tria postrema asterisco notavit Stephanus

171. 4. αὐταῖς] αὐτοῖς B 6. ἀναίδην] ἀνέδην libri 9. ἄλλων τῶν] ἄλλων G



φιλοτεχνημένων χυμῶν καὶ τῆς κατὰ τὰς ἀρτύσεις ποικιλίας ἀνεπινόητοι παντελῶς εἰσι. σέβονται δὲ θεοὺς τὸ περιέχον πάντα καὶ ἥλιον καὶ καθόλου πάντα τὰ οὐράνια. ἰχθύων δὲ παντοδαπῶν πλῆθος ἁλιεύοντες ποικίλως καὶ τῶν πτηνῶν οὐκ ὀλίγα θηρεύουσι. γίνεται δὲ παρ᾽ αὐτοῖς ἀκροδρύων τε πλῆθος αὐτομάτων, καὶ ἐλαῖαι φύονται καὶ ἄμπελοι, ἐξ ὧν ἔλαιόν τε ποιοῦσι δαψιλὲς καὶ οἶνον. ὄφεις τε τοῖς μεγέθεσι διαφέροντας, οὐδὲν δὲ ἀδικοῦντας τοὺς ἀνθρώπους, ἐδώδιμον ἔχειν τὴν σάρκα καὶ γλυκύτητι διαφέρουσαν. ἐσθῆτας δὲ αὐτοὺς κατασκευάζειν ἔκ τινων καλάμων ἐχόντων ἐν τῷ μέσῳ χνοῦν λαμπρὸν καὶ μαλακόν· ὃν συνάγοντας καὶ τοῖς θαλαττίοις ὀστρέοις συγκεκομμένοις μίσγοντας θαυμαστὰ κατασκευάζειν ἱμάτια πορφυρᾶ. ζῴων τε παρηλλαγμένας φύσεις καὶ διὰ τὸ παράδοξον ἀπιστουμένας. πάντα δὲ παρ᾽ αὐτοῖς ὡρισμένην ἔχει τάξιν τὰ κατὰ τὴν δίαιταν, οὐχ ἅμα πάντων τὰς τροφὰς καὶ τὰς αὐτὰς λαμβανόντων, διατετάχθαι δ᾽ ἐπί τινας ὡρισμένας ἡμέρας ποτὲ μὲν ἰχθύων βρῶσιν, ποτὲ δὲ ὀρνέων, ἔστι δ᾽ ὅτε χερσαίων, ἐνίοτε δὲ ἐλαιῶν καὶ τῶν λιτοτάτων προσοψημάτων. ἐναλλὰξ δὲ αὐτοὺς τοὺς μὲν ἀλλήλοις διακονεῖν, τοὺς δὲ ἁλιεύειν, τοὺς δὲ περὶ τὰς τέχνας εἶναι, ἄλλους δὲ περὶ ἄλλα τῶν χρησίμων ἀσχολεῖσθαι, τοὺς δ᾽ ἐκ περιόδου κυκλικῆς λειτουργεῖν, πλὴν τῶν ἤδη γεγηρακότων. ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς εὐχαῖς λέγεσθαί τε καὶ ᾄδεσθαι παρ᾽ αὐτοῖς εἰς τοὺς θεοὺς ὕμνους καὶ ἐγκώμια, μάλιστα δὲ εἰς τὸν ἥλιον, οὗ τάς τε νήσους καὶ ἑαυτοὺς προσαγορεύουσι. θάπτουσι δὲ τοὺς τελευτήσαντας ὅταν ἄμπωτις γένηται καταχωννύντες εἰς τὴν ἄμμον, ὥστε κατὰ τὴν πλημμυρίδα τὸν τόπον ἐπιχώννυσθαι. τοὺς δὲ καλάμους, ἐξ ὧν ὁ καρπὸς
172 τῆς τροφῆς γίνεται, φασὶ στεφανιαίους ὄντας τὸ πάχος κατὰ τὰς τῆς σελήνης ἀναπληρώσεις ἀναπληροῦσθαι, καὶ πάλιν κατὰ τὰς ἐλαττώσεις ἀνὰ λόγον ταπεινοῦσθαι. τὸ

πεφιλοτεχνημένων] φιλοτεχνουμένων CEG 14. γίνεται B, caeteri γίνονται 17. διαφέροντας — ἀδικοῦντας B(D), caeteri διαφέροντες — ἀδικοῦντες: Poggius de suo haud dubie addit *serpentes — insula producit, quorum carnes* 21. χνοῦν] χοῦν A συνάγοντας] συναγαγόντες ABDF 22. συγκεκομμένοις Reiskius: libri συγκεκολλημένοις μίσγοντας] μίσγοντες ABF 24. τε om. AF 28. ποτε δὲ] ἔστι δ᾽ ὅτε E 29. ἔστι δ᾽ ὅτε] ποτὲ δὲ E 33. τοὺς] τοῖς A 41. τῆς τροφῆς] τῆς τρυφῆς A, εἰς τροφὴν Reiskius στεφανιαίους] στεφαναίους F

172. 43. ἀνὰ λόγον] libri ἀνάλογον

δὲ τῶν θερμῶν πηγῶν ὕδωρ γλυκὺ καὶ ὑγιεινὸν διαφυλάττει τὴν θερμασίαν, καὶ οὐδέποτε ψύχεται, ἐὰν μὴ ψυχρὸν ὕδωρ ἢ οἶνος συμμίσγηται.

60 Ἑπτὰ δ' ἔτη παρ' αὐτοῖς μείναντας τοὺς περὶ τὸν Ἰαμβοῦλον ἐκβληθῆναι ἄκοντας, ὡς κακούργους καὶ πονηροῖς ἐθισμοῖς συντεθραμμένους. πάλιν οὖν τὸ πλοιάριον κατασκευάσαντας συναναγκασθῆναι τὸν χωρισμὸν ποιήσασθαι, καὶ τροφὴν ἐνθεμένους πλεῦσαι πλεῖον ἢ τέτταρας μῆνας. ἐκπεσεῖν δὲ κατὰ τὴν Ἰνδικὴν εἰς ἄμμους καὶ τεναγώδεις τόπους· καὶ τὸν μὲν ἕτερον αὐτῶν ὑπὸ τοῦ κλύδωνος διαφθαρῆναι, τὸν δὲ Ἰαμβοῦλον πρός τινα κώμην προσενεχθέντα ὑπὸ τῶν ἐγχωρίων ἀναχθῆναι πρὸς τὸν βασιλέα εἰς πόλιν Παλίβοθρα, πολλῶν ἡμερῶν ὁδὸν ἀπέχουσαν τῆς θαλάττης. ὄντος δὲ φιλέλληνος τοῦ βασιλέως καὶ παιδείας ἀντεχομένου, μεγάλης αὐτὸν ἀποδοχῆς καταξιῶσαι. τὸ δὲ τελευταῖον μετά τινος ἀσφαλείας τὸ μὲν πρῶτον εἰς τὴν Περσίδα διελθεῖν, ὕστερον δὲ εἰς τὴν Ἑλλάδα διασωθῆναι. ὁ δὲ Ἰαμβοῦλος [οὗτος] ταῦτά τε ἀναγραφῆς ἠξίωσε καὶ περὶ τῶν κατὰ τὴν Ἰνδικὴν οὐκ ὀλίγα συνετάξατο τῶν ἀγνοουμένων παρὰ τοῖς ἄλλοις. ἡμεῖς δὲ τὴν ἐν ἀρχῇ τῆς βίβλου γεγενημένην ἐπαγγελίαν τετελεκότες αὐτοῦ περιγράφομεν τήνδε τὴν βίβλον.

44. θερμῶν omittunt A Poggius ὑγιεινὸν] immo ὑγιεινὸν ὂν 45. διαφυλάττει] notavit Stephanus, διαφυλάττον C 46. ἢ C(D), caeteri ἡ 47. μείναντας post ἔτη ponit D 48. ἄκοντας] ἅπαντας AB 50. ποιήσασθαι] ποιήσαντας ABD 51. τροφὴν] τροφὴν μὲν AB τέτταρας] πέντε B 52. δὲ om. A 53. τεναγώδεις] λιμνώδεις B 56. Παλίβοθρα] Παλιβόθραν ex BFGQ affert Wessel., sed Q quidem Πολιβόθραν habet: nec facile relicturus erat Wesselingius vitiosam scripturam, si verae tam clara vestigia in libris suis reperisset. habet tamen Poggius *in urbem alibrotam*, et in margine *Alibrota urbs*: caeteri Πολίβοθρα 62. οὗτος omisit E, asterisco notavit Stephanus, neglexit etiam Poggius 65. τετελεκότες] τετελευτηκότες FGQ 66. περιγράφομεν AB(D), caeteri παραγράφομεν

---

173

# ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗΙ ΤΡΙΤΗΙ ΤΩΝ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΩΝ.

α'. Περὶ Αἰθιόπων τῶν ὑπὲρ τῆς Λιβύης καὶ τῶν παρ' αὐτοῖς ἀρχαιολογουμένων.
β'. Περὶ τῶν χρυσείων μετάλλων τῶν ἐν ταῖς ἐσχατιαῖς τῆς Αἰγύπτου καὶ τῆς κατασκευῆς τοῦ χρυσοῦ.
γ'. Περὶ τῶν κατοικούντων ἐθνῶν τὴν παράλιον τὴν παρὰ τὸν Ἀραβικὸν κόλπον καὶ καθόλου πᾶσαν τὴν παρὰ τὸν Ὠκεανὸν μέχρι τῆς Ἰνδικῆς. ἐν δὲ τούτοις δηλοῦται τὰ κατὰ μέρος ἔθνη τίσι νομίμοις χρῆται καὶ παρὰ τίνας αἰτίας πολλὰ παρ' αὐτοῖς ἱστορεῖται παντελῶς ἐξηλλαγμένα καὶ διὰ τὸ παράδοξον ἀπιστούμενα.
δ'. Περὶ τῶν κατὰ τὴν Λιβύην ἀρχαιολογουμένων καὶ περὶ Γοργόνων καὶ Ἀμαζονίδων καὶ Ἄμμωνος καὶ Ἄτλαντος ἱστορουμένων.
ε'. Περὶ τῶν κατὰ τὴν Νῦσαν μυθολογουμένων, ἐν οἷς ἐστι καὶ περὶ Τιτάνων καὶ Διονύσου καὶ μητρὸς θεῶν.

173. inscr. τάδε ed. Wessel.: τάδ' Stephaniana τάδε — βίβλων] πίναξ τῆς τρίτης τῶν Δ. βίβλου A 3. ἐν ταῖς ἐσχατιαῖς nescio qui Wesselingii: caeteri ἐν ἐσχατιαῖς 5. χρυσοῦ CE, caeteri χρυσίου 10. πολλὰ — 12. ἀπιστούμενα] πολλὰ παράδοξα ἀπιστούμενα A 14. Ἄτλαντος] *Atlantibus* Poggius 16. Νῦσαν] Νύσσαν D, caeteri Νύσαν

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 174

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΤΡΙΤΗ.

1 Τῶν πρὸ ταύτης βίβλων δυοῖν οὐσῶν ἡ μὲν πρώτη περιέχει τὰς κατὰ τὴν Αἴγυπτον πράξεις τῶν ἀρχαίων βασιλέων, καὶ τὰ μυθολογούμενα περὶ τῶν παρ' Αἰγυπτίοις θεῶν, πρὸς δὲ τούτοις περὶ τοῦ Νείλου καὶ τῶν ἐν αὐτῇ φυομένων καρπῶν τε καὶ παντοδαπῶν ζῴων, περί τε τῆς τοποθεσίας τῆς οὔσης Αἰγύπτου καὶ τῶν νομίμων τῶν παρὰ τοῖς ἐγχωρίοις καὶ τῶν δικαστηρίων, ἡ δὲ δευτέρα τὰς κατὰ τὴν Ἀσίαν καὶ τὰς ἐν τοῖς ἀρχαίοις χρόνοις συντελεσθείσας πράξεις ὑπὸ τῶν Ἀσσυρίων, ἐν αἷς ἐστιν ἥ τε Σεμιράμιδος γένεσις καὶ αὔξησις, καθ' ἣν ἔκτισε μὲν Βαβυλῶνα καὶ πολλὰς ἄλλας πόλεις, ἐστράτευσε δὲ ἐπὶ τὴν Ἰνδικὴν μεγάλαις δυνάμεσιν· ἑξῆς δὲ περὶ τῶν Χαλδαίων καὶ τῆς παρ' αὐτοῖς τῶν ἄστρων παρατηρήσεως, καὶ περὶ τῆς Ἀραβίας καὶ τῶν ἐν αὐτῇ παραδόξων, περί τε τῆς Σκυθῶν βασιλείας, καὶ περὶ Ἀμαζόνων, καὶ τὸ τελευταῖον περὶ τῶν Ὑπερβορέων. ἐν δὲ ταύτῃ τὰ συνεχῆ τοῖς προϊστορημένοις προστιθέντες διέξιμεν περὶ Αἰθιόπων καὶ τῶν Λιβύων καὶ τῶν ὀνομαζομένων Ἀτλαντίδων.

2 Αἰθίοπας τοίνυν ἱστοροῦσι πρώτους ἀνθρώπων ἁπάντων γεγονέναι· καὶ τὰς ἀποδείξεις τούτων ἐμφανεῖς εἶναί φασιν. ὅτι μὲν γὰρ οὐκ ἐπήλυδες ἐλθόντες ἀλλ' ἐγγενεῖς ὄντες τῆς χώρας δικαίως αὐτόχθονες ὀνομάζονται σχε-

174. inscr. omittunt CE τοῦ Σικ.] Σικ. F βίβλος τρίτη] τὸ τρίτον F 1. βίβλων] τῆς βίβλου ABD δυοῖν E, caeteri δυεῖν 7. αὐτῇ] αὐτῷ B, ἑαυτῷ G 8. οὔσης delet Reiskius 10. καὶ τὰς] haec suspecta habeo 13. ἔκτισε μὲν] ἔκτισε F 19. συνεχῆ] συνεχῶς AB προϊστορημένοις BCG, προϊστορισμένοις D, caeteri προειρημένοις 21. Ἀτλαντίδων] v. ad p. 222. 5.



δὸν παρὰ πᾶσι συμφωνεῖσθαι· ὅτι δὲ τοὺς ὑπὸ τὴν μεσημβρίαν οἰκοῦντας πιθανόν ἐστι πρώτους ὑπὸ τῆς γῆς ἐζωογονῆσθαι προφανὲς ὑπάρχειν ἅπασι. τῆς γὰρ περὶ τὸν ἥλιον θερμασίας ἀναξηραινούσης τὴν γῆν ὑγρὰν οὖσαν, ἔτι δὲ κατὰ τὴν τῶν ὅλων γένεσιν καὶ ζωογονούσης, εἰκὸς εἶναι τὸν ἐγγυτάτω τόπον ὄντα τοῦ ἡλίου πρῶτον ἐνεγκεῖν φύσεις ἐμψύχους. φασὶ δὲ παρ' αὐτοῖς πρώτοις καταδειχθῆναι θεοὺς τιμᾶν καὶ θυσίας ἐπιτελεῖν καὶ πομπὰς καὶ πανηγύρεις καὶ τἆλλα δι' ὧν 175 ἄνθρωποι τὸ θεῖον τιμῶσι. διὸ καὶ τὴν παρ' αὐτοῖς εὐσέβειαν διαβεβοῆσθαι παρὰ πᾶσιν ἀνθρώποις, καὶ δοκεῖν τὰς παρ' Αἰθίοψι θυσίας μάλιστ' εἶναι τῷ δαιμονίῳ κεχαρισμένας. μάρτυρα δὲ τούτων παρέχονται τὸν πρεσβύτατον σχεδὸν καὶ μάλιστα τῶν ποιητῶν θαυμαζόμενον παρ' Ἕλλησι. τοῦτον γὰρ κατὰ τὴν Ἰλιάδα παρειςάγειν τόν τε Δία καὶ τοὺς ἄλλους μετ' αὐτοῦ θεοὺς ἀποδημοῦντας εἰς Αἰθιοπίαν πρός τε τὰς θυσίας τὰς ἀπονεμομένας αὐτοῖς κατ' ἔτος καὶ εὐωχίαν κοινὴν παρὰ τοῖς Αἰθίοψι,

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο.

λέγουσι δὲ καὶ τῆς εἰς τὸ θεῖον εὐσεβείας φανερῶς αὐτοὺς κομίζεσθαι τὰς χάριτας, μηδέποτε δεσποτείας ἐπήλυδος πεῖραν λαβόντας. ἐξ αἰῶνος γὰρ ἐν ἐλευθερίᾳ μεμενηκέναι καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ, πολλῶν μὲν καὶ δυνατῶν ἐστρατευκότων ἐπ' αὐτούς, μηδενὸς δὲ τῆς ἐπιβολῆς καθικομένου.

3 Καμβύσην μὲν γὰρ μεγάλῃ δυνάμει στρατεύσαντα τήν τε στρατιὰν ἀποβαλεῖν ἅπασαν καὶ αὐτὸν τοῖς ὅλοις κινδυνεῦσαι· Σεμίραμιν δέ, τῷ τε μεγέθει τῶν ἐπιβολῶν καὶ πράξεων διωνομασμένην, ἐπὶ βραχὺ τῆς Αἰθιοπίας προελθοῦσαν ἀπογνῶναι τὴν ἐπὶ τὸ σύμπαν ἔθνος στρατείαν· τούς τε περὶ Ἡρακλέα καὶ Διόνυσον ἐπιόντας ἅπασαν τὴν οἰκουμένην μόνους τοὺς Αἰθίοπας τοὺς ὑπὲρ Αἰγύπτου μὴ καταπολεμῆσαι διά τε τὴν εὐσέβειαν τῶν ἀνδρῶν καὶ τὸ δυςκράτητον τῆς

26. συμφωνεῖσθαι Wesselingius: libri συμφωνεῖται 28. ὑπάρχειν ABD, caeteri ὑπάρχει 29. ὑγρὰν] ξηρὰν F corr. in marg. 31. εἰκὸς] ἐγγὺς AB 34. δι' ὧν] δι' οἷς (nonne οἷς?) M

175. 43. κατ' ἔτος] κατ' ἔθος (de more) Poggius εὐωχίαν] εὐωδίαν ABFG Poggius 44. παρὰ τοῖς CEMQV, caeteri παρ' αὐτοῖς τοῖς 48. ἐπήλυδος — 49. ἐλευθερίᾳ omisit A 52. ἐπιβολῆς] ἐπιβουλῆς AF 54. στρατιὰν] στρατείαν ACF, στρατίαν D 55. κινδυνεῦσαι] συγκινδυνεῦσαι CEQV τῷ τε] τῷ AD 56. ἐπιβολῶν] ἐπιβουλῶν A 60. ὑπὲρ ABC(D)EFG, caeteri ἐπ' καταπολεμῆσαι] κατατολμῆσαι FM

ἐπιβολῆς. φασὶ δὲ καὶ τοὺς Αἰγυπτίους ἑαυτῶν ἀποίκους ὑπάρχειν, Ὀσίριδος ἡγησαμένου τῆς ἀποικίας. καθόλου γὰρ τὴν νῦν οὖσαν Αἴγυπτον λέγουσιν οὐ χώραν ἀλλὰ θάλατταν γεγονέναι κατὰ τὴν ἐξ ἀρχῆς τοῦ κόσμου σύστασιν· ὕστερον μέντοι τοῦ Νείλου κατὰ τὰς ἀναβάσεις τὴν ἐκ τῆς Αἰθιοπίας ἰλὺν καταφέροντος ἐκ τοῦ κατ' ὀλίγον προσχωσθῆναι. ὅτι δ' ἐστὶν αὐτῶν ἡ χώρα πᾶσα ποταμόχωστος ἐναργεστάτην ἔχειν ἀπόδειξιν τὴν γινομένην κατὰ τὰς ἐκβολὰς τοῦ Νείλου. καθ' ἕκαστον γὰρ ἔτος ἀεὶ νέας ἰλύος ἀθροιζομένης πρὸς τὰ στόματα τοῦ ποταμοῦ, καθορᾶται τὸ μὲν πέλαγος ἐξωθούμενον τοῖς προσχώμασιν, ἡ δὲ χώρα τὴν αὔξησιν λαμβάνουσα. τὰ δὲ πλεῖστα τῶν νομίμων τοῖς Αἰγυπτίοις ὑπάρχειν Αἰθιοπικά, τηρουμένης τῆς παλαιᾶς συνηθείας παρὰ τοῖς ἀποικισθεῖσι. τό τε γὰρ τοὺς βασιλεῖς θεοὺς νομίζειν καὶ τὸ περὶ τὰς ταφὰς μάλιστα σπουδάζειν καὶ πολλὰ τοιαῦθ' ἕτερα πράττειν Αἰθιόπων ὑπάρχειν ἐπιτηδεύματα· τάς τε τῶν ἀγαλμάτων ἰδέας καὶ τοὺς τῶν γραμμάτων τύπους Αἰθιοπικοὺς ὑπάρχειν. διττῶν γὰρ 176
Αἰγυπτίοις ὄντων γραμμάτων, τὰ μὲν δημώδη προσαγορευόμενα πάντας μανθάνειν, τὰ δ' ἱερὰ καλούμενα παρὰ μὲν τοῖς Αἰγυπτίοις μόνους γινώσκειν τοὺς ἱερεῖς παρὰ τῶν πατέρων ἐν ἀποῤῥήτοις μανθάνοντας, παρὰ δὲ τοῖς Αἰθίοψιν ἅπαντας τούτοις χρῆσθαι τοῖς τύποις. τά τε συστήματα τῶν ἱερέων παραπλησίαν ἔχειν τάξιν παρ' ἀμφοτέροις τοῖς ἔθνεσι. καθαρεύειν γὰρ ἅπαντας τοὺς περὶ τὴν τῶν θεῶν θεραπείαν ὄντας, ὁμοίως ἐξυρημένους καὶ τὰς στολὰς τὰς αὐτὰς ἔχοντας καὶ τὸν τοῦ σκήπτρου τύπον ἀροτροειδῆ καθεστῶτα, ὃν ἔχοντας τοὺς βασιλεῖς χρῆσθαι πίλοις μακροῖς ἐπὶ τοῦ πέρατος ὀμφαλὸν ἔχουσι καὶ περιεσπειραμένοις ὄφεσιν, οὓς καλοῦσιν ἀσπίδας. τοῦτο δὲ τὸ παράσημον ἔοικε συνεμφαίνειν ὅτι τοὺς ἐπιθέσθαι τολμήσοντας τῷ βασιλεῖ συμβήσεται θανατηφόροις περιπεσεῖν δήγμασι. πολλὰ δὲ καὶ ἄλλα λέ-

62. ἑαυτῶν ἀποίκους ACDE, caeteri ἀποίκους ἑαυτῶν: *corum colonos* Poggius 64. λέγουσιν] φασιν M 70. γινομένην G, caeteri γενομένην 71. ἰλύος] *materia* (ὕλης) Poggius 73. προσχώμασιν] προχώμασι C

176. 81. διττῶν Strothius: libri ἰδίων Αἰγυπτίοις] Αἰγυπτίων FG 82. πάντας — 83. Αἰγυπτίοις omisit A 89. ὁμοίως] ὁμοίας AB τὰς αὐτὰς] τοιαύτας A 91. βασιλεῖς] βασιλέας A 92. περιεσπειραμένοις] περιπειραμένοις B 94. τὸ omisit A 95. τολμήσοντας] τολμήσαντας AB θανατηφόροις] θανατοφόρους A



γουσι περὶ τῆς αὐτῶν ἀρχαιότητος καὶ τῆς τῶν Αἰγυπτίων ἀποικίας, περὶ ὧν οὐδὲν κατεπείγει γράφειν.

4 Περὶ δὲ τῶν Αἰθιοπικῶν γραμμάτων τῶν παρ' Αἰγυπτίοις καλουμένων ἱερογλυφικῶν ῥητέον, ἵνα μηδὲν παραλείπωμεν τῶν ἀρχαιολογουμένων. συμβέβηκε τοίνυν τοὺς μὲν τύπους ὑπάρχειν αὐτῶν ὁμοίους ζῴοις παντοδαποῖς καὶ ἀκρωτηρίοις ἀνθρώπων, ἔτι δ' ὀργάνοις, καὶ μάλιστα τεκτονικοῖς. οὐ γὰρ ἐκ τῆς τῶν συλλαβῶν συνθέσεως ἡ γραμματικὴ παρ' αὐτοῖς τὸν ὑποκείμενον λόγον ἀποδίδωσιν ἀλλ' ἐξ ἐμφάσεως τῶν μεταγραφομένων καὶ μεταφορᾶς μνήμῃ συνηθλημένης. γράφουσι γὰρ ἱέρακα καὶ κροκόδειλον ἔτι δ' ὄφιν καὶ τὸν ἐκ τοῦ σώματος τῶν ἀνθρώπων ὀφθαλμὸν καὶ χεῖρα καὶ πρόσωπον καὶ ἕτερα τοιαῦτα. ὁ μὲν οὖν ἱέραξ αὐτοῖς σημαίνει πάντα τὰ ὀξέως γινόμενα, διὰ τὸ ζῷον τοῦτο τῶν πτηνῶν σχεδὸν ὑπάρχειν ὀξύτατον· μεταφέρεταί τε ὁ λόγος ταῖς οἰκείαις μεταφοραῖς εἰς πάντα τὰ ὀξέα καὶ τὰ τούτοις οἰκεῖα παραπλησίως τοῖς εἰρημένοις. ὁ δὲ κροκόδειλος σημαντικός ἐστι πάσης κακίας, ὁ δὲ ὀφθαλμὸς δίκης τηρητὴς καὶ παντὸς τοῦ σώματος φύλαξ. τῶν δ' ἀκρωτηρίων ἡ μὲν δεξιὰ τοὺς δακτύλους ἐκτεταμένους ἔχουσα σημαίνει βίου πορισμόν, ἡ δ' εὐώνυμος συνηγμένη τήρησιν καὶ φυλακὴν χρημάτων. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων τύπων τῶν ἐκ τοῦ σώματος καὶ τῶν ὀργανικῶν καὶ τῶν ἄλλων ἁπάντων. ταῖς γὰρ ἐν ἑκάστοις ἐνούσαις ἐμφάσεσι συνακολουθοῦντες, καὶ
177 μελέτῃ πολυχρονίῳ καὶ μνήμῃ γυμνάζοντες τὰς ψυχάς, ἐκτικῶς ἕκαστα τῶν γεγραμμένων ἀναγινώσκουσι.

5 Τῶν δὲ παρ' Αἰθίοψι νομίμων οὐκ ὀλίγα δοκεῖ πολὺ τῶν παρὰ τοῖς ἄλλοις διαφέρειν, καὶ μάλιστα τὰ περὶ τὴν αἵρεσιν τῶν βασιλέων. οἱ μὲν γὰρ ἱερεῖς ἐξ αὐτῶν τοὺς ἀρίστους προκρίνουσιν, ἐκ δὲ τῶν καταλεχθέν-

97. αὐτῶν] αὑτῶν omnes 98. κατεπείγει] κατεπείγειν D 100. ἱερογλυφικῶν omittunt AD 1. παραλείπωμεν] παραλίπωμεν D 7. συνηθλημένης] τουτέστιν ἀπὸ τροπῆς καὶ τύπων ζώων τινῶν ἀπομνημονευομένων τοῖς πᾶσι καθεκάστην διὰ κοινότητα E 10. πάντα τὰ M, caeteri πάντα 11. τὸ] τὸ τὸ D ζῷον] ζώων C 12. σχεδὸν omisit E, asterisco notavit Stephanus 14. τούτοις] τούτων FM 19. καὶ φυλακὴν] κρύφην AB 20. τύπων] ἀπάντων A

177. 24. ἀναγινώσκουσι] τουτέστιν, ὅπερ θέλουσι σημαίνειν καὶ παραδηλῶσαι διὰ τῆς συνηθείας ἧς ἔχουσι (adde πρὸς) τὴν τῶν ζώων ἰδιότητα, εἴτε φαύλη εἴτε ἀγαθή ἐστιν αὐτή, ταῦτα ἐναργῶς διὰ γραφῆς ἤτοι εἰκόνος τῶν ζώων παριστῶσι E 26. δοκεῖ] δοκεῖν B 27. μάλιστα τὰ Eichstadius et Schaeferus: libri μάλιστα

των, ὃν ἂν ὁ θεὸς κωμάζων κατά τινα συνήθειαν περιφερόμενος λάβῃ, τοῦτον τὸ πλῆθος αἱρεῖται βασιλέα· εὐθὺς δὲ καὶ προςκυνεῖ καὶ τιμᾷ καθάπερ θεόν, ὡς ὑπὸ τῆς τοῦ δαιμονίου προνοίας ἐγκεχειρισμένης αὐτῷ τῆς ἀρχῆς. ὁ δ' αἱρεθεὶς διαίτῃ τε χρῆται τῇ τεταγμένῃ κατὰ τοὺς νόμους καὶ τἄλλα πράττει κατὰ τὸ πάτριον ἔθος, οὔτ' εὐεργεσίαν οὔτε τιμωρίαν ἀπονέμων οὐδενὶ παρὰ τὸ δεδογμένον ἐξ ἀρχῆς παρ' αὐτοῖς νόμιμον. ἔθος δ' αὐτοῖς ἐστι μηδένα τῶν ὑποτεταγμένων θανάτῳ περιβάλλειν, μηδ' ἂν καταδικασθεὶς ἐπὶ θανάτῳ τὶς φανῇ τιμωρίας ἄξιος, ἀλλὰ πέμπειν τῶν ὑπηρετῶν τινα σημεῖον ἔχοντα θανάτου πρὸς τὸν παρανενομηκότα· οὗτος δ' ἰδὼν τὸ σύσσημον, καὶ παραχρῆμα εἰς τὴν ἰδίαν οἰκίαν ἀπελθών, ἑαυτὸν ἐκ τοῦ ζῆν μεθίστησι. φεύγειν δὲ τῆς ἰδίας χώρας εἰς τὴν ὅμορον καὶ τῇ μεταστάσει τῆς πατρίδος λύειν τὴν τιμωρίαν, καθάπερ παρὰ τοῖς Ἕλλησιν, οὐδαμῶς συγκεχώρηται. διὸ καί φασί τινα, τοῦ θανατηφόρου σημείου πρὸς αὐτὸν ἀποσταλέντος ὑπὸ τοῦ βασιλέως, ἐπιβαλέσθαι μὲν ἐκ τῆς Αἰθιοπίας φεύγειν, αἰσθομένης δὲ τῆς μητρὸς καὶ τῇ ζώνῃ τὸν τράχηλον αὐτοῦ σφιγγούσης, ταύτῃ μηδὲ καθ' ἕνα τρόπον τολμῆσαι προςενεγκεῖν τὰς χεῖρας, αὐτὸν δ' ἀγχόμενον καρτερῆσαι μέχρι τῆς τελευτῆς, ἵνα μὴ τοῖς συγγενέσιν
6 ὀνείδη καταλίπῃ μείζω. πάντων δ' ἐστὶ παραδοξότατον τὸ γινόμενον περὶ τὴν τελευτὴν τῶν βασιλέων. κατὰ γὰρ τὴν Μερόην οἱ περὶ τὰς τῶν θεῶν θεραπείας τε καὶ τιμὰς διατρίβοντες ἱερεῖς, μεγίστην καὶ κυριωτάτην τάξιν ἔχοντες, ἐπειδὰν ἐπὶ νοῦν αὐτοῖς ἔλθῃ, πέμπουσιν ἄγγελον πρὸς τὸν βασιλέα, κελεύοντες ἀποθνήσκειν. τοὺς γὰρ θεοὺς αὐτοῖς ταῦτα κεχρηματικέναι, καὶ δεῖν τὸ πρόςταγμα τῶν ἀθανάτων ὑπὸ θνητῆς φύσεως μηδαμῶς παροραθῆναι. καὶ ἑτέρους δ' ἐπιφθέγγονται λόγους, οἵους ἂν ἁπλῇ διανοίᾳ προςδέξαιτο φύσις, ἀρχαίᾳ μὲν καὶ

30. κωμάζων] καὶ συμποσιάζων addit C, κωμαζόντων vertit Poggius   32. εὐθὺς AB, caeteri εὐθὺ   35. πράττει] πράττειν D   39. περιβάλλειν] ὑποβάλλειν M   40. πέμπειν] πέμπει BCD   43. οἰκίαν] οἰκείαν G   47. θανατηφόρου σημείου] σημειοφόρου EQV   48. ἐπιβαλέσθαι] ἐπιβάλλεσθαι D   50. ταύτῃ] ταύτῃ δὲ D   53. καταλίπῃ ACD, caeteri καταλείπῃ   μείζω. πάντων δ'] μείζω δὲ πάντων AD, μεῖζον δὲ πάντων B: ad μείζω E notat μείζω τοῦ πλημμελήματος, δι' οὗ ἔμελλεν εἰς ἐξορίαν συνελαθῆναι. ὅσοι γὰρ ἐξορίζοντο τῆς διὰ τοῦ θανάτου τιμωρίας ἐλύοντο, ἐκακουχοῦντο δὲ τῇ ἐξορίᾳ.   55. τελευτὴν] ταφὴν G correctus in margine   56. διατρίβοντες] ἀσχολούμενοι M   58. αὐτοῖς] αὐτοὺς G   59. αὐτοῖς] αὐτῶν FQ   62. ἂν ἁπλῇ] ἁπλῇ omnes



δυςεξαλείπτῳ συνηθείᾳ συντεθραμμένῃ, λόγον δ' οὐκ ἔχουσα τὸν ἐναντιωθησόμενον τοῖς οὐκ ἀναγκαίως προςταττομένοις. κατὰ μὲν οὖν τοὺς ἐπάνω χρόνους ὑπήκουον
178 οἱ βασιλεῖς τοῖς ἱερεῦσιν, οὐχ ὅπλοις οὐδὲ βίᾳ κρατηθέντες, ἀλλ' ὑπ' αὐτῆς τῆς δεισιδαιμονίας τοὺς λογισμοὺς κατισχυόμενοι· κατὰ δὲ τὸν δεύτερον Πτολεμαῖον ὁ βασιλεὺς τῶν Αἰθιόπων Ἐργαμένης, μετεσχηκὼς Ἑλληνικῆς ἀγωγῆς καὶ φιλοσοφήσας, πρῶτος ἐθάῤῥησε καταφρονῆσαι τοῦ προστάγματος. λαβὼν γὰρ φρόνημα τῆς βασιλείας ἄξιον παρῆλθε μετὰ τῶν στρατιωτῶν εἰς τὸ ἄβατον οὗ συνέβαινεν εἶναι τὸν χρυσοῦν ναὸν τῶν Αἰθιόπων, καὶ τοὺς μὲν ἱερεῖς ἅπαντας ἀπέσφαξε, τὸ δὲ ἔθος τοῦτο καταλύσας διωρθώσατο πρὸς τὴν ἑαυτοῦ προαίρεσιν.
7 τὸ δὲ περὶ τοὺς φίλους τοῦ βασιλέως νόμιμον, καίπερ ὂν παράδοξον, διαμένειν ἔφασαν ἕως τῶν καθ' ἡμᾶς χρόνων. ἔθος γὰρ ὑπάρχειν λέγουσι τοῖς Αἰθίοψιν, ἐπὰν ὁ βασιλεὺς μέρος τι τοῦ σώματος πηρωθῇ δι' ἡνδηποτοῦν αἰτίαν, ἅπαντας τοὺς συνήθεις συναποβάλλειν τοῦτο κατὰ προαίρεσιν. αἰσχρὸν γὰρ ὑπολαμβάνειν τοῦ βασιλέως πεπηρωμένου τὸ σκέλος ἀρτίποδας εἶναι τοὺς φίλους, καὶ μὴ πάντας ἐν ταῖς ἐξόδοις συνέπεσθαι χωλοὺς ὁμοίως. ἄτοπον γὰρ εἶναι τὸ συμπενθεῖν μὲν καὶ [τὸ] συλλυπεῖσθαι καὶ τῶν ἄλλων ὁμοίως ἀγαθῶν ἁπάντων τε καὶ κακῶν κοινωνεῖν τὴν βεβαίαν φιλίαν, τῆς δ' εἰς τὸ σῶμα λύπης ἄμοιρον γίνεσθαι. φασὶ δὲ σύνηθες εἶναι καὶ τὸ συντελευτᾶν ἑκουσίως τοὺς ἑταίρους τοῖς βασιλεῦσι, καὶ τοῦτον εἶναι τὸν θάνατον ἔνδοξον καὶ φιλίας ἀληθινῆς μάρτυρα. διόπερ μὴ ῥαδίως ἐπιβουλὴν γίνεσθαι παρὰ τοῖς Αἰθίοψι κατὰ τοῦ βασιλέως, ὡς ἂν τῶν φίλων ἁπάντων ἐπ' ἴσης προνοουμένων τῆς τ' ἐκείνου καὶ τῆς ἰδίας ἀσφαλείας. ταῦτα μὲν οὖν τὰ νόμιμα παρὰ τοῖς Αἰθίοψίν ἐστι τοῖς τὴν μητρόπολιν αὐτῶν οἰκοῦσι καὶ νεμομένοις τήν τε νῆσον τὴν Μερόην καὶ τὴν χώραν τὴν πλησίον Αἰγύπτου.

65. ἀναγκαίως] ἀναγκαίοις ABD
178. 71. καταφρονῆσαι] καταφρονήσας ABD   72. προςτάγματος Wesselingius: libri πράγματος   75. ἅπαντας omittunt AD   79. λέγουσι] λέγεται AB   83. ἀρτίποδας] ἀντίποδας G   86. τὸ delendum   87. τὴν βεβαίαν φιλίαν] τὴν βέβαιον φιλίαν AB, omisit E, asterisco notavit Stephanus   92. κατὰ τοῦ βασιλέως, ὡς ἂν τῶν φίλων Eichstadius: κατὰ τοῦ βασιλέως ὡς ἂν τοῦ βασιλέως καὶ τῶν φίλων Wesselingius: libri κατὰ τῶν φίλων, ὡς ἂν τοῦ βασιλέως καὶ τῶν φίλων   96. τήν τε AC(D)E, caeteri τήν γε   νῆσον τὴν Μερόην καὶ τὴν χώραν τὴν πλησίον Αἰγύπτου] χώραν τὴν πλησίον Αἰγύπτου καὶ τὴν νῆσον Μερόην E

8 Ἔστι δὲ καὶ ἄλλα γένη τῶν Αἰθιόπων παμπληθῆ, τὰ μὲν ἐξ ἀμφοτέρων τῶν μερῶν τὴν παραποτάμιον 100 τοῦ Νείλου κατοικοῦντα καὶ τὰς ἐν τῷ ποταμῷ νήσους, τὰ δὲ τὴν ὅμορον τῆς Ἀραβίας νεμόμενα, τὰ δ' ἐν τοῖς μεσογείοις τῆς Λιβύης καθιδρυμένα. οἱ πλεῖστοι δὲ τούτων καὶ μάλισθ' οἱ παρὰ τὸν ποταμὸν οἰκοῦντες ταῖς μὲν χρόαις εἰσὶ μέλανες, ταῖς δὲ ἰδέαις σιμοί, τοῖς δὲ τριχώμασιν οὖλοι. καὶ ταῖς μὲν ψυχαῖς παντελῶς ὑπάρχουσιν ἄγριοι καὶ τὸ θηριῶδες ἐμφαίνοντες, οὐχ οὕτω δὲ τοῖς θυμοῖς ὡς τοῖς ἐπιτηδεύμασιν. αὐχμηροὶ γὰρ ὄντες τοῖς ὅλοις σώμασι τοὺς μὲν ὄνυχας ἐπὶ πολὺ παρηγμένους ἔχουσι τοῖς θηρίοις παραπλησίως, τῆς δὲ πρὸς ἀλλήλους φιλανθρωπίας πλεῖστον ὅσον ἀφεστήκασι. καὶ τὴν μὲν φωνὴν ὀξεῖαν προβάλλοντες, τῶν δὲ παρὰ τοῖς ἄλλοις ἐπιτηδευομένων εἰς βίον ἥμερον οὐδ' ὁτιοῦν ἔχοντες, μεγάλην ποιοῦσι πρὸς τὰ καθ' ἡμᾶς ἔθη τὴν διαφοράν. καθοπλίζονται δ' αὐτῶν οἱ μὲν ἀσπίσιν ὠμο- 179 βοΐναις καὶ μικροῖς δόρασιν, οἱ δὲ ἀκοντίοις ἀναγκύλοις, ἐνίοτε δὲ ξυλίνοις τόξοις τετραπήχεσιν, οἷς τοξεύουσι μὲν τῷ ποδὶ προςβαίνοντες, ἀναλωθέντων δὲ τῶν οἰστῶν σκυτάλαις ξυλίναις διαγωνίζονται. καθοπλίζουσι δὲ καὶ τὰς γυναῖκας, ὁρίζοντες αὐταῖς τεταγμένην ἡλικίαν, ὧν ταῖς πλείσταις νόμιμόν ἐστι χαλκοῦν κρίκον φέρειν ἐν τῷ χείλει τοῦ στόματος. ἐσθῆτι δέ τινες μὲν αὐτῶν ἁπλῶς οὐ χρῶνται, γυμνῆτα βίον δι' αἰῶνος ἔχοντες καὶ πρὸς μόνα τὰ καύματα ποριζόμενοι βοήθειαν αὐτουργὸν ἐκ τοῦ παραπεσόντος· τινὲς δὲ τῶν προβάτων τὰς οὐρὰς ἀποκόπτοντες ἐκ τῶν ὄπισθεν καλύπτουσι διὰ τούτων τὰ ἰσχία, καθάπερ αἰδῶ ταύτην προβαλλόμενοι, ἔνιοι δὲ χρῶνται ταῖς δοραῖς τῶν κτηνῶν, εἰσὶ δ' οἳ περιζώμασι μέχρι μέσου τὸ σῶμα καλύπτουσιν, ἐκ τῶν τριχῶν πλέκοντες, ὡς ἂν τῶν παρ' αὐ-

1. τοῖς μεσογείοις τῆς Λιβύης] *mediterraneas regiones versus Arabiam sitas* Poggius 2. μάλισθ'] μάλιστ' A, caeteri μάλιστα 3. παρὰ] περὶ F ταῖς μὲν χρόαις] τὴν μὲν χρόαν FQ, κατὰ μὲν τὴν χρόαν M 4. τριχώμασιν] χρώμασιν F 5. παντελῶς] πολυτελῶς F 6. οὕτω ABD, caeteri οὕτως 8. ὅλοις] ἄλλοις AB 11. τῶν] τὸ A 13. πρὸς] εἰς B ἔθη] ἔθνη A

179. 14. ὠμοβοΐναις] ὠμοβοΐνως F 15. ἐνίοτε] nisi fuit ἔνιοι 17. προςβαίνοντες] *protenso pede* Poggius οἰστῶν (D) ed. Wesselingii, caeteri οἰστῶν 17. σκυτάλαις] σκυτάλοις E 18. ξυλίναις] ξυλίνοις ABE 21. ἁπλῶς omisit E, asterisco notavit Stephanus 22. διὰ παντὸς οὐ χρῶνται MV, in qua notatione vereor ne quid erroris insit δι' αἰῶνος] post ἔχοντες ponit D, διὰ παντὸς EQ 28. μέσου] libri μέσον



τοῖς προβάτων ὄντων μὴ φερόντων ἔρια διὰ τὴν ἰδιότητα τῆς χώρας. τροφῇ δὲ χρῶνται τινὲς μὲν λαμβάνοντες τὸν γεννώμενον ἐν τοῖς ὕδασι καρπόν, ὃς αὐτοφυὴς ἀνατέλλει περί τε τὰς λίμνας καὶ τοὺς ἑλώδεις τόπους, τινὲς δὲ τῆς ἁπαλωτάτης ὕλης τοὺς ἀκρέμονας περικλῶντες, οἷς καὶ τὰ σώματα σκιάζοντες περὶ τὰς μεσημβρίας καταψύχουσιν, ἔνιοι δὲ σπείροντες σήσαμον καὶ λωτόν, εἰσὶ δ' οἳ ταῖς ῥίζαις τῶν καλάμων ταῖς ἁπαλωτάταις διατρεφόμενοι· οὐκ ὀλίγοι δ' αὐτῶν καὶ ταῖς τοξείαις ἐνηθληκότες τῶν πτηνῶν εὐστόχως πολλὰ τοξεύουσι, δι' ὧν τὴν τῆς φύσεως ἔνδειαν ἀναπληροῦσιν· οἱ πλεῖστοι δὲ τοῖς ἀπὸ τῶν βοσκημάτων κρέασι καὶ γάλακτι καὶ τυρῷ τὸν πάντα βίον διαζῶσι.

Περὶ δὲ θεῶν οἱ μὲν ἀνώτερον Μερόης οἰκοῦντες 9 ἐννοίας ἔχουσι διττάς. ὑπολαμβάνουσι γὰρ τοὺς μὲν αὐτῶν αἰώνιον ἔχειν καὶ ἄφθαρτον τὴν φύσιν, οἷον ἥλιον καὶ σελήνην καὶ τὸν σύμπαντα κόσμον, τοὺς δὲ νομίζουσι θνητῆς φύσεως κεκοινωνηκέναι καὶ δι' ἀρετὴν καὶ κοινὴν εἰς ἀνθρώπους εὐεργεσίαν τετευχέναι τιμῶν ἀθανάτων. τήν τε γὰρ Ἶσιν καὶ τὸν Πᾶνα πρὸς δὲ τούτοις Ἡρακλέα καὶ Δία σέβονται, μάλιστα νομίζοντες ὑπὸ τούτων εὐεργετῆσθαι τὸ τῶν ἀνθρώπων γένος. ὀλίγοι δὲ τῶν Αἰθιόπων καθόλου θεοὺς οὐ νομίζουσιν εἶναι· διὸ καὶ τὸν ἥλιον ὡς πολεμιώτατον ὄντα κατὰ τὰς ἀνατολὰς βλασφημήσαντες φεύγουσι πρὸς τοὺς ἑλώδεις τῶν τόπων. παρηλλαγμένοις δ' ἔθεσι χρῶνται καὶ περὶ τοὺς παρ' αὐτοῖς τελευτῶντας. οἱ μὲν γὰρ εἰς τὸν ποταμὸν βάλλοντες ἀφιᾶσιν, ἀρίστην ἡγούμενοι ταφὴν ταύτην, οἱ δὲ περιχέαντες ὕελον ἐν ταῖς οἰκίαις φυλάττοντες νομίζουσι δεῖν μήτε τῶν τελευτώντων ἀγνοεῖσθαι τὰς ὄψεις τοῖς συγγενέσι μήτ' ἐπιλανθάνεσθαι τοὺς προσήκοντας τῷ γένει τῶν προσῳκειωμένων, ἔνιοι δ' εἰς ὀστρακίνας σοροὺς ἐμβάλλοντες κατορύττουσι κύκλῳ τῶν 180 ἱερῶν, καὶ τὸν ἐπὶ τούτοις γινόμενον ὅρκον μέγιστον ἡγοῦνται. τὰς δὲ βασιλείας ἐγχειρίζουσιν οἱ μὲν τοῖς εὐπρεπεστάτοις, τύχης ἡγούμενοι δῶρα ἀμφότερα, τὴν

31. τροφῇ δὲ] τροφῇ μὲν D 35. καταψύχουσιν] κατανίχουσι AB 41. τοῖς ἀπὸ] τῶν ἀπὸ A καὶ τυρῷ] ναὶ μὴν καὶ τυρῷ CE 42. περὶ δὲ] περὶ μὲν D ἀνώτερον] ἀνωτέρω B 43. Μερόης] μέρους F 47. τετευχέναι] τετυχέναι A, τετυχηκέναι B 50. εὐεργετῆσθαι] εὐεργετεῖσθαι ABCDEQ, εὐεργετηθῆναι V, caeteri εὐηργετῆσθαι 53. βλασφημήσαντες] βλασφημοῦντας G 54. χρῶνται καὶ περὶ] χρῶνται καὶ AF 55. μὲν γὰρ] μὲν F τὸν omisit M 56. βάλλοντες ἀφιᾶσιν] βάλλουσι M 60. ἐμβάλλοντες ABC(D)E, caeteri ἐμβάλλουσι καὶ

τε μοναρχίαν καὶ τὴν εὐπρέπειαν, οἱ δὲ τοῖς ἐπιμελεστάτοις κτηνοτρόφοις παραδιδόασι τὴν ἀρχήν, ὡς μόνους ἄριστα τῶν ὑποτεταγμένων φροντιοῦντας, ἔνιοι δὲ τοῖς πλουσιωτάτοις τοῦτο τὸ τίμιον ἀπονέμουσιν, ἡγούμενοι μόνους αὐτοὺς ἐπικουρεῖν τοῖς ὄχλοις δύνασθαι διὰ τὴν ἑτοιμότητα τῆς εὐπορίας, εἰσὶ δ' οἳ τοὺς ἀνδρείᾳ διαφέροντας αἱροῦνται βασιλεῖς, κρίνοντες τοὺς ἐν πολέμῳ πλεῖστον δυναμένους ἀξίους εἶναι μόνους τυγχάνειν τῶν πρωτείων.

10 Τῆς δὲ παρὰ τὸν Νεῖλον χώρας τῆς ἐν τῇ Λιβύῃ κειμένης ἐστί τι μέρος τῷ κάλλει διαφέρον. τροφάς τε γὰρ φέρει δαψιλεῖς καὶ ποικίλας, καὶ πρὸς τὰς τῶν καυμάτων ὑπερβολὰς ἔχει βοηθείας εὐθέτους τὰς ἐν τοῖς ἕλεσι καταφυγάς· διὸ καὶ περιμάχητος ὁ τόπος οὗτος γίνεται τοῖς τε Λίβυσι καὶ τοῖς Αἰθίοψι, καὶ πρὸς ἀλλήλους ὑπὲρ αὐτοῦ πολεμοῦντες διατελοῦσι. φοιτᾷ δ' εἰς αὐτὸν καὶ πλῆθος ἐλεφάντων ἐκ τῆς ἄνω χώρας, ὡς μὲν ἔνιοι λέγουσι, διὰ τὴν δαψίλειαν καὶ τὴν ἡδονὴν τῆς νομῆς· ἕλη γὰρ θαυμαστὰ παρεκτείνεται τοῖς χείλεσι τοῦ ποταμοῦ, πολλῆς καὶ παντοίας ἐν αὐτοῖς φυομένης τροφῆς. διόπερ ὅταν γεύσωνται τοῦ θρύου καὶ τοῦ καλάμου, διὰ τὴν γλυκύτητα τῆς τροφῆς μένει καὶ τὴν τῶν ἀνθρώπων δίαιταν καταφθείρει· δι' ἣν αἰτίαν ἀναγκάζονται φεύγειν εἰς τούτους τοὺς τόπους, ὄντες νομάδες καὶ σκηνῖται τὸ σύνολον τῷ συμφέροντι τὰς πατρίδας ὁρίζοντες. αἱ δ' ἀγέλαι τῶν εἰρημένων θηρίων τὴν μεσόγειον χώραν ἐκλείπουσι διὰ σπάνιν τροφῆς, ἅτε συντόμως τῶν φυομένων ἐν τῇ γῇ πάντων αὐαινομένων· διὰ γὰρ τὴν τοῦ καύματος ὑπερβολὴν καὶ τὴν λειψυδρίαν τῶν πηγαίων καὶ ποταμίων ὑδάτων σκληρὰς καὶ σπανίους συμβαίνει γίνεσθαι τὰς τροφάς. ὡς δέ τινές φασιν, ὄφεις θαυμαστοὶ γίνονται τό τε μέγεθος καὶ τὸ πλῆθος κατὰ τὴν θηριώδη καλουμένην χώραν·

180. 65. ἀρχήν] ψυχήν F  66. φροντιοῦντας] φροντιοῦσι G, non μόνοις, ut videtur  68. αὐτοὺς ABD, caeteri τούτους  τοῖς ὄχλοις] caeteris Poggius  70. αἱροῦνται] αἱρούμενοι CEF  77. ὁ τόπος οὗτος] ουτος ὁ τόπος D  79. αὐτοῦ] αὐτῶν AD  πολεμοῦντες] πολεμηθέντες F  80. αὐτὸν] αὐτὸ AD  84. θρύου] θρίου GQ, θρύου καὶ τοῦ τῆς συκῆς (ψυχῆς C) φύλλου CE „ex glossa, sed quae θρίον explicat, non vero vulgatum, sicuti ex Hesychio notum est." Wessel.  86. καταφθείρει] διαφθείρει ABD: fortasse legendum μένειν — καταφθείρειν  ἀναγκάζονται] καταναγκάζονται DFG  87. ὄντες — συμφέροντι omisit A  νομάδες] μονάδες C  88. καὶ σκηνῖται] καὶ σκηνῆται CD, καὶ σκηνητόβιοι G, omittunt EM, asterisco notavit Stephanus  τὸ σύνολον] καὶ τὸ σύνολον Wesselingius  91. αὐαινομένων] ἀναλισκομένων M  94. τὰς τροφὰς] τροφὰς A



οὗτοι δὲ περὶ τὰς συστάσεις τῶν ὑδάτων ἐπιτίθενται τοῖς ἐλέφασι· καὶ τραπέντες εἰς ἀλκὴν περιπλέκονται ταῖς σπείραις εἰς τὰ σκέλη, καὶ πέρας ἕως τούτου συνέχουσι βιαζόμενοι καὶ σφίγγοντες τοῖς δεσμοῖς ἕως ἂν ἀφρίσαντα τὰ θηρία πέσῃ διὰ τὸ βάρος. ἔπειτ' ἀθροιζόμενοι [181] τὸ πεσὸν σαρκοφαγοῦσι, ῥᾳδίως ἐπικρατοῦντες διὰ τὴν δυσκινησίαν τοῦ ζῴου. ἀπολειπομένου δ' ἀπορρήματος διὰ τίν' αἰτίαν οὐ συνέπονται τοῖς ἐλέφασιν εἰς τὴν προειρημένην παραποταμίαν διώκοντες τὰς συνήθεις τροφάς, φασὶ τοὺς τηλικούτους ὄφεις τὴν μὲν ἐπίπεδον τῆς χώρας φεύγειν, περὶ δὲ τὴν ὑπώρειαν ἐν ταῖς φάραγξι ταῖς τὸ μῆκος ἀνηκούσαις καὶ τοῖς σπηλαίοις τοῖς τὸ βάθος ἔχουσι συνεχῶς ἐναυλίζεσθαι· διόπερ τοὺς συμφέροντας καὶ συνήθεις τόπους μηδαμῶς ἐκλείπειν, αὐτοδιδάκτου πρὸς τὰ τοιαῦτα τῆς φύσεως οὔσης ἅπασι τοῖς ζῴοις. περὶ μὲν οὖν Αἰθιόπων καὶ τῆς χώρας αὐτῶν τοσαῦτα λέγομεν.

11 Περὶ δὲ τῶν συγγραφέων ἡμῖν διοριστέον, ὅτι πολλοὶ συγγεγράφασι περὶ τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας, ὧν οἱ μὲν ψευδεῖ φήμῃ πεπιστευκότες, οἱ δὲ παρ' ἑαυτῶν πολλὰ τῆς ψυχαγωγίας ἕνεκα πεπλακότες, δικαίως ἂν ἀπιστοῖντο. Ἀγαθαρχίδης μὲν γὰρ ὁ Κνίδιος ἐν τῇ δευτέρᾳ βίβλῳ τῶν περὶ τὴν Ἀσίαν καὶ ὁ τὰς γεωγραφίας συνταξάμενος Ἀρτεμίδωρος ὁ Ἐφέσιος κατὰ τὴν ὀγδόην βίβλον καί τινες ἕτεροι τῶν ἐν Αἰγύπτῳ κατοικούντων ἱστορηκότες τὰ πλεῖστα τῶν προειρημένων ἐν πᾶσι σχεδὸν ἐπιτυγχάνουσι. καὶ γὰρ ἡμεῖς καθ' ὃν καιρὸν παρεβάλομεν εἰς Αἴγυπτον πολλοῖς μὲν τῶν ἱερέων ἐνετύχομεν, οὐκ ὀλίγοις δὲ καὶ πρεσβευταῖς ἀπὸ τῆς Αἰθιοπίας παροῦσιν εἰς λόγους ἀφικόμεθα· παρ' ὧν ἀκριβῶς ἕκαστα πυθόμενοι, καὶ τοὺς λόγους τῶν ἱστορικῶν ἐξελέγξαντες, τοῖς μάλιστα συμφωνοῦσιν ἀκόλουθον τὴν ἀναγραφὴν πεποιήμεθα. περὶ μὲν οὖν Αἰθιόπων τῶν πρὸς τῇ δύσει κατοικούντων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι. περὶ δὲ τῶν κατὰ τὴν μεσημβρίαν καὶ τὴν ἐρυθρὰν θάλατταν κειμένων ἐν μέρει διέξιμεν· δοκεῖ δ' ἡμῖν ἁρμόττειν προδιελθεῖν περὶ τῆς τοῦ χρυσοῦ κατασκευῆς τῆς ἐν τούτοις τοῖς τόποις γινομένης.

181. 3. ἀπολειπομένου G, caeteri ἀπολειπόμενοι  6. φασὶ Reiskius: libri φασὶ δέ, nisi quod particulam aperte nescivit Poggius  τοὺς omisit A  8. τὸ] εἰς τὸ Rhodomannus  ἀνηκούσαις] ἀνήκουσαν A  καὶ τοῖς] περὶ τοῖς C  12. οὔσης omisit A  15. περὶ τῆς] περί τε τῆς D  16. παρ' ἑαυτῶν] περὶ αὐτῶν AB  24. παρεβάλομεν] ἐνεβάλομεν A  31. θάλατταν] θάλασσαν omnes  32. προδιελθεῖν] προελθεῖν D  33. περὶ τῆς B(D)EF, caeteri περὶ τῶν

12 Περὶ γὰρ τὰς ἐσχατιὰς τῆς Αἰγύπτου καὶ τῆς ὁμορούσης Ἀραβίας τε καὶ Αἰθιοπίας τόπος ἐστὶν ἔχων μέταλλα πολλὰ καὶ μεγάλα χρυσοῦ συναγομένου [πολλοῦ] πολλῇ κακοπαθείᾳ τε καὶ δαπάνῃ. τῆς γὰρ γῆς μελαίνης οὔσης τῇ φύσει καὶ διαφυὰς καὶ φλέβας ἐχούσης μαρμάρου τῇ λευκότητι διαφερούσας καὶ πάσας τὰς περιλαμπομένας φύσεις ὑπερβαλλούσας τῇ λαμπρότητι, οἱ προςεδρεύοντες τοῖς μεταλλικοῖς ἔργοις τῷ πλήθει τῶν ἐργαζομένων κατασκευάζουσι τὸν χρυσόν. οἱ γὰρ βασιλεῖς τῆς Αἰγύπτου τοὺς ἐπὶ κακουργίᾳ καταδικασθέντας καὶ182 τοὺς κατὰ πόλεμον αἰχμαλωτισθέντας, ἔτι δὲ τοὺς ἀδίκοις διαβολαῖς περιπεσόντας καὶ διὰ θυμὸν εἰς φυλακὰς παραδεδομένους, ποτὲ μὲν αὐτούς, ποτὲ δὲ καὶ μετὰ πάσης συγγενείας ἀθροίσαντες παραδιδόασι πρὸς τὴν τοῦ χρυσοῦ μεταλλείαν, ἅμα μὲν τιμωρίαν λαμβάνοντες παρὰ τῶν καταγνωσθέντων, ἅμα δὲ διὰ τῶν ἐργαζομένων μεγάλας προσόδους λαμβάνοντες. οἱ δὲ παραδοθέντες, πολλοὶ μὲν τὸ πλῆθος ὄντες, πάντες δὲ πέδαις δεδεμένοι, προςκαρτεροῦσι τοῖς ἔργοις συνεχῶς καὶ μεθ' ἡμέραν καὶ δι' ὅλης τῆς νυκτός, ἀνάπαυσιν μὲν οὐδεμίαν λαμβάνοντες, δρασμοῦ δὲ παντὸς φιλοτίμως εἰργόμενοι. φυλακαὶ γὰρ ἐκ στρατιωτῶν βαρβάρων καὶ ταῖς διαλέκτοις διαφόροις χρωμένων ἐφεστήκασιν, ὥςτε μηδένα δύνασθαι δι' ὁμιλίας ἢ φιλανθρώπου τινὸς ἐντεύξεως φθεῖραί τινα τῶν ἐπιστατούντων. τῆς δὲ τὸν χρυσὸν ἐχούσης γῆς τὴν μὲν σκληροτάτην πυρὶ πολλῷ καύσαντες καὶ ποιήσαντες χαύνην προςάγουσι τὴν διὰ τῶν χειρῶν κατεργασίαν· τὴν δὲ ἀνειμένην πέτραν καὶ μετρίῳ πόνῳ δυναμένην ὑπείκειν λατομικῷ σιδήρῳ καταπονοῦσι μυριάδες ἀκληρούντων ἀνθρώπων. καὶ τῆς μὲν ὅλης πραγματείας ὁ τὸν λίθον διακρίνων τεχνίτης καθηγεῖται καὶ τοῖς ἐργαζομένοις ὑποδείκνυσι· τῶν δὲ πρὸς τὴν ἀτυχίαν ταύτην ἀποδειχθέντων οἱ μὲν σώματος ῥώμῃ διαφέροντες τυπίσι σιδηραῖς τὴν μαρμαρίζουσαν πέτραν κόπτουσιν, οὐ τέχνην τοῖς ἔργοις ἀλλὰ βίαν

37. πολλοῦ] πολλοῖς CEQ, delet Rhodomannus, et omisit Poggius 39. διαφυὰς] διφυάδας A μαρμάρου] βορβόρου E et a pr. manu C: addunt autem καὶ λευκοῦ χώματος E et, qui χρώματος, C ab altera manu 41. ὑπερβαλλούσας] ὑπερβαλλούσης BCF προςεδρεύοντες] προςεδρεύσαντες ABCD

182. 47. παραδεδομένους] παραδιδομένους ABCDF 57. διαφόροις] διαφόρως omnes 59. ἐπιστατούντων] ἐπιστρατευόντων A 64. ἀκληρούντων] πονούντων M πραγματείας ὁ] πραγματείας F 68. κόπτουσιν] ἐκκόπτουσι A



προςάγοντες, ὑπονόμους δὲ διακόπτοντες, οὐκ ἐπ' εὐθείας ἀλλ' ὡς ἂν ἡ διάφυσις ᾖ τῆς ἀποστιλβούσης πέτρας. οὗτοι μὲν οὖν διὰ τὰς ἐν ταῖς διώρυξι καμπὰς καὶ σκολιότητας ἐν σκότει διατρίβοντες λύχνους ἐπὶ τῶν μετώπων πεπραγματευμένους περιφέρουσι· πολλαχῶς δὲ πρὸς τὰς τῆς πέτρας ἰδιότητας μετασχηματίζοντες τὰ σώματα καταβάλλουσιν εἰς ἔδαφος τὰ λατομούμενα θραύσματα· καὶ τοῦτο ἀδιαλείπτως ἐνεργοῦσι πρὸς ἐπιστάτου βαρύτητα καὶ πληγάς. οἱ δὲ ἄνηβοι παῖδες εἰςδυόμενοι 13
διὰ τῶν ὑπονόμων εἰς τὰ κεκοιλωμένα τῆς πέτρας ἀναβάλλουσιν ἐπιπόνως τὴν ῥιπτουμένην κατὰ μικρὸν πέτραν καὶ πρὸς τὸν ἐκτὸς τοῦ στομίου τόπον εἰς ὕπαιθρον ἀποκομίζουσιν. οἱ δ' ὑπὲρ ἔτη τριάκοντα παρὰ τούτων λαμβάνοντες ὡρισμένον μέτρον τοῦ λατομήμα-
183τος ἐν ὅλμοις λιθίνοις τύπτουσι σιδηροῖς ὑπέροις, ἄχρι ἂν ὀρόβου τὸ μέγεθος κατεργάσωνται. παρὰ δὲ τούτων τὸν ὀροβίτην λίθον αἱ γυναῖκες καὶ οἱ πρεσβύτεροι τῶν ἀνδρῶν ἐκδέχονται, καὶ μύλων ἑξῆς πλειόνων ὄντων ἐπὶ τούτους ἐπιβάλλουσι, καὶ παραστάντες ἀνὰ τρεῖς ἢ δύο πρὸς τὴν κώπην ἀλήθουσιν, ἕως ἂν εἰς σεμιδάλεως τρόπον τὸ δοθὲν μέτρον κατεργάσωνται. προςούσης δ' ἅπασιν ἀθεραπευσίας σώματος καὶ τῆς τὴν αἰδῶ περιστελλούσης ἐσθῆτος μὴ προςούσης, οὐκ ἔστιν ὃς ἰδὼν οὐκ ἂν ἐλεήσειε τοὺς ἀκληροῦντας διὰ τὴν ὑπερβολὴν τῆς ταλαιπωρίας. οὐ γὰρ τυγχάνει συγγνώμης οὐδ' ἀνέσεως ἁπλῶς οὐκ ἄῤῥωστος, οὐ πεπηρωμένος, οὐ γεγηρακώς, οὐ γυναικὸς ἀσθένεια, πάντες δὲ πληγαῖς ἀναγκάζονται προςκαρτερεῖν τοῖς ἔργοις, μέχρι ἂν κακουχούμενοι τελευτήσωσιν ἐν ταῖς ἀνάγκαις. διόπερ οἱ δυς-

70. διακόπτοντες] διακόπτουσι A Poggius 71. διάφυσις ᾖ BDF, caeteri διάφυσις πέτρας ADF, caeteri πέτρας ὑπάρχῃ 72. διὰ omisit A 73. καὶ σκολιότητας omittunt MU, asterisco notavit Stephanus, atque ex D qui ad καμπὰς annotavit καμπὰς καὶ σκολιότητας, voluit haud dubie ad καμπὰς καὶ σκ. annotare solum καμπὰς ibi ab se repertum διατρίβοντες] διατρίβουσι BD, διατρίβοντες — 75. ἰδιότητας omisit F 74. πεπραγματευμένους] πεφραγμένους CE 77. λατομούμενα] λατουμένα C, λουτουμένα F θραύσματα] θραύματα ABCG 81. ῥιπτουμένην] ῥιπτομένην B 82. ὕπαιθρον] ὕπαιθρα AB

183. 85. ἄχρι] ἄχρις omnes 88. καὶ μύλων omisit C ἑξῆς] ἕξεις AD, ἄξεις B ἐπὶ τούτους (D)E, om. A, caeteri ἐπὶ τούτοις 90. τὴν — σεμιδάλεως omisit C ἕως ἂν εἰς] ἕως ἂν ἐς ABD, caeteri ἐς σεμιδάλεως] μιδάλεως AB 91. κατεργάσωνται ABD, caeteri κατεργαζόμενοι 92. αἰδῶ] scribebatur αἰδῶ 93. ἐσθῆτος] ἐσθῆτα A μὴ] μόνον Agatharchides 96. πεπηρωμένος] ἢ τυφλὸς addit G 98. μέχρι] μέχρις omnes

τυχεῖς φοβερώτερον ἀεὶ τὸ μέλλον τοῦ παρόντος ἡγοῦνται διὰ τὴν ὑπερβολὴν τῆς τιμωρίας, ποθεινότερον δὲ
14 τοῦ ζῆν τὸν θάνατον προςδέχονται. τὸ δὲ τελευταῖον οἱ τεχνῖται παραλαβόντες τὸν ἀληλεσμένον λίθον πρὸς τὴν ὅλην ἄγουσι συντέλειαν. ἐπὶ γὰρ πλατείας σανίδος μικρὸν ἐγκεκλιμένης τρίβουσι τὴν κατειργασμένην μάρμαρον ὕδωρ ἐπιχέοντες. εἶτα τὸ μὲν γεῶδες αὐτῆς ἐκτηκόμενον διὰ τῶν ὑγρῶν καταῤῥεῖ κατὰ τὴν τῆς σανίδος ἔγκλισιν, τὸ δὲ χρυσίον ἔχον ἐπὶ τοῦ ξύλου παραμένει διὰ τὸ βάρος. πολλάκις δὲ τοῦτο ποιοῦντες, τὸ μὲν πρῶτον ταῖς χερσὶν ἐλαφρῶς τρίβουσι, μετὰ δὲ ταῦτα σπόγγοις ἀραιοῖς κούφως ἐπιθλίβοντες τὸ χαῦνον καὶ γεῶδες διὰ τούτων ἀναλαμβάνουσι, μέχρι ἂν ὅτου καθαρὸν γένηται τὸ ψῆγμα τοῦ χρυσοῦ. τὸ δὲ τελευταῖον ἄλλοι τεχνῖται παραλαμβάνοντες μέτρῳ καὶ σταθμῷ τὸ συνηγμένον εἰς κεραμεοῦς χύτρους ἐμβάλλουσι. μίξαντες δὲ κατὰ τὸ πλῆθος ἀνάλογον μολίβδου βῶλον καὶ χόνδρους ἁλῶν ἔτι δὲ βραχὺ καττιτέρου κρίθινον πίτυρον προςεμβάλλουσιν. ἁρμοστὸν δ' ἐπίθεμα ποιήσαντες καὶ πηλῷ φιλοπόνως περιχρίσαντες ὀπτῶσιν ἐν καμίνῳ πέντε ἡμέρας καὶ νύκτας ἴσας ἀδιαλείπτως. ἔπειτα ἐάσαντες ψυχθῆναι τῶν μὲν ἄλλων οὐδὲν εὑρίσκουσιν ἐν τοῖς ἀγγείοις, τὸν δὲ χρυσὸν καθαρὸν λαμβάνουσιν ὀλίγης ἀπουσίας γεγενημένης. ἡ μὲν οὖν ἐργασία τοῦ χρυσοῦ περὶ τὰς ἐσχατιὰς τῆς Αἰγύπτου γινομένη μετὰ τοσούτων καὶ τηλικούτων πόνων συντελεῖται. αὐτὴ γὰρ ἡ φύσις, οἴομαι, ποιεῖ 184
πρόδηλον ὡς ὁ χρυσὸς γένεσιν μὲν ἐπίπονον ἔχει, φυλακὴν δὲ χαλεπήν, σπουδὴν δὲ μεγίστην, χρῆσιν δὲ ἀνὰ μέσον ἡδονῆς τε καὶ λύπης. ἡ μὲν οὖν τῶν μετάλλων τούτων εὕρεσις ἀρχαία παντελῶς ἐστιν, ὡς ἂν ὑπὸ τῶν παλαιῶν βασιλέων καταδειχθεῖσα.

Περὶ δὲ τῶν ἐθνῶν [τούτων] τῶν κατοικούντων τήν τε παράλιον τοῦ Ἀραβίου κόλπου καὶ Τρωγλοδυτικὴν ἔτι δ' Αἰθιοπίαν τὴν πρὸς μεσημβρίαν καὶ νότον πειρασόμεθα διεξιέναι. περὶ πρώτων δὲ τῶν ἰχθυοφάγων ἐροῦμεν τῶν
15 κατοικούντων τὴν παράλιον τὴν ἀπὸ Καρμανίας καὶ

100. ἀεὶ] αἰεὶ D 6. κατειργασμένην B(D), caeteri κατεργασμένην 7. αὐτῆς] αὐτοῖς A ἐκτηκόμενον] τηκόμενον BD 8. χρυσίον] malim τὸ χρυσίον 13. μέχρι] μέχρις omnes ὅτου omisit E 16. κεραμεοῦς D, κεραμιοῦς B, κεραμέας C a correctore, caeteri κεραμέους χύτρους] χύτρας C a corr. 17. μολίβδου] μολύβδου A βῶλον CEMQV, βωλίοις A, βωλίου B, caeteri βωλίον 18. καττιτέρου] κασσιτέρου omnes κρίθινον] καὶ praeponunt AF, et qui κριθῖνον (D) 22. ψυχθῆναι ABDF, caeteri ψυγῆναι 24. χρυσοῦ] χρυσίου ABD

184. 27. ὁ χρυσὸς Reiskius: libri ὁ μὲν χρυσὸς 30. ἀρχαία] βραχεῖα F 32. τούτων delendum



Γεδρωσίας ἕως τῶν ἐσχάτων τοῦ μυχοῦ τοῦ κατὰ τὸν Ἀράβιον κόλπον ἱδρυμένου, ὃς εἰς τὴν μεσόγειον ἀνήκων ἄπιστον διάστημα δυσὶν ἠπείροις περικλείεται πρὸς τὸν ἔκπλουν, τῇ μὲν ὑπὸ τῆς εὐδαίμονος Ἀραβίας, τῇ δ' ὑπὸ τῆς Τρωγλοδυτικῆς. τούτων δὲ τῶν βαρβάρων τινὲς μὲν γυμνοὶ τὸ παράπαν βιοῦντες κοινὰς ἔχουσι τὰς γυναῖκας καὶ τὰ τέκνα παραπλησίως ταῖς τῶν θρεμμάτων ἀγέλαις; ἡδονῆς δὲ καὶ πόνου τὴν φυσικὴν μόνον ἀντίληψιν ποιούμενοι τῶν αἰσχρῶν καὶ καλῶν οὐδεμίαν λαμβάνουσιν ἔννοιαν. τὰς δὲ οἰκήσεις ἔχουσιν οὐκ ἄποθεν τῆς θαλάττης παρὰ τὰς ῥαχίας, καθ' ἃς εἰσιν οὐ μόνον βαθεῖαι κοιλάδες ἀλλὰ καὶ φάραγγες ἀνώμαλοι καὶ στενοὶ παντελῶς αὐλῶνες σκολιαῖς ἐκτροπαῖς ὑπὸ τῆς φύσεως διειλημμένοι. τούτων δὲ τῇ χρείᾳ τῶν ἐγχωρίων πεφυκότων ἁρμοζόντως, τὰς ἐκτροπὰς καὶ διεξόδους συγκεχώκασι λίθοις μεγάλοις, δι' ὧν ὥςπερ δικτύων τὴν θήραν τῶν ἰχθύων ποιοῦνται. ὅταν γὰρ ἡ πλημμυρὶς τῆς θαλάττης ἐπὶ τὴν χέρσον φέρηται λάβρως, ὃ ποιεῖ δὶς τῆς ἡμέρας περὶ τρίτην καὶ ἐνάτην μάλιστα ὥραν, ἡ μὲν θάλαττα πᾶσαν τὴν ῥαχίαν ἐπικλύζουσα καλύπτει, καὶ λάβρῳ καὶ πολλῷ κύματι συναποκομίζει πρὸς τὴν χέρσον ἄπιστον πλῆθος παντοίων ἰχθύων, οἳ τὸ μὲν πρῶτον ἐν τῇ παραλίῳ μένουσι, νομῆς χάριν πλανώμενοι περὶ τὰς ὑποδύσεις καὶ τὰ κοιλώματα· ἐπὰν δ' ὁ τῆς ἀμπώτεως ἔλθῃ χρόνος, τὸ μὲν ὑγρὸν ἐκ τοῦ κατ' ὀλίγον διὰ τῶν κεχωσμένων λίθων καὶ φαράγγων ἀποῤῥεῖ, οἱ δ' ἰχθῦς ἐν τοῖς κοιλώμασι καταλείπονται. κατὰ δὲ τοῦτον τὸν καιρὸν τὸ πλῆθος τῶν ἐγχωρίων μετὰ τέκνων καὶ γυναικῶν εἰς τὰς ῥαχίας ἀθροίζεται καθάπερ ἀφ' ἑνὸς κελεύσματος. σχιζομένων δὲ τῶν βαρβάρων εἰς τὰ κατὰ μέρος συστήματα, πρὸς τοὺς ἰδίους ἕκαστοι τόπους μετὰ βοῆς ἐξαισίου φέρονται, καθάπερ αἰφνιδίου τινὸς κυνηγίας ἐμπεπτωκυίας. εἶθ' αἱ μὲν γυναῖκες μετὰ τῶν παίδων τοὺς ἐλάττονας τῶν ἰχθύων καὶ πλησίον ὄντας τῆς χέρσου συλλαμβάνουσαι ῥίπτουσιν ἐπὶ τὴν γῆν, οἱ δὲ τοῖς σώμασιν
185 ἀκμάζοντες προςφέρουσι τὰς χεῖρας τοῖς διὰ τὸ μέγεθος

37. Γεδρωσίας] Κεδρωσίας CEGQ 48. παρὰ] κατὰ ABD βαθεῖαι omisit A 50. αὐλῶνες] ἤτοι ὑπόνομοι gl. C 52. ἐκτροπὰς AB(D)EF, caeteri ἐπιτροπὰς: *aditus* pro hoc et sequenti Poggius 55. θαλάττης] θαλάσσης omnes 56. ἐνάτην] ἐννάτην omnes 60. παραλίῳ] ῥαπαλίῳ D 62. ἐπὰν ABDF, caeteri ἐπειδὰν 64. ἰχθῦς ABDF, caeteri ἰχθύες 65. τοῦτον] τούτων D 69. ἕκαστοι] ἕκαστον F 71. παίδων BCDEQ, caeteri παιδίων: *pueri* Poggius 72. ὄντας] οὖσαι BDFG συλλαμβάνουσαι] λαμβάνοντες G

δυςκαταγωνίστοις. ἐκπίπτουσι γὰρ ἐκ τοῦ πελάγους ὑπερμεγέθεις οὐ μόνον σκορπίοι καὶ μύραιναι καὶ κύνες ἀλλὰ καὶ φῶκαι καὶ πολλὰ τοιαῦτα ξένα καὶ ταῖς ὄψεσι καὶ ταῖς προςηγορίαις. ταῦτα δὲ τὰ θηρία καταμάχονται τεχνικῆς μὲν ὅπλων κατασκευῆς οὐδὲν ἔχοντες, κέρασι δὲ αἰγῶν ὀξέσι κατακεντοῦντες καὶ ταῖς ἀποῤῥῶξι πέτραις ἐπιτέμνοντες. πάντα γὰρ ἡ χρεία διδάσκει τὴν φύσιν, οἰκείως τοῖς ὑποκειμένοις καιροῖς ἁρμοζομένην πρὸς
16 τὴν ἐκ τῆς ἐλπίδος εὐχρηστίαν. ἐπειδὰν δ' ἀθροίσωσιν ἰχθύων παντοδαπῶν πλῆθος, μεταφέρουσι τοὺς ληφθέντας καὶ πάντας ὀπτῶσιν ἐπὶ τῶν πετρῶν τῶν ἐγκεκλιμένων πρὸς μεσημβρίαν. διαπύρων δ' οὐσῶν διὰ τὴν τοῦ καύματος ὑπερβολήν, βραχὺν ἐάσαντες χρόνον στρέφουσι, κἄπειτα τῆς οὐρᾶς λαμβανόμενοι σείουσι τὸν ὅλον ὄγκον. αἱ μὲν οὖν σάρκες θρυπτόμεναι διὰ τὴν θερμασίαν ἀποπίπτουσιν, αἱ δ' ἄκανθαι ῥιπτούμεναι πρὸς ἕνα τόπον μέγαν σωρὸν ἀποτελοῦσιν, ἀθροιζόμεναι χρείας ἕνεκεν περὶ ἧς μικρὸν ὕστερον ἐροῦμεν. μετὰ δὲ ταῦτα τὰς μὲν σάρκας ἐπί τινος λεωπετρίας κατατιθέμενοι πατοῦσιν ἐπιμελῶς ἐφ' ἱκανὸν χρόνον καὶ καταμίσγουσι τὸν τοῦ παλιούρου καρπόν. τούτου γὰρ συναναχρωσθέντος τὸ πᾶν γίνεται χρῶμα κολλῶδες· καὶ δοκεῖ τοῦτο καθάπερ ἡδύσματος παρ' αὐτοῖς ἔχειν τάξιν. τὸ δὲ τελευταῖον τὸ καλῶς πατηθὲν εἰς πλινθίδας παραμήκεις τυποῦντες τιθέασιν εἰς τὸν ἥλιον· ἃς συμμέτρως ξηρανθείσας καθίσαντες κατευωχοῦνται, οὐ μὴν πρὸς μέτρον ἢ σταθμὸν ἐσθίοντες ἀλλὰ πρὸς τὴν ἰδίαν ἑκάστου βούλησιν, τὴν φυσικὴν ὄρεξιν ἔχοντες τῆς ἀπολαύσεως περιγραφήν. ἀνεκλείπτοις γὰρ καὶ διὰ παντὸς ἑτοίμοις χρῶνται ταμιεύμασιν, ὡς ἂν τοῦ Ποσειδῶνος τὸ τῆς Δήμητρος ἔργον μετειληφότος. ἐνίοτε δὲ τηλικοῦτον ἐκ τοῦ πελάγους εἰς τὴν χέρσον κυλινδεῖται κῦμα καὶ τὰς ῥαχίας ἐφ' ἡμέρας πολλὰς κατακλύζει λάβρον, ὥςτε μηδένα δύνασθαι τοῖς τόποις προςεγγίζειν. διόπερ κατὰ

185. 76. μύραιναι] σμύραιναι B 78. ταῦτα] τῶν F correctus in margine 79. οὐδὲν] οὐθὲν ABD 82. ἁρμοζομένην AB(D), caeteri ἁρμοζομένη 83. εὐχρηστίαν] ἀχρηστίαν A 84. ἐπειδὰν] ἐπὰν C, ἐπ' ἂν F 88. λαμβανόμενοι] λαμβανόμεναι F 89. αἱ μὲν οὖν] καὶ αἱ μὲν AD 91. ῥιπτούμεναι] ῥιπτόμεναι BD ἀποτελοῦσιν — 93. ἐροῦμεν] ποιοῦσι A 93. τινος BC(D), caeteri τινας 96. συναναχρωσθέντος] συναχθέντος E 97. κολλῶδες] καὶ συγκολλητικὸν gl. C 100. συμμέτρως] ἀσυμμέτρως C καθίσαντες] κατευθέντες C, καθεσθέντες E 3. περιγραφὴν] παραγραφὴν EG ἀνεκλείπτοις] omittit cum sequenti γὰρ καὶ M, caeteri ἀνεκλείπτως 4. καὶ διὰ παντὸς omittunt AQV, asterisco notavit Stephanus ἑτοίμοις ABDEQ, τούτοις M, caeteri ἑτοίμως 9. προςεγγίζειν] προςπελάζειν AB



τούτους τοὺς καιροὺς σπανίζοντες τροφῆς, τὸ μὲν πρῶτον τοὺς κόγχους συλλέγουσι τηλικούτους τὸ μέγεθος ὧν εὑρίσκονταί τινες τετραμναῖοι. τὰ μὲν γὰρ κύτη συντρίβουσι λίθους εὐμεγέθεις ἐμβάλλοντες, τὴν δ' ἐντὸς σάρκα κατεσθίουσιν ὠμήν, τῆς γεύσεως οὔσης παρεμφεροῦς τοῖς ὀστρέοις. ἐπὰν δὲ διὰ τὴν συνέχειαν τῶν πνευμάτων ἐπὶ πλείονα χρόνον πληθύειν συμβαίνῃ τὸν Ὠκεανόν, καὶ τὴν εἰωθυῖαν θήραν τῶν ἰχθύων ἐκκλείσῃ τὸ τῆς περιστάσεως ἀδύνατον, ἐπὶ τοὺς κόγχους, ὡς εἴρηται, τρέπονται. εἰ δὲ ἡ ἐκ τῶν κόγχων τροφὴ σπανίζει,
186 καταφεύγουσιν ἐπὶ τὸν τῶν ἀκανθῶν σωρόν. ἐκ τούτου γὰρ ἐκλέγοντες τὰς ἐγχύλους καὶ προςφάτους τῶν ἀκανθῶν διαιροῦσι κατ' ἄρθρον, καὶ τὰς μὲν αὐτόθεν τοῖς ὀδοῦσι κατεργάζονται, τὰς δὲ σκληρὰς λίθοις θραύοντες καὶ προϋπεργαζόμενοι κατεσθίουσι, παραπλησίαν διάθεσιν ἔχοντες τοῖς φωλεύουσι τῶν θηρίων. τῆς μὲν οὖν ξηρᾶς τροφῆς τὸν εἰρημένον τρόπον εὐποροῦσι. τῆς δ' 17
ὑγρᾶς παράδοξον ἔχουσι καὶ παντελῶς ἀπιστουμένην τὴν χρῆσιν. ταῖς μὲν γὰρ θήραις προςκαρτεροῦσιν ἐφ' ἡμέρας τέτταρας, εὐωχούμενοι πανδημεὶ μεθ' ἱλαρότητος καὶ ταῖς ἀνάρθροις ᾠδαῖς ἀλλήλους ψυχαγωγοῦντες· πρὸς δὲ τούτοις ἐπιμίσγονται τότε ταῖς γυναιξὶν αἷς ἂν τύχωσι παιδοποιίας ἕνεκα, πάσης ἀσχολίας ἀπολελυμένοι διὰ τὴν εὐκοπίαν καὶ τὴν ἑτοιμότητα τῆς τροφῆς. τῇ δὲ πέμπτῃ πρὸς τὴν ὑπώρειαν ἐπείγονται πανδημεὶ ποτοῦ χάριν, ἔνθα συῤῥύσεις γλυκέων ὑδάτων εἰσί, πρὸς αἷς οἱ νομάδες τὰς ἀγέλας τῶν θρεμμάτων ποτίζουσιν. ἡ δὲ ὁδοιπορία τούτων παραπλήσιος γίνεται ταῖς ἀγέλαις τῶν βοῶν, πάντων φωνὴν ἀφιέντων οὐκ ἔναρθρον ἀλλ' ἦχον μόνον ἀποτελοῦσαν. τῶν δὲ τέκνων τὰ μὲν νήπια παντελῶς αἱ μητέρες ἐν ταῖς ἀγκάλαις φέρουσι, τὰ δὲ κεχωρισμένα τοῦ γάλακτος οἱ πατέρες, τὰ δ' ὑπὲρ πενταέτη

10. κόγχους] κόχλους AB, κόγχλους D 11. ὧν εὑρίσκονται] ὥςτε εὑρίσκεσθαι G 12. τετραμναῖοι] τετραμναῖοι καὶ τρανοί E, τετραμετραῖοι B, τετραμαῖοι AF, τετραμμαῖοι L κύτη C(D)EV Poggius, caeteri κήτη λίθους εὐμεγέθεις] λίθοις εὐμεγέθοις A, εὐμεγέθεσι B 16. συμβαίνῃ] συμβαίνει A 17. τὸ] διὰ τὸ M 18. ἐπὶ — δὲ omisit D 19. ἡ] ἡ δὲ D κόγχων] κόχλων AB σπανίζει] σπανίζῃ C
186. 20. τὸν AB(D)F, caeteri τὴν ἀκανθῶν] ἀγαθῶν C 27. ἔχουσι omisit C 29. τέτταρας] τέσσαρας D 31. ἐπιμίσγονται τότε ABCDE, caeteri ἐπιμίσγονται 32. ἕνεκα] εἵνεκα A πάσης omisit F 33. καὶ τὴν ἑτοιμότητα suspecta Reiskio 35. ἔνθα] ἵνα A 36. γλυκέων ὑδάτων] ὑδάτων γλυκέων D 37. θρεμμάτων] προβάτων CEQ 39. ἔναρθρον] ἄναρθρον G correctus in marg. ἀποτελοῦσαν] ἐπιτελοῦσιν F sic 40. παντελῶς αἱ μητέρες Reiskius: libri αἱ μητέρες παντελῶς 42. πενταέτη] scribebatur πενταετῆ

χρόνον ὄντα προάγει μετὰ τῶν γονέων σὺν παιδιᾷ, πεπληρωμένα χαρᾶς, ὡς ἂν πρὸς τὴν ἡδίστην ἀπόλαυσιν ὁρμώμενα. ἡ γὰρ φύσις αὐτῶν ἀδιάστροφος οὖσα τὴν ἀναπλήρωσιν τῆς ἐνδείας ἡγεῖται μέγιστον ἀγαθόν, οὐδὲν τῶν ἐπειςάκτων ἡδέων ἐπιζητοῦσα. ὅταν δὲ ταῖς τῶν νομάδων ποτίστραις ἐγγίσωσι καὶ τοῦ ποτοῦ πληρωθῶσι τὰς κοιλίας, ἐπανέρχονται, μόγις βαδίζοντες διὰ τὸ βάρος. κἀκείνην μὲν τὴν ἡμέραν οὐδενὸς γεύονται, κεῖται δ' ἕκαστος ὑπεργέμων καὶ δύςπνους καὶ τὸ σύνολον παρεμφερὴς τῷ μεθύοντι· τῇ δ' ἑξῆς ἐπὶ τὴν ἀπὸ τῶν ἰχθύων πάλιν τροφὴν ἀνακάμπτουσι· καὶ τοῦτον τὸν τρόπον ἡ δίαιτα κυκλεῖται παρ' αὐτοῖς πάντα τὸν τοῦ ζῆν χρόνον. οἱ μὲν οὖν τὴν παράλιον τὴν ἐντὸς τῶν στενῶν κατοικοῦντες οὕτω βιοῦσι, νόσοις μὲν διὰ τὴν ἁπλότητα τῆς τροφῆς σπανίως περιπίπτοντες, ὀλιγοχρονιώτεροι δὲ πολὺ τῶν παρ' ἡμῖν ὄντες.

18 Τοῖς δὲ τὴν ἐκτὸς τοῦ κόλπου παράλιον νεμομένοις πολλῷ τούτων παραδοξότερον εἶναι τὸν βίον συμβέβηκεν, ὡς ἂν ἄδιψον ἐχόντων καὶ ἀπαθῆ τὴν φύσιν. ἀπὸ γὰρ τῶν οἰκουμένων τόπων εἰς τὴν ἔρημον ὑπὸ τῆς τύχης ἐκτετοπισμένοι τῆς μὲν ἀπὸ τῶν ἰχθύων ἄγρας εὐποροῦσιν, ὑγρὰν δὲ τροφὴν οὐκ ἐπιζητοῦσι. προςφερόμενοι γὰρ τὸν ἰχθὺν ἔγχυλον, μικρὰν ἔχοντα τῶν ὠμῶν τὴν παραλλαγήν, οὐχ οἷον ὑγρὰν τροφὴν ἐπιζητοῦσι ποτοῦ, ἀλλ' οὐδ' ἔννοιαν ἔχουσι. στέργουσι δὲ τὴν ἐξ ἀρχῆς δίαιταν ὑπὸ τῆς τύχης αὐτοῖς προςκληρωθεῖσαν, εὐδαιμονίαν ἡγούμενοι τὴν ἐκ τῆς ἐνδείας αὐτοῦ τοῦ λυποῦντος ὑπεξαίρεσιν. τὸ δὲ πάντων παραδοξότατον, ἀπαθείᾳ τοσοῦτον ὑπερβάλλουσι πάντας ὥςτε 187 μὴ ῥᾳδίως πιστευθῆναι τὸν λόγον. καίτοι γε πολλοὶ τῶν ἀπ' Αἰγύπτου πλεόντων διὰ τῆς ἐρυθρᾶς θαλάττης ἔμποροι μέχρι τοῦ νῦν πολλάκις προςπεπλευκότες πρὸς τὴν τῶν ἰχθυοφάγων χώραν ἐξηγοῦνται σύμφωνα τοῖς ὑφ' ἡμῶν εἰρημένοις περὶ τῶν ἀπαθῶν ἀνθρώπων. καὶ ὁ τρίτος δὲ Πτολεμαῖος ὁ φιλοτιμηθεὶς περὶ τὴν θήραν τῶν ἐλεφάντων τῶν περὶ τὴν χώραν ταύτην ὄντων ἐξέπεμψεν ἕνα τῶν φίλων, ὄνομα Σιμμίαν, κατασκεψόμενον

44. ὁρμώμενα] ὁρώμενα F  48. πληρωθῶσι] fortasse scribendum πληρώσωσι, quemadmodum apud Agatharchidem est πληρώσαντες τὰς κοιλίας  51. δύςπνους] ἡδύπνους AB  55. τῶν στενῶν] τοῦ στενοῦ ABD  56. οὕτω D, caeteri οὕτως  ἁπλότητα] ἁπαλότητα ABD  59. παράλιον] πάλιν BD  66. οἷον] οὕτως B  ποτοῦ commodius post ἔχουσι poni crediderim

187. 73. θαλάττης] θαλάσσης omnes  79. Σιμμίαν] Simiam Poggius



τὴν χώραν. οὗτος δὲ μετὰ τῆς ἁρμοττούσης χορηγίας ἀποσταλεὶς ἀκριβῶς, ὥς φησιν Ἀγαθαρχίδης ὁ Κνίδιος ἱστοριογράφος, ἐξήτασε τὰ κατὰ τὴν παραλίαν ἔθνη. φησὶν οὖν τὸ τῶν ἀπαθῶν Αἰθιόπων ἔθνος τὸ σύνολον ποτῷ μὴ χρῆσθαι, μηδὲ τὴν φύσιν αὐτῶν ἐπιζητεῖν διὰ τὰς προειρημένας αἰτίας. καθόλου δ' ἀποφαίνεται μήτ' εἰς σύλλογον ἔρχεσθαι πρὸς τοὺς ἀλλοεθνεῖς μήτε τὸ ξένον τῆς ὄψεως τῶν προςπλεόντων κινεῖν τοὺς ἐγχωρίους, ἀλλ' ἐμβλέποντας ἀτενῶς ἀπαθεῖς ἔχειν καὶ ἀκινήτους τὰς αἰσθήσεις ὡς ἂν μηδενὸς παρόντος. οὔτε γὰρ ξίφος σπασαμένου τινὸς καὶ καταφέροντος ὑπεξέφυγον, οὔθ' ὕβριν οὔτε πληγὰς ὑπομένοντες ἠρεθίζοντο, τό τε πλῆθος οὐ συνηγανάκτει τοῖς πάσχουσιν, ἀλλ' ἐνίοτε τέκνων ἢ γυναικῶν σφαττομένων ἐν ὀφθαλμοῖς ἀπαθεῖς ταῖς διαθέσεσιν ἔμενον, οὐδεμίαν ἔμφασιν ὀργῆς ἢ πάλιν ἐλέου διδόντες. καθόλου δὲ τοῖς ἐκπληκτικωτάτοις δεινοῖς περιπίπτοντες ἠρεμαῖοι διέμενον, βλέποντες μὲν ἀτενῶς εἰς τὰ συντελούμενα, ταῖς δὲ κεφαλαῖς παρ' ἕκαστα διανεύοντες. διὸ καί φασιν αὐτοὺς διαλέκτῳ μὲν μὴ χρῆσθαι, μιμητικῇ δὲ δηλώσει διὰ τῶν χειρῶν διασημαίνειν ἕκαστα τῶν πρὸς τὴν χρείαν ἀνηκόντων. καὶ τὸ πάντων θαυμασιώτατον, φῶκαι τοῖς γένεσι τούτοις συνδιατρίβουσαι θήραν ποιοῦνται τῶν ἰχθύων καθ' αὑτὰς παραπλησίως ἀνθρώποις. ὁμοίως δὲ καὶ περὶ τὰς κοίτας καὶ τὴν τῶν γεννηθέντων ἀσφάλειαν μεγίστῃ πίστει τὰ γένη ταῦτα χρῆσθαι πρὸς ἄλληλα. χωρὶς γὰρ ἀδικήματος ἀλλοφύλοις ζῴοις ἡ συναναστροφὴ γίνεται μετ' εἰρήνης καὶ πάσης εὐλαβείας. οὗτος μὲν οὖν ὁ βίος, καίπερ ὢν παράδοξος, ἐκ παλαιῶν χρόνων τετήρηται τοῖς γένεσι τούτοις, εἴτε ἐθισμῷ διὰ τὸν χρόνον εἴτε ἀναγκαίᾳ χρείᾳ διὰ τὸ κατεπεῖγον ἡρμοσμένος.

Οἰκήσεσι δὲ τὰ ἔθνη οὐχ ὁμοίαις χρῆται, πρὸς δὲ 19
τὰς τῆς περιστάσεως ἰδιότητας διηλλαγμέναις ἐμβιοῦσι. τινὲς μὲν γὰρ ἐν σπηλαίοις κατοικοῦσι κεκλιμένοις μάλιστα πρὸς τὰς ἄρκτους, ἐν οἷς καταψύχουσιν ἑαυτοὺς διά τε τὸ βάθος τῆς σκιᾶς καὶ διὰ τὰς περιπνεούσας

82. ἐξήτασε BD, ἐζήτησε CEQ, caeteri ἐξήταξε  παραλίαν] ἱστορίαν ABDFG  84. μηδὲ] μὴ δὲ E  86. πρὸς τοὺς] τοὺς A  91. οὔτε] immo οὐδὲ  93. ἢ γυναικῶν σφαττομένων ABD, caeteri καὶ γυναικῶν αποσφαττομένων  95. ἐλέου BCDE, caeteri ἐλέους  4. κοίτας] κοίτας καὶ τεκνώσεις ABD, κοίτας καὶ τὰς καμαροειδεῖς καὶ τεκνώσεις C  5. ταῦτα χρῆσθαι] χρῆσθαι ταῦτα D  7. οὗτος] οὐ FG  11. ἡρμοσμένος] ἡρμοσμένοις AB  12. ὁμοίαις] ὁμοίως ABDFG: post id τοῖς ἰχθυοφάγοις omisi auctore Schaefero  14. διηλλαγμέναις] διηλλαγμένως ABD

αὔρας· τὰ μὲν γὰρ πρὸς μεσημβρίαν νεύοντα, τοῖς ἴπνοις παραπλησίαν ἔχοντα τὴν θερμασίαν, ἀπρόσιτα τοῖς ἀνθρώποις ἐστὶ διὰ τὴν τοῦ καύματος ὑπερβολήν. οἱ δὲ τῶν πρὸς ἄρκτον νευόντων σπηλαίων σπανίζοντες ἀθροίζουσι τὰς πλευρὰς τῶν ἐκ τοῦ πελάγους ἐκπιπτόν- 188
των κητῶν· τῆς δὲ τούτων δαψιλείας πολλῆς οὔσης, καταπλέξαντες ἐξ ἑκατέρου μέρους κύρτας πρὸς ἀλλήλας νενευκυίας τῷ προσφάτῳ φύκει ταύτας διαπλέκουσι. σκεπαζομένης οὖν τῆς καμάρας ἐν ταύτῃ τὸ βαρύτατον τοῦ καύματος ἀναπαύονται, τῆς κατὰ φύσιν χρείας αὐτοδίδακτον τέχνην ὑφηγουμένης. τρίτος δὲ τρόπος ἐστὶ τοῖς ἰχθυοφάγοις τῆς σκηνώσεως τοιοῦτος. ἐλαῖαι φύονται πάνυ πολλαὶ περὶ τοὺς τόπους τούτους, τὰ μὲν πρὸς τὴν ῥίζαν ἔχουσαι προσκλυζόμενα τῇ θαλάττῃ, πυκναὶ δὲ τοῖς φυλλώμασι, τὸν δὲ καρπὸν ὅμοιον ἔχουσαι τῷ κασταναϊκῷ καρύῳ. ταύτας ἀλλήλαις συμπλέκοντες καὶ συνεχῆ σκιὰν ποιοῦντες ἰδιαζούσαις σκηναῖς ἐμβιοῦσιν· ἅμα γὰρ ἐν γῇ καὶ θαλάττῃ διατρίβοντες ἐπιτερπῶς διεξάγουσι, τὸν μὲν ἥλιον φεύγοντες τῇ διὰ τῶν ἀκρεμόνων σκιᾷ, τὸ δὲ φυσικὸν περὶ τοὺς τόπους καῦμα τῇ συνεχεῖ τοῦ κύματος προσκλύσει διορθούμενοι, ταῖς δὲ περιπνοαῖς τῶν εὐκαίρων ἀνέμων εἰς ῥαστώνην ἄγοντες τὰ σώματα. ῥητέον δ' ἡμῖν καὶ περὶ τοῦ τετάρτου μέρους τῆς σκηνώσεως. ἐκ γὰρ τοῦ παντὸς αἰῶνος σεσώρευται τοῦ μνίου φόρτος ἄπλατος, ὄρει παρεμφερής· οὗτος ὑπὸ τῆς συνεχοῦς τοῦ κύματος πληγῆς πεπιλημένος τὴν φύσιν ἔχει στερέμνιον καὶ συμπεπλεγμένην ἄμμῳ. ἐν τούτοις οὖν τοῖς ἀναστήμασιν ὑπονόμους ἀνδρομήκεις ὀρύττοντες, τὸν μὲν κατὰ κορυφὴν τόπον ἐῶσι στέγην, κάτωθεν δ' αὐλῶνας παραμήκεις καὶ πρὸς

18. ἴπνοις] πυρίπνοις CEGQ  παραπλησίαν] παραπλησίως D

188. 22. κητῶν omittunt AD  24. κύρτας] κυρτὰς καὶ AB(D), κυρτὰς καὶ καμαροειδεῖς στέγας CE, caeteri κυρτὰς  26. οὖν AC(D)EFG, caeteri γὰρ  29. ἐλαῖαι Casaubonus: libri ἐλάται  31. πρὸς] περὶ ACFG  προσκλυζόμενα] περικλυζόμενα B  33. κασταναϊκῷ Agatharchides: libri κασταΐνῳ  35. γὰρ] μὲν γὰρ A  ἐν γῇ καὶ θαλάττῃ] καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ A  36. τῇ διὰ τῶν ἀ. σκιᾷ] διὰ τῆς τῶν ἀ. σκιᾶς A  39. περιπνοαῖς D, τερπναῖς πνοαῖς B, πνοαῖς AFG, caeteri περιπνοίαις  40. ῥαστώνην] καὶ ἄνεσιν gl. C  42. μνίου] μενίου FG, καὶ τοῦ βρύου gl. C  φόρτος] φύρτος post ἄπλαστος positum A  ἄπλατος ὄρει BD, ἄπλαστος — ὄρει A, ἀπλέτῳ σωρείᾳ E, ἀπλέτῳ σωρείᾳ καὶ σωρεύσει C, caeteri ἄπλετος ὄρει  43. κύματος Wesselingius, non animadvertens idem reddidisse Poggium *maris fluctibus*: libri καύματος  44. στερέμνιον] καὶ στερεὰν gl. C  45. συμπεπλεγμένην ABC(D)FGMQ, caeteri συμπεπιλημένην  47. αὐλῶνας] ἤτοι διατομὰς αὐλοειδεῖς gl. V



ἀλλήλους συντετρημένους κατασκευάζουσιν. ἐν δὲ τούτοις ἀναψύχοντες ἑαυτοὺς ἀλύπους κατασκευάζουσι, καὶ κατὰ τὰς ἐπικλύσεις τῶν κυμάτων ἐκπηδῶντες περὶ τὴν θήραν τῶν ἰχθύων ἀσχολοῦνται· ὅταν δὲ ἄμπωτις γένηται, κατευωχησόμενοι τὰ ληφθέντα συμφεύγουσι πάλιν εἰς τοὺς προειρημένους αὐλῶνας. τοὺς δὲ τελευτήσαντας θάπτουσι κατὰ μὲν τὸν τῆς ἀμπώτεως καιρὸν ἐῶντες ἐῤῥιμμένους, ὅταν δ' ἡ πλημμυρὶς ἐπέλθῃ, ῥίπτουσιν εἰς τὴν θάλατταν τὰ σώματα. διὸ καὶ τὴν ἰδίαν ταφὴν τροφὴν τῶν ἰχθύων ποιούμενοι κυκλούμενον ἰδιοτρόπως τὸν βίον ἔχουσι παρ' ὅλον τὸν αἰῶνα.

20
Ἓν δὲ γένος τῶν ἰχθυοφάγων τοιαύτας ἔχει τὰς οἰκήσεις ὥστε πολλὴν ἀπορίαν παρέχεσθαι τοῖς τὰ τοιαῦτα φιλοτιμουμένοις ζητεῖν. ἐν γὰρ ἀποκρήμνοις φάραγξι καθίδρυνταί τινες, εἰς ἃς ἐξ ἀρχῆς ἦν ἀδύνατον παρα-
189 βάλλειν τοὺς ἀνθρώπους, ἄνωθεν μὲν ἐπεχούσης πέτρας ὑψηλῆς καὶ πανταχόθεν ἀποτόμου, ἐκ πλαγίων δὲ κρημνῶν ἀπροσίτων ὑφαιρουμένων τὰς παρόδους, τὴν δὲ λοιπὴν πλευρὰν τοῦ πελάγους ὁρίζοντος, ὃ πεζῇ μὲν διελθεῖν ἀδύνατον, σχεδίαις δὲ οὐ χρῶνται τὸ παράπαν, πλοίων τε τῶν παρ' ἡμῖν ὑπαρχουσιν ἀνεννόητοι. τοιαύτης δὲ ἀπορίας περὶ αὐτοὺς οὔσης, ὑπολείπεται λέγειν αὐτόχθονας αὐτοὺς ὑπάρχειν, ἀρχὴν μὲν τοῦ πρώτου γένους μηδεμίαν ἐσχηκότας, ἀεὶ δ' ἐξ αἰῶνος γεγονότας, καθάπερ ἔνιοι τῶν φυσιολόγων περὶ πάντων τῶν φυσιολογουμένων ἀπεφήναντο. ἀλλὰ γὰρ περὶ μὲν τῶν τοιούτων ἀνεφίκτου τῆς ἐπινοίας ἡμῖν οὔσης οὐδὲν κωλύει τοὺς τὰ πλεῖστα ἀποφηναμένους ἐλάχιστα γινώσκειν, ὡς ἂν τῆς ἐν τοῖς λόγοις πιθανότητος τὴν μὲν ἀκοὴν πειθούσης, τὴν δ' ἀλήθειαν οὐδαμῶς εὑρισκούσης.

21
Ῥητέον δ' ἡμῖν καὶ περὶ τῶν καλουμένων χελωνοφάγων, ὃν τρόπον ἔχουσι τὴν ὅλην διάθεσιν τοῦ βίου. νῆσοι γάρ εἰσι κατὰ τὸν Ὠκεανὸν πλησίον τῆς γῆς κείμεναι, πολλαὶ μὲν τὸ πλῆθος, μικραὶ δὲ τοῖς μεγέθεσι

48. συντετρημένους] συντετριμμένους AD, τετρημένους B  49. ἀλύπους] ἀλύπως C  52. κατευωχησόμενοι Eichstadius et Schaeferus apud Hermannum ad Viger. p. 775.: libri κατευωχησάμενοι  ληφθέντα] λειφθέντα D  54. μὲν Iacobsius Additamentis ad Athenaeum p. 321.: libri μονον  57. ταφὴν omisit A  τῶν ἰχθύων] τοῖς ἰχθῦσι E  ποιούμενοι] ποιοῦνται C a correctore, Q  58. κυκλούμενον — 59. αἰῶνα om. EQ, delet C  64. μὲν] μὲν γὰρ AB  ἐπεχούσης] ἐχούσης ABF

189. 68. σχεδίαις] σχεδίᾳ E  δὲ οὐ χρῶνται] ὁμοίως ἀδύνατον, ὅτι ταῖς οὐ χρῶνται G  71. ὑπολείπεται] ἀπολείπεται CE  72. ἐσχηκότας AB(D) et, ut videtur, Poggius, caeteri ἐσχηκότος  73. ἀεὶ] αἰεὶ D  74. περὶ — φυσιολογουμένων om. E  75. ἀνεφίκτου] καὶ ἀδυνάτου gl. C

καὶ ταπειναί, καρπὸν δὲ οὔθ᾽ ἥμερον οὔτ᾽ ἄγριον ἔχουσαι. ἐν ταύταις διὰ τὴν πυκνότητα κῦμα μὲν οὐ γίνεται, τοῦ κλύδωνος θραυομένου περὶ τὰς ἄκρας τῶν νήσων, χελωνῶν δὲ θαλαττίων πλῆθος ἐνδιατρίβει περὶ τοὺς τόπους τούτους, πανταχόθεν καταφεῦγον πρὸς τὴν ἐκ τῆς γαλήνης σκέπην. αὗται δὲ τὰς μὲν νύκτας ἐν βυθῷ διατρίβουσιν ἀσχολούμεναι περὶ τὴν νομήν, τὰς δ᾽ ἡμέρας εἰς τὴν ἀνὰ μέσον τῶν νήσων θάλατταν φοιτῶσαι κοιμῶνται μετέωροι τοῖς κύτεσι πρὸς τὸν ἥλιον, παρεμφερῆ τὴν πρόςοψιν ποιοῦσαι ταῖς κατεστραμμέναις ἀκάτοις· ἐξαίσιοι γὰρ τοῖς μεγέθεσιν ὑπάρχουσι καὶ τῶν ἐλαχίστων ἁλιάδων οὐκ ἐλάττους. οἱ δὲ τὰς νήσους κατοικοῦντες βάρβαροι κατὰ τοῦτον τὸν καιρὸν ἠρέμα προςνήχονται ταῖς χελώναις· πρὸς ἑκάτερον δὲ μέρος πλησιάσαντες, οἱ μὲν πιέζουσιν, οἱ δ᾽ ἐξαίρουσιν, ἕως ἂν ὕπτιον γένηται τὸ ζῷον. ἔπειθ᾽ οἱ μὲν ἐξ ἑκατέρου μέρους οἰακίζουσι τὸν ὅλον ὄγκον, ἵνα μὴ στραφὲν τὸ ζῷον καὶ νηξάμενον τῷ τῆς φύσεως βοηθήματι φύγῃ κατὰ βάθους, εἷς δ᾽ ἔχων μέρμιθα μακρὰν καὶ δήσας τῆς οὐρᾶς νήχεται πρὸς τὴν γῆν καὶ προςέλκεται μετάγων τὸ ζῷον ἐπὶ τὴν χέρσον συμπαρακομιζομένων τῶν ἐξ ἀρχῆς τὴν ἐπίθεσιν πεποιημένων. ὅταν δ᾽ εἰς τὴν νῆσον ἐκκομίσωσι, τὰ μὲν ἐντὸς πάντα βραχὺν χρόνον ἐν ἡλίῳ παροπτήσαντες κατευωχοῦνται, τοῖς δὲ κύτεσιν οὖσι σκαφοειδέσι χρῶνται πρός τε τὸν εἰς τὴν ἤπειρον 190 διάπλουν, ὃν ποιοῦνται τῆς ὑδρείας ἕνεκεν, καὶ πρὸς τὰς σκηνώσεις, τιθέντες πρηνεῖς ἐφ᾽ ὑψηλῶν τόπων, ὥςτε δοκεῖν τούτοις τὴν φύσιν δεδωρῆσθαι μιᾷ χάριτι πολλὰς χρείας· τὴν γὰρ αὐτὴν αὐτοῖς εἶναι τροφήν, ἀγγεῖον, οἰκίαν, ναῦν. οὐ μακρὰν δὲ τούτων διεστῶτες

84. ἔχουσαι ABC(D)E, caeteri ἔχουσιν  90. τὴν νομήν] τὴν τροφὴν καὶ τὴν νομήν AB  91. φοιτῶσαι] φοιτῶσι καὶ ABDE
92. τοῖς κύτεσι B(D), τοῖς ἑαυτῶν ὀστράκοις gl. C, caeteri τοῖς σκύτεσι  95. ἁλιάδων] τῶν ἁλιευτικῶν σανδαλίων gl. C „*qua voce serior Graecia navim designavit. Vid. Glossar. Du Cange in* Σάνδαλις.“ Wessel.  96. προςνήχονται ABC(D)EFGQ Poggius, caeteri προςέρχονται  98. ἕως ἂν] ἕως omnes: ὡς vertit Poggius
99. ὕπτιον] καὶ ἄνω καὶ κάτω ἐξηπλωμένον gl. C  100. οἰακίζουσι] αἰκίζουσι FQ  2. μέρμιθα Wesselingius, μέρμινθα DG tanquam ab μέρμινς, ut ἕλμινθα, πείρινθα dicitur, μέρμυνθα B, μέρμηνθα AF, μέρινθα C, caeteri μήρινθον  καὶ δήσας τῆς οὐρᾶς servarunt ABC(D)EM Poggius  3. προςέλκεται] προςέρχεται AB  μετάγων] μετάλλων D, μετ᾽ ἄλλων B, μέταλλον A  7. κύτεσιν AB(D) Poggius, caeteri σκύτεσιν

190. 9. ὑδρείας] ὑδρίας C.  11. χάριτι A(D) Poggius, caeteri γὰρ χάριτι  τὴν γὰρ A(D) Poggius, caeteri τὴν  12. αὐτὴν omisit (?) A



νέμονται τὴν παράλιον βάρβαροι βίον ἀνώμαλον ἔχοντες. διατρέφονται γὰρ ἀπὸ τῶν ἐκπιπτόντων εἰς τὴν χέρσον κητῶν, ποτὲ μὲν δαψίλειαν τροφῆς ἔχοντες διὰ τὰ μεγέθη τῶν εὑρισκομένων θηρίων, ποτὲ δὲ διαλειμμάτων γινομένων κακῶς ἀπαλλάττουσιν ὑπὸ τῆς ἐνδείας· καθ᾽ ὃν δὴ χρόνον ἀναγκάζονται κατεργάσασθαι διὰ τὴν σπάνιν τῶν ἀρχαίων ὀστῶν χόνδρους καὶ τὰς ἄκρας τῶν πλευρῶν ἐκφύσεις. τῶν μὲν οὖν ἰχθυοφάγων τὰ γένη τοσαῦτ᾽ ἐστὶ καὶ τοιούτοις χρῶνται βίοις, ὡς ἐν κεφαλαίοις εἰπεῖν.

22 Ἡ δὲ κατὰ τὴν Βαβυλωνίαν παράλιος συνάπτει μὲν ἡμέρῳ καὶ καταφύτῳ χώρᾳ, τοσοῦτο δὲ πλῆθός ἐστι τῶν ἰχθύων τοῖς ἐγχωρίοις ὥςτε τοὺς ἀναλίσκοντας μὴ δύνασθαι ῥᾳδίως περιγενέσθαι τῆς δαψιλείας. παρὰ γὰρ τοὺς αἰγιαλοὺς ἱστᾶσι καλάμους πυκνοὺς καὶ πρὸς ἀλλήλους διαπεπλεγμένους, ὥςτε τὴν πρόςοψιν ὁμοίαν εἶναι δικτύῳ παρὰ θάλατταν ἑστηκότι. κατὰ δὲ πᾶν τὸ ἔργον ὑπάρχουσι πυκναὶ θύραι, τῇ μὲν πλοκῇ ταρσώδεις, τὰς στροφὰς δ᾽ ἔχουσαι πρὸς τὰς εἰς ἑκάτερα τὰ μέρη κινήσεις εὐλύτους. ταύτας ὁ κλύδων φερόμενος μὲν εἰς τὴν γῆν κατὰ τὸν τῆς πλημμυρίδος καιρὸν ἀνοίγει, παλισσυτῶν δὲ κατὰ τὴν ἄμπωτιν ἀποκλείει. διόπερ συμβαίνει καθ᾽ ἑκάστην ἡμέραν πλημμυρούσης μὲν τῆς θαλάττης ἐκ βυθοῦ τοὺς ἰχθῦς συνεκφερομένους διὰ τῶν θυρῶν παρειςπίπτειν, ἀναχωρούσης δὲ μὴ δύνασθαι τοῖς ὑγροῖς συνδιαῤῥεῖν διὰ τῆς τῶν καλάμων πλοκῆς. διὸ καὶ παρὰ τὸν Ὠκεανὸν ἐνίοτε σωροὺς ἰχθύων σπαιρόντων ὁρᾶν ἔστι γινομένους, οὓς ἀναλεγόμενοι συνεχῶς οἱ πρὸς τούτοις τεταγμένοι δαψιλεῖς ἀπολαύσεις ἔχουσι καὶ μεγάλας προςόδους. ἔνιοι δὲ τῶν περὶ τοὺς τόπους διατριβόντων, πεδιάδος τε καὶ ταπεινῆς τῆς χώρας ὑπαρχούσης, τάφρους ὀρύττουσιν ἀπὸ θαλάττης εὐρείας ἐπὶ πολλοὺς

14. διατρέφονται — 16. ἔχοντες om. F  15. δαψίλειαν] δαψιλείαν omnes  18. ὑπὸ AB(D), caeteri ἀπὸ  δὴ ABC(D), caeteri ἤδη  19. κατεργάσασθαι] κατεργάζεσθαι D  20. χόνδρους] ἤτοι τὰ τρυφερώτερα καὶ μαλακώτερα τῶν ὀστῶν μέρη gl. C
21. ἐστὶ AD, caeteri εἰσὶ  22. κεφαλαίοις AB, κεφαλαιοῖς D, caeteri κεφαλαίῳ  24. καὶ καταφύτῳ] καταφύτῳ ABD  τοσοῦτο] τοσοῦτον AB  πλῆθός ἐστι] ἐστι πλῆθος D  29. πᾶν τὸ] πᾶν omnes  30. ὑπάρχουσι] ὑπάρχουσαι AB  πυκναὶ — ἔχουσαι omisit A  ταρσώδεις] ταρσωταί CEFMQV, καὶ καλαθωταί gl. V  31. τὰς στροφὰς] στροφεῖς CE  32. εὐλύτους] ἀλύτους AB, εὐλόγους E  38. συνδιαῤῥεῖν] διαῤῥεῖν AB
39. Ὠκεανὸν] καιρὸν ABD  40. σπαιρόντων BD, *psallentium* Poggius, ἐπερωτῶν F, caeteri ἐπαιρόντων  41. τούτοις] ταῦτα AB  44. θαλάττης D, caeteri θαλάσσης

σταδίους μέχρι τῶν ἰδίων ἐπαύλεων. ῥαβδωτὰς δὲ θύρας ἐπ᾽ ἄκρας αὐτὰς ἐπιστήσαντες, ἀναβαινούσης μὲν τῆς πλημμυρίδος ἀνοίγουσιν, εἰς δὲ τοὐναντίον μεταπιπτούσης κλείουσιν. εἶτα τῆς μὲν θαλάττης διὰ τῶν τῆς θύρας ἀραιωμάτων ἀποῤῥεούσης, τῶν δ᾽ ἰχθύων ἀποληφθέντων ἐν ταῖς τάφροις, ταμιεύονται καὶ λαμβάνουσιν ὅσους ἂν προαιρῶνται καὶ καθ᾽ ὃν ἂν χρόνον βούλωνται.

23 Διεληλυθότες δὲ περὶ τῶν παροικούντων τὴν ἀπὸ 191 τῆς Βαβυλωνίας παράλιον ἕως Ἀραβίου κόλπου περὶ τῶν ἑξῆς τούτοις ἐθνῶν διέξιμεν. κατὰ γὰρ τὴν Αἰθιοπίαν τὴν ὑπὲρ Αἰγύπτου παρὰ τὸν Ἄσαν καλούμενον ποταμὸν παροικεῖ τὸ τῶν ῥιζοφάγων ἔθνος. ἐκ γὰρ τῶν πλησιοχώρων τὰς ῥίζας τῶν καλάμων ὀρύττοντες οἱ βάρβαροι πλύνουσι φιλοτίμως· ποιήσαντες δὲ καθαρὰς κόπτουσι λίθοις, μέχρι ἂν γένηται τὸ ἔργον λεῖον καὶ κολλῶδες· ἔπειτα περιπλάσαντες χειροπληθιαίους ὄγκους ἐν ἡλίῳ παροπτῶσι, καὶ ταύτῃ χρώμενοι τροφῇ πάντα τὸν βίον διατελοῦσιν. ἀνεκλείπτους δ᾽ ἔχοντες τὰς τῆς τροφῆς ταύτης δαψιλείας, καὶ πρὸς ἀλλήλους ἀεὶ εἰρήνην ἄγοντες, ὑπὸ πλήθους λεόντων πολεμοῦνται. ἐμπύρου γὰρ τοῦ πέριξ ἀέρος ὄντος ἐκ τῆς ἐρήμου πρὸς αὐτοὺς φοιτῶσι λέοντες σκιᾶς ἕνεκεν, οἱ δὲ καὶ θήρας τῶν ἐλαττόνων θηρίων. διόπερ τοὺς ἐκ τῶν τελμάτων ἐξιόντας τῶν Αἰθιόπων ὑπὸ τούτων τῶν θηρίων ἀναλίσκεσθαι συμβαίνει. ἀδυνατοῦσι γὰρ ὑφίστασθαι τὰς ἀλκὰς τῶν λεόντων, ὡς ἂν μηδεμίαν βοήθειαν ὅπλων ἔχοντες, καὶ πέρας ἄρδην ἂν αὐτῶν διεφθάρη τὸ γένος, εἰ μὴ φύσις τι αὐτοῖς αὐτόματον ἐποίησε βοήθημα. ὑπὸ γὰρ τὴν ἀνατολὴν τοῦ κυνὸς παραδόξως, μηδεμιᾶς γινομένης μυίας περὶ τοὺς τόπους, τοσοῦτο πλῆθος ἀθροίζεται κωνώπων, ὑπερέχον δυνάμει τοὺς γνωριζομένους, ὥςτε τοὺς μὲν ἀνθρώπους καταφυγόντας εἰς τὰς ἑλώδεις λίμνας μηδὲν πάσχειν, τοὺς δὲ λέοντας πάντας φεύγειν ἐκ τῶν τόπων, ἅμα μὲν ὑπὸ τοῦ δηγμοῦ κακουχουμένους, ἅμα δὲ τὸν ἀπὸ τῆς φωνῆς ἦχον καταπεπληγμένους.

24 Ἐχόμενοι δὲ τούτοις εἰσὶν οἵ τε ὑλοφάγοι καὶ οἱ σπερματοφάγοι καλούμενοι. τούτων δ᾽ οἱ μὲν ὑπὸ τὴν θερείαν τὸν πίπτοντα καρπὸν ἀπὸ τῶν δένδρων ὄντα πολὺν ἀθροίζοντες ἀπόνως διατρέφονται, κατὰ δὲ τὸν ἄλλον καιρὸν τῆς βοτάνης τῆς ἐν ταῖς σκιαζομέναις συναγκείαις φυομένης προςφέρονται τὴν προςηνεστάτην. στερεὰ γὰρ οὖσα τὴν φύσιν καὶ καυλὸν ἔχουσα παραπλήσιον ταῖς γινομέναις βουνιάσιν ἐκπληροῖ τὴν τῆς ἀναγκαίας τροφῆς ἔνδειαν. οἱ δὲ ὑλοφάγοι μετὰ τέκνων καὶ γυναικῶν ἐπὶ τὰς νομὰς ἐξιόντες ἀναβαίνουσιν ἐπὶ τὰ δένδρα, καὶ τοὺς ἁπαλοὺς τῶν ἀκρεμόνων προςφέρονται. τοιαύτην δ᾽ ἐκ τῆς συνεχοῦς μελέτης τὴν ἐπ᾽ ἄκρους τοὺς κλάδους ἀναδρομὴν ποιοῦνται πάντες ὥςτε ἄπιστον εἶναι τὸ γινόμενον· καὶ γὰρ μεταπηδῶσιν ἀπὸ ἑτέρου ἐφ᾽ ἕτερον δένδρον ὁμοίως τοῖς ὀρνέοις, καὶ τὰς 192 ἀναβάσεις ἐπὶ τῶν λεπτοτάτων κλάδων ποιοῦνται χωρὶς κινδύνων. ἰσχνότητι γὰρ σώματος καὶ κουφότητι διαφέροντες, ἐπειδὰν τοῖς ποσὶ σφάλλωνται, ταῖς χερσὶν ἀντιλαμβάνονται· κἂν τύχωσι πεσόντες ἀφ᾽ ὕψους, οὐδὲν πάσχουσι διὰ τὴν κουφότητα. καὶ πάντα δὲ κλάδον ἔγχυλον τοῖς ὀδοῦσι κατεργαζόμενοι πέττουσιν εὐκόπως ταῖς κοιλίαις. οὗτοι δ᾽ ἀεὶ βιοῦσι γυμνοὶ μὲν ἐσθῆτος, κοιναῖς δὲ χρώμενοι γυναιξίν· ἀκολούθως δὲ καὶ τοὺς γεννηθέντας παῖδας κοινοὺς ἡγοῦνται. διαπολεμοῦσι δὲ πρὸς ἀλλήλους περὶ τῶν τόπων ῥάβδοις ὡπλισμένοι, καὶ ταύταις ἀμυνόμενοι τοὺς ἐναντίους διασπῶσι τοὺς χειρωθέντας. τελευτῶσι δ᾽ αὐτῶν οἱ πλεῖστοι λιμῷ κα-

46. ῥαβδωτὰς] ἐκ ῥάβδων συγκειμένας gl. C, ῥάβδων θύρας πεποιηκότες. τὰς ABD, ῥάβδων FG δὲ om. FG αὐτὰς] αὐτοῖς BD 49. θαλάττης D, caeteri θαλάσσης 50. ἀποληφθέντων] ἀπολειφθέντων D ταῖς (D), caeteri τοῖς

191. 56. Αἰγύπτου] Αἴγυπτον B Ἄσαν] *Astapam* Poggius Wesselingii, *Asam* meus: vide annotationem 57. πλησιοχώρων] ἑλῶν addit Rhodomannus 60. μέχρι] μέχρις omnes 61. περιπλάσαντες ABDF, caeteri ἀναπλάσαντες χειροπληθιαίους ABC(D)EFGQ, caeteri χειροπληθεῖς ὄγκους] λίθους BDFG Poggius 63. τροφῆς] τρυφῆς B 70. λεόντων] ἀλόντων B 72. γένος ABD, caeteri ἔθνος 73. τι M, caeteri τις 74. γινομένης D, caeteri γενομένης 75. μυίας AB(D), caeteri νηνεμίας τοσοῦτο] τοσοῦτον AB

79. δηγμοῦ BDFG Agatharchides, δήγματος A, *morsu* Poggius, caeteri λιμοῦ 80. ἅμα δὲ — καταπεπλ. omisit A 83. θερείαν] καὶ τὴν τοῦ θέρους ὥραν gl. V 86. post συναγκείαις quae addebantur σχιζομένης καὶ delenda vidit Reiskius omiseratque Poggius: sic inter σχιζομένη et σκιαζομένη variat scriptura apud Strabonem vol. II. p. 292. Sieb. 89. γινομέναις] καλουμέναις Agatharchides βουνιάσιν] καὶ ἐν τοῖς βορνίοις βοτάναις gl. C 91. ἐξιόντες] ἐξιέντες B 92. δένδρα] δένδρη AC

192. 99. ποσὶ σφάλλωνται Rhodomannus, ποσὶν σφάλλωνται (D), *si quando pedes labantur* Poggius, caeteri ποσὶν ἐφάλλωνται 100. ἀντιλαμβάνονται] ἐπιλαμβάνονται CEQ 2. εὐκόπως C(D)EFGQ, ἀκόπως AB, caeteri εὐκόλως 4. κοιναῖς AB(D)G Poggius, caeteri κοινῇ 5. δὲ καὶ] καὶ D 6. ῥάβδοις] ῥάβδους E 7. διασπῶσι τοὺς χειρωθέντας] διαχειροῦσι τοὺς χειρωθέντας FG, διαχειρωθέντας AB 9. λιμῷ AC, ληιμῷ D, caeteri τῷ λιμῷ

ταπονηθέντες, ὅταν τῶν ὀμμάτων ἀπογλαυκωθέντων τὸ σῶμα στερηθῇ τῆς ἀναγκαίας ἐκ ταύτης τῆς αἰσθήσεως χρείας.

25 Τὴν δὲ ἑξῆς χώραν τῶν Αἰθιόπων ἐπέχουσιν οἱ καλούμενοι κυνηγοί, σύμμετροι μὲν κατὰ τὸ πλῆθος, βίον δ' οἰκεῖον ἔχοντες τῇ προσηγορίᾳ. θηριώδους γὰρ οὔσης τῆς χώρας καὶ παντελῶς λυπρᾶς, ἔτι δὲ ὑδάτων ῥύσεις ναματιαίων ἐχούσης ὀλίγας, καθεύδουσι μὲν ἐπὶ τῶν δένδρων διὰ τὸν ἀπὸ τῶν θηρίων φόβον, ὑπὸ δὲ τὴν ἑωθινὴν πρὸς τὰς συῤῥύσεις τῶν ὑδάτων μεθ' ὅπλων φοιτῶντες ἑαυτοὺς ἀποκρύβουσιν εἰς τὴν ὕλην καὶ σκοπεύουσιν ἀπὸ τῶν δένδρων. κατὰ δὲ τὸν τοῦ καύματος καιρόν, ἐρχομένων βοῶν τε ἀγρίων καὶ παρδάλεων καὶ τῶν ἄλλων θηρίων πλήθους πρὸς τὸ ποτόν, ταῦτα μὲν διὰ τὴν ὑπερβολὴν τοῦ τε καύματος καὶ δίψους λάβρον προσφέρεται τὸ ὑγρόν, μέχρι ἂν ἐμπλησθῇ, οἱ δ' Αἰθίοπες γενομένων αὐτῶν βαρέων καὶ δυσκινήτων καταπηδῶντες ἀπὸ τῶν δένδρων καὶ χρώμενοι ξύλοις πεπυρακτωμένοις καὶ λίθοις ἔτι δὲ τοξεύμασι ῥᾳδίως καταπονοῦσι. κατὰ δὲ συστήματα ταύταις χρώμενοι ταῖς κυνηγίαις σαρκοφαγοῦσι τὰ ληφθέντα, καὶ σπανίως μὲν ὑπὸ τῶν ἀλκιμωτάτων ζῴων αὐτοὶ διαφθείρονται, τὰ δὲ πολλὰ δόλῳ τὴν ἐκ βίας ὑπεροχὴν χειροῦνται. ἐὰν δέ ποτε τῶν κυνηγουμένων ζῴων σπανίζωσι, τὰς δορὰς τῶν πρότερον εἰλημμένων βρέξαντες ἐπιτιθέασιν ἐπὶ πῦρ ἁπαλόν· σποδίσαντες δὲ τὰς τρίχας τὰ δέρματα διαιροῦσι, καὶ κατεσθίοντες βεβιασμένως ἀναπληροῦσι τὴν ἔνδειαν. τοὺς δὲ ἀνήβους παῖδας γυμνάζουσιν ἐπὶ σκοπὸν βάλλειν, καὶ μόνοις διδόασι τροφὴν τοῖς ἐπιτυχοῦσι· διὸ καὶ θαυμαστοὶ ταῖς εὐστοχίαις ἄνδρες γίνονται, κάλλιστα διδασκόμενοι ταῖς τοῦ λιμοῦ πληγαῖς.

26 Ταύτης δὲ τῆς χώρας εἰς τὰ πρὸς δυσμὰς μέρη πολὺ διεστηκότες Αἰθίοπες ὑπάρχουσιν ἐλεφαντομάχοι κυνηγοί. νεμόμενοι γὰρ δρυμώδεις καὶ πυκνοὺς τοῖς δένδρεσι τόπους παρατηροῦσι τῶν ἐλεφάντων τὰς εἰσό- 193
δους καὶ τὰς ἐκτροπάς, σκοπὰς ἀπὸ τῶν ὑψηλοτάτων

12. ἐπέχουσιν οἱ A(D)F Poggius, ἐπέχουσιν κυνιγῶν οἱ C, ἐπέχουσιν ἰνύγονοι οἱ caeteri 17. διὰ — ἑωθινὴν omisit A 19. ἀποκρύβουσιν DE, ἀποκρυβόντες AB, caeteri ἀποκρύπτουσιν ἀπὸ] ἐπὶ CD 23. λάβρον ABD, caeteri λάβρως 24. μέχρι] μέχρις omnes 30. ὑπὸ] διὰ C 34. πῦρ ἁπαλόν ABC(D)EMQ, ignem leuem Poggius, τουτέστι μὴ εἰς φλόγωσιν ὑπερηρμένον gl. C, caeteri πυρὰν πολλὴν 36. ἀναπληροῦσι ABD, caeteri πληροῦσι 41. ἐλεφαντομάχοι] ἐλεφαντοφάγοι Agatharchides 42. κυνηγοί] κυνηγοῦσι F
193. 44. σκοπὰς] καὶ σκοπὰς C, τὰς σκοπὰς D



δένδρων ποιούμενοι· καὶ ταῖς μὲν ἀγέλαις αὐτῶν οὐκ ἐπιτίθενται διὰ τὸ μηδεμίαν ἐλπίδα ἔχειν κατορθώσεως, τοῖς δὲ καθ' ἕνα πορευομένοις ἐπιβάλλουσι τὰς χεῖρας, παραδόξοις ἐγχειροῦντες τολμήμασιν. ὅταν γὰρ τὸ ζῷον διεξιὸν γένηται κατὰ τὸ δένδρον ἐν ᾧ συμβαίνει τὸν σκοπεύοντα κεκρύφθαι, ἅμα τῷ παραλλάττειν τὸν τόπον ταῖς μὲν χερσὶν ἐδράξατο τῆς οὐρᾶς, τοῖς δὲ ποσὶν ἀντέβη πρὸς τὸν ἀριστερὸν μηρόν· ἔχων δ' ἐκ τῶν ὤμων προεξηρτημένον πέλεκυν, κοῦφον μὲν πρὸς τὴν ἀπὸ τῆς μιᾶς χειρὸς πληγήν, ὀξὺν δὲ καθ' ὑπερβολήν, τοῦτον λαβόμενος ἐν τῇ δεξιᾷ χειρὶ νευροκοπεῖ τὴν δεξιὰν ἰγνύν, πυκνὰς καταφέρων πληγὰς καὶ διὰ τῆς ἀριστερᾶς χειρὸς οἰακίζων τὸ ἴδιον σῶμα. παράδοξον δὲ ὀξύτητα τοῖς ἔργοις προσφέρουσιν, ὡς ἂν ἄθλου τῆς ἰδίας ψυχῆς ἑκάστου προκειμένου· ἢ γὰρ χειρώσασθαι τὸ ζῷον ἢ τελευτᾶν αὐτὸν λείπεται, τῆς περιστάσεως οὐκ ἐπιδεχομένης ἕτερον ἀποτέλεσμα. τὸ δὲ νευροκοπηθὲν ζῷον ποτὲ μὲν διὰ τὴν δυσκινησίαν ἀδυνατοῦν στρέφεσθαι καὶ συνεκκλινόμενον ἐπὶ τὸν πεπονθότα τόπον πίπτει καὶ τὸν Αἰθίοπα συναπόλλυσι, ποτὲ δὲ πρὸς πέτραν ἢ δένδρον ἀποθλῖψαν τὸν ἄνθρωπον τῷ βάρει πιέζει μέχρι ἂν ἀποκτείνῃ. ἔνιοι δὲ τῶν ἐλεφάντων περιαλγεῖς ἐκ τῶν τραυμάτων γενόμενοι τοῦ μὲν ἀμύνεσθαι τὸν ἐπιβουλεύσαντα μακρὰν ἀφεστήκασι, τὴν δὲ φυγὴν διὰ τοῦ πεδίου ποιοῦνται, μέχρι ἂν ὅτου συνεχῶς ὁ προσβεβηκὼς τύπτων εἰς τὸν αὐτὸν τόπον τῷ πελέκει διακόψας τὰ νεῦρα ποιήσῃ πάρετον τὸ ζῷον. ὅταν δὲ τὸ ζῷον πέσῃ, συντρέχουσι κατὰ συστήματα, καὶ ζῶντος ἔτι τέμνοντες τὰς σάρκας ἐκ τῶν ὄπισθεν μερῶν εὐωχοῦνται.

27 ἔνιοι δὲ τῶν πλησίον κατοικούντων χωρὶς κινδύνων θηρεύουσι τοὺς ἐλέφαντας, τέχνῃ τῆς βίας περιγινόμενοι. εἴωθε γὰρ τοῦτο τὸ ζῷον, ἐπειδὰν ἀπὸ τῆς

49. διεξιὸν] δεξιὸν omnes: nostram emendationem confirmat Poggius incedens bestia 50. σκοπεύοντα] σκοπεύσαντα A 51. ἐδράξατο] ἐδράξαντο D 52. ἀντέβη] ἀνέβη M 53. προεξηρτημένον] ἐξηρτημένον ABD 56. ἰγνύν] ἰγνύην D, ἰγύην A, ἰγνήην F, ἰγνηύν G 57. οἰακίζων] καὶ κυβερνῶν gl. C τὸ ἴδιον σῶμα] agile corpus Poggius 59. ἑκάστου] ἑκάστῳ Reiskius 61. νευροκοπηθὲν D, caeteri νευροκοπηθὲν μὲν 62. στρέφεσθαι] στρέφεται B 63. ἐπὶ ABCD, caeteri πρὸς 65. μέχρι] μέχρις omnes 67. ἐκ τῶν τραυμάτων om. ACDF γενόμενοι] γινόμενοι D 68. διὰ] ἀπὸ AB 69. πεδίου] παιδίου C μέχρι] μέχρις omnes ὅτου] οὗ AD ὁ προσβεβηκὼς Vrsinus vertitque Poggius: libri προσβεβηκὼς ὁ 71. πάρετον ABDFGQ, ἀκίνητον M, caeteri παράλυτον ὅταν δὲ τὸ ζῷον πέσῃ] πεσεῖν D 72. συστήματα] σύστημα F 76. θηρεύουσι — περιγινόμενοι] θηρεύοντες — περιγίνονται ABDF

νομῆς πληρωθῇ, πρὸς ὕπνον καταφέρεσθαι, διαφορὰν ἐχούσης τῆς περὶ αὐτὸ διαθέσεως πρὸς τὰ λοιπὰ τῶν τετραπόδων. οὐ γὰρ δύναται τοῖς γόνασι πρὸς τὴν γῆν συγκαθιέναι τὸν ὅλον ὄγκον, ἀλλὰ πρὸς δένδρον ἀνακλιθὲν ποιεῖται τὴν διὰ τῶν ὕπνων ἀνάπαυσιν. διόπερ τὸ δένδρον διὰ τὴν γινομένην πρὸς αὐτὸ πλεονάκις πρόσκλισιν τοῦ ζῴου τετριμμένον τέ ἐστι καὶ ῥύπου πλῆρες, πρὸς δὲ τούτοις ὁ περὶ αὐτὸ τόπος ἴχνη τε ἔχει καὶ σημεῖα πολλά, δι' ὧν οἱ τὰ τοιαῦτα ἐρευνῶντες Αἰθίοπες γνωρίζουσι τὰς τῶν ἐλεφάντων κοίτας. ὅταν οὖν ἐπιτύχωσι τοιούτῳ δένδρῳ, πρίζουσιν αὐτὸ παρὰ τὴν γῆν, μέχρι ἂν ὀλίγην ἔτι τὴν ῥοπὴν ἔχῃ πρὸς τὴν πτῶσιν. 194
εἶθ' οὗτοι μὲν τὰ σημεῖα τῆς ἰδίας παρουσίας ἀφανίσαντες ταχέως ἀπαλλάττονται, φθάνοντες τὴν ἔφοδον τοῦ ζῴου· ὁ δ' ἐλέφας πρὸς τὴν ἑσπέραν ἐμπλησθεὶς τῆς τροφῆς ἐπὶ τὴν συνήθη καταντᾷ κοίτην. κατακλιθεὶς δὲ ἀθρόῳ τῷ βάρει παραχρῆμα μετὰ τῆς τοῦ δένδρου φορᾶς ἐπὶ τὴν γῆν καταφέρεται· πεσὼν δὲ ὕπτιος μένει τὴν νύκτα κείμενος διὰ τὸ τὴν τοῦ σώματος φύσιν ἀδημιούργητον εἶναι πρὸς ἀνάστασιν. οἱ δὲ πρίσαντες τὸ δένδρον Αἰθίοπες ἅμ' ἡμέρᾳ καταντῶσι, καὶ χωρὶς κινδύνων ἀποκτείναντες τὸ ζῷον σκηνοποιοῦνται περὶ τὸν τόπον καὶ παραμένουσι μέχρι ἂν τὸ πεπτωκὸς ἀναλώσωσι.

28 Τούτων δὲ τῶν γενῶν τὰ μὲν πρὸς ἑσπέραν μέρη κατοικοῦσιν Αἰθίοπες οἱ προσαγορευόμενοι σιμοί, τὰ δὲ πρὸς μεσημβρίαν κεκλιμένα νέμεται τὸ τῶν στρουθοφάγων γένος. ἔστι γὰρ παρ' αὐτοῖς ὀρνέου τι γένος μεμιγμένην ἔχον τὴν φύσιν τῷ χερσαίῳ ζῴῳ, δι' ἣν τῆς συνθέτου τέτευχε προσηγορίας. τοῦτο δὲ μεγέθει μὲν οὐ λείπεται τῆς μεγίστης ἐλάφου, τὸν δὲ αὐχένα μακρὸν

80. συγκαθιέναι ABDFQ, caeteri καθιέναι 82. ἀνάπαυσιν] ἀνάπαυλιν F
194. 89. μέχρι] μέχρις omnes ἔχῃ] ἔχει AF 90. οὗτοι] οὕτως FM 92. ἐμπλησθεὶς] ἐμπληθεὶς A 93. κατακλιθεὶς] καταβληθεὶς EQ 94. ἀθρόῳ] ἀθρόως omnes, *omni mole* Poggius 95. φορᾶς] φθορᾶς A 97. ἀδημιούργητον] καὶ ἀκατασκεύαστον gl. C 99. σκηνοποιοῦνται περὶ τὸν τόπον] σκηνοπ. τὸν τόπον καὶ διάγουσιν αὐτῷ πρὸς καιρὸν E 100. μέχρι] μέχρις omnes 1. ἀναλώσωσι] ἀναδάσωσιν καὶ μερίσωσι C, ἀναδώσουσι F, ἀναδάσωνται EGQ, ἀναδάσωνται καὶ μερίσωσι V 2. μέρη omisit FM, asterisco notat Stephanus 5. ἔστι γὰρ παρ' αὐτοῖς] Γράφεις ἀσαφῶς ἀσαφῆ καινογράφε, Κλῆσιν παριστῶν οὐδαμῶς τὴν ὀρνέου. Οἶμαι τὸ λοιπὸν ἀγνοεῖς καὶ σὺ γράφων. Τί γοῦν διδάσκεις ἀσαφῶς φύσιν ξένην, Ἐπεὶ οὐ γινώσκεις ἀλλὰ φήμῃ συγγράφεις; ascribit V 7. τέτευχε ABC(D)EFG, caeteri τετύχηκε: „v. ad p. 17. 17." WESSEL.



ἔχον καὶ περιφερεῖς τὰς πλευρὰς καὶ πτερωτὰς ὑπὸ τῆς φύσεως δεδημιούργηται. καὶ κεφάλαιον μὲν ἀσθενὲς ἔχει καὶ μικρόν, μηροῖς δὲ καὶ κώλοις ὑπάρχει καρτερώτατον, διχήλου τῆς βάσεως οὔσης. τοῦτο πέτεσθαι μὲν μετέωρον οὐ δύναται διὰ τὸ βάρος, τρέχει δὲ πάντων ὠκύτατον, μικρὸν ἄκροις τοῖς ποσὶ τῆς γῆς ἐπιψαῦον· μάλιστα δ' ὅταν κατ' ἀνέμου πνοὰς ἐξαίρῃ τὰς πτέρυγας, ὑπεξάγει καθαπερεί τις ναῦς ἱστιοδρομοῦσα· τοὺς δὲ διώκοντας ἀμύνεται διὰ τῶν ποδῶν ἀποσφενδονῶν παραδόξως λίθους χειροπληθιαίους. ὅταν δ' ἐν νηνεμίᾳ διώκηται, ταχὺ συνιζανουσῶν τῶν πτερύγων ἀδυνατεῖ χρήσασθαι τοῖς τῆς φύσεως προτερήμασι, καὶ ῥᾳδίως καταλαμβανόμενον ἁλίσκεται. τούτων δὲ τῶν ζῴων ἀμυθήτων ὄντων τῷ πλήθει κατὰ τὴν χώραν, οἱ βάρβαροι παντοδαπὰς μηχανὰς ἐπινοοῦσι κατ' αὐτῶν τῆς θήρας. ῥᾳδίως δὲ πολλῶν ἁλισκομένων ταῖς μὲν σαρξὶ χρῶνται πρὸς διατροφήν, ταῖς δὲ δοραῖς πρὸς ἐσθῆτα καὶ στρωμνήν. ὑπὸ δὲ τῶν σιμῶν ὀνομαζομένων Αἰθιόπων πολεμούμενοι διακινδυνεύουσι πρὸς τοὺς ἐπιτιθεμένους ὅπλοις ἀμυντηρίοις χρώμενοι τοῖς τῶν ὀρύγων κέρασι. ταῦτα δὲ μεγάλα καὶ τμητικὰ καθεστῶτα μεγάλην παρέ-
195 χεται χρείαν, δαψιλείας οὔσης κατὰ τὴν χώραν διὰ τὸ πλῆθος τῶν ἐχόντων αὐτὰ ζῴων.

29 Βραχὺ δὲ τούτων ἀπέχοντες ἀκριδοφάγοι κατοικοῦσι τὰ συνορίζοντα πρὸς τὴν ἔρημον, ἄνθρωποι μικρότεροι μὲν τῶν ἄλλων, ἰσχνοὶ δὲ τοῖς ὄγκοις, μέλανες δὲ καθ' ὑπερβολήν. κατὰ γὰρ τὴν ἐαρινὴν ὥραν παρ' αὐτοῖς ζέφυροι καὶ λίβες παμμεγέθεις ἐκρίπτουσιν ἐκ τῆς ἐρήμου πλῆθος ἀκρίδων ἀμύθητον, τοῖς τε μεγέθεσι διαλλάττον καὶ τῇ χρόᾳ τοῦ πτερώματος εἰδεχθὲς καὶ ῥυπαρόν. ἐκ τούτου δαψιλεῖς τροφὰς ἔχουσιν ἅπαντα τὸν βίον, ἰδιοτρόπως αὐτῶν ποιούμενοι τὴν θήραν. παρὰ γὰρ τὴν χώραν αὐτῶν ἐπὶ πολλοὺς σταδίους παρήκει χαράδρα βάθος ἔχουσα καὶ πλάτος ἀξιόλογον· ταύτην

8. ἔχον Wesselingius: Stephaniana ἔχων 9. καὶ περιφερεῖς] malim περιφερεῖς 11. μικρόν Rhodomannus: libri μακρόν 12. διχήλου] διχήλης F, illud margo 15. πνοὰς] πνοῆς ABD ἐξαίρῃ] ἐξαίρει AB 16. καθαπερεί τις] καθάπερ εἴτις C, καθάπερ ἔτι FG ἱστιοδρομοῦσα] ἱστιοδραμοῦσα B 17. ἀποσφενδονῶν Wesselingius: libri ἀποσφενδονῶσα 18. χειροπληθιαίους] πληθιαίους AD δ' ἐν] δὲ A (?) D 28. ὀρύγων D Wesselingii, ὀνύχων CE, ὀρύων G, ῥύγχων ABD Bipontinorum cum margine G et Poggio qui *rostris se tuentur*, caeteri ὀρύχων
195. 35. ἰσχνοὶ] ἰσχυροὶ A 37. λίβες] Λίβυες FG, Libycus Poggius

πληροῦσιν ἀγρίας ὕλης, οὔσης ἀφθόνου κατὰ τὴν χώραν· ἔπειθ' ὅταν τῶν προειρημένων ἀνέμων πνεόντων προςφέρηται τὰ νέφη τῶν ἀκρίδων, καταδιελόμενοι πάντα τὸν τῆς χαράδρας τόπον πυροῦσι τὸν ἐν αὐτῇ χόρτον. ἐγειρομένου δὲ καπνοῦ πολλοῦ καὶ δριμέος αἱ μὲν ἀκρίδες ὑπερπετόμεναι τὴν χαράδραν, καὶ διὰ τὴν τοῦ καπνοῦ δριμύτητα πνιγόμεναι, καταπίπτουσιν ἐπὶ τὴν γῆν ὀλίγον διαπετασθεῖσαι τόπον· τῆς δὲ τούτων ἀπωλείας ἐπὶ πλείονας ἡμέρας γινομένης μεγάλοι διανίστανται σωροί· καὶ τῆς χώρας ἐχούσης ἁλμυρίδα πολλήν, πάντες προςφέρουσι ταύτην ἀθρόοις τοῖς σωροῖς, καὶ διατήξαντες οἰκείως ποιοῦσι τήν τε γεῦσιν πρόςφορον καὶ τὸν ἀποθησαυρισμὸν ἄσηπτον καὶ πολυχρόνιον. ἡ μὲν οὖν διατροφὴ τούτοις παραχρῆμα καὶ τὸν ὕστερον χρόνον ἀπὸ τούτων τῶν ζώων ὑπάρχει· οὔτε γὰρ κτηνοτροφοῦσιν οὔτε θαλάττης ἐγγὺς οἰκοῦσιν οὔτε ἄλλης ἐπικουρίας οὐδεμιᾶς τυγχάνουσι. τοῖς δὲ σώμασιν ὄντες κοῦφοι καὶ τοῖς ποσὶν ὀξύτατοι βραχύβιοι παντελῶς εἰσιν, ὡς ἂν τῶν πολυχρονιωτάτων παρ' αὐτοῖς οὐχ ὑπερβαλλόντων ἔτη τετταράκοντα. τὸ δὲ τοῦ βίου τέλος οὐ μόνον παράδοξον ἔχουσιν ἀλλὰ καὶ πάντων ἀκληρότατον. ὅταν γὰρ πλησιάσῃ τὸ γῆρας, ἐμφύονται τοῖς σώμασι πτερωτοὶ φθεῖρες οὐ μόνον διάφοροι τοῖς εἴδεσιν ἀλλὰ καὶ ταῖς ἰδέαις ἄγριοι καὶ παντελῶς εἰδεχθεῖς. ἀρξάμενον δὲ τὸ κακὸν ἀπὸ τῆς γαστρὸς καὶ τοῦ θώρακος ἐπινέμεται πάντα τὸν ὄγκον ἐν ὀλίγῳ χρόνῳ. ὁ δὲ πάσχων τὸ μὲν πρῶτον ὡς ὑπὸ ψώρας τινὸς ἐρεθιζόμενος μετρίως ὀδαξᾶσθαι φιλοτιμεῖται, μεμιγμένην ἔχοντος τοῦ πάθους ἀλγηδόσι τὴν χαράν· μετὰ δὲ 196 ταῦτα ἀεὶ μᾶλλον τῶν ἐγγενομένων θηρίων εἰς τὴν ἐπιφάνειαν ἐκπιπτόντων συνεκχεῖται πλῆθος ἰχῶρος λεπτοῦ, τὴν δριμύτητα παντελῶς ἔχοντος ἀνυπομόνητον. διόπερ ὁ συνεχόμενος τῷ πάθει βιαιότερον ἀμύττει τοῖς ὄνυξι, στεναγμοὺς μεγάλους προϊέμενος. κατὰ δὲ τὰς τῶν χειρῶν ἐξελκώσεις τοσοῦτο πλῆθος ἐκπίπτει τῶν ἑρπετῶν ὥςτε μηδὲν ἀνύειν τοὺς ἀπολέγοντας, ὡς ἂν ἄλλων ἐπ' ἄλλοις ἐκφαινομένων καθάπερ ἔκ τινος ἀγγείου πολλαχῶς κατατετρημένου. οὗτοι μὲν οὖν εἰς τοιαύτην διάλυσιν τοῦ σώματος καταστρέφουσι τὸν βίον δυςτυχῶς, εἴτε διὰ τὴν ἰδιότητα τῆς τροφῆς εἴτε διὰ τὸν ἀέρα τοιαύτης τυγχάνοντες περιπετείας.

30 Τῷ δὲ ἔθνει τούτῳ χώρα παρήκει κατὰ τὸ μέγεθος πολλὴ καὶ κατὰ τὰς τῆς νομῆς ποικιλίας ἀγαθή. ἔρημος δ' ἐστὶ καὶ παντελῶς ἄβατος, οὐκ ἀπ' ἀρχῆς σπανίζουσα τοῦ γένους τῶν ἀνθρώπων, ἀλλ' ἐν τοῖς ὕστερον χρόνοις ἔκ τινος ἐπομβρίας ἀκαίρου πλῆθος φαλαγγίων καὶ σκορπίων ἐξενέγκασα. τοσοῦτο γὰρ ἱστοροῦσιν ἐπιπολάσαι τῶν εἰρημένων θηρίων πλῆθος ὥςτε τοὺς κατοικοῦντας ἀνθρώπους τὸ μὲν πρῶτον πανδημεὶ κτείνειν πᾶν τὸ τῇ φύσει πολέμιον· ἀπεριγενήτου δὲ τοῦ πάθους ὄντος καὶ τῶν δηγμάτων ὀξεῖς τοῖς πληγεῖσι θανάτους ἐπιφερόντων, ἀπογνόντας τὴν πάτριον γῆν τε καὶ δίαιταν φυγεῖν ἐκ τῶν τόπων. οὐ χρὴ δὲ θαυμάζειν οὐδὲ ἀπιστεῖν τοῖς λεγομένοις, πολλὰ τούτων παραδοξότερα κατὰ πᾶσαν τὴν οἰκουμένην γεγονότα διὰ τῆς ἀληθοῦς ἱστορίας παρειληφότας. περὶ γὰρ τὴν Ἰταλίαν μυῶν πλῆθος ἀρουραίων ἐγγενηθὲν τοῖς πεδίοις ἐξέβαλέ τινας ἐκ τῆς πατρίου χώρας, κατὰ δὲ τὴν Μηδίαν ἐπιπολάσαντες ἀμύθητοι στρουθοὶ καὶ τὰ σπέρματα τῶν ἀνθρώπων ἀφανίσαντες ἠνάγκασαν εἰς ἑτερογενεῖς τόπους μεταστῆναι, τοὺς δὲ καλουμένους Αὐταριάτας βάτραχοι τὴν ἀρχέγονον σύστασιν ἐν τοῖς νέφεσι λαμβάνοντες καὶ πίπτοντες ἀντὶ τῆς συνήθους ψεκάδος ἐβιάσαντο τὰς πατρίδας καταλιπεῖν καὶ καταφυγεῖν εἰς τοῦτον τὸν τόπον ἐν ᾧ νῦν καθίδρυνται. καὶ μὴν τίς οὐχ ἱστόρησεν Ἡρακλεῖ τῶν ὑπὲρ τῆς ἀθανασίας ἄθλων συντελεσθέντων ἕνα καταριθμούμενον καθ' ὃν ἐξήλασεν ἐκ τῆς Στυμφαλίδος λίμνης τὸ πλῆθος τῶν ἐπιπολασάντων ὀρνίθων ἐν αὐτῇ; ἀνάστατοι δὲ κατὰ τὴν Λιβύην πόλεις τινὲς ἐγένοντο πλήθους λεόντων ἐπελθόντος ἐκ

47. πυροῦσι ABDFMQ, caeteri τύφουσι 53. ἁλμυρίδα] ἁλμυρίδας C 55. ποιοῦσι] ποιοῦνται FG 56. τὸν δὲ] καὶ τὸν D ἄσηπτον καὶ om. AD 58. ὑπάρχει] ὑπάρχειν C 63. τετταράκοντα ABD, caeteri τεσσαράκοντα 65. ἀκληρότατον] σκληρότατον M, καὶ δυςτυχέστατον gl. C πλησιάσῃ] πλησιάζῃ D 66. πτερωτοὶ] πτερωταὶ AD τοῖς] ταῖς D Wesselingii, nisi, quod suspicor, αι ad illud οι vocis πτερωτοὶ pertinuit 67. εἴδεσιν] an πλήθεσιν vel μεγέθεσιν? εἰδεχθεῖς] καὶ μισητοί gl. C 71. ὀδαξᾶσθαι] ὀδάξασθαι D, quod tempus spectat illud καὶ κνήσασθαι gl. C 72. ἔχοντος] ἔχοντες A

196. 73. ἀεὶ] αἰεὶ D

78. τοσοῦτο] τοσοῦτον AF 79. ἐκπίπτει AB(D)F, caeteri ἐπιπίπτει 80. ἀπολέγοντας] νικωμένους τῷ πλήθει addit E 87. τῆς νομῆς] τῶν νομῶν FGQ 89. ὕστερον] ὑστέροις B 94. πᾶν M, omisit F, asterisco notavit Stephanus, caeteri πάντα τὸ M, caeteri τὸν τῇ omisit M 96. θανάτους] τοὺς θανάτους D 1. ἐγγενηθὲν] ἐγγεννηθὲν D 2. ἐκ τῆς AB CDE, caeteri τῆς 4. ἀφανίσαντες] ἀφανίζοντες BD 5. Αὐταριάτας] Attariotas Poggius, γένος δὲ οὗτοι Αἰθιόπων addit E 12. Στυμφαλίδος] Τυμφαλίδος C 14. τινὲς ἐγένοντο] ἐγένοντό τινες CE

τῆς ἐρήμου. ταῦτα μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς ἀπίστως διὰ τὸ παράδοξον πρὸς τὰς ἱστορίας διακειμέ-197
νους. πάλιν δὲ ἐπὶ τὰ συνεχῆ τοῖς προειρημένοις μεταβησόμεθα.

Τὰς δ' ἐσχατιὰς τῶν πρὸς μεσημβρίαν μερῶν κατοικοῦσιν ἄνδρες ὑπὸ μὲν τῶν Ἑλλήνων καλούμενοι κυναμολγοί, κατὰ δὲ τὴν τῶν πλησιοχώρων βαρβάρων διάλεκτον ἄγριοι. οὗτοι δὲ πώγωνας μὲν φέρουσι παμμεγέθεις, κυνῶν δὲ τρέφουσιν ἀγρίων ἀγέλας πρὸς τὴν τοῦ βίου χρείαν εὐθέτους. ἀπὸ γὰρ τῶν πρώτων τροπῶν τῶν θερινῶν μέχρι μέσου χειμῶνος Ἰνδικοὶ βόες ἀμύθητοι τὸ πλῆθος ἐπιφοιτῶσιν αὐτῶν τὴν χώραν, ἀδήλου τῆς αἰτίας οὔσης· οὐδεὶς γὰρ οἶδεν εἴθ' ὑπὸ ζῴων πολλῶν καὶ σαρκοφάγων πολεμούμενοι φεύγουσιν εἴτε δι' ἔνδειαν τροφῆς ἐκλείποντες τοὺς οἰκείους τόπους εἴτε δι' ἄλλην περιπέτειαν, ἣν ἡ μὲν πάντα τὰ παράδοξα γεννῶσα φύσις κατασκευάζει, τὸ δὲ τῶν ἀνθρώπων γένος ἀδυνατεῖ τῷ νῷ συνιδεῖν. οὐ μὴν ἀλλὰ τοῦ πλήθους οὐ κατισχύοντες δι' ἑαυτῶν περιγενέσθαι τοὺς κύνας ἐπαφιᾶσι, καὶ μετὰ τούτων ποιούμενοι τὴν θήραν πολλὰ πάνυ τῶν ζῴων χειροῦνται· τῶν δὲ ληφθέντων ἃ μὲν πρόσφατα κατεσθίουσιν, ἃ δὲ εἰς ἅλας συντιθέντες ἀποθησαυρίζουσι. πολλὰ δὲ καὶ τῶν ἄλλων ζῴων διὰ τῆς τῶν κυνῶν ἀλκῆς θηρεύοντες ἀπὸ κρεοφαγίας τὸν βίον ἔχουσι. τὰ μὲν οὖν τελευταῖα γένη τῶν πρὸς μεσημβρίαν οἰκούντων ἐν μορφαῖς ἀνθρώπων τὸν βίον ἔχει θηριώδη. λείπεται δὲ διελθεῖν ὑπὲρ δύο ἐθνῶν, τῶν τε *Αἰθιόπων* καὶ τῶν *Τρωγλοδυτῶν*. ἀλλὰ περὶ μὲν *Αἰθιόπων* ἀναγεγράφαμεν ἐν ἄλλοις, περὶ δὲ τῶν *Τρωγλοδυτῶν* νῦν ἐροῦμεν.

32 Οἱ τοίνυν Τρωγλοδῦται προσαγορεύονται μὲν ὑπὸ τῶν Ἑλλήνων νομάδες, βίον δ' ἔχοντες ἀπὸ θρεμμάτων νομαδικὸν κατὰ συστήματα τυραννοῦνται, καὶ μετὰ τῶν τέκνων τὰς γυναῖκας ἔχουσι κοινὰς πλὴν μιᾶς τῆς τοῦ τυράννου· τὸν δὲ ταύτῃ πλησιάσαντα πρόστιμον ὁ δυνάστης πράττεται τεταγμένον ἀριθμὸν προβάτων. κατὰ

197. 20. κυναμολγοί Agatharchides, *Cynamolgi* Poggius Wesselingii, κυνάμονοι C, κυναμηνοί E, caeteri κυνάμυνοι 24. πρώτων praeteriit Poggius τῶν θερινῶν ACD, caeteri θερινῶν 30. πάντα τὰ] πάντα AD 32. συνιδεῖν ABCDEQ, caeteri συνιέναι 33. κατισχύοντες] οἱ κιναμηνοὶ addit E 35. ἃ μὲν] ἅμα F 36. συντιθέντες] ἀποτιθέντες M ἀποθησαυρίζουσι] θησαυρίζουσι F 37. τῶν ἄλλων ζῴων ABC(D) E, *multa alia animantia* Poggius, caeteri ἄλλα 42. τῶν Τρωγλοδυτῶν] Τρωγλοδυτῶν D 46. κατὰ συστήματα] καταστήματα F



δὲ τὸν τῶν ἐτησίων καιρὸν γινομένων παρ' αὐτοῖς ὄμβρων μεγάλων ἀφ' αἵματος καὶ γάλακτος διατρέφονται, μίσγοντες ταῦτα καὶ βραχὺν χρόνον ἐψήσαντες. μετὰ δὲ ταῦτα διὰ τὴν τῶν καυμάτων ὑπερβολὴν τῆς νομῆς ξηραινομένης καταφεύγουσιν εἰς τοὺς ἑλώδεις τόπους, καὶ περὶ τῆς [τῆς] χώρας νομῆς πρὸς ἀλλήλους διαμάχονται. τῶν δὲ βοσκημάτων τὰ πρεσβύτερα καὶ νοσεῖν ἀρχόμενα καταναλίσκοντες ἀπὸ τούτων τὸν ἅπαντα χρόνον διατρέφονται. διόπερ τὴν τῶν γονέων προσηγορίαν ἀνθρώπων μὲν οὐδενὶ προσάπτουσι, ταύρῳ δὲ καὶ βοΐ
198καὶ πάλιν κριῷ καὶ προβάτῳ· τούτων δὲ τοὺς μὲν πατέρας τὰς δὲ μητέρας καλοῦσι διὰ τὸ πορίζεσθαι τὰς ἐφημέρους τροφὰς ἀεὶ παρὰ τούτων ἀλλὰ μὴ παρὰ τῶν γεγεννηκότων. ποτῷ δ' οἱ μὲν ἰδιῶται συγχρῶνται παλιούρων βρέγματι, τοῖς δὲ δυνάσταις ἀπό τινος ἄνθους κατασκευάζεται πόμα παραπλήσιον τῷ χειρίστῳ παρ' ἡμῖν γλεύκει. ταῖς δὲ ἀγέλαις τῶν θρεμμάτων ἐπακολουθοῦντες ἄλλην ἐξ ἄλλης χώραν ἐπιπορεύονται, φεύγοντες τὸ τοῖς αὐτοῖς τόποις ἐνδιατρίβειν. καὶ γυμνοὶ μὲν εἰσι πάντες τὰ σώματα πλὴν τῶν ἰσχίων, ἃ δέρμασι σκεπάζουσι· τὰ δ' αἰδοῖα πάντες οἱ Τρωγλοδῦται παραπλησίως τοῖς *Αἰγυπτίοις* περιτέμνονται πλὴν τῶν ἀπὸ τοῦ συμπτώματος ὀνομαζομένων κολοβῶν· οὗτοι γὰρ μόνοι τὴν ἐντὸς τῶν στενῶν νεμόμενοι χώραν ἐκ νηπίου ξυροῖς ἀποτέμνονται πᾶν τὸ τοῖς ἄλλοις μέρος περιτομῆς τυγχάνον. ὁπλισμὸν δ' ἔχουσι τῶν Τρωγλοδυτῶν 33
οἱ μὲν ὀνομαζόμενοι μεγαβαρεῖς κυκλοτερεῖς ὠμοβοΐνας ἀσπίδας καὶ ῥόπαλον τύλους ἔχον περισιδήρους, οἱ δὲ ἄλλοι τόξα καὶ λόγχας. ταφαὶ δὲ παντελῶς ἐξηλλαγμέναι ἐπιχωριάζουσι· τοῖς γὰρ τῶν παλιούρων λύγοις δήσαντες τῶν τετελευτηκότων τὰ σώματα προσάπτουσι τὸν αὐχένα τοῖς σκέλεσι· θέντες δὲ τὸν νεκρὸν ἐπί τινος ἀναστήματος βάλλουσι λίθοις χειροπληθέσι γελῶντες,

52. μίσγοντες A(D), caeteri καὶ μίσγοντες 54. ἑλώδεις] καὶ ὑγροτέρους gl. C τόπους ABDFG, caeteri τῶν τόπων 55. [τῆς] τῆς χώρας νομῆς] τῆς χώρας μόνης D et fortasse B, *pascuis, pro quibus solis invicem certant* Poggius, τῆς χώρας οἱ νομεῖς CEQ 58. χρόνον ABC(D)EFGQ Poggius, caeteri βίον: „v. p. 241. 90." Wesseling.

198. 62. παρὰ τούτων ABDFG, caeteri παρ' αὐτῶν 65. πόμα] πολλὰ ABDFG 66. ἡμῖν] ἡμῶν AC γλεύκει] γλυκεῖ ACF 67. χώραν] χώρας A 68. αὐτοῖς AB(D)FG Poggius, omisit EV, caeteri τοιούτοις 73. οὗτοι] οὕτω G τῶν] τῶν τε D 77. ὠμοβοΐνας] ὠμοβοεῖνας C, ὠμοβοείας E 78. τύλους] τοίχους ABG, τύχους D 79. ταφαὶ ἐξηλλαγμέναι Wesselingius: libri ταφαῖς — ἐξηλλαγμέναις

μέχρι ἂν ὅτου τοῖς λίθοις περιχώσαντες ἀποκρύψωσι τὰ σώματα· τὸ δὲ τελευταῖον αἰγὸς κέρας ἐπιθέντες ἀπολύονται, συμπάθειαν οὐδεμίαν λαμβάνοντες. πολεμοῦσι δὲ πρὸς ἀλλήλους οὐχ ὁμοίως τοῖς Ἕλλησιν ὑπὲρ γῆς ἤ τινων ἄλλων ἐγκλημάτων, ἀλλ' ὑπὲρ τῆς ἐπιγινομένης ἀεὶ νομῆς. ἐν δὲ ταῖς φιλονεικίαις τὸ μὲν πρῶτον ἀλλήλους τοῖς λίθοις βάλλουσι, μέχρι ἂν τινες τρωθῶσι, καὶ τὸ λοιπὸν ἐπὶ τὸν τῶν τόξων ἀγῶνα καταντῶσι. πολλοὶ δὲ ἐν ἀκαρεῖ χρόνῳ τελευτῶσιν, ὡς ἂν εὐστόχως μὲν βαλλόντων διὰ τὴν ἐν τούτοις ἄθλησιν, τὸν δὲ σκοπὸν ἐχόντων γυμνὸν τῶν σκεπαστηρίων ὅπλων. διαλύουσι δὲ τὴν μάχην τῶν γυναικῶν αἱ πρεσβύτεραι, προβαλλόμεναι μὲν εἰς τὸ μέσον, ἐντροπῆς δὲ τυγχάνουσαι· νόμιμον γάρ ἐστιν αὐτοῖς ταύτας κατὰ μηδένα τῶν τρόπων τύπτειν· ὅθεν ἅμα τῷ φανῆναι παύονται τοῦ τοξεύειν. οἱ δὲ διὰ τὸ γῆρας οὐ δυνάμενοι ταῖς ποίμναις ἀκολουθεῖν βοὸς οὐρᾷ τὸν αὐχένα περισφίγξαντες ἑαυτῶν ἀπολύονται τοῦ ζῆν προθύμως· τοῦ δὲ τὸν θάνατον ἀναβαλλομένου τὴν ἐξουσίαν ὁ βουλόμενος ἔχει τὸν δεσμὸν ὡς ἐπ' εὐνοίᾳ περιθεῖναι καὶ μετὰ νουθετήσεως στερῆσαι τοῦ ζῆν. ὁμοίως δὲ νόμιμον αὐτοῖς ἐστι τοὺς πηρωθέντας ἢ νόσοις δυσιάτοις συνεχομένους ἐξάγειν ἐκ 199 τοῦ ζῆν. μέγιστον γὰρ τῶν κακῶν ἡγοῦνται τὸ φιλοψυχεῖν τὸν μηδὲν ἄξιον τοῦ ζῆν πράττειν δυνάμενον. διὸ καὶ πάντας [μὲν] ἰδεῖν ἔστι τοὺς Τρωγλοδύτας ἀρτίους μὲν τοῖς σώμασιν, ἰσχύοντας δ' ἔτι ταῖς ἡλικίαις, ὡς ἂν μηδενὸς ὑπερβάλλοντος τὰ ἑξήκοντα ἔτη.

Καὶ περὶ μὲν τῶν Τρωγλοδυτῶν ἱκανῶς εἰρήκαμεν· εἰ δέ τις τῶν ἀναγινωσκόντων διὰ τὸν ξενισμὸν καὶ τὸ παράδοξον τῶν ἀναγεγραμμένων βίων ἀπιστήσει ταῖς ἱστορίαις, θεὶς πρὸ τῆς διανοίας παρ' ἄλληλα τόν τε περὶ τὴν Σκυθίαν ἀέρα καὶ τὸν περὶ τὴν Τρωγλοδυτικήν, καὶ τὰς ἑκατέρων διαφορὰς ἰδών, οὐκ ἀπιστήσει τοῖς ἱστορημένοις.

34 τοσαύτη γὰρ παραλλαγὴ τῶν παρ' ἡμῖν ἀέρων πρὸς τοὺς ἱστορημένους ὥςτε τὴν κατὰ μέρος διαφορὰν ἄπιστον εἶναι. ὅπου μὲν γὰρ διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους πήγνυνται μὲν οἱ μέγιστοι ποταμοί, στέγοντος τοῦ κρυστάλλου διαβάσεις στρατοπέδων καὶ ἁμαξῶν καταγόμων ἐφόδους, πήγνυται δὲ ὁ οἶνος καὶ τὰ λοιπὰ τῶν χυμῶν ὥςτε μαχαίραις ἀποτέμνεσθαι, καὶ τὰ τούτων θαυμασιώτερα, τὰ μὲν ἀκρωτήρια τῶν ἀνθρώπων τῆς ἐσθῆτος παρατριβούσης περιῤῥεῖ, τὰ δὲ ὄμματα ἀμαυροῦται, τὸ δὲ πῦρ ἀλεωρὰν οὐ ποιεῖ, καὶ χαλκοῖ μὲν ἀνδριάντες ῥήγνυνται, κατὰ δέ τινας καιροὺς διὰ τὴν πυκνότητα τῶν νεφῶν οὔτε ἀστραπὴν οὔτε βροντὴν γίνεσθαι περὶ τοὺς τόπους φασί· πολλὰ δὲ καὶ ἄλλα τούτων παραδοξότερα συντελεῖται, τοῖς μὲν ἀγνοοῦσιν ἄπιστα, τοῖς δὲ πεῖραν εἰληφόσιν ἀνυπομόνητα. περὶ δὲ τὰς ἐσχατιὰς τῆς Αἰγύπτου καὶ Τρωγλοδυτικῆς διὰ τὴν ὑπερβολὴν τῆς ἀφ' ἡλίου θερμασίας κατὰ τὸν τῆς μεσημβρίας καιρὸν οὐδὲ συνορᾶν ἀλλήλους οἱ παρεστῶτες δύνανται διὰ τὴν παχύτητα τῆς περὶ τὸν ἀέρα πυκνώσεως, χωρὶς δὲ ὑποδέσεως πάντες ἀδυνατοῦσι βαδίζειν, ὡς ἂν τοῖς ἀνυποδέτοις παραχρῆμα φλυκτίδων γινομένων. κατὰ δὲ τὸ ποτόν, ἐὰν μὴ τὴν ἔνδειαν ἑτοίμως ἀφαιρῆται, ταχέως τελευτῶσιν, ὡς ἂν τῆς θερμασίας τὴν τῶν ὑγρῶν ἐν τῷ σώματι φύσιν ὀξέως ἀναλισκούσης· πρὸς δὲ τούτοις, ὅταν τις εἰς χαλκοῦν ἀγγεῖον ἐμβαλὼν τῶν ἐδωδίμων ὁδηποτοῦν μεθ' ὕδατος εἰς τὸν ἥλιον θῇ, ταχέως ἕψεται χωρὶς πυρὸς καὶ ξύλων. ἀλλ' ὅμως οἱ κατοικοῦντες ἀμφοτέρας τὰς εἰρημένας χώρας οὐχ οἷον φεύγειν βούλονται τὴν ὑπερβολὴν τῶν συμβαινόντων αὐτοῖς κακῶν, ἀλλὰ καὶ τοὐναντίον ἑκουσίως προΐενται τὸ ζῆν ἕνεκα τοῦ μὴ βιασθῆναι διαίτης ἑτέρας καὶ βίου πειραθῆναι. οὕτως αὐτοφυὲς ἔχει τι φίλτρον πᾶσα συνήθης χώρα, καὶ περιγίνεται τῆς ἐκ
200 τῶν ἀέρων κακοπαθείας ὁ χρόνος ὁ τὴν ἐκ νηπίου παραλαβὼν ἡλικίαν. τὰς δὲ τηλικαύτας ἐπ' ἀμφότερα διαφορὰς οὐ πολὺ διορίζει τόπου διάστημα. ἀπὸ γὰρ τῆς Μαιώτιδος λίμνης, ᾗ προςοικοῦσί τινες τῶν Σκυθῶν

84. μέχρι] μέχρις omnes 88. γῆς] ὀργῆς omnes 90. λίθοις A(D)E Poggius, caeteri λίθοις ἀεὶ μέχρι] μέχρις omnes 91. τὸν τῶν τόξων (D)E, τὸν τόξων τὸν A, τόν τε τόξων C, caeteri τὸν τόξων 93. εὐστόχως] εὐστόλως B 96. προβαλλόμεναι] an προαλλόμεναι? 98. τῶν τρόπων ABC(D)EQ, τὸν τρόπον G, caeteri τρόπον 100. οὐρᾷ τὸν αὐχένα ABC(D)EFQ Poggius, caeteri οὐραῖς τοὺς αὐχένας 4. αὐτοῖς ἐστι ACD EFG, caeteri ἐστι παρ' αὐτοῖς

199. 8. πάντας μὲν] immo πάντας 9. δ' ἔτι ταῖς ABCD, caeteri δὲ ταῖς 14. παρ' ἄλληλα] scribebatur παράλληλα 16. ἱστορημένοις ABD, caeteri εἰρημένοις 19. ἱστορημένους BD, ἱστορημένας E, caeteri ἱστορουμένους 21. ποταμοί ABCDFG Poggius, caeteri τῶν ποταμῶν 22. καταγόμων] καταγομένων omnes 24. χυμῶν] χιλῶν B 25. ἀκρωτήρια] αἱ χεῖρες καὶ πόδες gl. C 26. περιῤῥεῖ] καὶ φθείρεται addit V ἀμαυροῦται] καὶ σκοτοῦται gl. C 27. χαλκοῖ] χαλκοὶ D 28. διὰ] κατὰ AB 30. περὶ] κατὰ AB 41. τὴν τῶν AC(D)E, caeteri τῶν 43. μεθ' ὕδατος omisit A 46. φεύγειν] φυγεῖν BDFG 48. προΐενται] προςιέναι BDG, caeteri προΐεναι: conf. ad p. 360. 7. 50. τι B(D)QV, caeteri τὸ 51. ἀέρων ABC(D) EMV Poggius, caeteri ἀστέρων

200. 52. ἐπ' ἀμφότερα] ἐπ' ἀμφοτέροις A, ἐπαμφότεροι B

ἐν πάγει καὶ ψύχεσιν ὑπερβάλλουσι καθιδρυμένοι, πολλοὶ τῶν πλοϊζομένων οὐριοδρομούσαις ναυσὶ φορτίσιν εἰς μὲν Ῥόδον δεκαταῖοι καταπεπλεύκασιν, ἐξ ἧς εἰς [μὲν] Ἀλεξάνδρειαν τεταρταῖοι καταντῶσιν, ἐκ δὲ ταύτης κατὰ τὸν Νεῖλον πλέοντες πολλοὶ δεκαταῖοι κατηντήκασιν εἰς Αἰθιοπίαν, ὥςτε ἀπὸ τῶν κατεψυγμένων μερῶν τῆς οἰκουμένης ἐπὶ τὰ θερμότατα μέρη μὴ πλεῖον εἴκοσι καὶ τεττάρων ἡμερῶν εἶναι τὸν πλοῦν τοῖς κατὰ τὸ συνεχὲς κομιζομένοις. διόπερ τῆς διαφορᾶς τῆς τῶν ἀέρων ἐν ὀλίγῳ διαστήματι μεγάλης οὔσης οὐδὲν παράδοξον καὶ τὴν δίαιταν καὶ τοὺς βίους ἔτι δὲ τὰ σώματα πολὺ διαλλάττειν τῶν παρ᾽ ἡμῖν.

35 Ἐπεὶ δὲ τῶν ἐθνῶν καὶ βίων τὰ κεφάλαια τῶν δοκούντων εἶναι παραδόξων διεληλύθαμεν, περὶ τῶν ὄντων θηρίων κατὰ τὰς ὑποκειμένας χώρας ἐν μέρει διέξιμεν. ἔστι γὰρ ζῷον ὃ καλεῖται μὲν ἀπὸ τοῦ συμβεβηκότος ῥινόκερως, ἀλκῇ δὲ καὶ βίᾳ παραπλήσιον ἐλέφαντι, τῷ δὲ ὕψει ταπεινότερον. τὴν μὲν δορὰν ἰσχυροτάτην ἔχει, τὴν δὲ χρόαν πυξοειδῆ. ἐπὶ δ᾽ ἄκρων τῶν μυκτήρων φέρει κέρας τῷ τύπῳ σιμόν, τῇ δὲ στερεότητι σιδήρῳ παρεμφερές. τοῦτο περὶ τῆς νομῆς ἀεὶ διαφερόμενον ἐλέφαντι τὸ μὲν κέρας πρός τινα τῶν μειζόνων πετρῶν θήγει, συμπεσὸν δ᾽ εἰς μάχην τῷ προειρημένῳ θηρίῳ καὶ ὑποδῦνον ὑπὸ τὴν κοιλίαν ἀναῤῥήττει τῷ κέρατι καθάπερ ξίφει τὴν σάρκα. τῷ δὲ τοιούτῳ τρόπῳ τῆς μάχης χρώμενον ἔξαιμα ποιεῖ τὰ θηρία καὶ πολλὰ διαφθείρει. ὅταν δὲ ὁ ἐλέφας φθάσας τὴν ὑπὸ τὴν κοιλίαν ὑπόδυσιν τῇ προβοσκίδι προκαταλάβηται τὸν ῥινόκερων, περιγίνεται ῥᾳδίως τύπτων τοῖς ὀδοῦσι καὶ τῇ βίᾳ πλέον ἰσχύων. αἱ δὲ σφίγγες γίνονται μὲν περί τε τὴν Τρωγλοδυτικὴν καὶ τὴν Αἰθιοπίαν, ταῖς δὲ μορφαῖς ὑπάρχουσιν οὐκ ἀνόμοιοι ταῖς γραφομέναις, μόνον δὲ ταῖς δασύτησι διαλλάττουσι. τὰς δὲ ψυχὰς ἡμέρους ἔχουσαι καὶ πανούργους ἐπὶ πλεῖον καὶ διδασκαλίαν μεθοδικὴν ἐπιδέχονται. οἱ δ᾽ ὀνομαζόμενοι κυνοκέφαλοι τοῖς μὲν σώμασιν ἀνθρώποις δυςειδέσι παρεμφερεῖς εἰσι, ταῖς

55. πάγει ABD, caeteri πάγοις   58. εἰς μὲν Ἀλ.] εἰς Ἀλ. D: Agatharchidem qui sequatur, ante Ῥόδον potius μὲν sustulerit   61. θερμότατα] θερμότερα EQV   62. εἴκοσι ABC(D)EFGM Poggius, κ Q, caeteri πεντήκοντα   τεττάρων D, δ QV, caeteri τεσσάρων   69. κατὰ A, caeteri τῶν κατὰ   71. malim παραπλήσιον ὂν — ταπεινότερον,   74. σιμόν] καὶ οἷον συγκεκαθισμένον addit E   76. τινα ABD, caeteri τινας   τῶν μειζόνων] τῶν ABD: ad saxa Poggius   82. τῇ] τῷ D   83. ῥινόκερων] ῥινόκερω C, ῥινόκερον F   84. σφίγγες] φάλαγκες B   86. ν΄ αοιοι] ἀνόμοιαι C   91. παρεμφερεῖς] ἐμφερεῖς B



δὲ φωναῖς μυγμοὺς ἀνθρωπίνους προΐενται. ἀγριώτατα δὲ ταῦτα τὰ ζῷα καὶ παντελῶς ἀτιθάσευτα καθεστῶτα τὴν ἀπὸ τῶν ὀφρύων πρόςοψιν αὐστηροτέραν ἔχει. ταῖς [201] δὲ θηλείαις ἰδιώτατον συμβαίνει τὸ τὴν μήτραν ἐκτὸς τοῦ σώματος φέρειν ἅπαντα τὸν χρόνον. ὁ δὲ λεγόμενος κῆπος ὠνόμασται μὲν ἀπὸ τῆς περὶ ὅλον τὸν ὄγκον ὡραίας καὶ προςηνοῦς ἡλικίας, τὸ δὲ πρόςωπον ἔχων ὅμοιον λέοντι τὸ λοιπὸν σῶμα φέρει πάνθηρι παραπλήσιον, πλὴν τοῦ μεγέθους, ὃ παρισοῦται δορκάδι. πάντων δὲ τῶν εἰρημένων ζῴων ὁ σαρκοφάγος ταῦρος ἀγριώτατός ἐστι καὶ παντελῶς δυςκαταμάχητος. τῷ μὲν γὰρ ὄγκῳ τοῦτο μεῖζόν ἐστι τῶν ἡμέρων ταύρων, ὀξύτητι δὲ ποδῶν οὐ λειπόμενον ἵππου, τῷ στόματι δὲ διεστηκὸς ἄχρι τῶν ὀμμάτων. τὸ δὲ χρῶμα πυῤῥὸν ἔχει καθ᾽ ὑπερβολήν, καὶ τὰ μὲν ὄμματα γλαυκότερα λέοντος καὶ τὰς νύκτας ἀστράπτοντα, τὰ δὲ κέρατα φύσεως ἰδιοτρόπου κοινωνοῦντα· τὸν μὲν γὰρ ἄλλον χρόνον αὐτὰ κινεῖ παραπλησίως τοῖς ὠσί, κατὰ δὲ τὰς μάχας ἵστησιν ἀραρότως. τὴν δὲ τῆς τριχὸς ἐπαγωγὴν ἔχει τοῖς ἄλλοις ζῴοις ἐναντίαν. ἔστι δὲ τὸ θηρίον ἀλκῇ τε καὶ δυνάμει διάφορον, ὡς ἂν ἐπιτιθέμενον τοῖς ἀλκιμωτάτοις τῶν ζῴων καὶ τὴν τροφὴν ἔχον ἐκ τῆς τῶν χειρωθέντων σαρκοφαγίας. διαφθείρει δὲ καὶ τὰς ποίμνας τῶν ἐγχωρίων, καὶ καταπληκτικῶς ἀγωνίζεται πρὸς ὅλα συστήματα τῶν ποιμένων καὶ κυνῶν ἀγέλας. λέγεται δὲ καὶ τὸ δέρμα ἄτρωτον ἔχειν· πολλῶν γοῦν ἐπιβεβλημένων λαβεῖν ὑποχείριον μηδένα κατισχυκέναι. τὸ δ᾽ εἰς ὄρυγμα πεσὸν ἢ δι᾽ ἄλλης ἀπάτης χειρωθὲν ὑπὸ τοῦ θυμοῦ γίνεται περιπνιγές, καὶ τῆς ἐλευθερίας οὐδαμῶς ἀλλάττεται τὴν ἐν τῷ τιθασεύεσθαι φιλανθρωπίαν. διόπερ εἰκότως οἱ Τρωγλοδῦται τοῦτο τὸ θηρίον κράτιστον κρίνουσιν, ὡς ἂν τῆς φύσεως αὐτῷ δεδωρημένης ἀλκὴν μὲν λέοντος, ἵππου δὲ τάχος, ῥώμην δὲ ταύρου, τῆς δὲ πάντων κρατίστης σιδήρου φύσεως οὐχ ἡττώμενον. ὁ δὲ λεγόμενος

92. δὲ ταῦτα τὰ om. AD   93. ἀτιθάσευτα] ἀτιθάσσευτα omnes   τὴν] τὴν δ᾽ D

201. 95. τὸ] καὶ A   96. ἅπαντα] πάντα D   97. ὅλον τὸν ὄγκον] τὸν ὄγκον ὅλον D, τὸν ὄγκον A   ὡραίας omisit A   98. ἔχων] ἔχον D   100. ὃ omisit AD   3. ἡμέρων] ἡμετέρων FQ   4. λειπόμενον] λειπόμενος F   6. γλαυκότερα] albis Poggius   8. κοινωνοῦντα] κοινοῦνται A   10. ἀραρότως] ἡρμοσμένως gl. C   13. ἔχον D, caeteri ἔχων   16. ποιμένων] ποιμνίων CEGQ   18. μηδένα ABDFG, caeteri οὐδένα   20. ὑπὸ τοῦ] ἀπὸ AB   21. τιθασεύεσθαι] τιθασσεύεσθαι omnes   24. λέοντος] κρατίστου λέοντος A, κράτιστον B

παρ' Αἰθίοψι κροκόττας μεμιγμένην μὲν ἔχει φύσιν κυνὸς καὶ λύκου, τὴν δὲ ἀγριότητα φοβερωτέραν ἀμφοτέρων, τοῖς δὲ ὀδοῦσι πάντων ὑπεράγει· πᾶν γὰρ ὀστῶν μέγεθος συντρίβει ῥᾳδίως, καὶ τὸ καταποθὲν διὰ τῆς κοιλίας πέττει παραδόξως. τοῦτο δὲ τὸ ζῷον τῶν ψευδῶς παραδοξολογούντων ἱστοροῦντες ἔνιοι μιμεῖσθαι τὴν τῶν ἀνθρώπων διάλεκτον ἀποφηνάμενοι ἡμᾶς μὲν οὐ πείθουσιν.

36 ὄφεων δὲ γένη παντοδαπὰ καὶ τοῖς μεγέθεσιν ἄπιστα θεωρεῖσθαί φασιν οἱ τὴν πλησίον τῆς ἐρήμου καὶ θηριώδους κατοικοῦντες. ἑκατὸν γὰρ πηχῶν τὸ μῆκος ἑωρακέναι τινὲς ἀποφαινόμενοι δικαίως ἂν οὐχ ὑφ' ἡμῶν 202 μόνον ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων ψευδολογεῖν ὑποληφθείησαν· προςτιθέασι γὰρ τῷ διαπιστουμένῳ πολλῷ παραδοξότερα, λέγοντες ὅτι τῆς χώρας οὔσης πεδιάδος, ὅταν τὰ μέγιστα τῶν θηρίων περισπειραθῇ, ποιεῖ ταῖς ἐγκυκλωθείσαις ἐπ' ἀλλήλαις σπείραις ἀναστήματα πόῤῥωθεν φαινόμενα λόφῳ παραπλήσια. τῷ μὲν οὖν μεγέθει τῶν ῥηθέντων θηρίων οὐκ ἄν τις ῥᾳδίως συγκατάθοιτο. περὶ δὲ τῶν μεγίστων ὄφεων τῶν εἰς ὄψιν ἐληλυθότων καὶ κομισθέντων ἔν τισιν ἀγγείοις εὐθέτοις εἰς τὴν Ἀλεξάνδρειαν ποιησόμεθα τὴν ἀναγραφήν, προςτιθέντες καὶ τῆς θήρας τὴν κατὰ μέρος οἰκονομίαν. ὁ γὰρ δεύτερος Πτολεμαῖος, περί τε τὴν τῶν ἐλεφάντων κυνηγίαν φιλοτιμηθεὶς καὶ τοῖς τὰς παραδόξους θήρας τῶν ἀλκιμωτάτων ζῴων ποιουμένοις μεγάλας ἀπονέμων δωρεάς, πολλὰ δὲ πάνυ χρήματα δαπανήσας εἰς ταύτην τὴν ἐπιθυμίαν, ἐλέφαντάς τε συχνοὺς πολεμιστὰς περιεποιήσατο καὶ τῶν ἄλλων ζῴων ἀθεωρήτους καὶ παραδόξους φύσεις ἐποίησεν εἰς γνῶσιν ἐλθεῖν τοῖς Ἕλλησι. διὸ καί τινες τῶν κυνηγῶν, ὁρῶντες τὴν τοῦ βασιλέως μεγαλοψυχίαν ἐν ταῖς δωρεαῖς, συστραφέντες εἰς ἱκανὸν πλῆθος ἔκριναν παραβαλέσθαι ταῖς ψυχαῖς, καὶ τῶν

26. μεμιγμένην μὲν D, caeteri μεμιγμένην 28. ἀμφοτέρων] ἀμφοτέραν C 29. πᾶν ABC(D)EQ cum Agatharchide, caeteri πάντων 31. ψευδῶς] ψεῦδος CQ παραδοξολογούντων CEGQ, caeteri παραδοξολογουμένων 32. ἀποφηνάμενοι delet Reiskius

202. 37. ὑφ' om. AD 39. ὑποληφθείησαν] οὐχ ὑπελήφθησαν E 42. ἐγκυκλωθείσαις BD, ἐν κύκλῳ θείσαις A, caeteri ἐν κύκλῳ τεθείσαις ἐπ' ἀλλήλαις] ἐπαλλήλαις omnes 46. ante ὄφεων quod legebatur θηρίων delendum viderat Eichstadius; praeteriit etiam Poggius 48. ante θήρας omisi κατὰ μέρος 49. κατὰ μέρος om. CEF, et hic et superiore versu praeteriit Poggius 50. κυνηγίαν ABDEFG, caeteri θήραν 51. παραδόξους] παραδόξως C 52. πάνυ omisit D 58. παραβαλέσθαι] παραβάλλεσθαι D



μεγάλων ὄφεων ἕνα θηρεύσαντες ἀνακομίσαι ζῶντα εἰς τὴν Ἀλεξάνδρειαν πρὸς τὸν Πτολεμαῖον. μεγάλης δὲ οὔσης καὶ παραδόξου τῆς ἐπιβολῆς, ἡ τύχη συνεργήσασα ταῖς ἐπινοίαις αὐτῶν καὶ τὸ τέλος οἰκεῖον περιεποίησε τῆς πράξεως. σκοπεύσαντες γὰρ ἕνα τῶν ὄφεων τριάκοντα πηχῶν διατρίβοντα περὶ τὰς συστάσεις τῶν ὑδάτων, τὸν μὲν ἄλλον χρόνον ἀκίνητον τοῦ σώματος τὸ κύκλωμα τηροῦντα, κατὰ δὲ τὰς ἐπιφανείας τῶν διὰ τὴν δίψαν ζῴων φοιτώντων ἐπὶ τὸν τόπον ἄφνω διανιστάμενον, καὶ τῷ μὲν στόματι διαρπάζοντα, τῷ δὲ σπειράματι καταπλέκοντα τὸν ὄγκον τῶν φανέντων ζῴων, ὥςτε μηδενὶ τρόπῳ δύνασθαι τὸ παραπεσὸν ἐκφυγεῖν· προμήκους οὖν ὄντος τοῦ ζῴου καὶ νωθροῦ τὴν φύσιν ἐλπίσαντες βρόχοις καὶ σειραῖς κυριεύσειν, τὸ μὲν πρῶτον παρῆσαν ἐπ' αὐτὸ τεθαῤῥηκότες, ἔχοντες ἐξηρτυμένα πάντα τὰ πρὸς τὴν χρείαν· ὡς δ' ἐπλησίαζον, ἀεὶ μᾶλλον ἐξεπλήττοντο τῷ δέει, θεωροῦντες ὄμμα πυρωπὸν καὶ λιχμωμένην πάντῃ τὴν γλῶτταν, ἔτι δὲ τῇ τραχύτητι τῶν φολίδων ἐν τῇ διὰ τῆς ὕλης πορείᾳ καὶ παρατρίψει ψόφον ἐξαίσιον κατασκευάζοντα, τὸ μέγεθός τε τὸ τῶν ὀδόντων ὑπερφυὲς καὶ στόματος ἀγρίαν πρόσοψιν καὶ κυκλώματος ἀνάστημα παράδοξον. διόπερ τῷ φόβῳ τὰ χρώματα τῶν προςώπων ἀποβεβληκότες δειλῶς ἐπέβαλ-
203 λον τοὺς βρόχους ἀπὸ τῆς οὐρᾶς. τὸ δὲ θηρίον ἅμα τῷ προςάψασθαι τοῦ σώματος τὸν κάλων ἐπεστράφη μετὰ πολλοῦ φυσήματος καταπληκτικῶς· καὶ τὸν μὲν πρῶτον ἁρπάζει τῷ στόματι μετεωρισθὲν ὑπὲρ τῆς κεφαλῆς, καὶ τὰς σάρκας ἔτι ζῶντος κατεσιτεῖτο, τὸν δὲ δεύτερον φεύγοντα τῇ σπείρᾳ πόῤῥωθεν ἐπεσπάσατο, καὶ περιειληθὲν ἔσφιγγε τὴν κοιλίαν τῷ δεσμῷ, οἱ δὲ λοιποὶ πάντες ἐκπλαγέντες διὰ τῆς φυγῆς τὴν σωτηρίαν ἐπορίσαντο.

37 οὐ μὴν ἀπέγνωσαν τὴν θήραν, ὑπερβαλλούσης τῆς ἀπὸ τοῦ βασιλέως χάριτος καὶ δωρεᾶς τοὺς ἀπὸ τῆς πείρας ἐγνωσμένους κινδύνους, φιλοτεχνίᾳ δὲ καὶ δόλῳ τὸ τῇ

62. ἐπιβολῆς] ἐπιβουλῆς F 64. τριάκοντα πηχῶν] τριακοντάπηχυν E, διακοντάπηχυν B 65. συστάσεις] συστήματα F, illud margo 69. σπειράματι] σπειρήματι G 72. καὶ σειραῖς omisit M 73. κυριεύσειν] κυριεῦσαν F αὐτὸ] αὐτῷ E 74. ἐξηρτυμένα C(D), caeteri ἐξηρτημένα 75. ἀεὶ] αἰεὶ D 77. πάντῃ] πάντα F 78. ἐν] καὶ G 79. τε τὸ] τε D 83. ἐπέβαλλον] ἐπεβάλοντο D ἀπὸ] ἐπὶ Wesselingius

203. 84. προςάψασθαι] προςψαύσασθαι B κάλων] κάλον C, κάλαμον FG 85. καταπληκτικῶς] ἐκπληκτικῶς A 92. ὑπερβαλλούσης D, caeteri ὑπερβαλούσης 94. ἐγνωσμένους omisit F, asterisco notavit Stephanus δὲ D, caeteri τε

βίᾳ δυςκαταγώνιστον ἐχειρώσαντο, τοιάνδε τινὰ μηχανὴν πορισάμενοι. κατεσκεύασαν ἀπὸ σχοίνου πυκνῆς περιφερὲς πλόκανον, τῷ μὲν τύπῳ τοῖς κύρτοις ἐμφερές, τῷ δὲ μεγέθει καὶ τῇ διαλήψει τῆς χώρας δυνάμενον δέξασθαι τὸν ὄγκον τοῦ θηρίου. κατοπτεύσαντες οὖν τὸν φωλεὸν αὐτοῦ καὶ τὴν ὥραν τῆς τε ἐπὶ τὴν νομὴν ἐξόδου καὶ πάλιν τῆς ἐπανόδου, ὡς τάχισθ᾽ ὥρμησεν ἐπὶ τὴν ἄγραν τὴν συνήθη τῶν ἑτερογενῶν ζώων, τὸ μὲν προϋπάρχον τοῦ φωλεοῦ στόμα λίθοις εὐμεγέθεσι καὶ γῇ συνῳκοδόμησαν, τὸν δὲ πλησίον τῆς λόχμης τόπον ὑπόνομον ποιήσαντες καὶ τὸ πλόκανον εἰς αὐτὸν ἐνθέντες ἐναντίον ἐποίησαν τὸ στόμιον, ὥςτε ἐξ ἑτοίμου τῷ θηρίῳ τὴν εἴςοδον ὑπάρχειν. κατὰ δὲ τὴν ἐπάνοδον τοῦ ζῴου, παρεσκευασμένοι τοξότας καὶ σφενδονήτας ἔτι δὲ ἱππεῖς πολλούς, πρὸς δὲ τούτοις σαλπιγκτὰς καὶ τὴν ἄλλην ἅπασαν χορηγίαν, ἅμα τῷ προςπελάζειν τὸ μὲν θηρίον μετεωρότερον τῶν ἱππέων ἐξῇρε τὸν αὐχένα, οἱ δ᾽ ἐπὶ τὴν θήραν ἠθροισμένοι προςεγγίσαι μὲν οὐκ ἐτόλμων, νενουθετημένοι ταῖς προγεγενημέναις συμφοραῖς, πόῤῥωθεν δὲ πολλαῖς χερσὶν ἐφ᾽ ἕνα καὶ μέγαν σκοπὸν βάλλοντες ἐτύγχανον, καὶ τῇ τε τῶν ἱππέων ἐπιφανείᾳ καὶ πλήθει κυνῶν ἀλκίμων ἔτι δὲ τῷ διὰ τῶν σαλπίγγων ἤχῳ κατέπληττον τὸ ζῷον. διόπερ ὑποχωροῦντος αὐτοῦ πρὸς τὴν οἰκείαν αὐτοῦ λόχμην τοσοῦτον ἐπεδίωκον ὥςτε μὴ παροξύνειν ἐπὶ πλεῖον. ὡς δὲ τῆς ἐνῳκοδομημένης φάραγγος ἤγγισεν, ἀθρόως ψόφον μὲν πολὺν διὰ τῶν ὅπλων ἐποιήσαντο, ταραχὴν δὲ καὶ φόβον διὰ τῆς τῶν ὄχλων ἐπιφανείας καὶ σαλπίγγων. τὸ δὲ θηρίον τὴν μὲν εἴςοδον οὐχ εὕρισκε, τὴν δὲ τῶν κυνηγῶν ὁρμὴν καταπληττόμενον κατέφυγεν εἰς τὸ πλησίον κατεσκευασμένον στόμιον. πιμπλαμένου δὲ τοῦ πλοκάνου τῇ διαλύσει τῆς σπείρας, ἔφθασαν τῶν κυνηγῶν

97. περιφερὲς A(D)FMQ et a pr. manu C, caeteri περιφερῆ πλόκανον ADF, caeteri πλόκαμον τοῖς κύρτοις] καὶ τοῖς δικτύοις gl. C 98. ἐμφερές A(D)FMQ et a pr. manu C, caeteri ἐμφερῆ 5. τὸ] libri τὸν πλόκανον ADF, caeteri πλόκαμον 9. σαλπιγκτὰς AF, caeteri σαλπικτὰς 10. ἅμα Reiskius: libri ἅμα δὲ 13. νενουθετημένοι] νενομοθετημένοι C 15. ἱππέων] *equorum* Poggius 17. κατέπληττον A(D), caeteri κατεπλήττοντο 18. αὐτοῦ omisit D 21. ψόφον omittunt AD πολὺν] πολλὴν A ὅπλων] *armorum equorumque* Poggius ἐποιήσαντο] ἐποίησαν AD 22. δὲ καὶ] καὶ ABD 23. εὕρισκε] ηὕρισκε CE 26. πλοκάνου] πλοκάμου omnes, nisi forte AF πλοκάνου, ut quos in annotatione Wesselingius hanc *ubique* formam praeferre perhibeat: tametsi in varietate scripturae nonnisi bis (97. et 5.) πλόκανον ex utroque annotavit



τινες προςιππασάμενοι, καὶ πρὸ τοῦ στραφῆναι τὸν ὄφιν ἐπὶ τὴν ἔξοδον κατελάβοντο δεσμοῖς τὸ στόμιον πρόμηκες ὂν καὶ πεφιλοτεχνημένον πρὸς ταύτην τὴν ὀξύ-
204 τητα· ἐξελκύσαντες δὲ τὸ πλόκανον καὶ φάλαγγας ὑποθέντες μετέωρον ἐξῇραν. τὸ δὲ θηρίον ἀπειλημμένον ἐν ἀπεστενωμένῳ τόπῳ παρὰ φύσιν συριγμὸν ἐξαίσιον ἠφίει καὶ τοῖς ὀδοῦσι τὴν περιέχουσαν σχοῖνον κατέσπα, πάντη δὲ διασειόμενον προςδοκίαν ἐποίησε τοῖς φέρουσιν ὡς ἐκπηδῆσον ἐκ τοῦ περιέχοντος αὐτὸ φιλοτεχνήματος. διὸ καὶ καταπλαγέντες ἔθεσαν ἐπὶ τὴν γῆν τὸν ὄφιν, καὶ τοὺς περὶ τὴν οὐρὰν τόπους κατακεντοῦντες ἀντιπεριέσπων τοῦ θηρίου τὸν ἀπὸ τῶν ὀδόντων σπαραγμὸν ἐπὶ τὴν αἴσθησιν τῶν ἀλγούντων μερῶν. ἀπενέγκαντες δ᾽ εἰς τὴν Ἀλεξάνδρειαν ἐδωρήσαντο τῷ βασιλεῖ, παράδοξον θέαμα καὶ τοῖς ἀκούσασιν ἀπιστούμενον. τῇ δ᾽ ἐνδείᾳ τῆς τροφῆς καταπονήσαντες τὴν ἀλκὴν τοῦ θηρίου τιθασὸν ἐκ τοῦ κατ᾽ ὀλίγον ἐποίησαν, ὥςτε θαυμαστὴν αὐτοῦ γενέσθαι τὴν ἐξημέρωσιν. ὁ δὲ Πτολεμαῖος τοῖς μὲν κυνηγοῖς τὰς ἀξίας ἀπένειμε δωρεάς, τὸν δ᾽ ὄφιν ἔτρεφε τετιθασευμένον καὶ τοῖς εἰς τὴν βασιλείαν παραβάλλουσι ξένοις μέγιστον παρεχόμενον καὶ παραδοξότατον θέαμα. διόπερ τηλικούτου μεγέθους ὄφεως εἰς ὄψιν κοινὴν κατηντηκότος οὐκ ἄξιον ἀπιστεῖν τοῖς Αἰθίοψιν οὐδὲ μῦθον ὑπολαμβάνειν τὸ θρυλούμενον ὑπ᾽ αὐτῶν. ἀποφαίνονται γὰρ ὁρᾶσθαι κατὰ τὴν χώραν αὐτῶν ὄφεις τηλικούτους τὸ μέγεθος ὥςτε μὴ μόνον βοῦς τε καὶ ταύρους καὶ τῶν ἄλλων ζῴων τὰ τηλικαῦτα τοῖς ὄγκοις ἀναλίσκειν, ἀλλὰ καὶ τοῖς ἐλέφασιν εἰς ἀλκὴν συνίστασθαι, καὶ διὰ μὲν τῆς σπείρας ἐμπλεκομένους τοῖς σκέλεσιν ἐμποδίζειν τὴν κατὰ φύσιν κίνησιν, τὸν δ᾽ αὐχένα μετεωρίσαντας ὑπὲρ τὴν προβοσκίδα τὴν κεφαλὴν ἐναντίαν ποιεῖν τοῖς τῶν ἐλεφάντων ὄμμασι, διὰ δὲ τοῦ πυρωποῦ τῶν ὀφθαλμῶν

27. τινες] τὸν ἐς FG προςιππασάμενοι] προςιπτάμενοι ABD 30. τὸ C(D), caeteri τὸν πλόκανον] πλόκαμον omnes: sed v. ad 26.

204. 31. μετέωρον Q, caeteri μετεωρότερον: μετέωρος ἤρθη Tzetzes Chil. III. 927. 34. πάντη] πάντα G 35. αὐτὸ post περιέχοντος posuit Reiskius, post ἐκπηδῆσον libri 43. post θηρίου omittunt τὸν ἀπὸ τῶν ὀδόντων CE, quae asterisco notavit Stephanus τιθασὸν] τιθασσὸν omnes 46. τετιθασευμένον] τετιθασσευόμενον D, τιθασσευόμενον B, τιτασσεμένον C, caeteri τετιθασσευμένον 47. παρεχόμενον] παρεχόμενος ADEG 51. θρυλούμενον] θρυλλούμενον omnes 57. μετεωρίσαντας] μετεωρίσαντες ABF ὑπὲρ Reiskius: libri ὑπὸ 59. πυρωποῦ] πυῤῥωποῦ D

ἀστραπῇ παραπλησίας τὰς λαμπηδόνας προςβάλλοντας ἀποτυφλοῦν τὴν ὅρασιν, καὶ σφήλαντας ἐπὶ τὴν γῆν σαρκοφαγεῖν τὰ χειρωθέντα τῶν ζῴων.

38 Διευκρινηκότες δ' ἀρκούντως τὰ περὶ τὴν Αἰθιοπίαν καὶ Τρωγλοδυτικὴν καὶ τὴν ταύταις συνάπτουσαν μέχρι τῆς διὰ καῦμα ἀοικήτου, πρὸς δὲ ταύταις περὶ τῆς παραλίας τῆς παρὰ τὴν ἐρυθρὰν θάλατταν καὶ τὸ Ἀτλαντικὸν πέλαγος τὸ πρὸς μεσημβρίαν κεκλιμένον, περὶ τοῦ καταλελειμμένου μέρους, λέγω δὲ τοῦ Ἀραβίου κόλπου, ποιησόμεθα τὴν ἀναγραφήν, τὰ μὲν ἐκ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλικῶν ὑπομνημάτων ἐξειληφότες, τὰ δὲ παρὰ τῶν αὐτοπτῶν πεπυσμένοι. τοῦτο γὰρ τὸ μέρος τῆς οἰκουμένης καὶ τὸ περὶ τὰς Βρεττανικὰς νήσους καὶ τὴν ἄρκτον ἥκιστα πέπτωκεν ὑπὸ τὴν κοινὴν ἀνθρώπων ἐπίγνωσιν. ἀλλὰ περὶ μὲν τῶν πρὸς ἄρκτον κε- 205
κλιμένων μερῶν τῆς οἰκουμένης τῶν συναπτόντων τῇ διὰ ψῦχος ἀοικήτῳ διέξιμεν ὅταν τὰς Γαΐου Καίσαρος ἀναγράφωμεν πράξεις. οὗτος γὰρ τὴν Ῥωμαίων ἡγεμονίαν εἰς ἐκεῖνα τὰ μέρηποῤῥωτάτω προβιβάσας πάντα τὸν πρότερον ἀγνοούμενον τόπον ἐποίησε πεσεῖν εἰς σύνταξιν ἱστορίας. ὁ δὲ προςαγορευόμενος Ἀράβιος κόλπος ἀνεστόμωται μὲν εἰς τὸν κατὰ μεσημβρίαν κείμενον Ὠκεανόν, τῷ μήκει δ' ἐπὶ πολλοὺς πάνυ παρήκων σταδίους τὸν μυχὸν ἔχει περιοριζόμενον ταῖς ἐσχατιαῖς τῆς Ἀραβίας καὶ Τρωγλοδυτικῆς. εὖρος δὲ κατὰ μὲν τὸ στόμα καὶ τὸν μυχὸν ὑπάρχει περὶ ἑκκαίδεκα σταδίους, ἀπὸ δὲ Πανόρμου λιμένος πρὸς τὴν ἀντιπέραν ἤπειρον μακρᾶς νεὼς διωγμὸν ἡμερήσιον. τὸ δὲ μέγιστόν ἐστι διάστημα κατὰ τὸ Τύρκαιον ὄρος καὶ Μακαρίαν νῆσον πελαγίαν, ὡς ἂν τῶν ἠπείρων οὐχ ὁρωμένων ἀπ' ἀλλήλων. ἀπὸ δὲ τούτου τὸ πλάτος ἀεὶ μᾶλλον συγκλείεται καὶ τὴν συναγωγὴν ἔχει μέχρι τοῦ στόματος. ὁ δὲ παράπλους αὐτοῦ κατὰ πολλοὺς τόπους ἔχει νήσους μακράς, στενοὺς μὲν διαδρόμους ἐχούσας, ῥοῦν δὲ πολὺν καὶ σφοδρόν. ἡ μὲν οὖν κεφαλαιώδης τοῦ κόλπου τούτου θέσις ὑπάρχει τοιαύτη. ἡμεῖς δ' ἀπὸ τῶν ἐσχάτων τούτου τοῦ μυχοῦ τόπων ἀρξάμενοι τὸν ἐφ' ἑκάτερα τὰ μέρη παράπλουν τῶν ἠπείρων καὶ τὰς ἀξιολογωτάτας κατ' αὐτὰς ἰδιότητας διέξιμεν· πρῶτον δὲ ληψόμεθα τὸ δεξιὸν μέρος, οὗ τὴν παραλίαν τῶν Τρωγλοδυτῶν ἔθνη νέμεται μέχρι τῆς ἐρήμου.

39 Ἀπὸ πόλεως τοίνυν Ἀρσινόης κομιζομένοις παρὰ τὴν δεξιὰν ἤπειρον ἐκπίπτει κατὰ πολλοὺς τόπους ἐκ πέτρας εἰς θάλατταν ὕδατα πολλά, πικρᾶς ἁλμυρίδος ἔχοντα γεῦσιν. παραδραμόντι δὲ τὰς πηγὰς ταύτας ὑπέρκειται μεγάλου πεδίου μιλτώδη χρόαν ἔχον ὄρος καὶ τὴν ὅρασιν τῶν ἐπὶ πλεῖον ἀτενιζόντων εἰς αὐτὸ λυμαινόμενον. ὑπὸ δὲ τὰς ἐσχατιὰς τῆς ὑπωρείας κεῖται λιμὴν σκολιὸν ἔχων τὸν εἴςπλουν, ἐπώνυμος Ἀφροδίτης. ὑπέρκεινται δὲ τούτου νῆσοι τρεῖς, ὧν δύο μὲν πλήρεις εἰσὶν ἐλαιῶν καὶ σύσκιοι, μία δὲ λειπομένη τῷ πλήθει τῶν προειρημένων δένδρων, πλῆθος δ' ἔχουσα τῶν ὀνομαζομένων μελεαγρίδων. μετὰ δὲ ταῦτα κόλπος ἐστὶν εὐμεγέθης ὁ καλούμενος ἀκάθαρτος, καὶ πρὸς αὐτῷ βαθεῖα καθ' ὑπερβολὴν χεῤῥόνησος, ἧς κατὰ τὸν αὐχένα στενὸν ὄντα διακομίζουσι τὰ σκάφη πρὸς τὴν ἀντιπέραν θάλατταν. παρακομισθέντι δὲ τοὺς τόπους τούτους κεῖται νῆσος πελαγία μὲν τῷ διαστήματι, τὸ δὲ μῆκος εἰς ὀγδοήκοντα σταδίους παρεκτείνουσα, καλουμένη δὲ Ὀφιώ-
206 δης, ἣ τὸ μὲν παλαιὸν ὑπῆρχε πλήρης παντοδαπῶν καὶ φοβερῶν ἑρπετῶν, ἀφ' ὧν καὶ ταύτης ἔτυχε τῆς προςηγορίας, ἐν δὲ τοῖς μεταγενεστέροις χρόνοις ὑπὸ τῶν κατὰ τὴν Ἀλεξάνδρειαν βασιλέων οὕτως ἐξημερώθη φιλοτίμως ὥςτε μηδὲν ἔτι κατ' αὐτὴν ὁρᾶσθαι τῶν προϋπαρξάντων ζῴων. οὐ παραλειπτέον δ' ἡμῖν οὐδὲ τὴν

60. παραπλησίας] παραπλησίως omnes προςβάλλοντας] προβάλλοντας BD, βάλλοντας A 64. Τρωγλοδυτικὴν ACD, caeteri τὴν Τρωγλοδυτικὴν ταύταις ABC(D)EQ, caeteri ταύτῃ 65. ἀοικήτου CD, οἰκούντων FG, οἰκοῦσι M, caeteri ἀνοικήτου 66. παρὰ AB(D), caeteri περὶ θάλατταν] θάλασσαν omnes 68. δὲ DE, caeteri δὴ 70. ἐξειληφότες] ἀνειληφότες E

205. 76. τῇ] τῷ AB ψῦχος] δίψος B ἀοικήτῳ BD, ἀοικότῳ AE, caeteri ἀνοικήτῳ 77. ἀναγράφωμεν πράξεις] πράξεις ἀναγράφωμεν D 86. ἑκκαίδεκα] decem et septem Poggius, aliis esse ἑξήκοντα monet Wesselingius ἀπὸ — 90. ἀλλήλων om. AD 88. Τύρκαιον ὄρος] Tiritum montem Poggius 89. Μακαρίαν νῆσον πελαγίαν Strothius, Μακαρίαν δυςπελάγιον GQ, Μαριάνδης πελάγιον E, Μαρίαν δυςπελάγιον V, caeteri Μαρίαν δυςπελαγίαν: praeteriit Poggius

95. θέσις] θέσεις C 96. τούτου delendum 98. αὐτὰς] αὐτοὺς AB 99. μέρος, οὗ τὴν παραλίαν τῶν Τρωγλοδυτῶν Poggius, Wesselingius, μέρος τὴν παράλιον τῶν Τρωγλοδυτῶν FG, μέρος τῶν Τρωγλοδυτῶν, οὗ τὴν παραλίαν ABCDE, μέρος τῶν Τρωγλοδυτῶν. τὴν παράλιον τῶν Τρωγλοδυτῶν caeteri
1. Ἀρσινόης] Ἀρσενόης AB 5. ταύτας Eichstadius: libri αὐτὰς ὑπέρκειται] ὑπεχεῖται F μιλτώδη] viridi Poggius 6. πλεῖον] πλειόνων DFG ἀτενιζόντων] ἐνατενιζόντων B 8. λιμὴν] λίμνη stagnum vertit Poggius 10. σύσκιοι ABDFG, caeteri σύκων 14. χεῤῥόνησος] χερσόνησος ABD 15. ἧς addunt AB(D) διακομίζουσι ABCE, caeteri διακομίζουσα 19. δὲ] μὲν DFG

206. 23. ὥςτε ABD, caeteri ὡς μηδὲν] μηδ' ἂν D

αἰτίαν τῆς περὶ τὴν ἡμέρωσιν φιλοτιμίας. εὑρίσκεται γὰρ ἐν τῇ νήσῳ ταύτῃ τὸ καλούμενον τοπάζιον, ὅπερ ἐστὶ λίθος διαφαινόμενος ἐπιτερπής, ὑάλῳ παρεμφερὴς καὶ θαυμαστὴν ἔγχρυσον πρόςοψιν παρεχόμενος. διόπερ ἀνεπίβατος τοῖς ἄλλοις τηρεῖται, θανατουμένου παντὸς τοῦ προςπλεύσαντος ὑπὸ τῶν καθεσταμένων ὑπ᾽ αὐτῶν φυλάκων. οὗτοι δὲ τὸν ἀριθμὸν ὄντες ὀλίγοι βίον ἔχουσιν ἀτυχῆ. ἵνα μὲν γὰρ μηδεὶς λίθος διακλαπῇ, πλοῖον οὐκ ἀπολείπεται τὸ παράπαν ἐν τῇ νήσῳ· οἱ δὲ παραπλέοντες αὐτὴν διὰ τὸν ἀπὸ τοῦ βασιλέως φόβον πόῤῥωθεν παραθέουσι· τροφαὶ δὲ αἱ μὲν παρακομιζόμεναι ταχέως ἐκλείπουσιν, ἕτεραι δ᾽ ἐγχώριοι τὸ σύνολον οὐχ ὑπάρχουσι. διόπερ ὅταν τῶν σιτίων ὀλίγα καταλείπηται, κάθηνται πάντες οἱ κατὰ τὴν κώμην προςδεχόμενοι τὸν τῶν κομιζόντων τὰς τροφὰς κατάπλουν· ὧν βραδυνόντων εἰς τὰς ἐσχάτας ἐλπίδας συστέλλονται. ὁ δὲ προειρημένος λίθος φυόμενος ἐν ταῖς πέτραις τὴν μὲν ἡμέραν διὰ τὸ πνῖγος οὐχ ὁρᾶται, κρατούμενος ὑπὸ τοῦ περὶ τὸν ἥλιον φέγγους, τῆς δὲ νυκτὸς ἐπιγινομένης ἐν σκότει διαλάμπει καὶ πόῤῥωθεν δῆλός ἐστιν ἐν ᾧ ποτ᾽ ἂν ᾖ τόπῳ. οἱ δὲ νησοφύλακες κλήρῳ διῃρημένοι τοὺς τόπους ἐφεδρεύουσι, καὶ τῷ φανέντι λίθῳ περιτιθέασι σημείου χάριν ἄγγος τηλικοῦτον ἡλίκον ἂν ᾖ τὸ μέγεθος τοῦ στίλβοντος λίθου· τῆς δ᾽ ἡμέρας περιιόντες περιτέμνουσι τὸν σημειωθέντα τόπον τῆς πέτρας, καὶ παραδιδόασι τοῖς διὰ τῆς τέχνης δυναμένοις ἐκλεαίνειν τὸ παραδοθὲν οἰκείως.

**40** Παραπλεύσαντι δὲ τούτους τοὺς τόπους πολλὰ μὲν ἔθνη ἰχθυοφάγων κατοικεῖ τὴν παράλιον, πολλοὶ δὲ νομάδες Τρωγλοδῦται. πρὸς δὲ τούτοις ὄρη παντοῖα ταῖς ἰδιότησιν ὑπάρχει μέχρι λιμένος τοῦ προςαγορευθέντος σωτηρίας, ὃς ἔτυχε τῆς ὀνομασίας ταύτης ἀπὸ τῶν πρώτων πλευσάντων Ἑλλήνων καὶ διασωθέντων. ἀπὸ δὲ τούτων τῶν μερῶν ἄρχεται συναγωγὴν λαμβάνειν ὁ κόλ-

30. προςπλεύσαντος] προςπλάσαντος B, προςπελάσαντος A 31. καθεσταμένων] καθισταμένων A 33. διακλαπῇ] διακλαπῇς G, διαλείπῃ F 38. καταλείπηται] καταλίπηται D, καταλείπεται CG, si huc, non ad ἀπολείπεται v. 33. varietas referenda est 45. δῆλός A(D), caeteri δῆλόν 47. περιτιθέασι ABC(D)EQ, caeteri ἐπιτίθεασι 52. παραπλεύσαντι] παραπλεύσαντες A 53. ἔθνη ἰχθυοφάγων] ἰχθυοφάγων ἔθνη D, *Scyriae phagi* Poggius 55. προςαγορευθέντος ABCDEFGMQ, caeteri προςαγορευομένου 56. σωτηρίας ABDFGQ et fortasse C, *Sotiras portum* Poggius, quod si animadvertisset Wesselingius, plus etiam coniecturae suae Σωτείρας tribuisset: nisi forte aliter scriptum in eius exemplari fuit: caeteri σωτῆρος ταύτης deest CE



πος καὶ τὴν ἐπιστροφὴν ἐπὶ τὰ κατὰ τὴν Ἀραβίαν μέρη ποιεῖσθαι· καὶ τὴν φύσιν δὲ τῆς χώρας καὶ θαλάττης ἀλλοίαν εἶναι συμβέβηκε διὰ τὴν ἰδιότητα τῶν τόπων. ἥ τε γὰρ ἤπειρος ταπεινὴ καθορᾶται, μηδαμόθεν ἀνα-
207 στήματος ὑπερκειμένου, ἥ τε θάλαττα τεναγώδης οὖσα τὸ βάθος οὐ πλεῖον εὑρίσκεται τριῶν ὀργυιῶν, καὶ τῇ χρόᾳ παντελῶς ὑπάρχει χλωρά. τοῦτο δ᾽ αὐτῇ φασι συμβαίνειν οὐ διὰ τὸ τὴν τῶν ὑγρῶν φύσιν εἶναι τοιαύτην, ἀλλὰ διὰ τὸ πλῆθος τοῦ διαφαινομένου καθ᾽ ὕδατος μνίου καὶ φύκους. ταῖς μὲν οὖν ἐπικώποις τῶν νεῶν εὔθετός ἐστιν ὁ τόπος, κλύδωνα μὲν οὐκ ἐκ πολλοῦ κυλίων διαστήματος, θήρας δ᾽ ἰχθύων ἀπλάτους παρεχόμενος· αἱ δὲ τοὺς ἐλέφαντας διάγουσαι, διὰ τὰ βάρη βαθύπλοοι καθεστῶσαι καὶ ταῖς κατασκευαῖς ἐμβριθεῖς, μεγάλους καὶ δεινοὺς ἐπιφέρουσι κινδύνους τοῖς ἐν αὐταῖς πλέουσι. διάρσει γὰρ ἱστίων θέουσαι, καὶ διὰ τὴν τῶν πνευμάτων βίαν πολλάκις νυκτὸς ὠθούμεναι, ὁτὲ μὲν πέτραις προςπεσοῦσαι ναυαγοῦσι, ποτὲ δ᾽ εἰς τεναγώδεις ἰσθμοὺς ἐμπίπτουσιν· οἱ δὲ ναῦται παρακαταβῆναι μὲν ἀδυνατοῦσι διὰ τὸ πλεῖον εἶναι τὸ βάθος ἀνδρομήκους, διὰ δὲ τῶν κοντῶν τῷ σκάφει βοηθοῦντες ὅταν μηδὲν ἀνύωσιν, ἐκβάλλουσιν ἅπαντα πλὴν τῆς τροφῆς· οὐδ᾽ οὕτω δὲ τῆς τροφῆς τυγχάνοντες εἰς μεγάλην ἀπορίαν ἐμπίπτουσι διὰ τὸ μήτε νῆσον μήτε ἄκραν ἠπείρου μήτε ναῦν ἑτέραν πλησίον ὑπάρχουσαν ὁρᾶσθαι· ἄξενοι γὰρ παντελῶς οἱ τόποι καὶ σπανίους ἔχοντες τοὺς ναυσὶ διακομιζομένους. χωρὶς δὲ τούτων τῶν κακῶν ὁ κλύδων ἐν ἀκαρεῖ χρόνῳ τῷ κύτει τῆς νεὼς τοσοῦτο πλῆθος ἄμμου προςβάλλει καὶ συσσωρεύει παραδόξως ὥςτε τὸν κύκλῳ τόπον περιχώννυσθαι καὶ τὸ σκάφος ὥςπερ ἐπίτηδες ἐνδεσμεύεσθαι τῇ χέρσῳ. οἱ δὲ τούτῳ τῷ συμπτώματι περιπεσόντες τὸ μὲν πρῶτον μετρίως ὀδύρονται πρὸς κωφὴν ἐρημίαν, οὐ παντελῶς

60. μέρη ποιεῖσθαι ACD, caeteri ποιεῖσθαι μέρη 207. 64. οὐ πλεῖον εὑρίσκεται ACD, caeteri εὑρίσκεται οὐ πλεῖον 66. δ᾽ omisit D 68. ἐπικώποις] ἐπικόποις D 70. θήρας AB, caeteri θήραν 71. ἀπλάτους B, ἀπλέτους A, caeteri ἄπλετον 72. διάγουσαι ABDFGQ, caeteri διακομίζουσαι βαθύπλοοι D, βαθύπλοιοι B, καθύπλοιοι G, βαθύπλευροι FMQ, caeteri βαθύπρωροι 76. ὁτὲ] ὅτε ABD, caeteri ποτὲ 80. ἀνύωσιν ABD, caeteri ἀνύσωσιν 81. τροφῆς alterum ex priori pro σωτηρίας aut simili vocabulo repetitum: *non — periculum devitant* Poggius 82. ἐμπίπτουσιν omnes 84. παντελῶς omittunt EU, asterisco notat Stephanus 85. σπανίους] σπανίως ABCDF 87. χρόνῳ AD, caeteri τῷ χρόνῳ τοσοῦτο] τοσοῦτον AB 89. περιχώννυσθαι] περιεχώννυσθαι FG

[δὲ] ἀπεγνωκότες εἰς τέλος τὴν σωτηρίαν· πολλάκις γὰρ τοῖς τοιούτοις ἐπιφανεὶς ὁ τῆς πλημμυρίδος κλύδων ἐξῆρεν εἰς ὕψος, καὶ τοὺς ἐσχάτως κινδυνεύοντας ὡςπερεὶ θεὸς ἐπιφανεὶς διεφύλαξεν· ὅταν δὲ ἀπὸ μὲν τῶν θεῶν ἡ προειρημένη μὴ παρακολουθήσῃ βοήθεια, τὰ δὲ τῆς τροφῆς λίπῃ, τοὺς μὲν ἀσθενεστέρους οἱ κατισχύοντες ἐκβάλλουσιν εἰς θάλατταν, ὅπως τοῖς ὀλίγοις τὰ λειπόμενα τῶν ἀναγκαίων πλείους ἡμέρας ἀντέχῃ· πέρας δὲ πάσας τὰς ἐλπίδας ἐξαλείψαντες ἀπόλλυνται πολὺ χεῖρον τῶν προαποθανόντων· οἱ μὲν γὰρ ἐν ἀκαρεῖ χρόνῳ τὸ πνεῦμα τῇ δούσῃ φύσει πάλιν ἀπέδωκαν, οἱ δ' εἰς πολλὰς ταλαιπωρίας καταμερίσαντες τὸν θάνατον, πολυχρονίους τὰς συμφορὰς ἔχοντες τῆς τοῦ βίου καταστροφῆς τυγχάνουσι. τὰ δὲ σκάφη ταῦτα τῶν ἐπιβατῶν οἰκτρῶς στερηθέντα, καθάπερ τινὰ κενοτάφια, διαμένει 208 πολὺν χρόνον πανταχόθεν περιχωννύμενα· τοὺς δ' ἱστοὺς καὶ τὰς κεραίας μετεώρους ἔχοντα πόῤῥωθεν τοὺς ὁρῶντας εἰς οἶκτον καὶ συμπάθειαν ἄγει τῶν ἀπολωλότων. πρόςταγμα γάρ ἐστι βασιλέως ἐᾶν τὰ τοιαῦτα συμπτώματα τοῖς πλέουσι διασημαίνειν τοὺς τὸν ὄλεθρον περιποιοῦντας τόπους. παρὰ δὲ τοῖς πλησίον κατοικοῦσιν ἰχθυοφάγοις παραδέδοται λόγος, ἐκ προγόνων ἔχων φυλαττομένην τὴν φήμην, ὅτι μεγάλης τινὸς γενομένης ἀμπώτεως ἐγεώθη τοῦ κόλπου πᾶς ὁ τόπος ὁ τὴν χλωρὰν ἔχων τοῦ τύπου πρόςοψιν, μεταπεσούσης τῆς θαλάττης εἰς τἀναντία μέρη· φανείσης δὲ τῆς ἐπὶ τῷ βυθῷ χέρσου πάλιν ἐπελθοῦσαν ἐξαίσιον πλήμην ἀποκαταστῆσαι τὸν πόρον εἰς τὴν προϋπάρχουσαν τάξιν.

41 ἀπὸ δὲ τούτων τῶν τόπων τὸν μὲν ἀπὸ Πτολεμαΐδος παράπλουν ἕως τῶν Ταύρων ἀκρωτηρίων προειρήκαμεν ὅτε Πτολεμαίου τὴν τῶν ἐλεφάντων θήραν ἀπηγγείλαμεν. ἀπὸ δὲ τῶν Ταύρων ἐπιστρέφει μὲν ἡ παράλιος πρὸς τὰς ἀνατολάς, κατὰ δὲ τὴν θερινὴν τροπὴν αἱ

92. δὲ] μὲν ADFG: neutro opus 97. λίπῃ] λείπῃ F 98. θάλατταν D, caeteri θάλασσαν 100. πλείους] πλείονας AD ἡμέρας omisit A 1. ἐξαλείψαντες] ἀποβαλόντες M 3. ἀπέδωκαν ABD, caeteri ἀνταπέδωκαν

208. 11. ἐᾶν] ἐὰν D, ἔχειν CEQ 12. διασημαίνειν ABD M, caeteri διασημᾶναι 15. φήμην] φωνὴν ABDFG 16. ἐγεώθη AB, ἐγεώθε D, caeteri ἐγενήθη 17. πᾶς ACD, caeteri ξηρὸς πᾶς τύπου Eichstadius: libri τόπου 19. φανείσης δὲ] καὶ φανείσης D ἐπελθοῦσαν ABC(D)EQ, caeteri ἐπανελθοῦσαν 20. ἐξαίσιον] ἐξαίφνης A πλήμην] πλημμύραν ABD, πλήμην καὶ πλημμύραν C 21. προϋπάρχουσαν ABCD, caeteri προϋπάρξασαν 23. Ταύρων] Ταυρικῶν ABD 25. Ταύρων] Ταυρικῶν ABD



σκιαὶ πίπτουσι πρὸς μεσημβρίαν ἐναντίως ταῖς παρ' ἡμῖν ἄχρι πρὸς ὥραν δευτέραν. ἔχει δὲ καὶ ποταμοὺς ἡ χώρα ῥέοντας ἐκ τῶν ὀρῶν τῶν προςαγορευομένων Ψεβαίων. διείληπται δὲ καὶ πεδίοις μεγάλοις φέρουσι μαλάχης καὶ καρδάμου καὶ φοίνικος ἄπιστα μεγέθη· ἐκφέρει δὲ καὶ καρποὺς παντοίους, τὴν μὲν γεῦσιν ἔχοντας νωθράν, ἀγνοουμένους δὲ παρ' ἡμῖν. ἡ δὲ πρὸς τὴν μεσόγειον ἀνατείνουσα πλήρης ἐστὶν ἐλεφάντων καὶ ταύρων ἀγρίων καὶ λεόντων καὶ πολλῶν ἄλλων παντοδαπῶν θηρίων ἀλκίμων. ὁ δὲ πόρος νήσοις διείληπται καρπὸν μὲν οὐδένα φερούσαις ἥμερον, ἐκτρεφούσαις δ' ὀρνέων ἴδια γένη καὶ ταῖς προςόψεσι θαυμαστά. ἡ δ' ἑξῆς θάλαττα βαθεῖα παντελῶς ἐστι, καὶ κήτη παντοδαπὰ φέρει παράδοξα τοῖς μεγέθεσιν, οὐ μέντοι λυποῦντα τοὺς ἀνθρώπους, ἐὰν μή τις ἀκουσίως αὐτῶν ταῖς λοφιαῖς περιπέσῃ. οὐ δύνανται γὰρ διώκειν τοὺς πλέοντας, ὡς ἂν κατὰ τὴν τῆς θαλάττης ἄρσιν ἀμαυρουμένων αὐτοῖς τῶν ὀμμάτων ὑπὸ τοῦ κατὰ τὸν ἥλιον φέγγους. ταῦτα μὲν 209 οὖν τὰ μέρη τῆς Τρωγλοδυτικῆς ἔσχατα γνωρίζεται, περιγραφόμενα ταῖς ἄκραις ἃς ὀνομάζουσι Ψεβαίας.

42 Τὸ δ' ἄλλο μέρος τῆς ἀντιπέραν παραλίου τὸ προςκεκλιμένον Ἀραβίᾳ πάλιν ἀναλαβόντες ἀπὸ τοῦ μυχοῦ διέξιμεν. οὗτος γὰρ ὀνομάζεται Ποσείδειον, ἱδρυσαμένου Ποσειδῶνι πελαγίῳ βωμὸν Ἀρίστωνος τοῦ πεμφθέντος ὑπὸ Πτολεμαίου πρὸς κατασκοπὴν τῆς ἕως Ὠκεανοῦ παρηκούσης Ἀραβίας. ἑξῆς δὲ τοῦ μυχοῦ τόπος ἐστὶ παραθαλάττιος ὁ τιμώμενος ὑπὸ τῶν ἐγχωρίων διαφερόντως πρὸς τὴν εὐχρηστίαν τὴν ἐξ αὐτοῦ. οὗτος δ' ὀνομάζεται μὲν Φοινικών, ἔχει δὲ πλῆθος τούτου τοῦ φυτοῦ πολύκαρπον καθ' ὑπερβολὴν καὶ πρὸς ἀπόλαυσιν καὶ τροφὴν διάφορον. πᾶσα δ' ἡ σύνεγγυς χώρα σπα-

29. Ψεβαίων CEFMQ Poggius, Ψεσβαίων G, Θεβαίων D, Θηβαίων AB, caeteri Ψεκίων 30. μαλάχης] μαλαχοὺς B, μαλάχην A καὶ — 31. δὲ om. A 31. ἐκφέρει] εἰςφέρει D δὲ καὶ D, caeteri δὲ 32. νωθρὰν] νοθερὰν FG 35. παντοδαπῶν θηρίων ἀλκίμων ABD, caeteri ἀλκίμων ζώων 36. πόρος] πόντος A, τόπος BD 39. παντοδαπὰ φέρει] φέρει παντοδαπὰ D 41. λοφιαῖς] λόφαις CEF, λοφείαις D, caeteri λοφίαις 42. τῆς] ἐκ τῆς Wesselingius 43. θαλάττης] θαλάσσης D

209. 45. γνωρίζεται] μερίζεται FG περιγραφόμενα] παραγραφόμενα ABDEF 46. ἃς omisit D Ψεβαίας AB(D), caeteri Ψεβάρας 48. ἀπὸ τοῦ μυχοῦ omisit A 49. διέξιμεν] διέξειμεν D Ποσείδειον] Ποσείδιον DF: fortasse Ποσίδειον 52. παρηκούσης] παροικούσης A 53. τιμώμενος D, caeteri τιμώμενος μὲν 54. πρὸς] διὰ AB 57. τροφὴν AD, τρυφὴν B, caeteri διατροφὴν διάφορον] διαφέρον D

νίζει ναματιαίων ὑδάτων καὶ διὰ τὴν πρὸς μεσημβρίαν ἔγκλισιν ἔμπυρος ὑπάρχει· διὸ καὶ τὸν κατάφυτον τόπον, ἐν ἀπανθρωποτάτοις ὄντα μέρεσι καὶ χορηγοῦντα τὰς τροφάς, εἰκότως οἱ βάρβαροι καθιερώκασι. καὶ γὰρ ὕδατος οὐκ ὀλίγαι πηγαὶ καὶ λιβάδες ἐκπίπτουσιν ἐν αὐτῷ, ψυχρότητι χιόνος οὐδὲν λειπόμεναι· αὗται δὲ ἐφ᾽ ἑκάτερον μέρος τὰ κατὰ τὴν γῆν χλωρὰ ποιοῦσι καὶ παντελῶς ἐπιτερπῆ. ἔστι δὲ καὶ βωμὸς ἐκ στερεοῦ λίθου παλαιὸς τοῖς χρόνοις, ἐπιγραφὴν ἔχων ἀρχαίοις γράμμασιν ἀγνώστοις. ἐπιμελοῦνται δὲ τοῦ τεμένους ἀνὴρ καὶ γυνή, διὰ βίου τὴν ἱερωσύνην ἔχοντες. μακρόβιοι δ᾽ εἰσὶν οἱ τῇδε κατοικοῦντες, καὶ τὰς κοίτας ἐπὶ τῶν δένδρων ἔχουσι διὰ τὸν ἀπὸ τῶν θηρίων φόβον. παραπλεύσαντι δὲ τὸν Φοινικοῦντα πρὸς ἀκρωτηρίῳ τῆς ἠπείρου νῆσός ἐστιν ἀπὸ τῶν ἐναυλιζομένων ἐν αὐτῇ ζῴων φωκῶν νῆσος ὀνομαζομένη· τοσοῦτο γὰρ πλῆθος τῶν θηρίων τούτων ἐνδιατρίβει τοῖς τόποις ὥςτε θαυμάζειν τοὺς ἰδόντας. τὸ δὲ προκείμενον ἀκρωτήριον τῆς νήσου κεῖται κατὰ τὴν καλουμένην Πέτραν καὶ τὴν Παλαιστίνην τῆς Ἀραβίας. εἰς γὰρ ταύτην τόν τε λίβανον καὶ τἄλλα φορτία τὰ πρὸς εὐωδίαν ἀνήκοντα κατάγουσιν, ὡς λόγος, ἐκ τῆς ἄνω λεγομένης Ἀραβίας οἵ τε Γεῤῥαῖοι καὶ Μινναῖοι.

43 Τὴν δ᾽ ἑξῆς παραθαλάττιον τὸ μὲν παλαιὸν ἐνέμοντο Μαρανεῖς, μετὰ δὲ ταῦτα Γαρυνδανεῖς, ὄντες πλησιόχω- 210 ροι. τὴν δὲ χώραν κατέσχον τοιῷδέ τινι τρόπῳ. ἐν τῷ πρόσθεν λεχθέντι Φοινικῶνι συντελουμένης πανηγύρεως πενταετηρικῆς ἐφοίτων πανταχόθεν οἱ περίοικοι, καμήλων εὖ τεθραμμένων ἑκατόμβας τοῖς ἐν τῷ τεμένει θεοῖς θύσοντες, ὁμοίως δὲ καὶ τῶν ὑδάτων τῶν ἐξ αὐτοῦ κομιοῦντες εἰς τὰς πατρίδας διὰ τὸ παραδίδοσθαι τοῦτο τὸ ποτὸν παρασκευάζειν τοῖς προςενεγκαμένοις τὴν ὑγίειαν. διὰ δὴ ταύτας τὰς αἰτίας τῶν Μαρανιτῶν καταν-

63. ψυχρότητι] ψυχροτάτης FQ 64. ἑκάτερον μέρος] ἑκάτερα τὰ μέρη BD 65. τὴν γῆν AB, γῆν D, caeteri τῆς γῆς χλωρὰ] χλοερὰ ABCDFG ἐπιτερπῆ] ἐπιτερπῆ τὸν τόπον BD 69. μακρόβιοι ABD, μακροὶ CEFGQ, caeteri μακάριοι 74. τοσοῦτο] τοσοῦτον AB 77. τῆς Ἀραβίας post Πέτραν ponit Salmasius 81. τὸ μὲν παλαιὸν omisit M

210. 82. Μαρανεῖς] Μαριανεῖς ABD, Μαρινεῖς E, Ναρινεῖς C, Νεαρῖνες F, Νεαρινεῖς M Γαρυνδανεῖς] Γαρινδανεῖς AD, Garindanes Poggius, Γαρυνδάνεις C, Γαρουνδανεῖς M 90. ὑγίειαν] ὑγειαν A Μαρανιτῶν Wesselingius, Μαριανιτῶν ABD, caeteri Μαρανητῶν 91. καταντησάντων] καταστησάντων CEF



τησάντων εἰς τὴν πανήγυριν, οἱ Γαρυνδανεῖς τοὺς μὲν ἀπολελειμμένους ἐν τῇ χώρᾳ κατασφάξαντες, τοὺς δ᾽ ἐκ τῆς πανηγύρεως ἐπανιόντας ἐνεδρεύσαντες διέφθειραν· ἐρημώσαντες δὲ τὴν χώραν τῶν οἰκητόρων κατεκληρούχησαν πεδία καρποφόρα καὶ νομὰς τοῖς κτήνεσι δαψιλεῖς ἐκτρέφοντα. αὕτη δ᾽ ἡ παράλιος λιμένας μὲν ὀλίγους ἔχει, διείληπται δὲ ὄρεσι πυκνοῖς καὶ μεγάλοις, ἐξ ὧν παντοίας ποικιλίας χρωμάτων ἔχουσα θαυμαστὴν παρέχεται θέαν τοῖς παραπλέουσι. παραπλεύσαντι δὲ ταύτην τὴν χώραν ἐκδέχεται κόλπος Λαιανίτης, περιοικούμενος πολλαῖς κώμαις Ἀράβων τῶν προςαγορευομένων Ναβαταίων. οὗτοι δὲ πολλὴν μὲν τῆς παραλίου νέμονται, οὐκ ὀλίγην δὲ καὶ τῆς εἰς μεσόγειον ἀνηκούσης χώρας, τόν τε λαὸν ἀμύθητον ἔχοντες καὶ θρεμμάτων ἀγέλας ἀπίστους τοῖς πλήθεσιν. οἳ τὸ μὲν παλαιὸν ἐξῆγον δικαιοσύνῃ χρώμενοι καὶ ταῖς ἀπὸ τῶν θρεμμάτων τροφαῖς ἀρκούμενοι, ὕστερον δὲ τῶν ἀπὸ τῆς Ἀλεξανδρείας βασιλέων πλωτὸν τοῖς ἐμπόροις ποιησάντων τὸν πόρον, τοῖς τε ναυαγοῦσιν ἐπετίθεντο καὶ λῃστρικὰ σκάφη κατασκευάζοντες ἐλῄστευον τοὺς πλέοντας, μιμούμενοι τὰς ἀγριότητας καὶ παρανομίας τῶν ἐν τῷ Πόντῳ Ταύρων· μετὰ δὲ ταῦτα ληφθέντες ὑπὸ τετρηρικῶν σκαφῶν πελάγιοι προςηκόντως ἐκολάσθησαν. μετὰ δὲ τούτους τοὺς τόπους ὑπάρχει χώρα πεδιὰς κατάῤῥυτος, ἐκτρέφουσα διὰ τὰς πάντῃ διαῤῥεούσας πηγὰς ἄγρωστιν καὶ μηδικὴν ἔτι δὲ λωτὸν ἀνδρομήκη. διὰ δὲ τὸ πλῆθος καὶ τὴν ἀρετὴν τῆς νομῆς οὐ μόνον κτηνῶν παντοδαπῶν ἀμύθητον ἐκτρέφει πλῆθος ἀλλὰ καὶ καμήλους ἀγρίας ἔτι δ᾽ ἐλάφους καὶ δορκάδας. πρὸς δὲ τὸ πλῆθος τῶν ἐντρεφομένων ζῴων φοιτῶσιν ἐκ τῆς ἐρήμου λεόντων καὶ λύκων καὶ παρδάλεων ἀγέλαι, πρὸς
211 ἃς οἱ κτηνοτροφοῦντες ἀναγκάζονται καὶ μεθ᾽ ἡμέραν καὶ νύκτωρ θηριομαχεῖν ὑπὲρ τῶν θρεμμάτων. οὕτω τὸ τῆς χώρας εὐτύχημα τοῖς κατοικοῦσιν ἀτυχίας αἴτιον

Γαρυνδανεῖς] Γαρινδανεῖς D, Garindanes Poggius, Γαρουνδανεῖς M 98. ποικηλίας D, ποικιλίας ὠφελείας AB, caeteri ὠφελείας 100. Λαιανίτης Wesselingius, Λαϊνίτης ABD, Λαινίτης FG, Elanites Poggius Wesselingii, Lamites (i. e. Lainites) meus, Ἀλαϊνίτης caeteri 3. δὲ καὶ τῆς ACD, caeteri δὲ τῆς εἰς μεσόγειον ACD, caeteri εἰς τὴν μεσόγειον 4. καὶ omisit D 6. ἐξῆγον] fortasse διεξῆγον 8. πλωτὸν] πρῶτον F 13. τετρηρικῶν D, τριηρικῶν AEQ Poggius, caeteri τετριηρικῶν 16. διαῤῥεούσας ABCD, περιῤῥεούσας E, caeteri καταῤῥεούσας μηδικὴν] μηδίκην omnes 20. ἐντρεφομένων CE, caeteri ἐκτρεφομένων

211. 24. οὕτω A, caeteri οὕτως

γίνεται διὰ τὸ τὴν φύσιν ὡς ἐπίπαν τοῖς ἀνθρώποις μετὰ τῶν ἀγαθῶν διδόναι τὰ βλάπτοντα.

44 Παραπλεύσαντι δὲ τὰ πεδία ταῦτα κόλπος ἐκδέχεται παράδοξον ἔχων τὴν φύσιν. συννεύει μὲν γὰρ εἰς τὸν μυχὸν τῆς χώρας, τῷ μήκει δ' ἐπὶ σταδίους πεντακοσίους παρεκτείνεται· περικλειόμενος δὲ κρημνοῖς θαυμασίοις τὸ μέγεθος σκολιὸν καὶ δυςέξιτον ἔχει τὸ στόμα· ἁλιτενοῦς γὰρ πέτρας τὸν εἴςπλουν διαλαμβανούσης οὔτ' εἰςπλεῦσαι δυνατόν ἐστιν εἰς τὸν κόλπον οὔτ' ἐκπλεῦσαι. κατὰ δὲ τὰς τοῦ ῥοῦ προςπτώσεις καὶ τὰς τῶν ἀνέμων μεταβολὰς ὁ κλύδων προςπίπτων τῇ ῥαχίᾳ καχλάζει καὶ τραχύνεται πάντῃ περὶ τὴν παρήκουσαν πέτραν. οἱ δὲ τὴν κατὰ τὸν κόλπον χώραν νεμόμενοι, Βανιζομενεῖς ὀνομαζόμενοι, τὰς τροφὰς ἔχουσι κυνηγοῦντες καὶ σαρκοφαγοῦντες τὰ χερσαῖα ζῷα. ἱερὸν δ' ἁγιώτατον ἵδρυται, τιμώμενον ὑπὸ πάντων Ἀράβων περιττότερον. ἑξῆς δὲ τῇ προειρημένῃ παραλίᾳ νῆσοι τρεῖς ἐπίκεινται, λιμένας ποιοῦσαι πλείους. καὶ τούτων τὴν μὲν πρώτην ἱστοροῦσιν ὑπάρχειν ἱερὰν Ἴσιδος, ἔρημον οὖσαν· παλαιῶν δ' οἰκιῶν ἔχειν λιθίνας ὑποστάθμας καὶ στήλας γράμμασι βαρβαρικοῖς κεχαραγμένας· ὁμοίως δὲ καὶ τὰς ἄλλας ἐρήμους ὑπάρχειν· πάσας δ' ἐλαίαις καταπεφυτεῦσθαι διαφόροις τῶν παρ' ἡμῖν. μετὰ δὲ τὰς νήσους ταύτας αἰγιαλὸς παρήκει κρημνώδης καὶ δυςπαράπλους ἐπὶ σταδίους ὡς χιλίους· οὔτε γὰρ λιμὴν οὔτε σάλος ἐπ' ἀγκύρας ὑπόκειται τοῖς ναυτίλοις, οὐ χηλὴ δυναμένη τοῖς ἀπορουμένοις τῶν πλεόντων τὴν ἀναγκαίαν ὑπόδυσιν παρασχέσθαι. ὄρος δὲ ταύτῃ παράκειται κατὰ μὲν τὴν κορυφὴν πέτρας ἀποτομάδας ἔχον καὶ τοῖς ὕψεσι καταπληκτικάς, ὑπὸ δὲ τὰς ῥίζας σπιλάδας ὀξείας καὶ πυκνὰς ἐνθαλάττους καὶ κατόπιν αὐτῶν φάραγγας ὑποβεβρωμένας καὶ σκολιάς. συντετρημένων δ' αὐτῶν πρὸς ἀλλήλας, καὶ τῆς θαλάττης βάθος ἐχούσης, ὁ κλύδων ποτὲ μὲν εἰςπίπτων ποτὲ δὲ παλισσυτῶν βρόμῳ μεγά-

26. τοῖς ἀνθρώποις omisit A 28. ἐκδέχεται] ἐνδέχεται F 32. δυςέξιτον ABD, δυςεξίτητον E, caeteri δυςδιεξίτητον 34. οὔτ'] οὐδ' D 36. ῥαχίᾳ] τραχείᾳ ABD 39. Βανιζομενεῖς AB(D)FG Poggius, Βνιζομενεῖς CEQ, caeteri Κνιζομενεῖς 40. κυνηγοῦντες ABD, caeteri κυνηγετοῦντες 42. παραλίᾳ AB(D), caeteri παράλιοι 45. οὖσαν] ἔχουσαν FG ἔχειν Wesselingius: libri ἔχει 48. καταπεφυτεῦσθαι ABD, caeteri καταπεπυκνῶσθαι 50. παρήκει] παράκειται ABD 52. οὐ χηλὴ Hudsonus: οὐχ ὕλη libri 54. τὴν κορυφὴν] κορυφὴν AF 55. ἔχον] ἔχειν F ὕψεσι] μεγέθεσι nescio quis Wesselingii 57. ἐνθαλάττους] ἐνθαλάττους ὀλίγας ABD 58. συντετρημένων A(D), caeteri συντετριμμένων 59. πρὸς ABD, caeteri εἰς



λῳ παραπλήσιον ἦχον ἐξίησι. τοῦ δὲ κύματος τὸ μὲν πρὸς μεγάλας πέτρας προςαραττόμενον εἰς ὕψος ἵσταται 212 καὶ τὸν ἀφρὸν θαυμαστὸν τὸ πλῆθος κατασκευάζει, τὸ δὲ καταπινόμενον κοίλωμα σπασμὸν ποιεῖ καταπληκτικόν, ὥςτε τοὺς ἀκουσίως ἐγγίσαντας τοῖς τόποις διὰ τὸ δέος οἱονεὶ προαποθνήσκειν. ταύτην μὲν οὖν τὴν παράλιον ἔχουσιν Ἄραβες οἱ καλούμενοι Θαμουδηνοί· τὴν δ' ἑξῆς ἐπέχει κόλπος εὐμεγέθης, ἐπικειμένων αὐτῷ νήσων σποράδων, τὴν πρόςοψιν ἐχουσῶν ὁμοίαν ταῖς καλουμέναις Ἐχινάσι νήσοις. ἐκδέχονται δὲ ταύτην τὴν παράλιον ἀέριοι θῖνες ἄμμου κατά τε τὸ μῆκος καὶ τὸ πλάτος, μέλανες τὴν χρόαν. μετὰ δὲ τούτους ὁρᾶται χεῤῥόνησος καὶ λιμὴν εἰς αὐτὴν κάλλιστος τῶν εἰς ἱστορίαν πεπτωκότων, ὀνομαζόμενος Χαρμουθάς. ὑπὸ γὰρ χηλὴν ἐξαίσιον κεκλιμένην πρὸς ζέφυρον κόλπος ἐστὶν οὐ μόνον κατὰ τὴν ἰδέαν θαυμαστός, ἀλλὰ καὶ κατὰ τὴν εὐχρηστίαν πολὺ τοὺς ἄλλους ὑπεράγων· παρήκει γὰρ αὐτὸν ὄρος συνηρεφές, κυκλούμενον πανταχόθεν ἐπὶ σταδίους ἑκατόν· εἴςπλουν δ' ἔχει δίπλεθρον, ναυσὶ διςχιλίαις ἄκλυστον λιμένα παρεχόμενος. χωρὶς δὲ τούτων εὔυδρός τέ ἐστι καθ' ὑπερβολήν, ποταμοῦ μείζονος εἰς αὐτὸν ἐμβάλλοντος, καὶ κατὰ μέσον ἔχει νῆσον εὔυδρον καὶ δυναμένην ἔχειν κηπεύματα. καθόλου δ' ἐμφερέστατός ἐστι τῷ κατὰ τὴν Καρχηδόνα λιμένι, προςαγορευομένῳ δὲ Κώθωνι· περὶ οὗ τὰς κατὰ μέρος εὐχρηστίας ἐν τοῖς οἰκείοις χρόνοις πειρασόμεθα διελθεῖν. ἰχθύων δὲ πλῆθος ἐκ τῆς μεγάλης θαλάττης εἰς αὐτὸν ἀθροίζεται διά τε τὴν νηνεμίαν καὶ τὴν γλυκύτητα τῶν εἰς αὐτὸν ῥεόντων ὑδάτων.

62. κύματος] κλύδωνος ABD προςαραττόμενον BD, caeteri ἀραττόμενον

212. 64. κοίλωμα] κύκλωμα E, κοίλωμα καὶ σπασμὸν Rhodomannus 65. ποιεῖ καταπληκτικόν] καταπληκτικὸν παρέχει AB ἀκουσίως] ἀνθρώπους E 68. Θαμουδηνοί] Θαμουδινοί AD, *Thamudaei* Poggius Wesselingii 69. αὐτῷ] αὐτῶν A σποράδων ABD, caeteri σποράδην 71. Ἐχινάσι] Ἐχιναῦσι C ταύτην τὴν AB(D), caeteri τὴν 73. χρόαν AD, caeteri χρόαν καθεστῶσαι τούτους ABD, caeteri ταύτας ὁρᾶται AB(D), caeteri ὑφορᾶται 74. χερσόνησος] χερσοννῆσος A, *cheronesus* Poggius, unde restitui veriorem formam λιμὴν εἰς αὐτὴν] λιμὴν AD 75. Χαρμουθάς] Χαρμοῦθας D, *Charmutha* Poggius 76. χηλὴν] χιλὸν E 78. κατὰ τὴν εὐχρηστίαν ABC(D)EG, τῇ εὐχρηστίᾳ caeteri ὑπεράγων] ὑπερέχων ABD 81. ἄκλυστον] ἔχλαυστον C 83. ἐμβάλλοντος] εἰςβάλλοντος AB 84. ἔχειν] δέξασθαι A 86. Κώθωνι] Κάθωνι CEQ. „*absunt autem haec A.*“ Wesseling.

87. οἰκείοις ABD, caeteri ἰδίοις 90. ῥεόντων ABCD, caeteri καταῤῥεόντων

45 *Παραπλεύσαντι δὲ τοὺς τόπους τούτους ὄρη πέντε διεστηκότα ἀλλήλων εἰς ὕψος ἀνατείνει, συναγομένας ἔχοντα τὰς κορυφὰς εἰς πετρώδη μαστόν, παραπλήσιον φαντασίαν ἀποτελοῦντα ταῖς κατ' Αἴγυπτον πυραμίσιν. ἑξῆς δ' ἐστὶ κόλπος κυκλοτερὴς μεγάλοις ἀκρωτηρίοις περιεχόμενος, οὗ κατὰ μέσην τὴν διάμετρον ἀνέστηκε λόφος τραπεζώδης, ἐφ' οὗ τρεῖς ναοὶ θαυμαστοὶ τοῖς ὕψεσιν ᾠκοδόμηνται θεῶν ἀγνοουμένων μὲν ὑφ' Ἑλλήνων, τιμωμένων δ' ὑπὸ τῶν ἐγχωρίων διαφερόντως. μετὰ δὲ ταῦτα αἰγιαλὸς παρήκει κάθυγρος, ναματιαίοις καὶ γλυκέσι ῥείθροις διειλημμένος· καθ' ὃν ἐστιν ὄρος ὀνομαζόμενον μὲν Χαβῖνον, δρυμοῖς δὲ παντοδαποῖς πεπυκνωμένον. τὴν δὲ χέρσον τὴν ἐχομένην τῆς ὀρεινῆς νέμονται τῶν Ἀράβων οἱ καλούμενοι Δέβαι. οὗτοι δὲ καμηλοτροφοῦντες πρὸς ἅπαντα χρῶνται τὰ μέγιστα τῶν 213 κατὰ τὸν βίον τῇ τοῦ ζῴου τούτου χρείᾳ· πρὸς μὲν γὰρ τοὺς πολεμίους ἀπὸ τούτων μάχονται, τὰς δὲ κομιδὰς τῶν φορτίων ἐπὶ τούτων νωτοφοροῦντες ῥᾳδίως ἅπαντα συντελοῦσι, τὸ δὲ γάλα πίνοντες ἀπὸ τούτων διατρέφονται, καὶ τὴν ὅλην χώραν περιπολοῦσιν ἐπὶ τῶν δρομάδων καμήλων. κατὰ δὲ μέσην τὴν χώραν αὐτῶν φέρεται ποταμὸς τοσοῦτο χρυσοῦ καταφέρων ψῆγμα φαινόμενον ὥςτε κατὰ τὰς ἐκβολὰς τὴν ἰλὺν ἀποφέρεσθαι περιστίλβουσαν. οἱ δ' ἐγχώριοι τῆς μὲν ἐργασίας τῆς τοῦ χρυσοῦ παντελῶς εἰσιν ἄπειροι· φιλόξενοι δ' ὑπάρχουσιν οὐ πρὸς πάντας τοὺς ἀφικνουμένους ἀλλὰ πρὸς μόνους τοὺς ἀπὸ Βοιωτίας καὶ Πελοποννήσου διά τινα παλαιὰν ἀφ' Ἡρακλέους οἰκειότητα πρὸς τὸ ἔθνος, ἣν μυθικῶς ἑαυτοὺς παρειληφέναι παρὰ τῶν προγόνων ἱστοροῦσιν. ἡ δ' ἑξῆς χώρα κατοικεῖται ὑπὸ Ἀράβων Ἀλιλαίων καὶ Γασανδῶν, οὐκ ἔμπυρος οὖσα καθάπερ αἱ πλησίον, ἀλλὰ μαλακαῖς καὶ δασείαις νεφέλαις πολλάκις κατεχομένη· ἐκ δὲ τούτων νιφετοὶ γίνονται καὶ χειμῶνες εὔκαιροι καὶ ποιοῦντες τὴν θερινὴν ὥραν εὔκρατον. ἥ τε χώρα πάμφορός ἐστι καὶ διάφορος κατὰ τὴν ἀρετήν, οὐ μέντοι τυγχάνει τῆς ἐνδεχομένης ἐπιμελείας διὰ τὴν τῶν λαῶν ἀπειρίαν. τὸν δὲ χρυσὸν εὑρίσκοντες ἐν τοῖς φυσικοῖς ὑπονόμοις τῆς γῆς συνάγουσι πολύν, οὐ τὸν ἐκ τοῦ ψήγματος συντηκόμενον ἀλλὰ τὸν αὐτοφυῆ καὶ καλούμενον ἀπὸ τοῦ συμβεβηκότος ἄπυρον. κατὰ δὲ τὸ μέγεθος ἐλάχιστος μὲν εὑρίσκεται παραπλήσιος πυρῆνι, μέγιστος δὲ οὐ πολὺ λειπόμενος βασιλικοῦ καρύου. φοροῦσι δ' αὐτὸν περί τε τοὺς καρποὺς τῶν χειρῶν καὶ περὶ τοὺς τραχήλους, τετρημένον ἐναλλὰξ λίθοις διαφανέσι. καὶ τούτου μὲν τοῦ γένους ἐπιπολάζοντος παρ' αὐτοῖς, χαλκοῦ δὲ καὶ σιδήρου σπανίζοντος, ἐπ' ἴσης ἀλλάττονται ταῦτα τὰ φορτία πρὸς τοὺς ἐμπόρους.*



*Μετὰ δὲ τούτους ὑπάρχουσιν οἱ ὀνομαζόμενοι Κάρβαι,* 46 *καὶ μετὰ τούτους Σαβαῖοι, πολυανθρωπότατοι τῶν Ἀραβικῶν ἐθνῶν ὄντες. νέμονται δὲ τὴν εὐδαίμονα λεγομένην Ἀραβίαν, φέρουσαν τὰ πλεῖστα τῶν παρ' ἡμῖν ἀγαθῶν καὶ θρεμμάτων παντοδαπῶν ἐκτρέφουσαν πλῆθος ἀμύθητον. εὐωδία τε γὰρ αὐτὴν πᾶσαν ἐπέχει φυσικὴ διὰ τὸ πάντα σχεδὸν τὰ ταῖς ὀσμαῖς πρωτεύοντα φύεσθαι κατὰ τὴν χώραν ἀνέκλειπτα. κατὰ μὲν γὰρ τὴν* 214 *παράλιον φύεται τὸ καλούμενον βάλσαμον καὶ κασία καὶ πόα τις ἄλλη ἰδιάζουσαν φύσιν ἔχουσα· αὕτη δὲ πρόσφατος μὲν οὖσα τοῖς ὄμμασι προςηνεστάτην παρέχεται τέρψιν, ἐγχρονισθεῖσα δὲ συντόμως γίνεται ἐξίτηλος. κατὰ δὲ τὴν μεσόγειον ὑπάρχουσι δρυμοὶ συνηρεφεῖς, καθ' οὓς ἐστι δένδρα μεγάλα λιβανωτοῦ καὶ σμύρνης, πρὸς δὲ τούτοις φοίνικος καὶ καλάμου καὶ κιναμώμου καὶ τῶν ἄλλων τῶν τούτοις ὁμοίαν ἐχόντων τὴν εὐωδίαν· οὐδὲ γὰρ ἐξαριθμήσασθαι δυνατὸν τὰς ἑκάστων ἰδιότητάς τε καὶ φύσεις διὰ τὸ πλῆθος καὶ τὴν ὑπερβολὴν τῆς ἐκ πάντων ἀθροιζομένης ὀσμῆς. θεία γάρ τις*

92. *συναγομένας*] *συναγόμενα* A 95. *κυκλοτερὴς* omisit V, post *περιεχόμενος* ponit E, asterisco notat Stephanus 96. *οὗ* AB(D)EG, caeteri *ὧν* 97. *τραπεζώδης*] *τραπεζοειδής* D 98. *τοῖς ὕψεσιν*] *ταῖς ὄψεσιν* FG 99. *ὑφ'*] *ὑπὸ τῶν* D 1. *ναματιαίοις*] *ναματιαῖος* AD *κατειλημμένος*] *διειλημμένος* Wesselingius 2. *μὲν* addunt AC(D) *Χαβῖνον*] *Gabinum* Poggius 5. *τὰ μέγιστα*] *μέγιστα* D

213. 8. *νωτοφοροῦντες*] *φοροῦντες* A 11. *μέσην τὴν* D cum Agatharchide, caeteri *τὴν μέσην* 12. *τοσοῦτο* D, caeteri *τοσοῦτον* 13. *κατὰ* ABD, caeteri *περὶ* 14. *ἐργασίας*] *εὐεργεσίας* FG 20. *κατοικεῖται* A, caeteri *κατοικεῖται μὲν* 21. *Ἀλιλαίων*] *Ἀλιάων* C, *Ἀλιαίων* F *Γασανδῶν*] *Γασάνδων* D, *Γασάντων* F *ἔμπυρος*] *ἔμπυρος καὶ θερμὴ* V 22. *μαλακαῖς*] *μαλακὴ* vertit Poggius

23. *νιφετοὶ*] *ὑετοὶ* cum Agatharchide Wesselingius 27. *λαῶν* AB(D), *hominum* Poggius, *ἄλλων* FG, caeteri *ἁλιέων*, quod in *Ἀλιλαίων* mutabat Reinesius 29. *τοῦ ψήγματος* ACD, caeteri *ψήγματος* 32. *πυρῆνι*] *τῷ τῆς ἐλαίας ὀστῷ* addit V 33. *καρύου*] *καροίου* D 39. *οἱ* addidit Eichstadius *Κάρβαι* ABDFG Agatharchides, caeteri *Κάρβοι* 41. *δὲ* A, caeteri *γὰρ* 44. *αὐτὴν πᾶσαν* ABC, *αὐτὴν πᾶσα* D, caeteri *πᾶσαν αὐτὴν* 45. *ὀσμαῖς* ABCD, caeteri *ὀδμαῖς*

214. 50. *παρέχεται* ACE, caeteri *παρέχει* 53. *φοίνικος*] *φοίνικες* AB 54. *κιναμώμου*] *κινναμώμου* D *τῶν ἄλλων*

φαίνεται καὶ λόγου κρείττων ἡ προςπίπτουσα καὶ κινοῦσα τὰς ἑκάστων αἰσθήσεις εὐωδία· καὶ γὰρ τοὺς παραπλέοντας, καίπερ πολὺ τῆς χέρσου κεχωρισμένους, οὐκ ἀμοίρους ποιεῖ τῆς τοιαύτης ἀπολαύσεως. κατὰ γὰρ τὴν ἐαρινὴν ὥραν, ὅταν ἄνεμος ἀπόγειος γένηται, συμβαίνει τὰς ἀπὸ τῶν σμυρνοφόρων δένδρων καὶ τῶν ἄλλων τῶν τοιούτων ἀποπνεομένας εὐωδίας διικνεῖσθαι πρὸς τὰ πλησίον μέρη τῆς θαλάττης· οὐ γὰρ ὥςπερ παρ' ἡμῖν ἀποκειμένην καὶ παλαιὰν ἔχει τὴν τῶν ἀρωμάτων φύσιν, ἀλλὰ τὴν ἀκμάζουσαν ἐν ἄνθει νεαρὰν δύναμιν καὶ διικνουμένην πρὸς τὰ λεπτομερέστατα τῆς αἰσθήσεως. κομιζούσης γὰρ τῆς αὔρας τὴν ἀπόῤῥοιαν τῶν εὐωδεστάτων προςπίπτει τοῖς προςπλέουσι τὴν παράλιον προςηνὲς καὶ πολὺ πρὸς δὲ τούτοις ὑγιεινὸν καὶ παρηλλαγμένον ἐκ τῶν ἀρίστων μῖγμα, οὔτε γὰρ τετμημένου τοῦ καρποῦ καὶ τὴν ἰδίαν ἀκμὴν ἐκπεπνευκότος οὔτε τὴν ἀπόθεσιν ἔχοντος ἐν ἑτερογενέσιν ἀγγείοις, ἀλλ' ἀπ' αὐτῆς τῆς νεαρωτάτης ὥρας, καὶ τὸν βλαστὸν ἀκέραιον παρεχομένης τῆς θείας φύσεως· ὥςτε τοὺς μεταλαμβάνοντας τῆς ἰδιότητος δοκεῖν ἀπολαύειν τῆς μυθολογου-
47 μένης ἀμβροσίας διὰ τὸ τὴν ὑπερβολὴν τῆς εὐωδίας μηδεμίαν ἑτέραν εὑρίσκειν οἰκείαν προςηγορίαν. οὐ μὴν ὁλόκληρον καὶ χωρὶς φθόνου τὴν εὐδαιμονίαν τοῖς ἀνθρώποις ἡ τύχη περιέθηκεν, ἀλλὰ τοῖς τηλικούτοις δωρήμασι παρέζευξε τὸ βλάπτον καὶ νουθετῆσον τοὺς διὰ τὴν συνέχειαν τῶν ἀγαθῶν εἰωθότας καταφρονεῖν τῶν θεῶν. κατὰ γὰρ τοὺς εὐωδεστάτους δρυμοὺς ὄφεων ὑπάρχει πλῆθος, οἳ τὸ μὲν χρῶμα φοινικοῦν ἔχουσι, μῆκος δὲ σπιθαμῆς, δήγματα δὲ ποιοῦνται παντελῶς ἀνίατα· δάκνουσι δὲ προςπηδῶντες καὶ ἁλλόμενοι πρὸς ὕψος αἱμάττουσι τὸν χρῶτα. ἴδιον δέ τι παρὰ τοῖς ἐγχωρίοις συμβαίνει περὶ τοὺς ἠσθενηκότας ὑπὸ μακρᾶς νόσου τὰ σώματα. διαπνεομένου γὰρ τοῦ σώματος ὑπ' ἀκράτου καὶ τμητικῆς φύσεως, καὶ τῆς συγκρίσεως τῶν ὄγκων εἰς ἀραίωμα συναγομένης, ἔκλυσις ἐπακολουθεῖ δυςβοήθητος. διόπερ τοῖς τοιούτοις ἄσφαλτον παραθυ- 215

omisit D, τῶν ἄλλων τῶν F  62. ἐαρινὴν] θερινὴν ABD  67. ἐν ἄνθει] ἐπανθεῖ C  70. προςπίπτει AB(D) Poggius, caeteri προςπίπτειν  προςπλέουσι ABD, caeteri πλέουσι  72. γὰρ delendum videtur  74. ἑτερογενέσιν ἀγγείοις] ἑτέροις γένεσιν ἢ ἐν ἀγγείοις ABD  ἀπ' omisit D  78. ἑτέραν εὑρίσκειν] εὑρίσκειν ἑτερ' (sic plane) CE  79. οἰκείαν προςηγορίαν CDE, προςηγορίαν A, caeteri προςηγορίαν οἰκείαν  80. φθόνου] πόνου BD  81. τοῖς ἀνθρώποις ἡ τύχη ACD, ἡ τύχη E, caeteri ἡ τύχη τοῖς ἀνθρώποις  92. ἐπακολουθεῖ] ἐπακολουθῇ D



μιῶσι καὶ τράγου πώγωνα, ταῖς ἐναντίαις φύσεσι καταμαχόμενοι τὴν ὑπερβολὴν τῆς εὐωδίας. τὸ γὰρ καλὸν ποσότητι μὲν καὶ τάξει μετρούμενον ὠφελεῖ καὶ τέρπει τοὺς ἀνθρώπους, ἀναλογίας δὲ καὶ καθήκοντος καιροῦ διαμαρτὸν ἀνόνητον ἔχει τὴν δωρεάν. τοῦ δ' ἔθνους τούτου μητρόπολίς ἐστιν ἣν καλοῦσι Σάβας, ἐπ' ὄρους ᾠκισμένη. βασιλέας δ' ἐκ γένους ἔχει τοὺς διαδεχομένους, οἷς τὰ πλήθη τιμὰς ἀπονέμει μεμιγμένας ἀγαθοῖς καὶ κακοῖς. μακάριον μὲν γὰρ βίον ἔχειν δοκοῦσιν, ὅτι πᾶσιν ἐπιτάττοντες οὐδένα λόγον ὑπέχουσι τῶν πραττομένων· ἀτυχεῖς δὲ νομίζονται καθ' ὅσον οὐκ ἔξεστιν αὐτοῖς οὐδέποτε ἐξελθεῖν ἐκ τῶν βασιλείων, εἰ δὲ μή, γίνονται λιθόλευστοι ὑπὸ τῶν ὄχλων κατά τινα χρησμὸν ἀρχαῖον. τοῦτο δὲ τὸ ἔθνος οὐ μόνον τῶν πλησιοχώρων Ἀράβων ἀλλὰ καὶ τῶν ἄλλων ἀνθρώπων διαφέρει πλούτῳ καὶ ταῖς ἄλλαις κατὰ μέρος πολυτελείαις. ἐν γὰρ ταῖς τῶν φορτίων ἀλλαγαῖς καὶ πράσεσιν ὄγκοις ἐλαχίστοις πλείστην ἀποφέρονται τιμὴν ἁπάντων ἀνθρώπων τῶν ἀργυρικῆς ἀμείψεως ἕνεκα τὰς ἐμπορίας ποιουμένων. διόπερ ἐξ αἰῶνος ἀπορθήτων αὐτῶν γεγενημένων διὰ τὸν ἐκτοπισμόν, καὶ χρυσοῦ τε καὶ ἀργύρου πλήθους ἐπικεκλυκότος παρ' αὐτοῖς, καὶ μάλιστα ἐν Σάβαις, ἐν ᾗ τὰ βασίλεια κεῖται, τορεύματα μὲν ἀργυρᾶ τε καὶ χρυσᾶ παντοδαπῶν ἐκπωμάτων ἔχουσι, κλίνας δὲ καὶ τρίποδας ἀργυρόποδας, καὶ τὴν ἄλλην κατασκευὴν ἄπιστον τῇ πολυτελείᾳ, κιόνων τε ἁδρῶν περίστυλα, τὰ μὲν ἐπίχρυσα, τὰ δ' ἀργυροειδεῖς ἐπὶ τῶν κιονοκράνων τύπους ἔχοντα. τὰς δ' ὀροφὰς καὶ θύρας χρυσαῖς φιάλαις λιθοκολλήτοις καὶ πυκναῖς διειληφότες ἅπασαν τὴν τῶν οἰκιῶν κατὰ μέρος οἰκοδομίαν πεποίηνται θαυμαστὴν ταῖς πολυτελείαις· τὰ μὲν γὰρ ἐξ ἀργύρου καὶ χρυσοῦ τὰ δ' ἐξ ἐλέφαντος καὶ τῶν διαπρεπεστάτων λίθων ἔτι δὲ τῶν ἄλλων τῶν τιμιωτάτων παρ' ἀνθρώποις κατεσκευάκασιν. ἀλλὰ γὰρ οὗτοι μὲν ἐκ πολλῶν χρόνων τὴν εὐδαιμονίαν ἀσάλευτον ἔσχον διὰ τὸ παντελῶς ἀπεξενῶσθαι

215. 94. τράγου πώγωνα] τραγοπώγωνα MQ  99. Σάβας ABCEFQ, Σαβάς D, caeteri Σάβα  100. τοὺς deleverim  3. ὑπέχουσι] ὑπερέχουσι AD  4. ἔξεστιν] ἔστιν F  8. Ἀράβων AB(D), caeteri βαρβάρων  15. πλήθους B(D), caeteri πλῆθος  16. Σάβαις ABCEFG, Σαβαῖς D, Sabe Poggius, Σάμαις QV, caeteri Σαγναῖς  τορεύματα] τόρευα τὰ A et D Wesselingii, τόρευα· τὰ D Bipontinorum  17. μὲν] μὲν γὰρ D Bipont.  18. κλίνας δὲ] κτίνας τε D Wesselingii  20. τε ἁδρῶν D, τε ἀνδρῶν A, magnis columnis Poggius, caeteri τε καὶ ἀνδρῶν  21. ἐπὶ τῶν κ. τύπους] τύπους ἐπὶ τῶν κ. D  22. λιθοκολλήτοις] χρυσοκολλήτους (sic) AB  25. μὲν γὰρ D, caeteri μὲν  29. ἀπεξενῶσθαι] ἀποξενῶσθαι F

τῶν διὰ τὴν ἰδίαν πλεονεξίαν ἕρμαιον ἡγουμένων τὸν ἀλλότριον πλοῦτον. ἡ δὲ κατὰ τούτους θάλαττα λευκὴ φαίνεται τὴν χρόαν, ὥςθ' ἅμα θαυμάζειν τὸ παράδοξον καὶ τὴν αἰτίαν τοῦ συμβαίνοντος ἐπιζητεῖν. νῆσοι δ' εὐδαίμονες πλησίον ὑπάρχουσιν, ἔχουσαι πόλεις ἀτειχίστους, ἐν αἷς τὰ βοσκήματα πάντα λευκὴν ἔχει τὴν χρόαν, καὶ τοῖς θήλεσιν αὐτῶν οὐκ ἐπιφύεται τὸ καθόλου κέρας. εἰς ταύτας δ' ἔμποροι πάντοθεν καταπλέουσι, μάλιστα 216 δ' εἰς Ποτάνας, ἣν Ἀλέξανδρος ᾤκισε παρὰ τὸν Ἰνδὸν ποταμόν, ναύσταθμον ἔχειν βουλόμενος τῆς παρὰ τὸν Ὠκεανὸν παραλίου. περὶ μὲν οὖν τῆς χώρας καὶ τῶν ἐν αὐτῇ κατοικούντων ἀρκεσθησόμεθα τοῖς εἰρημένοις.

48 Περὶ δὲ τῶν κατὰ τὸν οὐρανὸν ὁρωμένων παραδόξων ἐν τοῖς τόποις οὐ παραλειπτέον. θαυμασιώτατον μὲν οὖν ἐστι τὸ περὶ τὴν ἄρκτον ἱστορούμενον καὶ πλείστην ἀπορίαν παρεχόμενον τοῖς πλοϊζομένοις. ἀπὸ γὰρ μηνὸς ὃν καλοῦσιν Ἀθηναῖοι μαιμακτηριῶνα τῶν ἑπτὰ τῶν κατὰ τὴν ἄρκτον ἀστέρων οὐδένα φασὶν ὁρᾶσθαι μέχρι τῆς πρώτης φυλακῆς, τῷ δὲ ποσειδεῶνι μέχρι δευτέρας, καὶ κατὰ τοὺς ἑξῆς ἐκ τοῦ κατ' ὀλίγον πλοϊζομένοις. τῶν δ' ἄλλων τοὺς ὀνομαζομένους πλανήτας ἀθεωρήτους ὑπάρχειν, τοὺς μὲν μείζονας τῶν παρ' ἡμῖν, ἑτέρους δὲ μηδὲ τὰς ὁμοίας ἀνατολὰς καὶ δύσεις ποιεῖσθαι. τὸν δ' ἥλιον οὐχ ὥςπερ παρ' ἡμῖν βραχὺ πρὸ τῆς ἰδίας ἀνατολῆς προαποστέλλειν τὸ φῶς, ἀλλ' ἔτι νυκτὸς οὔσης σκοταίου παραδόξως ἄφνω φανέντα ἐκλάμπειν. διὸ καὶ μηδέποθ' ἡμέραν ἐν ἐκείνοις τοῖς τόποις γίνεσθαι πρὶν ὁραθῆναι τὸν ἥλιον. ἐκ μέσου δὲ τοῦ πελάγους φασὶν ἀναφαινόμενον αὐτὸν ὁρᾶσθαι μὲν ἄνθρακι παραπλήσιον τῷ πυρωδεστάτῳ, σπινθῆρας δὲ ἀφ' ἑαυτοῦ μεγάλους ἀποῤῥίπτειν, καὶ τῷ τύπῳ μὴ κωνοειδῆ φαίνεσθαι, καθάπερ ἡμεῖς δοξάζομεν, ἀλλὰ κίονι τὸν τύπον ἔχειν ἐμφερῆ, μικρὸν ἐμβριθεστέραν ἔχοντι τὴν ἀπὸ τῆς κεφαλῆς ἐπιφάνειαν, πρὸς δὲ τούτοις μήτ' αὐγὴν ποιεῖν μήτ' ἀκτῖνας βάλλειν ἄχρι πρώτης ὥρας, φαινόμενον πυρὸς ἀλαμποῦς ἐν σκότει· δευτέρας δ' ἀρχομένης ἀσπιδοειδῆ γίνεσθαι καὶ τὸ φῶς βάλλειν ἀπότομον καὶ πυρῶδες καθ' ὑπερβολήν. κατὰ δὲ τὴν δύσιν ἐναντία γίνεσθαι συμπτώματα περὶ αὐτόν· δοκεῖν γὰρ τοῖς ὁρῶσι καιναῖς ἀκτῖσι φωτίζειν τὸν κόσμον οὐκ ἔλαττον ὡρῶν δυοῖν, ὡς δ' Ἀγαθαρχίδης ὁ Κνίδιος ἀνέγραψε, τριῶν. τοῦτον δὲ τὸν καιρὸν ἥδιστον τοῖς ἐγχωρίοις φαί-
217 νεσθαι, ταπεινουμένου τοῦ καύματος διὰ τὴν δύσιν τοῦ ἡλίου. τῶν δ' ἀνέμων ζέφυροι μὲν καὶ λίβες ἔτι δ' ἀργέσται καὶ εὖροι πνέουσι καθάπερ καὶ παρὰ τοῖς ἄλλοις· νότοι δὲ κατὰ μὲν Αἰθιοπίαν οὔτε πνέουσιν οὔτε γνωρίζονται τὸ σύνολον, κατὰ δὲ τὴν Τρωγλοδυτικὴν καὶ τὴν Ἀραβίαν θερμοὶ γίνονται καθ' ὑπερβολήν, ὥςτε καὶ τὰς ὕλας ἐκπυροῦν καὶ τῶν καταφευγόντων εἰς τὰς ἐν ταῖς καλύβαις σκιὰς ἐκλύειν τὰ σώματα. ὁ δὲ βορέας δικαίως ἂν ἄριστος νομίζοιτο, διικνούμενος εἰς ἅπαντα τόπον τῆς οἰκουμένης καὶ διαμένων ψυχρός.

49 Τούτων δ' ἡμῖν διευκρινημένων οἰκεῖον ἂν εἴη διελθεῖν περὶ τῶν Λιβύων τῶν πλησίον Αἰγύπτου κατοικούντων καὶ τῆς ὁμόρου χώρας. τὰ γὰρ περὶ Κυρήνην καὶ

34. ἀτειχίστους BCDEGQ Poggius, caeteri εὐτειχίστους
216. 37. πάντοθεν ABCEF, caeteri πανταχόθεν 38. εἰς Ποτάνας] ἐκ Ποτάνης Rhodomannus, *ad Potanam* Poggius 41. κατοικούντων ABD, caeteri ἐνοικούντων 44. μὲν οὖν] μὲν D 45. τὴν ἄρκτον] τὸν ἄρατον F 46. παρεχόμενον] παρέχον G πλοϊζομένοις] scribebatur πλωιζομένοις 47. μαιμακτ.] μεμακτ. D 49. ποσειδεῶνι] ποσιδαίωνι D 50. πλοϊζομένοις AD, πλωιζομένους caeteri: ego ex v. 46. irrepsisse puto ἀθεωρήτους ὑπάρχειν post πλοϊζομένοις ponunt AD, post πλανήτας caeteri cum Agatharchide, quem ipsum audire operae pretium est: ἀπὸ γὰρ μαιμακτηριῶνος — οὐδεὶς ἀστὴρ τῶν ἑπτὰ φαίνεται μέχρι φυλακῆς πρώτης, ἐν δὲ ποσειδεῶνι μέχρι δευτέρας, ἐν δὲ τοῖς ἑξῆς τῶν μηνῶν κατὰ λόγον. τῶν δ' ἄλλων ἀστέρων οἱ μὲν πλάνητες ἀόρατοι, τινὲς δὲ τοῖς ὄγκοις μείζονες, οἱ δὲ οὐδὲ κατὰ τοὺς ὑφεστῶτας καιροὺς τὰς δύσεις ποιούμενοι καὶ τὰς ἐπιτολάς. Wesselingius quod restituit τῶν δ' ἄλλων τοὺς ὀνομαζομένους πλανήτας ἀθεωρήτους ὑπάρχειν, τοὺς μὲν μείζονας τῶν παρ' ἡμῖν, ἑτέρους δὲ μηδὲ τὰς ὁμοίας ἀνατολὰς καὶ δύσεις ποιεῖσθαι, ut eam quam ipse voluit sententiam praeberet sic dicendum erat, τοὺς μὲν ὀνομ. πλανήτας ἀ. ὑπάρχειν, τοὺς δὲ μείζονας etc. Reiskius coniiciebat ἐκ τοῦ κατὰ λόγον ἀθεωρήτους ὑπάρχειν τοῖς πλωιζομένοις. τῶν δ' ἄλλων τοὺς ὀνομαζομένους πλάνητας, τοὺς μὲν μείζονας φαίνεσθαι τῶν παρ' ἡμῖν: Poggius *at qui planetae appellantur non aspici omnino. aliorum autem quaedam maiora nostris videri, quaedam dissimili ortu atque occasu* 51. δ' ἄλλων] δὲ ἄλλων AD 52. τοὺς μὲν ADM, caeteri τῶν δ' ἄλλων τοὺς μὲν μείζονας ACD, caeteri addunt ὑπάρχειν, quod asterisco notavit Stephanus παρ' ἡμῖν ACD, caeteri addunt κατὰ τὰς ἀνατολάς, quae asterisco notavit Stephanus 53. μηδὲ ACD, caeteri μὴ 56. ἄφνω] ἄνω A 57. ἐν] μὲν ἐν D 61. κωνοειδῆ] *forma non rotunda* Poggius, δισκοειδῆ Agatharchides, hoc vel κυκλοειδῆ Rhodomannus 64. μήτ' αὐγὴν] μήτ' ἑαυτὴν G
69. περὶ AB(D), caeteri πρὸς 70. καιναῖς A(D) Poggius, μὲν αἷς C, μὲν ταῖς EQ, caeteri κεναῖς 71. ἔλαττον Rhodomannus: libri ἐλαττόνων δυοῖν] δυεῖν omnes 72. ἀνέγραψε τριῶν ABD Poggius, caeteri ἀνέγραψεν ὡρῶν τριῶν δὲ] δὴ ed. Wessel. tacente D

217. 76. οὔτε πνέουσιν omittunt AD 79. ἐκπυροῦν] ἐκροῦν F 81. ἅπαντα] πάντα D 84. τῶν Λιβύων AC(D)EF, caeteri Λιβύων

τὰς σύρτεις ἔτι δὲ τὴν μεσόγειον τῆς κατὰ τοὺς τόπους τούτους χέρσου κατοικεῖ τέτταρα γένη Λιβύων· ὧν οἱ μὲν ὀνομαζόμενοι Νασαμῶνες νέμονται τὰ νεύοντα μέρη πρὸς νότον, οἱ δ' Αὐσχῖσαι τὰ πρὸς τὴν δύσιν· οἱ δὲ Μαρμαρίδαι κατοικοῦσι τὴν μεταξὺ ταινίαν Αἰγύπτου καὶ Κυρήνης, μετέχοντες καὶ τῆς παραλίου· οἱ δὲ Μάκαι πολυανθρωπίᾳ τῶν ὁμοεθνῶν προέχοντες νέμονται τοὺς τόπους τοὺς περὶ τὴν σύρτιν. τῶν δὲ προειρημένων Λιβύων γεωργοὶ μέν εἰσιν οἷς ὑπάρχει χώρα δυναμένη καρπὸν φέρειν δαψιλῆ, νομάδες δ' ὅσοι τῶν κτηνῶν τὴν ἐπιμέλειαν ποιούμενοι τὰς τροφὰς ἔχουσιν ἀπὸ τούτων· ἀμφότερα δὲ τὰ γένη ταῦτα βασιλέας ἔχει καὶ βίον οὐ παντελῶς ἄγριον οὐδ' ἀνθρωπίνης ἡμερότητος ἐξηλλαγμένον. τὸ δὲ τρίτον γένος οὔτε βασιλέως ὑπακοῦον οὔτε τοῦ δικαίου λόγον οὐδ' ἔννοιαν ἔχον ἀεὶ λῃστεύει· ἀπροσδοκήτως δὲ τὰς ἐμβολὰς ἐκ τῆς ἐρήμου ποιούμενον ἁρπάζει τὰ παρατυχόντα, καὶ ταχέως ἀνακάμπτει πρὸς τὸν αὐτὸν τόπον. πάντες δ' οἱ Λίβυες οὗτοι θηριώδη βίον ἔχουσιν, ὑπαίθριοι διαμένοντες καὶ τὸ τῶν ἐπιτηδευμάτων ἄγριον ἐζηλωκότες· οὔτε γὰρ ἡμέρου διαίτης οὔτ' ἐσθῆτος μετέχουσιν, ἀλλὰ δοραῖς αἰγῶν σκεπάζουσι τὰ σώματα. τοῖς δὲ δυνάσταις αὐτῶν πόλεις μὲν τὸ σύνολον οὐχ ὑπάρχουσι, πύργοι δὲ πλησίον τῶν ὑδάτων, εἰς οὓς ἀποτίθενται τὰ πλεονάζοντα τῆς ὠφελείας. 218 τοὺς δ' ὑποτεταγμένους λαοὺς κατ' ἐνιαυτὸν ἐξορκίζουσι πειθαρχήσειν· καὶ τῶν μὲν ὑπακουσάντων ὡς συμμάχων φροντίζουσι, τῶν δὲ μὴ προσεχόντων θάνατον καταγνόντες ὡς λῃσταῖς πολεμοῦσιν. ὁ δ' ὁπλισμὸς αὐτῶν ἐστιν οἰκεῖος τῆς τε χώρας καὶ τῶν ἐπιτηδευμάτων. κοῦφοι γὰρ ὄντες τοῖς σώμασι καὶ χώραν οἰκοῦντες κατὰ τὸ πλεῖστον πεδιάδα, πρὸς τοὺς κινδύνους ὁρμῶσι λόγχας ἔχοντες τρεῖς καὶ λίθους ἐν ἄγγεσι σκυτίνοις· ξίφος δ' οὐ φοροῦσιν οὐδὲ κράνος οὐδ' ὅπλον οὐδὲν ἕτερον, στοχαζόμενοι τοῦ προτερεῖν ταῖς εὐκινησίαις ἐν τοῖς διωγμοῖς καὶ πάλιν ἐν ταῖς ἀποχωρήσεσι.

87. *τέτταρα*] *δὲ* F „*quod vitium natum est ex numeri nota*" Wessel. 88. *Νασαμῶνες*] *Βασαμῶνες* B 89. *Αὐσχῖσαι* Wesselingius, *Αὐοχεῖται* ADG Poggius, *αὖ ὀχεῖται* B, *Αὐχεῖσαι* C, caeteri *Αὐχῖσαι* 91. *παραλίου*] *παραλίας* ed. Wessel. tacente D *δὲ Μάκαι*] *δ' Ἀμάκαι* ABD 92. *ὁμοεθνῶν*] *ἐθνῶν* ABD 97. *βασιλέας* (D)E Poggius, caeteri *βασιλείας* 99. *βασιλέως* AC(D)M, *βασιλέων* EQ, caeteri *βασιλέως ἑνὸς*, quod *ἑνὸς* asterisco notavit Stephanus 100. *ὑπακοῦον*] *ὑπήκοον* M *ἀεὶ*] *αἰεὶ* D 3. *αὐτὸν*] *αὐτοῦ* G, margo F, *ad sua loca* Poggius *τόπον*] *τρόπον* B 4. *ἔχουσιν* B(D), caeteri *ἔχουσι*
218. 11. *πειθαρχήσειν*] *πειθαρχήσεις* F 20. *ταῖς* Wesselingius: libri *ἐν ταῖς*



διόπερ εὐθετώτατοι πρὸς δρόμον εἰσὶ καὶ λιθοβολίαν, διαπεπονηκότες τῇ μελέτῃ καὶ τῇ συνηθείᾳ τὰ τῆς φύσεως προτερήματα. καθόλου δὲ πρὸς τοὺς ἀλλοφύλους οὔτε τὸ δίκαιον οὔτε τὴν πίστιν κατ' οὐδένα τρόπον διατηροῦσι.

50 τῆς δὲ χώρας ἡ μὲν ὅμορος τῇ Κυρήνῃ γεώδης ἐστὶ καὶ πολλοὺς φέρουσα καρπούς· οὐ μόνον γὰρ ὑπάρχει σιτοφόρος, ἀλλὰ καὶ πολλὴν ἄμπελον ἔτι δ' ἐλαίαν ἔχει καὶ τὴν ἀγρίαν ὕλην καὶ ποταμοὺς εὐχρηστίαν παρεχομένους· ἡ δ' ὑπὲρ τὸ νότιον μέρος ὑπερτείνουσα, καθ' ἣν τὸ νίτρον φύεσθαι συμβέβηκεν, ἄσπορος οὖσα καὶ σπανίζουσα ναματιαίων ὑδάτων τὴν πρόςοψιν ἔχει πελάγει παρεμφερῆ. οὐδεμίαν δὲ παρεχομένη ποικιλίαν κατὰ τὴν ἰδέαν ἐρήμῳ γῇ περιέχεται, τῆς ὑπερκειμένης ἐρήμου δυςέξιτον ἐχούσης τὸ πέρας. διόπερ οὐδ' ὄρνεον ἰδεῖν ἔστιν, οὐ τετράπουν ἐν αὐτῇ ζῷον πλὴν δορκάδος καὶ βοός, οὐ μὴν οὔτε φυτὸν οὔτ' ἄλλο τῶν δυναμένων ψυχαγωγῆσαι τὴν ὅρασιν, ὡς ἂν τῆς εἰς μεσόγειον ἀνηκούσης γῆς ἐχούσης ἐπὶ τὸ μῆκος ἀθρόους θῖνας. ἐφ' ὅσον δὲ σπανίζει τῶν πρὸς ἥμερον βίον ἀνηκόντων, ἐπὶ τοσοῦτο πλήθει παντοίων ταῖς ἰδέαις καὶ τοῖς μεγέθεσιν ὄφεων, μάλιστα δὲ τῶν τοιούτων οὓς προςαγορεύουσι κεράστας, οἳ τὰ μὲν δήγματα θανατηφόρα ποιοῦνται, τὴν δὲ χρόαν ἄμμῳ παραπλησίαν ἔχουσι. διόπερ ἐξωμοιωμένων αὐτῶν κατὰ τὴν πρόςοψιν τοῖς ὑποκειμένοις ἐδάφεσιν, ὀλίγοι μὲν ἐπιγινώσκουσιν, οἱ πολλοὶ δ' ἀγνοοῦντες πατοῦσι καὶ κινδύνοις περιπίπτουσιν ἀπροσδοκήτοις. λέγεται δὲ τούτους τὸ παλαιὸν ἐπελθόντας ποτὲ πολλὴν τῆς Αἰγύπτου ποιῆσαι τὴν ὑποκειμένην χώραν ἀοίκητον. γίνεται δέ τι θαυμάσιον περί τε ταύτην [τὴν χώραν καὶ] τὴν χέρσον καὶ τὴν ἐπέκεινα τῆς σύρτεως Λιβύην. περὶ γάρ τινας καιροὺς καὶ μάλιστα κατὰ τὰς νηνεμίας συστάσεις ὁρῶνται κατὰ τὸν ἀέρα 219 παντοίων ζῴων ἰδέας ἐμφαίνουσαι· τούτων δ' αἱ μὲν ἠρεμοῦσιν, αἱ δὲ κίνησιν λαμβάνουσι, καὶ ποτὲ μὲν

21. *εὐθετώτατοι*] *εὔθετοι* ABD *δρόμον*] *διωγμὸν* ABD 24. *οὔτε τὸ δίκαιον* omittunt AD 31. *τὸ νίτρον* AB(D), *τὸ νότειον* FG, *τὸν λωτὸν* M, caeteri *τὸ νότιον* *ἄσπορος*] *ἄπορος* FGMQ 34. *ποικιλίαν κατὰ τὴν ἰδέαν* ABD, caeteri *ποικιλίαν* 35. *δυςέξιτον* ABD, caeteri *δυςεξίτητον* *ὄρνεον*] *ὀρνέων* F 41. *τοσοῦτο* D, *τοσούτῳ* B, caeteri *τοσοῦτον* *πλήθει* ABD, caeteri *πληθύει* 46. *ἐδάφεσιν* A(D), caeteri *ἐδάφεσι* 48. *περιπίπτουσιν*] *προςπίπτουσιν* B 49. *ποτὲ* omisit C *τῆς Αἰγύπτου ποιῆσαι* D, caeteri *ποιῆσαι τῆς Αἰγύπτου* 51. *τὴν χώραν καὶ* delet Reiskius: *in eis oris* pro hoc et sequenti Poggius *χέρσον*] *χερσόνησον* BD 53. *νηνεμίας*] *ἀνηνεμίας* ABD

ὑποφεύγουσι, ποτὲ δὲ διώκουσι, πᾶσαι δὲ τὸ μέγεθος ἄπλατον ἔχουσαι θαυμαστὴν κατάπληξιν καὶ ταραχὴν παρασκευάζουσι τοῖς ἀπείροις. αἱ γὰρ ἐπιδιώκουσαι τοὺς ἀνθρώπους, ἐπειδὰν καταλάβωνται, περιχέονται τοῖς σώμασι ψυχραὶ καὶ παλμώδεις, ὥςτε τοὺς μὲν ξένους ἀσυνήθεις ὄντας διὰ τὸ δέος ἐκπεπλῆχθαι, τοὺς δ' ἐγχωρίους πολλάκις συγκεκυρηκότας τοῖς τοιούτοις καταφρο-
51 νεῖν τοῦ συμβαίνοντος. παραδόξου δ' εἶναι δοκοῦντος τοῦ πράγματος καὶ μύθῳ πεπλασμένῳ παραπλησίου πειρῶνταί τινες τῶν φυσικῶν αἰτίας ἀποδιδόναι τοῦ γινομένου τοιαύτας. ἀνέμους φασὶ κατὰ τὴν χώραν τοὺς μὲν τὸ σύνολον μὴ πνεῖν, τοὺς δὲ παντελῶς εἶναι βληχροὺς καὶ κωφούς· ὑπάρχειν δὲ καὶ περὶ τὸν ἀέρα πολλάκις ἠρεμίαν καὶ θαυμαστὴν ἀκινησίαν διὰ τὸ μήτε νάπας μήτε συσκίους αὐλῶνας παρακεῖσθαι πλησίον μήτε λόφων ὑπάρχειν ἀναστήματα· ποταμῶν τε μεγάλων σπανίζειν τοὺς τόπους, καὶ καθόλου τὴν σύνεγγυς χώραν ἅπασαν ἄκαρπον οὖσαν μηδεμίαν ἔχειν ἀναθυμίασιν· ἐξ ὧν ἁπάντων εἰωθέναι γεννᾶσθαί τινας ἀρχὰς καὶ συστάσεις πνευμάτων. διόπερ συμπνιγοῦς περιστάσεως τὴν χέρσον ἐπεχούσης, ὅπερ ὁρῶμεν ἐπὶ τῶν νεφῶν ἐνίοτε συμβαῖνον ἐν ταῖς νοτίαις ἡμέραις, τυπουμένων ἰδεῶν παντοδαπῶν, τοῦτο γίνεσθαι καὶ περὶ τὴν Λιβύην, πολλαχῶς μορφουμένου τοῦ συμπίπτοντος ἀέρος· ὃν ταῖς μὲν ἀσθενέσι καὶ βληχραῖς αὔραις ὀχεῖσθαι μετεωριζόμενον καὶ παλμοὺς ποιοῦντα καὶ συγκρούοντα συστήμασιν ἑτέροις ὁμοίοις, νηνεμίας δ' ἐπιλαμβανούσης καθίστασθαι πρὸς τὴν γῆν, βαρὺν ὄντα καὶ τετυπωμένον ὡς ἔτυχεν· ἔπειτα μηδενὸς ὄντος τοῦ διαχέοντος προςπελάζειν τοῖς αὐτομάτως περιτυγχάνουσι τῶν ζῴων. τὰς δ' ἐφ' ἑκάτερα κινήσεις αὐτῶν φασι προαίρεσιν μὲν μηδεμίαν ἐμφαίνειν· ἐν ἀψύχῳ γὰρ ἀδύνατον ὑπάρχειν φυγὴν ἑκούσιον ἢ δίωξιν· τὰ μέντοι ζῷα λεληθότως αἴ-

219. 57. ἄπλατον ABD, caeteri ἄπλετον 59. καταλάβωνται] καταλάβωσι ABD 60. παλμώδεις] τουτέστιν ἅπτονται τῶν ἀνθρώπων μετὰ ψυχρότητος C 65. μύθῳ πεπλασμένῳ] μύθου πεπλασμένου G 66. αἰτίας] αἰτίαν A τοῦ γινομένου ABC(D)E, caeteri τοῦ γεγενημένου, quae asterisco notavit Stephanus 68. βληχροὺς ABDFQ, caeteri ἀβληχροὺς κωφοὺς ABC(D)FQ, caeteri κούφους 71. μήτε λ.] malim μηδὲ λ. 76. πνευμάτων BC(D)EFGQ, caeteri εἰςπνοῶν 78. ἰδεῶν BC(D)EFGQ, caeteri εἰδῶν 80. ταῖς μὲν] ἐν μὲν ταῖς D 81. βληχραῖς ABD, caeteri ἀβληχραῖς 82. ὁμοίοις] ὁμοίως AD 83. ἐπιλαμβανούσης] ἐπιγενομένης EQV 84. βαρὺν ὄντα] βαρύνοντα A 85. διαχέοντος] συγχέοντος ABD, om. M 88. μηδεμίαν ACD, caeteri οὐδεμίαν



τια τῆς μεταρσίας κινήσεως γίνεσθαι· προςιόντων μὲν γὰρ αὐτῶν τὸν ὑποκείμενον ἀέρα μετὰ βίας ἀναστέλλειν, καὶ διὰ τοῦθ' ὑποχωρεῖν τὸ συνεστηκὸς εἴδωλον καὶ ποιεῖν τὴν ἔμφασιν ὑποφεύγοντος· τοῖς δ' ἀναχωροῦσι κατὰ τοὐναντίον ἐπακολουθεῖν, ἀντεστραμμένης τῆς αἰτίας, ὡς ἂν τοῦ κενοῦ καὶ τῆς ἀραιώσεως ἐπισπωμένης. διόπερ ἐοικέναι διώκοντι τοὺς ὑποχωροῦντας· ἕλκεσθαι γὰρ αὐτὸ καὶ προπίπτειν εἰς τὸ πρόσθεν ἄθρουν ὑπὸ τῆς πάλιν ῥύμης· τοὺς δ' ὑποφεύγοντας, ὅταν ἐπιστραφῶσιν ἢ μένωσιν, εὐλόγως ὑπὸ τοῦ συνακολουθοῦντος
220 εἰδώλου ψαύεσθαι τοῖς ὄγκοις· τοῦτο δὲ κατὰ τὴν πρὸς τὸ στερέμνιον πρόςπτωσιν περιθρύβεσθαι, καὶ πανταχόθεν προςχεόμενον καταψύχειν τὰ σώματα τῶν περιτυγχανόντων.

Τούτων δ' ἡμῖν διευκρινημένων οἰκεῖον ἂν εἴη τοῖς 52
προειρημένοις τόποις διελθεῖν τὰ περὶ τὰς Ἀμαζόνας ἱστορούμενα τὰς γενομένας τὸ παλαιὸν κατὰ τὴν Λιβύην. οἱ πολλοὶ γὰρ ὑπειλήφασι τὰς περὶ τὸν Θερμώδοντα ποταμὸν ἐν τῷ Πόντῳ λεγομένας κατῳκηκέναι μόνας ὑπάρξαι· τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει, διὰ τὸ πολὺ προτερεῖν τοῖς χρόνοις τὰς κατὰ τὴν Λιβύην καὶ πράξεις ἀξιολόγους ἐπιτελέσασθαι. οὐκ ἀγνοοῦμεν δὲ διότι πολλοῖς τῶν ἀναγινωσκόντων ἀνήκοος φανεῖται καὶ ξένη παντελῶς ἡ περὶ τούτων ἱστορία. ἠφανισμένου γὰρ ὁλοσχερῶς τοῦ γένους τῶν Ἀμαζονίδων τούτων πολλαῖς γενεαῖς πρότερον τῶν Τρωικῶν, τῶν δὲ περὶ τὸν Θερμώδοντα ποταμὸν ἠκμακυιῶν μικρὸν πρὸ τούτων τῶν χρόνων, οὐκ ἀλόγως αἱ μεταγενέστεραι καὶ μᾶλλον γνωριζόμεναι τὴν δόξαν κεκληρονομήκασι τὴν τῶν παλαιῶν καὶ παντελῶς ἀγνοουμένων διὰ τὸν χρόνον ὑπὸ τῶν πλείστων. οὐ μὴν ἀλλ' ἡμεῖς εὑρίσκοντες πολλοὺς μὲν τῶν ἀρχαίων ποιητῶν τε καὶ συγγραφέων, οὐκ ὀλίγους δὲ καὶ τῶν μεταγενεστέρων μνήμην πεποιημένους αὐτῶν, ἀναγράφειν τὰς πράξεις πειρασόμεθα ἐν κεφαλαίοις ἀκολούθως Διονυσίῳ τῷ συντεταγμένῳ τὰ περὶ τοὺς Ἀργοναύτας καὶ

90. μεταρσίας Schneiderus Lex. v. μεταρσία et Schaeferus ad Thes. Steph. c. 1621.: libri μεταρσίας καὶ 92. τοῦθ' ὑποχωρεῖν ABD, τοῦ θυπολωρεῖν F, τοῦτο ὑποχωρεῖν caeteri 94. ἀντεστραμμένης] ἀνεστραμμένης F, ἀνατετραμμένης G 95. ὡς] ἕως AB 97. προπίπτειν] προςπίπτειν B ἄθρουν ὑπὸ τῆς πάλιν ῥύμης] ὑπὸ τῆς παλιῤῥύμης ἀθρόως A 98. ἐπιστραφῶσιν ABD, caeteri ἐπιστρέφωσιν 100. εἰδώλου omisit E, asterisco notavit Stephanus
220. 5. διελθεῖν] ἐπελθεῖν EQV 10. τὴν om. ACD 11. ἐπιτελέσασθαι] τελέσασθαι B 16. ante ἠκμακυιῶν om. γυναικῶν EV, asterisco notavit Stephanus, praeteriit Poggius ἠκμακυιῶν post μικρὸν ponit D 17. καὶ μᾶλλον] μᾶλλον D 24. τῷ συν-

τὸν Διόνυσον καὶ ἕτερα πολλὰ τῶν ἐν τοῖς παλαιοτάτοις χρόνοις πραχθέντων. γέγονε μὲν οὖν πλείω γένη γυναικῶν κατὰ τὴν Λιβύην μάχιμα καὶ τεθαυμασμένα μεγάλως ἐπ' ἀνδρείᾳ. τό τε γὰρ τῶν Γοργόνων ἔθνος, ἐφ' ὃ λέγεται τὸν Περσέα στρατεῦσαι, παρειλήφαμεν ἀλκῇ διαφέρον· τὸ γὰρ τὸν Διὸς μὲν υἱόν, τῶν δὲ καθ' ἑαυτὸν Ἑλλήνων ἄριστον, τελέσαι μέγιστον ἆθλον τὴν ἐπὶ ταύτας στρατείαν τεκμήριον ἄν τις λάβοι τῆς περὶ τὰς προειρημένας γυναῖκας ὑπεροχῆς τε καὶ δυνάμεως· ἥ τε τῶν νῦν ἱστορεῖσθαι μελλουσῶν ἀνδρεία παράδοξον ἔχει τὴν ὑπεροχὴν πρὸς τὰς καθ' ἡμᾶς φύσεις τῶν γυναικῶν
53 συγκρινομένη. φασὶ γὰρ ὑπάρξαι τῆς Λιβύης ἐν τοῖς πρὸς ἑσπέραν μέρεσιν ἐπὶ τοῖς πέρασι τῆς οἰκουμένης ἔθνος γυναικοκρατούμενον καὶ βίον ἐζηλωκὸς οὐχ ὅμοιον τῷ παρ' ἡμῖν. ταῖς μὲν γὰρ γυναιξὶν ἔθος εἶναι διαπονεῖν τὰ κατὰ πόλεμον, καὶ χρόνους ὡρισμένους ὀφείλειν στρατεύεσθαι διατηρουμένης τῆς παρθενίας· διελθόντων δὲ τῶν τῆς στρατείας ἐτῶν προσιέναι μὲν τοῖς ἀνδράσι παιδοποιίας ἕνεκα, τὰς δὲ ἀρχὰς καὶ τὰ κοινὰ διοικεῖν ἅπαντα ταύτας. τοὺς δὲ ἄνδρας ὁμοίως ταῖς παρ' ἡμῖν γαμεταῖς τὸν κατοικίδιον ἔχειν βίον, ὑπηρετοῦντας τοῖς ὑπὸ τῶν συνοικουσῶν προσταττομένοις· μὴ μετέχειν δ' αὐτοὺς μήτε στρατείας μήτ' ἀρχῆς μήτ' 221
ἄλλης τινὸς ἐν τοῖς κοινοῖς παῤῥησίας, ἐξ ἧς ἤμελλον φρονηματισθέντες ἐπιθήσεσθαι ταῖς γυναιξί. κατὰ δὲ τὰς γενέσεις τῶν τέκνων τὰ μὲν βρέφη παραδίδοσθαι τοῖς ἀνδράσι, καὶ τούτους διατρέφειν αὐτὰ γάλακτι καὶ ἄλλοις τισὶν ἑψήμασιν οἰκείως ταῖς τῶν νηπίων ἡλικίαις· εἰ δὲ τύχοι θῆλυ γεννηθέν, ἐπικαίεσθαι αὐτοῦ τοὺς μαστούς, ἵνα μὴ μετεωρίζωνται κατὰ τοὺς τῆς ἀκμῆς χρό-

τεταγμένῳ omisit D   29. ὃ] ᾧ D, ἧς F   30. διαφέρον] διαφέροντα B   32. ταύτας] ταύταις AE   στρατείαν] στρατηγίαν AD   34. μελλουσῶν] μελλόντων BD, om. A: post id ἱστορεῖσθαι transponit D   38. ἐπὶ] ἐν AB   τοῖς πέρασι ABD, caeteri τοῦ πέρατος   39. ἐζηλωκὸς οὐχ ὅμοι τῷ παρ' ἡμῖν A et qui ὅμοιον D, ἐζηλωκὸς οὐκ ἴσον τῷ παρ' ἡμῖν FG, caeteri οὐκ ἴσον τῷ παρ' ἡμῖν ἐζηλωκός   40. τὰ omisit E   41. πόλεμον ADE, caeteri τὸν πόλεμον   42. τῶν τῆς στρατείας ἐτῶν] τῶν τῆς στρατείας ὁδῶν AB, τῶν ἐτῶν τῶν τῆς στρατείας D, caeteri τῶν ἐτῶν τῆς στρατείας   44. διοικεῖν] διακονούσας B   ἅπαντα post ταύτας ponit D   47. προσταττομένοις BD, προσπραττομένοις A, caeteri πραττομένοις   μὴ μετέχειν δ' αὐτοὺς omittunt AD

221. 48. μήτ' ἀρχῆς D, caeteri μήτε ἀρχῆς   49. ἐν τοῖς κοινοῖς] τοῖς κοινοῖς D, τῆς κοινῆς A   ἤμελλον] ἔμελλον D   50. ἐπιθήσεσθαι ABD, caeteri ἐπιθέσθαι   54. ἐπικαίεσθαι] ἐπικάεσθαι D



νους· ἐμπόδιον γὰρ οὐ τὸ τυχὸν εἶναι δοκεῖν πρὸς τὰς στρατείας τοὺς ἐξέχοντας τοῦ σώματος μαστούς· διὸ καὶ τούτων αὐτὰς ἀπεστερημένας ὑπὸ τῶν Ἑλλήνων Ἀμαζόνας προσαγορεύεσθαι. μυθολογοῦσι δ' αὐτὰς ᾠκηκέναι νῆσον τὴν ἀπὸ μὲν τοῦ πρὸς δυσμὰς ὑπάρχειν αὐτὴν Ἑσπέραν προσαγορευθεῖσαν, κειμένην δὲ ἐν τῇ Τριτωνίδι λίμνῃ. ταύτην δὲ πλησίον ὑπάρχειν τοῦ περιέχοντος τὴν γῆν Ὠκεανοῦ, προσηγορεῦσθαι δ' ἀπό τινος ἐμβάλλοντος εἰς αὐτὴν ποταμοῦ Τρίτωνος. κεῖσθαι δὲ τὴν λίμνην ταύτην πλησίον Αἰθιοπίας καὶ τοῦ παρὰ τὸν Ὠκεανὸν ὄρους, ὃ μέγιστον μὲν ὑπάρχειν τῶν ἐν τοῖς τόποις καὶ προπεπτωκὸς εἰς τὸν Ὠκεανόν, ὀνομάζεσθαι δ' ὑπὸ τῶν Ἑλλήνων Ἄτλαντα. τὴν δὲ προειρημένην νῆσον ὑπάρχειν μὲν εὐμεγέθη καὶ πλήρη καρπίμων δένδρων παντοδαπῶν, ἀφ' ὧν πορίζεσθαι τὰς τροφὰς τοὺς ἐγχωρίους· ἔχειν δ' αὐτὴν καὶ κτηνῶν πλῆθος, αἰγῶν καὶ προβάτων, ἐξ ὧν γάλα καὶ κρέα πρὸς διατροφὴν ὑπάρχειν τοῖς κεκτημένοις· σίτῳ δὲ τὸ σύνολον μὴ χρῆσθαι τὸ ἔθνος διὰ τὸ μήπω τοῦ καρποῦ τούτου τὴν χρείαν εὑρεθῆναι παρ' αὐτοῖς. τὰς δ' οὖν Ἀμαζόνας ἀλκῇ διαφερούσας καὶ πρὸς πόλεμον ὡρμημένας τὸ μὲν πρῶτον τὰς ἐν τῇ νήσῳ πόλεις καταστρέφεσθαι πλὴν τῆς ὀνομαζομένης Μήνης, ἱερᾶς δ' εἶναι νομιζομένης, ἣν κατοικεῖσθαι μὲν ὑπ' Αἰθιόπων ἰχθυοφάγων, ἔχειν δὲ πυρὸς ἐκφυσήματα μεγάλα καὶ λίθων πολυτελῶν πλῆθος τῶν ὀνομαζομένων παρ' Ἕλλησιν ἀνθράκων καὶ σαρδίων καὶ σμαράγδων, μετὰ δὲ ταῦτα πολλοὺς τῶν πλησιοχώρων Λιβύων καὶ νομάδων καταπολεμῆσαι, καὶ κτίσαι πόλιν μεγάλην ἐντὸς τῆς Τριτωνίδος λίμνης, ἣν ἀπὸ
τοῦ σχήματος ὀνομάσαι Χεῤῥόνησον. ἐκ δὲ ταύτης ὁρ- 54
μωμένας ἐγχειρῆσαι μεγάλαις ἐπιβολαῖς, ὁρμῆς αὐταῖς ἐμπεσούσης ἐπελθεῖν πολλὰ μέρη τῆς οἰκουμένης. ἐπὶ πρώτους δ' αὐτὰς στρατεῦσαι λέγεται τοὺς Ἀτλαντίους,

56. δοκεῖν] δοκεῖ omnes   57. μαστοὺς] μασθοὺς G plerumque   60. μὲν τοῦ D, τοῦ μὲν caeteri   62. Τριτωνίδι] Τρίτωνι AB   66. μέγιστον μὲν] μέγιστον D   67. προπεπτωκὸς] προσπεπτωκὸς AB, προκεκυφὼς M   71. καὶ κτηνῶν omisit E, asterisco notavit Stephanus, solum κτηνῶν om. MV   73. τοῖς κεκτημένοις] τοῖς δεομένοις καὶ κεκτημένοις αὐτά B, τοῖς κεκτημένοις αὐτὰ καὶ δεομένοις A   75. Ἀμαζόνας] Ἀμαζονίδας FG   77. πόλεις] λίμνας FG   78. Μήνης omisit A   83. πλησιοχώρων Λιβύων] πλησιοχώρων καὶ Λιβύων A   85. Τριτωνίδος] Τριτωνιδος D   86. Χεῤῥόνησον] χερσόνησον D, χερσόννησον AB, caeteri χεῤῥόννησον   88. αὐταῖς] αὐτοῖς C   ἐμπεσούσης] ἐμπεσούσαις D   ἐπελθεῖν] διελθεῖν A   90. Ἀτλαντίους D, Atlantides Poggius constanter, caeteri Ἀτλαντείους

ἄνδρας ἡμερωτάτους τῶν ἐν τοῖς τόποις ἐκείνοις καὶ χώραν νεμομένους εὐδαίμονα καὶ πόλεις μεγάλας· παρ' οἷς δὴ μυθολογεῖσθαί φασι τὴν τῶν θεῶν γένεσιν ὑπάρξαι πρὸς τοῖς κατὰ τὸν Ὠκεανὸν τόποις συμφώνως τοῖς παρ' Ἕλλησι μυθολόγοις, περὶ ὧν κατὰ μέρος μικρὸν 222 ὕστερον διέξιμεν. τῶν οὖν Ἀμαζόνων λέγεται βασιλεύουσαν Μύριναν συστήσασθαι στρατόπεδον πεζῶν μὲν τρισμυρίων, ἱππέων δὲ δισχιλίων, ζηλουμένης παρ' αὐταῖς περιττότερον ἐν τοῖς πολέμοις τῆς ἀπὸ τῶν ἱππέων χρείας. ὅπλοις δὲ χρῆσθαι σκεπαστηρίοις ὄφεων μεγάλων δοραῖς, ἐχούσης τῆς Λιβύης ταῦτα τὰ ζῷα τοῖς μεγέθεσιν ἄπιστα, ἀμυντηρίοις δὲ ξίφεσι καὶ λόγχαις, ἔτι δὲ τόξοις, οἷς μὴ μόνον ἐξ ἐναντίας βάλλειν, ἀλλὰ καὶ κατὰ τὰς φυγὰς τοὺς ἐπιδιώκοντας εἰς τοὐπίσω τοξεύειν εὐστόχως. ἐμβαλούσας δ' αὐτὰς εἰς τὴν τῶν Ἀτλαντίων χώραν τοὺς μὲν τὴν Κέρνην καλουμένην κατοικοῦντας παρατάξει νικῆσαι, καὶ συνεισπεσούσας τοῖς φεύγουσιν ἐντὸς τῶν τειχῶν κυριεῦσαι τῆς πόλεως. βουλομένας δὲ τῷ φόβῳ καταπλήξασθαι τοὺς περιοίκους ὠμῶς προσενεχθῆναι τοῖς ἁλοῦσι, καὶ τοὺς μὲν ἄνδρας ἡβηδὸν ἀποσφάξαι, τέκνα δὲ καὶ γυναῖκας ἐξανδραποδισαμένας κατασκάψαι τὴν πόλιν. τῆς δὲ περὶ τοὺς Κερναίους συμφορᾶς διαδοθείσης εἰς τοὺς ὁμοεθνεῖς ~~λέγεται~~ τοὺς μὲν Ἀτλαντίους καταπλαγέντας δι' ὁμολογίας παραδοῦναι τὰς πόλεις καὶ πᾶν τὸ προσταχθὲν ποιήσειν ἐπαγγείλασθαι, τὴν δὲ βασίλισσαν Μύριναν ἐπιεικῶς αὐτοῖς προσενεχθεῖσαν φιλίαν τε συνθέσθαι καὶ πόλιν ἀντὶ τῆς κατασκαφείσης ὁμώνυμον ἑαυτῆς κτίσαι· κατοικίσαι δ' εἰς αὐτὴν τούς τε αἰχμαλώτους καὶ τῶν ἐγχωρίων τὸν βουλόμενον. μετὰ δὲ ταῦτα τῶν Ἀτλαντίων δῶρά τε μεγαλοπρεπῆ δόντων αὐτῇ καὶ τιμὰς ἀξιολόγους κοινῇ ψηφισαμένων, ἀποδέξασθαί τε τὴν φιλανθρωπίαν αὐτῶν καὶ προσεπαγγείλασθαι τὸ ἔθνος εὐεργετήσειν. τῶν δ'

94. *μυθολόγοις* ABC(D)EQ, caeteri *μυθολογουμένοις*
222. 95. *κατά*] immo *τὰ κατά* *διέξιμεν*] *διέξειμεν* D
96. *Μύριναν*] *Μυρίναν* omnes hic et infra 97. *τρισμυρίων*] *τρισχιλίων* B: utrumque numerum falsum esse apparet *δισχιλίων*] *τρισχιλίων* D 2. *ξίφεσι καὶ λόγχαις* A, caeteri *τοῖς ξίφεσι καὶ ταῖς λόγχαις* 5. *Ἀτλαντίων*] *Ἀτλαντίδων* omnes sicut p. 174. 21., ubi quum Atlantidibus capitis 60. minus locus esse videatur, eadem correctio facienda erit: conf. autem ad 20., 224. 10.
6. *Κέρνην* ABC(D)E, caeteri *Κερκήνην* *κατοικοῦντας*] *οἰκοῦντας* D 8. *δὲ* A(D)G, caeteri *δ' ἐν* 10. *καὶ τοὺς μὲν ἄνδρας ἡβηδὸν ἀποσφάξαι*] *ἀποσφάξαι τοίνυν τοὺς μὲν ἄνδρας ἡβηδὸν* AB *ἀποσφάξαι*] *κατασφάξαι* FG 12. *Κερναίους*] *Χερναίους* D 13. *Ἀτλαντίους* AD, caeteri *Ἀτλαντείους*
17. *προσενεχθεῖσαν*] *προσενεχθῆναι* G 20. *Ἀτλαντίων* AD, *Ἀτλαντίδων* F, caeteri *Ἀτλαντείων*



ἐγχωρίων πεπολεμημένων πολλάκις ὑπὸ τῶν ὀνομαζομένων Γοργόνων, οὐσῶν πλησιοχώρων, καὶ τὸ σύνολον ἔφεδρον ἐχόντων τοῦτο τὸ ἔθνος, φασὶν ἀξιωθεῖσαν τὴν Μύριναν ὑπὸ τῶν Ἀτλαντίων ἐμβαλεῖν εἰς τὴν χώραν τῶν προειρημένων. ἀντιταξαμένων δὲ τῶν Γοργόνων γενέσθαι καρτερὰν μάχην, καὶ τὰς Ἀμαζόνας ἐπὶ τοῦ προτερήματος γενομένας ἀνελεῖν μὲν τῶν ἀντιταχθεισῶν παμπληθεῖς, ζωγρῆσαι δ' οὐκ ἐλάττους τῶν τρισχιλίων· τῶν δ' ἄλλων εἴς τινα δρυμώδη τόπον συμφυγουσῶν ἐπιβαλέσθαι μὲν τὴν Μύριναν ἐμπρῆσαι τὴν ὕλην, σπεύδουσαν ἄρδην ἀνελεῖν τὸ ἔθνος, οὐ δυνηθεῖσαν δὲ κρατῆσαι τῆς ἐπιβολῆς ἐπανελθεῖν ἐπὶ τοὺς ὅρους 55
τῆς χώρας. τῶν δὲ Ἀμαζόνων νυκτὸς τὰ περὶ τὰς φυλακὰς ῥᾳθυμουσῶν διὰ τὴν εὐημερίαν, ἐπιθεμένας τὰς
223 αἰχμαλωτίδας σπασαμένας τὰ ξίφη τῶν δοκουσῶν κεκρατηκέναι πολλὰς ἀνελεῖν· τέλος δὲ τοῦ πλήθους αὐτὰς πανταχόθεν περιχυθέντος εὐγενῶς μαχομένας ἁπάσας κατακοπῆναι. τὴν δὲ Μύριναν θάψασαν τὰς ἀναιρεθείσας τῶν συστρατευουσῶν ἐν τρισὶ πυραῖς χωμάτων μεγάλων ἐπιστῆσαι τάφους τρεῖς, οὓς μέχρι τοῦ νῦν Ἀμαζόνων σωροὺς ὀνομάζεσθαι. τὰς δὲ Γοργόνας ἐν τοῖς ὕστερον χρόνοις αὐξηθείσας πάλιν ὑπὸ Περσέως τοῦ Διὸς καταπολεμηθῆναι καθ' ὃν χρόνον ἐβασίλευεν αὐτῶν Μέδουσα. τὸ δὲ τελευταῖον ὑφ' Ἡρακλέους ἄρδην ἀναιρεθῆναι ταύτας τε καὶ τὸ τῶν Ἀμαζόνων ἔθνος καθ' ὃν καιρὸν τοὺς πρὸς ἑσπέραν τόπους ἐπελθὼν ἔθετο τὰς ἐπὶ τῆς Λιβύης στήλας. δεινὸν ἡγούμενος, εἰ προελόμενος τὸ γένος κοινῇ τῶν ἀνθρώπων εὐεργετεῖν περιόψεταί τινα τῶν ἐθνῶν γυναικοκρατούμενα. λέγεται δὲ καὶ τὴν Τριτωνίδα λίμνην σεισμῶν γενομένων ἀφανισθῆναι, ῥαγέντων αὐτῆς τῶν πρὸς τὸν Ὠκεανὸν μερῶν κεκλιμένων. τὴν δὲ Μύριναν φασι τῆς τε Λιβύης τὴν πλείστην ἐπελθεῖν καὶ παραβαλοῦσαν εἰς Αἴγυπτον πρὸς μὲν Ὧρον τὸν Ἴσιδος βασιλεύοντα τότε τῆς Αἰγύπτου φιλίαν συνθέσθαι, πρὸς δὲ Ἄραβας διαπολεμήσασαν, καὶ πολλοὺς αὐτῶν ἀνελοῦσαν, τὴν μὲν Συρίαν κατα-

25. 28. 223. 45. *Γοργόνων*] Gorgonides Poggio 26. *ἔφεδρον* ABD, caeteri *ἐφάμιλλον* *ἐχόντων* Eichstadius: libri *ἐχουσῶν*
27. *Ἀτλαντείων* omnes 28. *τῶν προειρημένων*] *ταῖς προειρημέναις* M 30. *ἀντιταχθεισῶν*] *ἀντιταχθέντων* ABD 32. *τῶν τρισχιλίων*] *τρισχιλίων* CD 33. *συμφυγουσῶν*] *συμφευγουσῶν* BD 38. *αἰχμαλωτίδας*] *αἰχμαλώτιδας* omnes
223. 39. *δοκουσῶν*] *δοκούντων* ABD 41. *αὐτὰς* ABD, caeteri *αὐταῖς* 44. *τρεῖς*] *τριάσσους* F 47. *χρόνον*] *καιρὸν* ABD 48. *ἐβασίλευεν*] *ἐβασίλευσεν* BD 51. *τὰς — στήλας* ABD, caeteri *τὴν — στήλην* 54. *γενομένων*] *γεγενημένων* F
56. *τε* omisit D 60. *πολλοὺς αὐτῶν*] *πολλοὺς* AD

στρέψασθαι, τῶν δὲ Κιλίκων ἀπαντησάντων αὐτῇ μετὰ δώρων καὶ τὸ κελευόμενον ποιήσειν ὁμολογούντων, ἐλευθέρους ἀφεῖναι τοὺς ἑκουσίως προςχωρήσαντας, οὓς ἀπὸ ταύτης τῆς αἰτίας μέχρι τοῦ νῦν Ἐλευθεροκίλικας καλεῖσθαι. καταπολεμῆσαι δ' αὐτὴν καὶ τὰ περὶ τὸν Ταῦρον ἔθνη, διάφορα ταῖς ἀλκαῖς ὄντα, καὶ διὰ Φρυγίας τῆς μεγάλης ἐπὶ θάλατταν καταβῆναι· ἑξῆς δὲ τὴν παραθαλάττιον χώραν προςαγαγομένην ὅρους θέσθαι τῆς στρατείας τὸν Κάϊκον ποταμόν. τῆς δὲ δορικτήτου χώρας ἐκλεξαμένην τοὺς εὐθέτους τόπους εἰς πόλεων κτίσεις οἰκοδομῆσαι πλείους πόλεις, καὶ τούτων ὁμώνυμον μίαν ἑαυτῇ κτίσαι, τὰς δ' ἄλλας ἀπὸ τῶν τὰς ἡγεμονίας τὰς μεγίστας ἐχουσῶν, Κύμην, Πιτάνην, Πριήνην. ταύτας μὲν οὖν οἰκίσαι παρὰ θάλατταν, ἄλλας δὲ πλείους ἐν τοῖς πρὸς μεσόγειον ἀνήκουσι τόποις. κατασχεῖν δ' αὐτὴν καὶ τῶν νήσων τινάς, καὶ μάλιστα τὴν Λέσβον, ἐν ᾗ κτίσαι πόλιν Μυτιλήνην ὁμώνυμον τῇ μετεχούσῃ τῆς στρατείας ἀδελφῇ. ἔπειτα καὶ τῶν ἄλλων νήσων τινὰς καταστρεφομένην χειμασθῆναι, καὶ ποιησαμένην τῇ μητρὶ τῶν θεῶν εὐχὰς ὑπὲρ τῆς σωτηρίας προςενεχθῆναι νήσῳ τινὶ τῶν ἐρήμων· ταύτην δὲ κατά τινα ἐν τοῖς ὀνείροις φαντασίαν καθιερῶσαι τῇ προειρημένῃ 224 θεῷ καὶ βωμοὺς ἱδρύσασθαι καὶ θυσίας μεγαλοπρεπεῖς ἐπιτελέσαι· ὀνομάσαι δ' αὐτὴν Σαμοθρᾴκην, ὅπερ εἶναι μεθερμηνευόμενον εἰς τὴν Ἑλληνικὴν διάλεκτον ἱερὰν νῆσον· ἔνιοι δὲ τῶν ἱστορικῶν λέγουσι τὸ πρὸ τοῦ Σάμον καλουμένην αὐτὴν ὑπὸ τῶν κατοικούντων ἐν αὐτῇ ποτε Θρᾳκῶν Σαμοθρᾴκην ὀνομασθῆναι. οὐ μὴν ἀλλὰ τῶν Ἀμαζόνων ἐπανελθουσῶν εἰς τὴν ἤπειρον μυθολογοῦσι τὴν μητέρα τῶν θεῶν εὐαρεστηθεῖσαν τῇ νήσῳ ἄλλους τέ τινας ἐν αὐτῇ κατοικίσαι καὶ τοὺς ἑαυτῆς υἱοὺς τοὺς ὀνομαζομένους Κορύβαντας· ἐξ οὗ δ' εἰσὶ πατρὸς ἐν ἀποῤῥήτῳ κατὰ τὴν τελετὴν

67. διὰ Φρυγίας τῆς μεγάλης ἐπὶ θάλατταν BC(D)EQ, διὰ Φρυγίας ἐπὶ θάλατταν A, caeteri διὰ Φρυγίας ἐπὶ θάλατταν τὴν μεγάλην 68. παραθαλάττιον ABCDMQ, caeteri ἐπιθαλάττιον προςαγαγομένην] προςαγομένην D 69. Κάϊκον] Κάϊον AB 70. δορικτήτου] δορυκτήτου omnes 72. μίαν ἑαυτῇ κτίσαι DE, eodemque ut videtur ordine CF, qui ἐν αὐτῇ pro ἑαυτῇ, caeteri ἑ. κτίσαι μίαν 73. τὰς μεγίστας] μεγίστας D 74. Πριήνην] Πρίνειαν FQ, Πρεττανίαν B, Πρετταvίαν Πρίμην A, Πρεττανίαν· πρι D, Nynam, Cymen, Pitanen, Pryneam (Pryenam apud Wessel.) Poggius οἰκίσαι] οἰκῆσαι D 77. Μυτιλήνην] Μιτυλίνην C, caeteri Μιτυλήνην

224. 87. πρὸ τοῦ] τοῦ προτοῦ C, πρὸ τούτου D καλ. αὐτὴν] αὐτὴν καλ. D 88. ποτε EFQV, caeteri τότε 89. Ἀμαζόνων] Ἀμαζονίδων AB 93. τελετὴν] τελευτὴν AB



παραδίδοσθαι· καταδεῖξαι δὲ καὶ τὰ νῦν ἐν αὐτῇ συντελούμενα μυστήρια καὶ τὸ τέμενος ἄσυλον νομοθετῆσαι. περὶ δὲ τούτο υςτοὺς χρόνους Μόψον τὸν Θρᾷκα φυγάδα γενόμενον ὑπὸ Λυκούργου τοῦ βασιλέως τῶν Θρᾳκῶν ἐμβαλεῖν εἰς τὴν χώραν τῶν Ἀμαζόνων μετὰ στρατιᾶς τῆς συνεκπεσούσης αὐτῷ· συστρατεῦσαι δὲ καὶ Σίπυλον τῷ Μόψῳ τὸν Σκύθην, πεφυγαδευμένον ὁμοίως ἐκ τῆς ὁμόρου τῇ Θρᾴκῃ Σκυθίας. γενομένης δὲ παρατάξεως, καὶ τῶν περὶ τὸν Σίπυλον καὶ Μόψον προτερησάντων, τήν τε βασίλισσαν τῶν Ἀμαζόνων Μύριναν ἀναιρεθῆναι καὶ τῶν ἄλλων τὰς πλείους. τοῦ δὲ χρόνου προβαίνοντος, καὶ κατὰ τὰς μάχας ἀεὶ τῶν Θρᾳκῶν ἐπικρατούντων, τὸ τελευταῖον τὰς περιλειφθείσας τῶν Ἀμαζόνων ἀνακάμψαι πάλιν εἰς Λιβύην. καὶ τὴν μὲν στρατείαν τῶν ἀπὸ Λιβύης Ἀμαζόνων μυθολογοῦσι τοιοῦτο λαβεῖν τὸ πέρας.

56 Ἡμεῖς δ' ἐπειδὴ περὶ τῶν Ἀτλαντίων ἐμνήσθημεν, οὐκ ἀνοίκειον ἡγούμεθα διελθεῖν τὰ μυθολογούμενα παρ' αὐτοῖς περὶ τῆς τῶν θεῶν γενέσεως, διὰ τὸ μὴ πολὺ διαλλάττειν αὐτὰ τῶν μυθολογουμένων παρ' Ἕλλησιν. οἱ τοίνυν Ἀτλάντιοι τοὺς παρὰ τὸν Ὠκεανὸν τόπους κατοικοῦντες καὶ χώραν εὐδαίμονα νεμόμενοι πολλῇ μὲν εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ τῇ πρὸς τοὺς ξένους δοκοῦσι διαφέρειν τῶν πλησιοχώρων, τὴν δὲ γένεσιν τῶν θεῶν παρ' αὐτοῖς γενέσθαι φασί. συμφωνεῖν δε τοῖς λεγομένοις ὑπ' αὐτῶν καὶ τὸν ἐπιφανέστατον τῶν παρ' Ἕλλησι ποιητῶν ἐν οἷς παρειςάγει τὴν Ἥραν λέγουσαν

εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν.

μυθολογοῦσι δὲ πρῶτον παρ' αὐτοῖς Οὐρανὸν βασιλεῦσαι καὶ τοὺς ἀνθρώπους σποράδην οἰκοῦντας συναγαγεῖν εἰς πόλεως περίβολον, καὶ τῆς μὲν ἀνομίας καὶ τοῦ θηριώδους βίου παῦσαι τοὺς ὑπακούοντας, εὑρόντα

παραδίδοσθαι D, traditur Poggius, caeteri παραδιδομένου 95. τὸ omisit D 96. Μόψον] Μόμψον CEQ hic et infra 100., 2. 98. Ἀμαζόνων] Ἀμαζονίδων CEQ 99. συνεκπεσούσης Wesselingius, συνεπισπούσης A, συνεπεισπεσούσης BD, συνεπιπευσούσης C, caeteri συνειςπεσούσης 2. τὸν Σίπυλον ACD, caeteri Σίπυλον 4. τὰς] τοὺς QV 5. κατὰ τὰς μάχας ABC(D)EGQ, τὰς μάχας F, caeteri ταῖς μάχαις ἀεὶ] αἰεὶ D, omisit Q 7. στρατείαν] στρατιὰν D 8. τοιοῦτο] τοιοῦτον AF 10. ἐπειδὴ ABD, caeteri ἐπεὶ Ἀτλαντίων] Ἀτλαντίδων ABD, Ἀτλαντείων CE 14. Ἀτλάντιοι] Ἀτλάντειοι AB(?)CE, Ἀτλαντεῖς οἱ D 15. πολλῇ] immo πολὺ 18. συμφωνεῖν] συμφρονεῖν Q λεγομένοις] εἰρημένοις B 20. ποιητῶν] ποιητῶν Ὅμηρον ABD 26. ὑπακούοντας] ὑπακούσαντας ABD εὑρόντα] δὲ addunt AB

τὰς τῶν ἡμέρων καρπῶν χρείας καὶ παραθέσεις καὶ τῶν ἄλλων χρησίμων οὐκ ὀλίγα· κατακτήσασθαι δ' αὐτὸν 225 καὶ τῆς οἰκουμένης τὴν πλείστην, καὶ μάλιστα τοὺς πρὸς τὴν ἑσπέραν καὶ τὴν ἄρκτον τόπους. τῶν δὲ ἄστρων γενόμενον ἐπιμελῆ παρατηρητὴν πολλὰ προλέγειν τῶν κατὰ τὸν κόσμον μελλόντων γίνεσθαι. εἰςηγήσασθαι δὲ τοῖς ὄχλοις τὸν μὲν ἐνιαυτὸν ἀπὸ τῆς τοῦ ἡλίου κινήσεως, τοὺς δὲ μῆνας ἀπὸ τῆς σελήνης, καὶ τὰς κατ' ἔτος ἕκαστον ὥρας διδάξαι. διὸ καὶ τοὺς πολλούς, ἀγνοοῦντας μὲν τὴν τῶν ἄστρων αἰώνιον τάξιν, θαυμάζοντας δὲ τὰ γινόμενα κατὰ τὰς προῤῥήσεις, ὑπολαβεῖν τὸν τούτων εἰςηγητὴν θείας μετέχειν φύσεως, μετὰ δὲ τὴν ἐξ ἀνθρώπων αὐτοῦ μετάστασιν διά τε τὰς εὐεργεσίας καὶ τὴν τῶν ἄστρων ἐπίγνωσιν ἀθανάτους τιμὰς ἀπονεῖμαι· μεταγαγεῖν δ' αὐτοῦ τὴν προςηγορίαν ἐπὶ τὸν κόσμον, ἅμα μὲν τῷ δοκεῖν οἰκείως ἐσχηκέναι πρὸς τὰς τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσεις καὶ τἄλλα τὰ γινόμενα περὶ τὸν κόσμον, ἅμα δὲ τῷ μεγέθει τῶν τιμῶν ὑπερβάλλειν τὰς εὐεργεσίας, καὶ πρὸς τὸν αἰῶνα βασιλέα τῶν ὅλων αὐτὸν ἀναγορεύσαντας.

57 Οὐρανοῦ δὲ μυθολογοῦσι γενέσθαι παῖδας ἐκ πλειόνων γυναικῶν πέντε πρὸς τοῖς τετταράκοντα· καὶ τούτων ὀκτωκαίδεκα λέγουσιν ὑπάρχειν ἐκ Τιταίας, ὄνομα μὲν ἴδιον ἔχοντας ἑκάστους, κοινῇ δὲ πάντας ἀπὸ τῆς μητρὸς ὀνομαζομένους Τιτᾶνας. τὴν δὲ Τίταιαν, σώφρονα οὖσαν καὶ πολλῶν ἀγαθῶν αἰτίαν γενομένην τοῖς λαοῖς, ἀποθεωθῆναι μετὰ τὴν τελευτὴν ὑπὸ τῶν εὖ παθόντων Γῆν μετονομασθεῖσαν. γενέσθαι δ' αὐτῶν καὶ θυγατέρας, ὧν εἶναι δύο τὰς πρεσβυτάτας πολὺ τῶν ἄλλων ἐπιφανεστάτας, τήν τε καλουμένην Βασίλειαν καὶ Ῥέαν τὴν ὑπ' ἐνίων Πανδώραν ὀνομασθεῖσαν. τούτων δὲ τὴν μὲν Βασίλειαν, πρεσβυτάτην οὖσαν καὶ σωφροσύνῃ τε καὶ συνέσει πολὺ τῶν ἄλλων διαφέρουσαν, ἐκθρέψαι πάντας τοὺς ἀδελφοὺς κοινῇ μητρὸς εὔνοιαν

27. καὶ παραθέσεις omisit M, asterisco notavit Stephanus, solum (?) παραθέσεις omittunt FG

225. 29. πρὸς] περὶ F 30. τὴν ἑσπέραν A(D), caeteri ἑσπέραν 34. ἕκαστον ὥρας] ἑκάστην ὥραν B 35. τοὺς μὲν] τοὺς D, ego μὲν post ἀγνοοῦντας posui 41. αὐτοῦ BC(D)E, caeteri αὐτὸν 42. τῷ δοκεῖν] τὸ δοκεῖν D 44. ad ὑπερβάλλειν Reiskius addit σπουδάσαντας 47. πέντε πρὸς τοῖς τετταράκοντα D et qui τεσσαράκοντα ABC, Eusebius, caeteri με̅ 48. ὀκτὼ καὶ δέκα (D) ed. Wessel., ιη̅ Steph. δέκα] δέκα μὲν D Τιταίας] Τεπαίας Eusebius 50. Τίταιαν] Τιταίαν omnes 52. λαοῖς D, caeteri ἄλλοις, *hominibus* Poggius: conf. ad p. 213. 27. 54. πολὺ — 55. ἐπιφανεστάτας om. M 56. ὀνομασθεῖσαν AB, ἐπονομασθεῖσαν E, caeteri μετονομασθεῖσαν, *Pandoram*



παρεχομένην· διὸ καὶ μεγάλην μητέρα προςαγορευθῆναι. μετὰ δὲ τὴν τοῦ πατρὸς ἐξ ἀνθρώπων εἰς θεοὺς μετάστασιν συγχωρούντων τῶν ὄχλων καὶ τῶν ἀδελφῶν διαδέξασθαι τὴν βασιλείαν παρθένον οὖσαν, ἔτι δὲ καὶ διὰ τὴν ὑπερβολὴν τῆς σωφροσύνης οὐδενὶ συνοικῆσαι βουληθεῖσαν. ὕστερον δὲ βουλομένην διαδόχους τῆς βασιλείας ἀπολιπεῖν υἱοὺς Ὑπερίονι συνοικῆσαι τῶν ἀδελφῶν ἑνί, πρὸς ὃν οἰκειότατα διέκειτο. γενομένων δ' αὐτῇ δύο τέκνων, Ἡλίου καὶ Σελήνης, καὶ θαυμαζομένων ἐπὶ τῷ κάλλει καὶ τῇ σωφροσύνῃ, φασὶ τοὺς ἀδελφοὺς ταύτῃ μὲν ἐπ' εὐτεκνίᾳ φθονοῦντας, τὸν δ' Ὑπερίονα φοβηθέντας μήποτε τὴν βασιλείαν εἰς αὐτὸν περισπάσῃ, πρᾶξιν ἐπιτελέσασθαι παντελῶς ἀνόσιον. συνωμοσίαν γὰρ ποιησαμένους τὸν μὲν Ὑπερίονα κατασφά-226ξαι, τὸν δ' Ἥλιον ὄντα παῖδα τὴν ἡλικίαν εἰς τὸν Ἠριδανὸν ποταμὸν ἐμβαλόντας ἀποπνῖξαι. καταφανοῦς δὲ γενομένης τῆς ἀτυχίας τὴν μὲν Σελήνην φιλάδελφον οὖσαν καθ' ὑπερβολὴν ἀπὸ τοῦ τέγους ἑαυτὴν ῥῖψαι, τὴν δὲ μητέρα ζητοῦσαν τὸ σῶμα παρὰ τὸν ποταμὸν σύγκοπον γενέσθαι, καὶ κατενεχθεῖσαν εἰς ὕπνον ἰδεῖν ὄψιν, καθ' ἣν ἔδοξεν ἐπιστάντα τὸν Ἥλιον παρακαλεῖν αὐτὴν μὴ θρηνεῖν τὸν τῶν τέκνων θάνατον· τοὺς μὲν γὰρ Τιτᾶνας τεύξεσθαι τῆς προςηκούσης τιμωρίας, ἑαυτὸν δὲ καὶ τὴν ἀδελφὴν εἰς ἀθανάτους φύσεις μετασχηματισθήσεσθαι θείᾳ τινὶ προνοίᾳ· ὀνομασθήσεσθαι γὰρ ὑπὸ τῶν ἀνθρώπων ἥλιον μὲν τὸ πρότερον ἐν οὐρανῷ πῦρ ἱερὸν καλούμενον, σελήνην δὲ τὴν μήνην προςαγορευομένην. διεγερθεῖσαν δὲ τοῖς ὄχλοις τόν τε ὄνειρον καὶ τὰ περὶ αὐτὴν ἀτυχήματα διελθοῦσαν ἀξιῶσαι τοῖς μὲν τετελευτηκόσιν ἀπονεῖμαι τιμὰς ἰσοθέους, τοῦ δὲ αὐτῆς σώματος μηκέτι μηδένα θιγεῖν. μετὰ δὲ ταῦτα ἐμμανῆ γενομένην καὶ τῶν τῆς θυγατρὸς παιγνίων τὰ δυνάμενα ψόφον ἐπιτελεῖν ἁρπάσασαν πλανᾶσθαι κατὰ τὴν χώραν, καταλελυμένην μὲν τὰς τρίχας, τῷ δὲ διὰ τῶν τυμπάνων καὶ κυμβάλων ψόφῳ ἐνθεάζουσαν, ὥςτε καταπλήττεσθαι τοὺς ὁρῶντας. πάντων δὲ τὸ περὶ αὐτὴν πάθος ἐλεούντων,

*dixere superiores aetate* Poggius, τὴν καὶ Πανδώραν Eusebius 63. τὴν βασιλείαν A(D)EQV, caeteri τὴν ἐξουσίαν τὴν Βασίλειαν 64. οὐδενὶ ABD, caeteri οὐθενὶ 69. ἐπὶ] ἐπί τε D 70. τὸν] καὶ τὸν A, nescio an omisso δ' 73. ποιησαμένους] ποιησάμενοι B

226. 75. ἐμβαλόντας ante εἰς τὸν Ἠριδ. posuit D 77. παρὰ] κατὰ AB 81. τεύξεσθαι] τεύξασθαι D 84. τὸ C(D), caetere τὸν 85. μήνην] μῆναν A 86. τοῖς ὄχλοις servarunt ABCE et qui καὶ τοῖς ὄχλοις D: *omnibus* Poggius 89. μηκέτι om. AD θιγεῖν] θίγειν omnes 92. καταλελυμένην] λελυμένην Eusebius 93. διὰ τῶν] διὰ A Eusebius ἐνθεάζ.] ἐν-

καί τινων ἀντεχομένων τοῦ σώματος, ἐπιγενέσθαι πλῆθος ὄμβρου καὶ συνεχεῖς κεραυνῶν πτώσεις· ἐνταῦθα δὲ τὴν μὲν Βασίλειαν ἀφανῆ γενέσθαι, τοὺς δ' ὄχλους θαυμάσαντας τὴν περιπέτειαν τὸν μὲν Ἥλιον καὶ τὴν Σελήνην τῇ προσηγορίᾳ καὶ ταῖς τιμαῖς μεταγαγεῖν ἐπὶ τὰ κατ' οὐρανὸν ἄστρα, τὴν δὲ μητέρα τούτων θεόν τε νομίσαι καὶ βωμοὺς ἱδρύσασθαι, καὶ ταῖς διὰ τῶν τυμπάνων καὶ κυμβάλων ἐνεργείαις καὶ τοῖς ἄλλοις ἅπασιν ἀπομιμουμένους τὰ περὶ αὐτὴν συμβάντα θυσίας καὶ τὰς ἄλλας τιμὰς ἀπονεῖμαι.

58 Παραδέδοται δὲ τῆς θεοῦ ταύτης καὶ κατὰ τὴν Φρυγίαν γένεσις. οἱ γὰρ ἐγχώριοι μυθολογοῦσι τὸ παλαιὸν γενέσθαι βασιλέα Φρυγίας καὶ Λυδίας Μῄονα· γήμαντα δὲ Δινδύμην γεννῆσαι μὲν παιδίον θῆλυ, τρέφειν δ' αὐτὸ μὴ βουλόμενον εἰς ὄρος ἐκθεῖναι τὸ προσαγορευόμενον Κύβελον. ἐνταῦθα τῷ παιδίῳ κατά τινα θείαν πρόνοιαν τὰς παρδάλεις καί τινα τῶν ἄλλων τῶν ἀλκῇ διαφερόντων θηρίων παρέχεσθαι τὴν θηλὴν καὶ διατρέφειν. γύναια δέ τινα παρὰ τὸν τόπον ποιμαίνοντα κατιδεῖν τὸ γινόμενον, καὶ θαυμάσαντα τὴν περιπέτειαν 227 ἀνελέσθαι τὸ βρέφος, καὶ προσαγορεῦσαι Κυβέλην ἀπὸ τοῦ τόπου. αὐξομένην δὲ τὴν παῖδα τῷ τε κάλλει καὶ σωφροσύνῃ διενεγκεῖν, ἔτι δὲ συνέσει γενέσθαι θαυμαστήν. τήν τε γὰρ πολυκάλαμον σύριγγα πρώτην ἐπινοῆσαι καὶ πρὸς τὰς παιδιὰς καὶ χορείας εὑρεῖν κύμβαλα καὶ τύμπανα, πρὸς δὲ τούτοις καθαρμοὺς τῶν νοσούντων κτηνῶν τε καὶ νηπίων παίδων εἰσηγήσασθαι. διὸ καὶ τῶν βρεφῶν ταῖς ἐπῳδαῖς σωζομένων καὶ τῶν πλείστων ὑπ' αὐτῆς ἐναγκαλιζομένων, διὰ τὴν εἰς ταῦτα σπουδὴν καὶ φιλοστοργίαν ὑπὸ πάντων αὐτὴν ὀρείαν μητέρα προσαγορευθῆναι. συναναστρέφεσθαι δ' αὐτῇ καὶ φιλίαν ἔχειν ἐπὶ πλέον φασὶ Μαρσύαν τὸν Φρύγα, θαυμαζόμενον ἐπὶ συνέσει καὶ σωφροσύνῃ. καὶ τῆς μὲν συνέσεως τεκμήριον λαμβάνουσι τὸ μιμήσασθαι τοὺς φθόγγους τῆς πολυκαλάμου σύριγγος καὶ μετενεγκεῖν ἐπὶ τοὺς αὐλοὺς τὴν ὅλην ἁρμονίαν· τῆς δὲ σωφροσύνης

θειάζ. A 96. ὄμβρου] ὄμβρων E 97. Βασίλειαν] Βασίλισσαν BD 2. καὶ ταῖς] ταῖς D 3. ἀπομιμουμένους D, caeteri ἀπομιμουμένοις 6. τῆς] ἡ τῆς M καὶ κατὰ AD, caeteri κατὰ 8. Μῄονα] Μῄονα D 9. Δινδύμην] Dindymenen Poggius 10 ἐκθεῖναι] ἐκθέσθαι AB 12. τὰς] τάς τε D 14. παρὰ] περὶ ABE 227. 16. ἀνελέσθαι] ἀναλέγεσθαι A 22. τούτοις καθαρμοὺς omittunt FG νοσούντων omisit A 23. εἰσηγήσασθαι] καθηγήσασθαι ABD 25. ταῦτα] ταύτην ABD 27. ἐπὶ πλέον] ἐπιπλέον D, ἐπιπλέοντα AB, caeteri ἐπὶ πλεῖον 31. αὐλοὺς] ἁρμοὺς A



σημεῖον εἶναί φασι τὸ μέχρι τῆς τελευτῆς ἀπείρατον γενέσθαι τῶν ἀφροδισίων. τὴν οὖν Κυβέλην εἰς ἀκμὴν ἡλικίας ἐλθοῦσαν ἀγαπῆσαι τῶν ἐγχωρίων τινὰ νεανίσκον τὸν προσαγορευόμενον μὲν Ἄττιν, ὕστερον δ' ἐπικληθέντα Πάπαν· συνελθοῦσαν δ' εἰς ὁμιλίαν αὐτῷ λάθρᾳ καὶ γενομένην ἔγκυον ἐπιγνωσθῆναι κατὰ τοῦτον τὸν καιρὸν ὑπὸ τῶν γονέων. διόπερ ἀναχθείσης αὐτῆς 59 εἰς τὰ βασίλεια, καὶ τοῦ πατρὸς τὸ μὲν πρῶτον ὡς παρθένον προσδεξαμένου, μετὰ δὲ ταῦτα γνόντος τὴν φθοράν, καὶ τάς τε τροφοὺς καὶ τὸν Ἄττιν ἀνελόντος καὶ τὰ σώματα ἐκρίψαντος ἄταφα, φασὶ τὴν Κυβέλην διὰ τὴν πρὸς τὸ μειράκιον φιλοστοργίαν καὶ τὴν ἐπὶ ταῖς τροφοῖς λύπην ἐμμανῆ γενομένην εἰς τὴν χώραν ἐκπηδῆσαι. καὶ ταύτην μὲν ὀλολύζουσαν καὶ τυμπανίζουσαν μόνην ἐπιέναι πᾶσαν χώραν, καταλελυμένην τὰς τρίχας, τὸν δὲ Μαρσύαν ἐλεοῦντα τὸ πάθος ἑκουσίως αὐτῇ παρακολουθεῖν καὶ συμπλανᾶσθαι διὰ τὴν προϋπάρχουσαν φιλίαν. παραγενομένους δ' αὐτοὺς πρὸς Διόνυσον εἰς τὴν Νῦσαν καταλαβεῖν τὸν Ἀπόλλω τυγχάνοντα μεγάλης ἀποδοχῆς διὰ τὴν κιθάραν, ἣν Ἑρμῆν εὑρεῖν φασιν, Ἀπόλλωνα δὲ πρῶτον αὐτῇ κατὰ τρόπον χρῆσθαι· ἐρίζοντος δὲ τοῦ Μαρσύου πρὸς τὸν Ἀπόλλω περὶ τῆς τέχνης, καὶ τῶν Νυσαίων ἀποδειχθέντων δικαστῶν, τὸν μὲν Ἀπόλλω πρῶτον κιθαρίσαι ψιλήν, τὸν δὲ Μαρσύαν 228 ἐπιβαλόντα τοῖς αὐλοῖς καταπλῆξαι τὰς ἀκοὰς τῷ ξενίζοντι καὶ διὰ τὴν εὐμέλειαν δόξαι πολὺ προέχειν τοῦ προηγωνισμένου. συντεθειμένων δ' αὐτῶν παρ' ἄλληλα τοῖς δικασταῖς ἐπιδείκνυσθαι τὴν τέχνην, τὸν μὲν Ἀπόλλωνά φασιν ἐπιβαλεῖν τὸ δεύτερον ἁρμόττουσαν τῷ μέλει τῆς κιθάρας ᾠδήν, καθ' ἣν ὑπερβαλέσθαι τὴν προϋπάρξασαν τῶν αὐλῶν ἀποδοχήν· τὸν δὲ πρότερον ἀγανακτήσαντα διδάσκειν τοὺς ἀκροατὰς ὅτι παρὰ πᾶν τὸ δίκαιον αὐτὸς ἐλαττοῦται· δεῖν γὰρ γίνεσθαι τέχνης σύγ-

34. ἡλικίας A(D), provecta aetate Poggius, caeteri ἀφροδισίων 35. μὲν Ἄττιν] μενάττιν D, Ἄττιν EV, μὲν asterisco notat Stephanus 36. ὕστερον δ' ἐπικληθέντα Πάπαν BD, quae omisit EV, asterisco notavit Stephanus: caeteri ὕστερον δὲ κληθέντα Πάπαν 38. κατὰ τοῦτον] κατ' αὐτὸν AD 47. καταλελυμένην] λελυμένην ABD 48. παρακολουθεῖν] συνακολουθεῖν ABD, ἐπακολουθεῖν nescio qui Wesselingii 50. Νῦσαν] Νύσαν omnes 51. Ἀπόλλω ABD, caeteri Ἀπόλλωνα 52. Ἀπόλλωνα] Ἀπόλλω Eichstadius 53. χρῆσθαι ABCD, caeteri χρήσασθαι 54. Ἀπόλλω ABD, caeteri Ἀπόλλωνα 55. Νυσαίων B(?)CDEQ, Νυσσαίων B, caeteri Νυσαέων 56. Ἀπόλλω AB, ut videtur, caeteri Ἀπόλλωνα
228. 59. παρ' ἄλληλα] scribebatur παράλληλα 61. Ἀπόλλωνα] Ἀπόλλω Eichstadius 62. ὑπερβαλέσθαι] ὑπερβάλλεσθαι D

κρισιν, οὐ φωνῆς, καθ' ἣν προσήκει τὴν ἁρμονίαν καὶ τὸ μέλος ἐξετάζεσθαι τῆς κιθάρας καὶ τῶν αὐλῶν· καὶ πρὸς τούτοις ἄδικον εἶναι δύο τέχνας ἅμα πρὸς μίαν συγκρίνεσθαι. τὸν δὲ Ἀπόλλω μυθολογοῦσιν εἰπεῖν ὡς οὐδὲν αὐτὸς πλεονεκτοίη· καὶ γὰρ τὸν Μαρσύαν τὸ παραπλήσιον αὐτῷ ποιεῖν, εἰς τοὺς αὐλοὺς ἐμφυσῶντα· δεῖν οὖν ἢ τὴν ἐξουσίαν ταύτην ἴσην ἀμφοτέροις δίδοσθαι τῆς κράσεως ἢ μηδέτερον τῷ στόματι διαγωνιζόμενον διὰ μόνων τῶν χειρῶν ἐνδείκνυσθαι τὴν ἰδίαν τέχνην. ἐπικρινάντων δὲ τῶν ἀκροατῶν τὸν Ἀπόλλω δικαιότερα λέγειν, συγκριθῆναι πάλιν τὰς τέχνας· καὶ τὸν μὲν Μαρσύαν λειφθῆναι, τὸν δ' Ἀπόλλω διὰ τὴν ἔριν πικρότερον χρησάμενον ἐκδεῖραι ζῶντα τὸν ἡττηθέντα. ταχὺ δὲ μεταμεληθέντα καὶ βαρέως ἐπὶ τοῖς ὑπ' αὐτοῦ πραχθεῖσιν ἐνέγκαντα τῆς κιθάρας ἐκρῆξαι τὰς χορδὰς καὶ τὴν εὑρημένην ἁρμονίαν ἀφανίσαι. ταύτης δ' ὕστερον Μούσας μὲν ἀνευρεῖν τὴν μέσην, Λίνον δὲ τὴν λίχανον, Ὀρφέα δὲ καὶ Θαμύραν ὑπάτην καὶ παρυπάτην. τὸν δ' Ἀπόλλω φασὶν εἰς τὸ ἄντρον τοῦ Διονύσου τήν τε κιθάραν καὶ τοὺς αὐλοὺς ἀναθέντα, καὶ τῆς Κυβέλης ἐρασθέντα, συμπλανηθῆναι ταύτῃ μέχρι τῶν Ὑπερβορέων. κατὰ δὲ τὴν Φρυγίαν ἐμπεσούσης νόσου τοῖς ἀνθρώποις καὶ τῆς γῆς ἀκάρπου γενομένης, ἐπερωτησάντων τὸν θεὸν περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς, προστάξαι φασὶν αὐτοῖς θάψαι τὸ Ἄττιδος σῶμα καὶ τιμᾶν τὴν Κυβέλην ὡς θεόν. διόπερ τοὺς Φρύγας διὰ τὸν χρόνον ἠφανισμένου τοῦ σώματος εἴδωλον κατασκευάσαι τοῦ μειρακίου, πρὸς ᾧ θρηνοῦντας ταῖς οἰκείαις τιμαῖς τοῦ πάθους ἐξιλάσκεσθαι τὴν τοῦ παρανομηθέντος μῆνιν· ὅπερ μέχρι τοῦ καθ' ἡμᾶς βίου ποιοῦντας αὐτοὺς διατελεῖν. τῆς δὲ Κυβέλης τὸ παλαιὸν βωμοὺς ἱδρυ-

67. τῶν αὐλῶν] τῶν αὐτῶν αὐλῶν ABD 69. Ἀπόλλω D, caeteri Ἀπόλλωνα 70. αὐτὸς] αὐτὸν ABD 72. ταύτην ἴσην ABD, caeteri ταύτην 73. κράσεως Eichstadius: libri κρίσεως 75. τέχνην ABD, *suae artis modulationem* Poggius: caeteri χρείαν Ἀπόλλω ABD, caeteri Ἀπόλλωνα 77. Ἀπόλλω D, caeteri Ἀπόλλωνα 80. ὑπ' αὐτοῦ] malim ὑφ' αὐτοῦ 81. εὑρημένην] εὑρομένην A 82. Λίνον] circumflectunt omnes et hic et infra 83. τὴν λίχανον] τὸν λίχανον F Θαμύραν ABD Poggius, caeteri Θάμυριν 84. Ἀπόλλω ADFG, caeteri Ἀπόλλωνα 86. συμπλανηθῆναι] συμπλακῆναι Eusebius, et nisi hunc pro Eusebio posuit Wesselingius, A 89. post θεὸν addit ἀτυχούντων D, qui τῶν ἀτυχούντων voluisse videtur 90 Ἄττιδος] Ἄττιος CE 91. διὰ τὸν χρ. post σώματος ponit D 93. θρηνοῦντας] θρηνοῦντες FG 97. βωμοὺς ἱδρυσαμένους D Eusebius, θεοὺς ποιησαμένης καὶ βωμοὺς ἱδρυσαμένης AB, *Cybele ara erecta sacrificabant* Poggius, caeteri βωμοὺς ἱδρυσαμένης



σαμένους θυσίας ἐπιτελεῖν κατ' ἔτος· ὕστερον δὲ ἐν Πισινοῦντι τῆς Φρυγίας κατασκευάσαι νεὼν πολυτελῆ καὶ τιμὰς καὶ θυσίας καταδεῖξαι μεγαλοπρεπεστάτας, Μίδου τοῦ βασιλέως εἰς ταῦτα συμφιλοκαλήσαντος· τῷ δ' ἀγάλματι τῆς θεοῦ παραστῆσαι παρδάλεις καὶ λέοντας διὰ τὸ
229 δοκεῖν ὑπὸ τούτων πρώτως τραφῆναι. περὶ μὲν οὖν μητρὸς θεῶν τοιαῦτα μυθολογεῖται παρά τε τοῖς Φρυξὶ καὶ τοῖς Ἀτλαντίοις τοῖς παρὰ τὸν Ὠκεανὸν οἰκοῦσι.

60 Μετὰ δὲ τὴν Ὑπερίονος τελευτὴν μυθολογοῦσι τοὺς υἱοὺς τοῦ Οὐρανοῦ διελέσθαι τὴν βασιλείαν, ὧν ὑπάρχειν ἐπιφανεστάτους Ἄτλαντα καὶ Κρόνον. τούτων δὲ τὸν μὲν Ἄτλαντα λαχεῖν τοὺς παρὰ τὸν Ὠκεανὸν τόπους, καὶ τούς τε λαοὺς Ἀτλαντίους ὀνομάσαι καὶ τὸ μέγιστον τῶν κατὰ τὴν χώραν ὀρῶν ὁμοίως Ἄτλαντα προσαγορεῦσαι. φασὶ δ' αὐτὸν τὰ περὶ τὴν ἀστρολογίαν ἐξακριβῶσαι καὶ τὸν σφαιρικὸν λόγον εἰς ἀνθρώπους πρῶτον ἐξενεγκεῖν· ἀφ' ἧς αἰτίας δόξαι τὸν σύμπαντα κόσμον ἐπὶ τῶν Ἄτλαντος ὤμων ὀχεῖσθαι, τοῦ μύθου τὴν τῆς σφαίρας εὕρεσιν καὶ καταγραφὴν αἰνιττομένου. γενέσθαι δ' αὐτῷ πλείους υἱούς, ὧν ἕνα διενεγκεῖν εὐσεβείᾳ καὶ τῇ πρὸς τοὺς ἀρχομένους δικαιοσύνῃ καὶ φιλανθρωπίᾳ, τὸν προσαγορευόμενον Ἕσπερον. τοῦτον δ' ἐπὶ τὴν κορυφὴν τοῦ Ἄτλαντος ὄρους ἀναβαίνοντα καὶ τὰς τῶν ἄστρων παρατηρήσεις ποιούμενον ἐξαίφνης ὑπὸ πνευμάτων συναρπαγέντα μεγάλων ἄφαντον γενέσθαι· διὰ δὲ τὴν ἀρετὴν αὐτοῦ τὸ πάθος τὰ πλήθη ἐλεήσαντα τιμὰς ἀθανάτους ἀπονεῖμαι καὶ τὸν ἐπιφανέστατον τῶν κατὰ τὸν οὐρανὸν ἀστέρων ὁμωνύμως ἐκείνῳ προσαγορεῦσαι. ὑπάρξαι δ' Ἄτλαντι καὶ θυγατέρας ἑπτά, τὰς κοινῶς μὲν ἀπὸ τοῦ πατρὸς καλουμένας Ἀτλαντίδας, ἰδίᾳ δ' ἑκάστην ὀνομαζομένην Μαῖαν, Ἠλέκτραν, Ταϋγέτην, Στεροπήν, Μερόπην, Ἀλκυόνην, καὶ τελευταίαν Κελαινώ. ταύτας δὲ μιγείσας τοῖς ἐπιφανε-

98. Πισινοῦντι] Πεσινοῦντι Eusebius, *Pessinunte* Poggius νεὼν] νεῶ D 99. μεγαλοπρεπεστάτας] μεγαλοπρεπεστέρας AD 100. Μίδου] *Midae* Poggius, caeteri Μήδου

229. 3. πρώτως] πρῶτον D, πρώτου B 4. Ἀτλαντίοις] Ἀτλαντείοις ed. Wesselingii 5. τοῖς omisit D παρὰ] κατὰ BD 9. παρὰ] περὶ AB 10. Ἀτλαντίους] Ἀτλαντείους CE 11. ὁμοίως om. FG, asterisco notat Stephanus προσαγορεῦσαι] προσαγορεύεσθαι D 16. καταγραφὴν] διαγραφὴν CEMQ 20. ὄρους omisit A 21. πνευμάτων] ἀνθρώπων F 23. αὐτοῦ τὸ] αὐτοῦ τοῦτο τὸ AD 27. ἰδίᾳ] ἰδίαν (sic) A 28. Μαῖαν] libri Μαίαν 29. Στεροπήν ABD, caeteri Ἀστεροπήν Κελαινώ] Κελαινῶ D 30. ἐπιφανεστάτοις ABD, caeteri εὐφυεστάτοις

στάτοις ἥρωσι καὶ θεοῖς ἀρχηγοὺς καταστῆναι τοῦ πλείστου γένους τῶν ἀνθρώπων, τεκούσας τοὺς δι' ἀρετὴν θεοὺς καὶ ἥρωας ὀνομασθέντας, οἷον τὴν πρεσβυτάτην Μαῖαν Διὶ μιγεῖσαν Ἑρμῆν τεκνῶσαι, πολλῶν εὑρετὴν γενόμενον τοῖς ἀνθρώποις· παραπλησίως δὲ καὶ τὰς ἄλλας Ἀτλαντίδας γεννῆσαι παῖδας ἐπιφανεῖς, ὧν τοὺς μὲν ἐθνῶν τοὺς δὲ πόλεων γενέσθαι κτίστας. διόπερ οὐ μόνον παρ' ἐνίοις τῶν βαρβάρων ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησι τοὺς πλείστους τῶν ἀρχαιοτάτων ἡρώων εἰς ταύτας ἀναφέρειν τὸ γένος. ὑπάρξαι δ' αὐτὰς καὶ σώφρονας διαφερόντως, καὶ μετὰ τὴν τελευτὴν τυχεῖν ἀθανάτου τιμῆς παρ' ἀνθρώποις καὶ καθιδρυθείσας ἐν τῷ κόσμῳ καὶ τῇ τῶν Πλειάδων προσηγορίᾳ περιληφθείσας. ἐκλήθησαν δὲ αἱ Ἀτλαντίδες καὶ νύμφαι διὰ τὸ τοὺς ἐγχωρίους κοινῇ τὰς γυναῖκας νύμφας προσαγορεύειν.

61 Κρόνον δὲ μυθολογοῦσιν, ἀδελφὸν μὲν Ἄτλαντος ὄντα, διαφέροντα δ' ἀσεβείᾳ καὶ πλεονεξίᾳ. γῆμαι τὴν ἀδελφὴν Ῥέαν, ἐξ ἧς γεννῆσαι Δία τὸν Ὀλύμπιον ὕστερον 230 ἐπικληθέντα. γεγονέναι δὲ καὶ ἕτερον Δία, τὸν ἀδελφὸν μὲν Οὐρανοῦ, τῆς δὲ Κρήτης βασιλεύσαντα, τῇ δόξῃ πολὺ λειπόμενον τοῦ μεταγενεστέρου. τοῦτον μὲν ουν βασιλεῦσαι τοῦ σύμπαντος κόσμου, τὸν δὲ προγενέστερον δυναστεύοντα τῆς προειρημένης νήσου δέκα παῖδας γεννῆσαι τοὺς ὀνομασθέντας Κούρητας· προςαγορεῦσαι δὲ καὶ τὴν νῆσον ἀπὸ τῆς γυναικὸς Ἰδαίαν, ἐν ᾗ καὶ τελευτήσαντα ταφῆναι, δεικνυμένου τοῦ τὴν ταφὴν δεξαμένου τόπου μέχρι τῶν καθ' ἡμᾶς χρόνων. οὐ μὴν οἵ γε Κρῆτες ὁμολογούμενα τούτοις μυθολογοῦσι, περὶ ὧν ἡμεῖς ἐν τοῖς περὶ Κρήτης τὰ κατὰ μέρος ἀναγράψομεν. δυναστεῦσαι δέ φασι τὸν Κρόνον κατὰ Σικελίαν καὶ Λιβύην ἔτι δὲ τὴν Ἰταλίαν, καὶ τὸ σύνολον ἐν τοῖς πρὸς ἑσπέραν τόποις συστήσασθαι τὴν βασιλείαν. παρὰ πᾶσι δὲ φρουραῖς διακατέχειν τὰς ἀκροπόλεις καὶ τοὺς ὀχυροὺς τῶν τόπων· ἀφ' οὗ δὴ μέχρι τοῦ νῦν

31. πλείστου omittunt ABDFG, asterisco notavit Stephanus 32. ὀνομασθέντας] malim νομισθέντας 33. Μαῖαν] libri Μαΐαν 42. καθιδρυθείσας] κατιδρυθείσας D, caeteri καθιδρυνθείσας: praeterea καὶ praepositum melius aberit 44. αἱ Ἀτλαντίδες καὶ νύμφαι Reiskius, Ἀτλαντίδες καὶ νύμφαι ABD, caeteri Ἀτλαντίδες καὶ αἱ νύμφαι 47. ἀσεβείᾳ] ἀσελγείᾳ Eusebius

230. 55.—57. huc respicit Chron. Paschale p. 44. C 58. μυθολογοῦσι ABD, caeteri ἱστοροῦσι 59. Κρήτης] Κρητῶν ABD 63. διακατέχειν ABC(D)GFQ, caeteri κατέχειν ὀχυροὺς] ἰσχυροὺς ABD 64. post τόπων omisit τούτων: *loca munitiora tenuit* Poggius



χρόνου κατά τε τὴν Σικελίαν καὶ τὰ πρὸς ἑσπέραν νεύοντα μέρη πολλοὺς τῶν ὑψηλῶν τόπων ἀπ' ἐκείνου Κρόνια προσαγορεύεσθαι. Κρόνου δὲ γενόμενον υἱὸν Δία τὸν ἐναντίον τῷ πατρὶ βίον ζηλῶσαι, καὶ παρεχόμενον ἑαυτὸν πᾶσιν ἐπιεικῆ καὶ φιλάνθρωπον ὑπὸ τοῦ πλήθους πατέρα προςαγορευθῆναι. διαδέξασθαι δ' αὐτόν φασι τὴν βασιλείαν οἱ μὲν ἑκουσίως τοῦ πατρὸς παραχωρήσαντος, οἱ δ' ὑπὸ τῶν ὄχλων αἱρεθέντα διὰ τὸ μῖσος τὸ πρὸς τὸν πατέρα· ἐπιστρατεύσαντος δ' ἐπ' αὐτὸν τοῦ Κρόνου μετὰ τῶν Τιτάνων κρατῆσαι τῇ μάχῃ τὸν Δία, καὶ κύριον γενόμενον τῶν ὅλων ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην εὐεργετοῦντα τὸ γένος τῶν ἀνθρώπων. διενεγκεῖν δ' αὐτὸν καὶ σώματος ῥώμῃ καὶ ταῖς ἄλλαις ἁπάσαις ἀρεταῖς, καὶ διὰ τοῦτο ταχὺ κύριον γενέσθαι τοῦ σύμπαντος κόσμου. καθόλου δ' αὐτὸν τὴν ἅπασαν σπουδὴν ἔχειν εἰς κόλασιν μὲν τῶν ἀσεβῶν καὶ πονηρῶν, εὐεργεσίαν δὲ τῶν ὄχλων. ἀνθ' ὧν μετὰ τὴν ἐξ ἀνθρώπων μετάστασιν ὀνομασθῆναι μὲν Ζῆνα διὰ τὸ δοκεῖν τοῦ καλῶς ζῆν αἴτιον γενέσθαι τοῖς ἀνθρώποις, καθιδρυθῆναι δ' ἐν τῷ κόσμῳ τῇ τῶν εὖ παθόντων τιμῇ, πάντων προθύμως ἀναγορευόντων θεὸν καὶ κύριον εἰς τὸν αἰῶνα τοῦ σύμπαντος κόσμου. τῶν μὲν οὖν παρὰ τοῖς Ἀτλαντίοις θεολογουμένων τὰ κεφάλαια ταῦτ' ἐστίν.

62 Ἡμεῖς δ' ἐπεὶ προειρήκαμεν ἐν τοῖς Αἰγυπτιακοῖς περὶ τῆς τοῦ Διονύσου γενέσεως καὶ τῶν ὑπ' αὐτοῦ πραχθέντων ἀκολούθως ταῖς ἐγχωρίοις ἱστορίαις, οἰκεῖον εἶναι διαλαμβάνομεν προσθεῖναι τὰ μυθολογούμενα περὶ τοῦ θεοῦ τούτου παρὰ τοῖς Ἕλλησι. τῶν δὲ παλαιῶν μυθογράφων καὶ ποιητῶν περὶ Διονύσου γεγραφότων ἀλλήλοις ἀσύμφωνα καὶ πολλοὺς καὶ τερα- 231 τώδεις λόγους καταβεβλημένων, δυςχερές ἐστιν ὑπὲρ τῆς γενέσεως τοῦ θεοῦ τούτου καὶ τῶν πράξεων καθαρῶς εἰπεῖν. οἱ μὲν γὰρ ἕνα Διόνυσον οἱ δὲ τρεῖς γεγονέναι

χρόνου om. FG, asterisco notavit Stephanus 67. προςαγορεύεσθαι] προςαγορεῦσαι FG 70. αὐτόν φασι AD, caeteri αὐτὸν: ante ἑκόντος addit φασιν Eusebius 71. ἑκουσίως ABD, caeteri ἑκόντος 81. εὐεργεσίαν δὲ τῶν ὄχλων] εὐεργεσίας δὲ τῶν ἀγαθῶν Eusebius, *in bonorum praemiis communique populorum utilitate* Poggius 84. καθιδρυθῆναι] κατιδρυθῆναι D, caeteri καθιδρυνθῆναι 86. τὸν αἰῶνα] τοὺς αἰῶνας FGQ 87. Ἀτλαντίοις] Ἀτλαντείους (sic) CE θεολογουμένων] μυθολογουμένων ABD

231. 96. ἐστιν ὑπὲρ ACDE, caeteri ἐστι περὶ 97. καθαρῶς εἰπεῖν BD, *verum in his rebus exquirere* Poggius, caeteri εἰπεῖν

παραδεδώκασιν, εἰσὶ δ' οἱ γένεσιν μὲν τούτου ἀνθρωπόμορφον μηδὲ γεγονέναι τὸ παράπαν ἀποφαινόμενοι, τὴν δὲ τοῦ οἴνου δόσιν Διόνυσον εἶναι νομίζοντες. διόπερ ἡμεῖς τῶν παρ' ἑκάστοις λεγομένων τὰ κεφάλαια πειρασόμεθα συντόμως ἐπιδραμεῖν. οἱ τοίνυν φυσιολογοῦντες περὶ τοῦ θεοῦ τούτου καὶ τὸν ἀπὸ τῆς ἀμπέλου καρπὸν Διόνυσον ὀνομάζοντές φασι τὴν γῆν αὐτομάτως μετὰ τῶν ἄλλων φυτῶν ἐνεγκεῖν τὴν ἄμπελον, ἀλλ' οὐκ ἐξ ἀρχῆς ὑπό τινος εὑρετοῦ φυτευθῆναι. τεκμήριον δ' εἶναι τούτου τὸ μέχρι τοῦ νῦν ἐν πολλοῖς τόποις ἀγρίας ἀμπέλους φύεσθαι, καὶ καρποφορεῖν αὐτὰς παραπλησίως ταῖς ὑπὸ τῆς ἀνθρωπίνης ἐμπειρίας χειρουργουμέναις. διμήτορα δὲ Διόνυσον ὑπὸ τῶν παλαιῶν ὠνομάσθαι, μιᾶς μὲν καὶ πρώτης γενέσεως ἀριθμουμένης ὅταν τὸ φυτὸν εἰς τὴν γῆν τεθὲν λαμβάνῃ τὴν αὔξησιν, δευτέρας δ' ὅταν βρίθῃ καὶ τοὺς βότρυας πεπαίνῃ, ὥςτε τὴν μὲν ἐκ γῆς τὴν δ' ἐκ τῆς ἀμπέλου γένεσιν τοῦ θεοῦ νομίζεσθαι. παραδεδωκότων δὲ τῶν μυθογράφων καὶ τρίτην γένεσιν, καθ' ἥν φασι τὸν θεὸν ἐκ Διὸς καὶ Δήμητρος τεκνωθέντα διασπασθῆναι μὲν ὑπὸ τῶν γηγενῶν καὶ καθεψηθῆναι, πάλιν δ' ὑπὸ τῆς Δήμητρος τῶν μελῶν συναρμοσθέντων ἐξ ἀρχῆς νέον γεννηθῆναι, εἰς φυσικάς τινας αἰτίας μετάγουσι τοὺς τοιούτους λόγους. Διὸς μὲν γὰρ καὶ Δήμητρος αὐτὸν λέγεσθαι διὰ τὸ τὴν ἄμπελον ἔκ τε γῆς καὶ ὄμβρων λαμβάνουσαν τὴν αὔξησιν καρποφορεῖν τὸν ἐκ τοῦ βότρυος ἀποθλιβόμενον οἶνον· τὸ δ' ὑπὸ τῶν γηγενῶν νέον ὄντα διασπασθῆναι δηλοῦν τὴν ὑπὸ τῶν γεωργῶν συγκομιδὴν τῶν καρπῶν, διὰ τὸ τοὺς ἀνθρώπους τὴν γῆν Δήμητραν νομίζειν· τὴν δὲ καθέψησιν τῶν μελῶν μεμυθοποιῆσθαι διὰ τὸ τοὺς πλείστους ἕψειν τὸν οἶνον καὶ μίσγοντας εὐωδεστέραν αὐτοῦ καὶ βελτίονα τὴν φύσιν κατασκευάζειν· τὰ δ' ὑπὸ τῶν γηγενῶν λυμανθέντα τῶν μελῶν, ἁρμοσθέντα πάλιν ἐπὶ τὴν προγεγενημένην φύσιν ἀποκαθίστασθαι, παρεμφαίνειν πάλιν ὅτι ἡ γῆ τὴν τρυγηθεῖσαν ἄμπελον καὶ τμηθεῖσαν ταῖς κατ' ἔτος ὥραις εἰς τὴν προϋπάρξασαν ἐν τῷ καρποφορεῖν ἀκμὴν ἀποκαθίστησι. καθόλου γὰρ ὑπὸ τῶν ἀρχαίων ποιητῶν καὶ μυθογράφων τὴν Δήμητραν γῆν μητέρα προςαγορεύεσθαι. σύμφωνα δὲ τούτοις εἶναι τά τε δηλούμενα διὰ τῶν Ὀρφικῶν ποιημάτων καὶ τὰ παρειςαγόμενα κατὰ τὰς τελετάς, περὶ ὧν οὐ θέμις τοῖς ἀμυήτοις ἱστορεῖν τὰ κατὰ μέρος. ὁμοίως δὲ καὶ τὴν ἐκ Σεμέλης γένεσιν εἰς φυσικὰς ἀρχὰς ἀνάγουσιν, ἀποφαινόμενοι Θυώνην ὑπὸ τῶν 232 ἀρχαίων τὴν γῆν ὠνομάσθαι, καὶ τεθεῖσθαι τὴν προςηγορίαν [καὶ] Σεμέλην μὲν ἀπὸ τοῦ σεμνὴν εἶναι τῆς θεοῦ ταύτης τὴν ἐπιμέλειαν καὶ τιμήν, Θυώνην δὲ ἀπὸ τῶν θυομένων αὐτῇ θυσιῶν καὶ θυηλῶν. δὶς δ' αὐτοῦ τὴν γένεσιν ἐκ Διὸς παραδεδόσθαι διὰ τὸ δοκεῖν μετὰ τῶν ἄλλων ἐν τῷ κατὰ τὸν Δευκαλίωνα κατακλυσμῷ φθαρῆναι καὶ τούτους τοὺς καρπούς, καὶ μετὰ τὴν ἐπομβρίαν πάλιν ἀναφυέντων ὡςπερεὶ δευτέραν ἐπιφάνειαν ταύτην ὑπάρξαι τοῦ θεοῦ παρ' ἀνθρώποις, καθ' ἣν ἐκ τοῦ Διὸς μηροῦ γενέσθαι πάλιν τὸν θεὸν τοῦτον μεμυθοποιῆσθαι. οἱ μὲν οὖν τὴν χρείαν καὶ δύναμιν τοῦ κατὰ τὸν οἶνον εὑρήματος ἀποφαινόμενοι Διόνυσον ὑπάρχειν τοιαῦτα περὶ αὐτοῦ μυθολογοῦσι.

63 τῶν δὲ μυθογράφων οἱ σωματοειδῆ τὸν θεὸν παρειςάγοντες τὴν μὲν εὕρεσιν τῆς ἀμπέλου καὶ φυτείαν καὶ πᾶσαν τὴν περὶ τὸν οἶνον πραγματείαν συμφώνως αὐτῷ προςάπτουσι, περὶ δὲ τοῦ πλείους γεγονέναι Διονύσους ἀμφιςβητοῦσιν. ἔνιοι μὲν γὰρ ἕνα καὶ τὸν αὐτὸν ἀποφαίνονται γενέσθαι τόν τε καταδείξαντα τὰ κατὰ τὰς οἰνοποιίας καὶ συγκομιδὰς τῶν ξυλίνων καλουμένων καρπῶν καὶ τὸν στρατευσάμενον ἐπὶ πᾶσαν τὴν οἰκουμένην ἔτι δὲ τὸν τὰ μυστήρια καὶ τελετὰς καὶ βακχείας εἰςηγησάμενον· ἔνιοι δέ, καθάπερ προεῖπον, τρεῖς ὑποστησάμενοι γεγονέναι κατὰ διεστηκότας χρόνους ἑκάστῳ προςάπτουσιν ἰδίας πράξεις· καί φασι τὸν μὲν ἀρχαιότατον Ἰνδὸν γεγονέναι,

98. παραδεδώκασιν ABC(D)EQ, *scribunt* Poggius, caeteri φασίν 99. μηδὲ A, μήτε D, caeteri μή 100. ἀποφαινόμενοι] ἀποφαίνονται ABD 1. παρ' ἑκάστοις] καθ' ἑκάστην AB 5. αὐτομάτως] αὐτονόμως B 6. τὴν] καὶ τὴν A 7. τούτου τὸ] τοῦτο ABD 9. παραπλησίως ABCDE, caeteri ὁμοίως 10. διμήτορα] διγεννητόρα A, δημήτορα G 13. λαμβάνῃ] λαμβάνειν A, διαλαμβάνειν F 14. βρίθῃ BD, caeteri καρποφορῇ 15. νομίζεσθαι] ὀνομάζεσθαι ABD 20. γεννηθῆναι Eichstadius: libri γενηθῆναι 21. μετάγουσι ABD, caeteri ἀνάγουσι 23. ἔκ τε γῆς] ἐκ τῆς γῆς D ὄμβρων AB(D)E, caeteri ὄμβρου 29. ἕψειν] ἑψεῖν omnes καὶ μίσγοντας εὐωδεστέραν — κατασκευάζειν ABD, caeteri εὐωδεστέραν — κατασκευάζοντας 30. τὰ δ'] aut τὸ δὲ τὰ aut καὶ ἁρμοσθέντα — λεγόμενα ἀποκαθίστασθαι sententia postulat

33. πάλιν ὅτι] ὅτι πάλιν D, omittit πάλιν Poggius 42. Θυώνην] Θυώκην FG

232. 43. καὶ Σεμέλην] Σεμέλην Eichstadius 45. θυομένων] φυομένων ABD 46. παραδεδόσθαι] παραδίδοσθαι D 49. ἀναφυέντων ABC(D), caeteri ἀναφυέντας 51. τοῦτον omittunt CD 60. οἰνοποιίας ABC(D)E, caeteri οἰνοποσίας 61. καλουμένων omisit A 64. ὑποστησάμενοι] εἰςηγησάμενοι καὶ ὑποστησάμενοι AB

καὶ τῆς χώρας αὐτομάτως διὰ τὴν εὐκρασίαν φερούσης πολλὴν ἄμπελον πρῶτον τοῦτον ἀποθλῖψαι βότρυας καὶ τὴν χρείαν τῆς περὶ τὸν οἶνον φύσεως ἐπινοῆσαι· ὁμοίως δὲ καὶ τῶν σύκων καὶ τῶν ἄλλων ἀκροδρύων τὴν καθήκουσαν ἐπιμέλειαν καὶ παράδοσιν ποιήσασθαι, καὶ καθόλου τὰ πρὸς τὴν συγκομιδὴν τούτων τῶν καρπῶν ἐπινοῆσαι· διὸ καὶ Ληναῖον ὀνομασθῆναι. τὸν αὐτὸν δὲ καὶ καταπώγωνα λέγουσι γενέσθαι διὰ τὸ τοῖς Ἰνδοῖς νόμιμον εἶναι μέχρι τῆς τελευτῆς ἐπιμελῶς ὑποτρέφειν τοὺς πώγωνας. τὸν δ' οὖν Διόνυσον ἐπελθόντα μετὰ στρατοπέδου πᾶσαν τὴν οἰκουμένην διδάξαι τήν τε φυτείαν τῆς ἀμπέλου καὶ τὴν ἐν ταῖς ληνοῖς ἀπόθλιψιν τῶν βοτρύων· ἀφ' οὗ Ληναῖον αὐτὸν ὀνομασθῆναι. ὁμοίως δὲ καὶ τῶν ἄλλων εὑρημάτων μεταδόντα πᾶσι τυχεῖν αὐτὸν μετὰ τὴν ἐξ ἀνθρώπων μετάστασιν ἀθανάτου τιμῆς παρὰ τοῖς εὖ παθοῦσιν. δείκνυσθαι δὲ παρ' Ἰνδοῖς μέχρι τοῦ νῦν τόν τε τόπον ἐν ᾧ συνέβη γενέσθαι τὸν θεὸν καὶ προσηγορίας πόλεων ἀπ' αὐτοῦ κατὰ τὴν τῶν ἐγχωρίων διάλεκτον· καὶ πολλὰ ἕτερα διαμένειν ἀξιόλογα τεκμήρια τῆς παρ' Ἰνδοῖς γενέσεως, περὶ
64 ὧν μακρὸν ἂν εἴη γράφειν. δεύτερον δὲ μυθολογοῦσι γενέσθαι Διόνυσον ἐκ Διὸς καὶ Περσεφόνης, ὡς δέ τινες, ἐκ Δήμητρος. τοῦτον δὲ παρεισάγουσι πρῶτον βοῦς ὑπ' ἄροτρον ζεῦξαι, τὸ πρὸ τοῦ ταῖς χερσὶ τῶν ἀνθρώπων τὴν γῆν κατεργαζομένων. πολλὰ δὲ καὶ ἄλλα φιλο- 233
τέχνως ἐπινοῆσαι τῶν πρὸς τὴν γεωργίαν χρησίμων, δι' ὧν ἀπολυθῆναι τοὺς ὄχλους τῆς πολλῆς κακοπαθείας. ἀνθ' ὧν τοὺς εὖ παθόντας ἀπονεῖμαι τιμὰς ἰσοθέους αὐτῷ καὶ θυσίας, προθύμως ἁπάντων ἀνθρώπων διὰ τὸ μέγεθος τῆς εὐεργεσίας ἀπονειμάντων τὴν ἀθανασίαν. παράσημον δ' αὐτῷ ποιῆσαι κέρατα τοὺς κατασκευάζοντας τὰς γραφὰς ἢ τοὺς ἀνδριάντας ἅμα μὲν δηλοῦντας ἑτέρου Διονύσου φύσιν, ἅμα δὲ ἀπὸ τῆς περὶ τὸ ἄροτρον εὑρέσεως ἐμφαίνοντας τὸ μέγεθος τῆς ἐπινοηθείσης τοῖς γεωργοῖς εὐχρηστίας. τρίτον δὲ γενέσθαι

70. τῶν] libri τὴν τῶν σύκων Eichstadius: libri συκῶν καὶ τῶν] καὶ τὴν τῶν AC 71. παράδοσιν] παράδοξον A, παράδοξον παράδοσιν BD: mihi delenda hic καὶ παράδοσιν, reponenda autem καὶ παράθεσιν post συγκομιδὴν videntur collatis quae sunt p. 242. 23. 73. διὸ καὶ Ληναῖον ὀνομασθῆναι om. Poggius 74. λέγουσι γενέσθαι ABD, caeteri λέγουσι 75. ὑποτρέφειν ABCDEQ, caeteri ἀνατρέφειν 80. μεταδόντα BCDEQ, caeteri μεταδιδόντα 84. ἀπ'] ὑπ' omnes: *urbes eius nomine ab incolis appellatas* Poggius 89. Περσεφόνης] Φεσεφόνης (sic) E 91. πρὸ τοῦ] πρὸ τούτου D, πρὸ τούτων AB 233. 99. ἑτέρου] ἑτέραν ABE, ἑτέραν τοῦ D, *alteram* Poggius 2. γενέσθαι] λέγεσθαι D



Διόνυσόν φασιν ἐν Θήβαις ταῖς Βοιωτίαις ἐκ Διὸς καὶ Σεμέλης τῆς Κάδμου. μυθολογοῦσι γὰρ ἐρασθέντα Δία μιγῆναι πλεονάκις αὐτῇ διὰ τὸ κάλλος, τὴν δ' Ἥραν ζηλοτυποῦσαν καὶ βουλομένην τιμωρίᾳ περιβαλεῖν τὴν ἄνθρωπον ὁμοιωθῆναι μέν τινι τῶν ἀποδοχῆς τυγχανουσῶν παρ' αὐτῇ γυναικῶν, παρακρούσασθαι δὲ τὴν Σεμέλην. εἰπεῖν γὰρ πρὸς αὐτὴν ὅτι καθῆκον ἦν τὸν Δία μετὰ τῆς αὐτῆς ἐπιφανείας τε καὶ τιμῆς ποιεῖσθαι τὴν ὁμιλίαν ἧπερ χρῆται κατὰ τὴν πρὸς τὴν Ἥραν συμπεριφοράν. διὸ καὶ τὸν μὲν Δία, τῆς Σεμέλης ἀξιούσης τυγχάνειν τῶν ἴσων Ἥρᾳ τιμῶν, παραγενέσθαι μετὰ βροντῶν καὶ κεραυνῶν, τὴν δὲ Σεμέλην οὐχ ὑπομείνασαν τὸ μέγεθος τῆς περιστάσεως τελευτῆσαι καὶ τὸ βρέφος ἐκτρῶσαι πρὸ τοῦ καθήκοντος χρόνου. καὶ τοῦτο μὲν τὸν Δία ταχέως εἰς τὸν ἑαυτοῦ μηρὸν ἐγκρύψαι· μετὰ δὲ ταῦτα τοῦ κατὰ φύσιν τῆς γενέσεως χρόνου τὴν τελείαν αὔξησιν ποιήσαντος ἀπενεγκεῖν τὸ βρέφος εἰς Νῦσαν τῆς Ἀραβίας. ἐνταῦθα δ' ὑπὸ νυμφῶν τραφέντα τὸν παῖδα προσαγορευθῆναι μὲν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ τόπου Διόνυσον, γενόμενον δὲ τῷ κάλλει διάφορον τὸ μὲν πρῶτον ἐν χορείαις καὶ γυναικῶν θιάσοις καὶ παντοδαπῇ τρυφῇ καὶ παιδιᾷ διατελεῖν· μετὰ δὲ ταῦτα στρατόπεδον ἐκ τῶν γυναικῶν συναγαγόντα καὶ θύρσοις καθοπλίσαντα στρατείαν ἐπὶ πᾶσαν ποιήσασθαι τὴν οἰκουμένην. καταδεῖξαι δὲ καὶ τὰ περὶ τὰς τελετὰς καὶ μεταδοῦναι τῶν μυστηρίων τοῖς εὐσεβέσι τῶν ἀνθρώπων καὶ δίκαιον βίον ἀσκοῦσι, πρὸς δὲ τούτοις πανταχοῦ πανηγύρεις ἄγειν καὶ μουσικοὺς ἀγῶνας συντελεῖν, καὶ τὸ σύνολον συλλύοντα τά τε νείκη τῶν ἐθνῶν καὶ πόλεων ἀντὶ τῶν στάσεων καὶ τῶν πολέμων
ὁμόνοιαν καὶ πολλὴν εἰρήνην παρασκευάζειν. διαβοη- 65
θείσης δὲ κατὰ πάντα τόπον τῆς τοῦ θεοῦ παρουσίας, καὶ διότι πᾶσιν ἐπιεικῶς προσφερόμενος πολλὰ συμβάλλεται πρὸς τὴν ἐξημέρωσιν τοῦ κοινοῦ βίου, πανδημεὶ συναντᾶν αὐτῷ καὶ προσδέχεσθαι μετὰ πολλῆς χαρᾶς.

3. ταῖς Βοιωτίαις] τῆς Βοιωτίας A 7. ὁμοιωθῆναι] libri ὡμοιωθῆναι 8. αὐτῇ AB(D)E, caeteri αὐτῆς 9. αὐτῆς excidit editionibus post Stephanum, nec nisi ex B attulit Wesselingius: tacetur etiam de D: *ea maiestate* Poggius 11. χρῆται] χρᾶται omnes 12. Ἥρᾳ τιμῶν] πραγμάτων FGM 18. τὴν τελείαν AD, caeteri τελείαν 19. Νῦσαν] Νύσσαν FG, caeteri Νύσαν 21. τοῦ τόπου] τοῦτο C 22. χορείαις] χορίαις D 23. θιάσοις] θυσίαις οἷς FG, θειάσοις D 25. θύρσοις] θυρσοῖς ABC(D)EQV, caeteri θύρσῳ 32. παρασκευάζειν] κατασκευάζειν AB 37. χαρᾶς] τιμῆς καὶ χαρᾶς AB, χώρας FG

ὀλίγων δ' ὄντων τῶν δι' ὑπερηφανίαν καὶ ἀσέβειαν καταφρονούντων καὶ φασκόντων τὰς μὲν βάκχας δι' ἀκρασίαν αὐτὸν περιάγεσθαι, τὰς δὲ τελετὰς καὶ τὰ 234 μυστήρια φθορᾶς ἕνεκα τῶν ἀλλοτρίων γυναικῶν καταδεικνύειν, κολάζεσθαι τοὺς τοιούτους ὑπ' αὐτοῦ παραχρῆμα. ἐνίοτε γὰρ τῇ τῆς θείας φύσεως ὑπεροχῇ χρώμενον τιμωρεῖσθαι τοὺς ἀσεβεῖς, ποτὲ μὲν αὐτοῖς ἐμβάλλοντα μανίαν, ποτὲ δὲ ταῖς τῶν γυναικῶν χερσὶ ζῶντας διαμελίζοντα· ἐνίοτε δὲ καὶ διὰ τῆς στρατηγικῆς ἐπινοίας παραδόξως ἀναιρεῖν τοὺς ἐναντιοπραγοῦντας. ἀναδιδόναι γὰρ ταῖς βάκχαις ἀντὶ τῶν θύρσων λόγχας τῷ κιττῷ κεκαλυμμένας τὴν ἀκμὴν τοῦ σιδήρου· διὸ καὶ τῶν βασιλέων διὰ τὴν ἄγνοιαν καταφρονούντων ὡς ἂν γυναικῶν, καὶ διὰ τοῦτο ἀπαρασκεύων ὄντων, ἀνελπίστως ἐπιτιθέμενον κατακοντίζειν. τῶν δὲ κολασθέντων ὑπ' αὐτοῦ φασιν ἐπιφανεστάτους εἶναι Πενθέα μὲν παρὰ τοῖς Ἕλλησι, Μύῤῥανον δὲ τὸν βασιλέα παρ' Ἰνδοῖς, Λυκοῦργον δὲ παρὰ τοῖς Θρᾳξί. μυθολογοῦσι γὰρ τὸν Διόνυσον ἐκ τῆς Ἀσίας μέλλοντα τὴν δύναμιν διαβιβάζειν εἰς τὴν Εὐρώπην συνθέσθαι φιλίαν πρὸς Λυκοῦργον τὸν Θρᾴκης βασιλέα τῆς ἐφ' Ἑλλησπόντῳ· διαβιβάσαντος δὲ αὐτοῦ πρώτας τὰς βάκχας ὡς εἰς φιλίαν χώραν, τὸν μὲν Λυκοῦργον παραγγεῖλαι τοῖς στρατιώταις νυκτὸς ἐπιθέσθαι καὶ τόν τε Διόνυσον καὶ τὰς μαινάδας πάσας ἀνελεῖν· τὸν δὲ Διόνυσον παρά τινος τῶν ἐγχωρίων, ὃς ἐκαλεῖτο Χάροψ, μαθόντα τὴν ἐπιβουλὴν καταπλαγῆναι διὰ τὸ τὴν δύναμιν ἐν τῷ πέραν εἶναι, παντελῶς δὲ ὀλίγους αὐτῷ τῶν φίλων συνδιαβεβηκέναι. διόπερ λάθρᾳ τούτου διαπλεύσαντος πρὸς τὸ σφέτερον στρατόπεδον, τὸν μὲν Λυκοῦργόν φασιν ἐπιθέμενον ταῖς μαινάσιν ἐν τῷ καλουμένῳ Νυσίῳ πάσας ἀποκτεῖναι· τὸν δὲ Διόνυσον περαιώσαντα τὰς δυνάμεις μάχῃ κρατῆσαι τῶν Θρᾳκῶν, καὶ τὸν Λυκοῦργον ζωγρήσαντα τυφλῶσαί τε καὶ πᾶσαν αἰκίαν εἰςενεγκάμενον ἀνασταυρῶσαι. μετὰ δὲ ταῦτα τῷ μὲν Χάροπι χάριν ἀποδιδόντα

234. 41. τοιούτους ὑπ' αὐτοῦ ABC(D)E, caeteri τοιούτους 42 θείας servarunt D Poggius 45. στρατηγικῆς ἐπινοίας] στρατηγικῆς A 47. γὰρ] δὲ G 49. διὸ καὶ ABD, caeteri καὶ 53. Μύῤῥανον] Μύρανον Q, Nynum Poggius 57. τὸν Θρᾴκης — 59. Λυκοῦργον omisit A τῆς omisit E, asterisco notavit Stephanus 61. μαινάδας] βάκχας ABD 62. Χάροψ ABD, caeteri Θάροψ 63. καταπλαγῆναι] καταπλαγέντα G 66. τὸν μὲν omisit AD 68. τὰς δυνάμεις ABCDEGQ, caeteri τὴν δύναμιν 70. αἰκίαν] οἰκίαν legebat Poggius 71. Χάροπι ABD, caeteri Θάροπι 72. ἀποδιδόντα ABD, caeteri ἀποδόντα



τῆς εὐεργεσίας παραδοῦναι τὴν τῶν Θρᾳκῶν βασιλείαν καὶ διδάξαι τὰ κατὰ τὰς τελετὰς ὄργια· Χάροπος δ' υἱὸν γενόμενον Οἴαγρον παραλαβεῖν τήν τε βασιλείαν καὶ τὰς ἐν τοῖς μυστηρίοις τελετὰς παραδεδομένας, ἃς ὕστερον Ὀρφέα τὸν Οἰάγρου μαθόντα παρὰ τοῦ πατρός, καὶ φύσει καὶ παιδείᾳ τῶν ἁπάντων διενεγκόντα, πολλὰ μεταθεῖναι τῶν ἐν τοῖς ὀργίοις· διὸ καὶ τὰς ὑπὸ τοῦ Διονύσου γενομένας τελετὰς Ὀρφικὰς προςαγορευθῆναι. τῶν δὲ ποιητῶν τινες, ὧν ἐστι καὶ Ἀντίμαχος, ἀποφαίνονται τὸν Λυκοῦργον οὐ Θρᾴκης ἀλλὰ τῆς Ἀραβίας γεγονέναι βασιλέα, καὶ τῷ τε Διονύσῳ καὶ ταῖς βάκχαις 235 τὴν ἐπίθεσιν ἐν τῇ κατὰ τὴν Ἀραβίαν Νύσῃ πεποιῆσθαι. τὸν δ' οὖν Διόνυσόν φασι κολάσαντα μὲν τοὺς ἀσεβεῖς, ἐπιεικῶς δὲ προςενεχθέντα τοῖς ἄλλοις ἀνθρώποις, ἐκ τῆς Ἰνδικῆς ἐπ' ἐλέφαντος τὴν εἰς Θήβας ἐπάνοδον ποιήσασθαι. τριέτους δὲ διαγεγενημένου τοῦ σύμπαντος χρόνου, φασὶ τοὺς Ἕλληνας ἀπὸ ταύτης τῆς αἰτίας ἄγειν τὰς τριετηρίδας. μυθολογοῦσι δ' αὐτὸν καὶ λαφύρων ἠθροικότα πλῆθος ὡς ἂν ἀπὸ τηλικαύτης στρατείας πρῶτον τῶν ἁπάντων καταγαγεῖν θρίαμβον εἰς τὴν πατρίδα.

66 Αὗται μὲν οὖν αἱ γενέσεις συμφωνοῦνται μάλιστα παρὰ τοῖς παλαιοῖς. ἀμφισβητοῦσι δὲ καὶ πόλεις οὐκ ὀλίγαι Ἑλληνίδες τῆς τούτου τεκνώσεως· καὶ γὰρ Ἠλεῖοι καὶ Νάξιοι πρὸς δὲ τούτοις οἱ τὰς Ἐλευθερὰς οἰκοῦντες καὶ Τήιοι καὶ πλείους ἕτεροι παρ' ἑαυτοῖς ἀποφαίνονται τεκνωθῆναι. καὶ Τήιοι μὲν τεκμήριον φέρουσι τῆς παρ' αὐτοῖς γενέσεως τοῦ θεοῦ τὸ μέχρι τοῦ νῦν τεταγμένοις χρόνοις ἐν τῇ πόλει πηγὴν αὐτομάτως ἐκ τῆς γῆς οἴνου ῥεῖν εὐωδίᾳ διαφέροντος· τῶν δ' ἄλλων οἱ μὲν ἱερὰν Διονύσου δεικνύουσι τὴν χώραν, οἱ δὲ ναοὺς καὶ τεμένη διαφερόντως ἐκ παλαιῶν χρόνων αὐτῷ καθιδρυμένα. καθόλου δ' ἐν πολλοῖς τόποις τῆς οἰκουμένης ἀπολελοιπότος τοῦ θεοῦ σημεῖα τῆς ἰδίας εὐεργεσίας ἅμα καὶ παρουσίας οὐδὲν παράδοξον ἑκάστους νομίζειν οἰκειότητά τινα γεγονέναι τῷ Διονύσῳ πρὸς

74. Χάροπος ABD, caeteri Θάροπος 75. τελετὰς παραδεδομένας] παραδεδομένας τελετὰς D 78. διενεγκόντα] διενέγκαντα BD 80. Ὀρφικὰς] Ὀρφικὰ FGM 81. οὐ om. FGM

235. 87. εἰς Θήβας] ἐν Θήβαις AB τριέτους] scribebatur τριετοῦς 91. τῶν ἁπάντων] τὸν ἁπάντων omnes 94. τοῖς παλαιοῖς ABC(D)E, caeteri τῶν παλαιῶν 95. Ἠλεῖοι] Ilienses Poggius 96. Ἐλευθερὰς] Ἐλευθέρας D, Ἐλευθερίας FG 97. 98. Τήιοι] τῇ ιοὶ A, Τηϊοὶ D 100. αὐτομάτως ABD, caeteri αὐτομάτην

τὴν ἑαυτῶν πόλιν τε καὶ χώραν. μαρτυρεῖ δὲ τοῖς ὑφ' ἡμῶν λεγομένοις καὶ ὁ ποιητὴς ἐν τοῖς ὕμνοις, λέγων περὶ τῶν ἀμφισβητούντων τῆς τούτου γενέσεως καὶ ἅμα τεκνωθῆναι παρεισάγων αὐτὸν ἐν τῇ κατὰ τὴν Ἀραβίαν Νύσῃ,

οἱ μὲν γὰρ Δρακάνῳ σ', οἱ δ' Ἰκάρῳ ἠνεμοέσσῃ
φάσ', οἱ δ' ἐν Νάξῳ, δῖον γένος, εἰραφιῶτα,
οἱ δέ σ' ἐπ' Ἀλφειῷ ποταμῷ βαθυδινήεντι
κυσαμένην Σεμέλην τεκέειν Διὶ τερπικεραύνῳ,
ἄλλοι δ' ἐν Θήβῃσιν, ἄναξ, σε λέγουσι γενέσθαι,
ψευδόμενοι· σὲ δ' ἔτικτε πατὴρ ἀνδρῶν τε θεῶν τε
πολλὸν ἀπ' ἀνθρώπων κρύπτων λευκώλενον Ἥρην.
ἔστι δέ τις Νύση, ὕπατον ὄρος, ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

οὐκ ἀγνοῶ δ' ὅτι καὶ τῶν τὴν Λιβύην νεμομένων οἱ παρὰ τὸν Ὠκεανὸν οἰκοῦντες ἀμφισβητοῦσι τῆς τοῦ θεοῦ γενέσεως, καὶ τὴν Νῦσαν καὶ τἄλλα τὰ περὶ αὐτοῦ μυθολογούμενα παρ' ἑαυτοῖς δεικνύουσι γεγενημένα, καὶ πολλὰ τεκμήρια τούτων μέχρι τοῦ καθ' ἡμᾶς βίου διαμένειν κατὰ τὴν χώραν φασί, πρὸς δὲ τούτοις, ὅτι πολλοὶ τῶν παλαιῶν παρ' Ἕλλησι μυθογράφων καὶ ποιητῶν σύμφωνα τούτοις ἱστοροῦσι καὶ τῶν μεταγενεστέρων συγγραφέων οὐκ ὀλίγοι. διόπερ, ἵνα μηδὲν παρα- 236
λείπωμεν τῶν ἱστορημένων περὶ Διονύσου, διέξιμεν ἐν κεφαλαίοις τὰ παρὰ τοῖς Λίβυσι λεγόμενα καὶ τῶν Ἑλληνικῶν συγγραφέων ὅσοι τούτοις σύμφωνα γεγράφασι καὶ Διονυσίῳ τῷ συνταξαμένῳ τὰς παλαιὰς μυθοποιίας. οὗτος γὰρ τά τε περὶ τὸν Διόνυσον καὶ τὰς Ἀμαζόνας ἔτι δὲ τοὺς Ἀργοναύτας καὶ τὰ κατὰ τὸν Ἰλιακὸν πόλεμον πραχθέντα καὶ πόλλ' ἕτερα συντέτακται, παρατιθεὶς τὰ ποιήματα τῶν ἀρχαίων, τῶν τε μυθολόγων καὶ τῶν ποιητῶν.

67 Φησὶ τοίνυν παρ' Ἕλλησι πρῶτον εὑρετὴν γενέσθαι Λίνον ῥυθμῶν καὶ μέλους, ἔτι δὲ Κάδμου κομίσαντος ἐκ Φοινίκης τὰ καλούμενα γράμματα πρῶτον εἰς τὴν Ἑλληνικὴν μεταθεῖναι διάλεκτον, καὶ τὰς προσηγορίας ἑκάστῳ τάξαι καὶ τοὺς χαρακτῆρας διατυπῶσαι. κοινῇ μὲν οὖν τὰ γράμματα Φοινίκεια κληθῆναι διὰ τὸ παρὰ τοὺς Ἕλληνας ἐκ Φοινίκων μετενεχθῆναι· ἰδίᾳ δὲ τῶν Πελασγῶν πρώτων χρησαμένων τοῖς μετατεθεῖσι χαρακτῆρσι Πελασγικὰ προσαγορευθῆναι. τὸν δὲ Λίνον ἐπὶ ποιητικῇ καὶ μελῳδίᾳ θαυμασθέντα μαθητὰς σχεῖν πολλούς, ἐπιφανεστάτους δὲ τρεῖς, Ἡρακλέα, Θαμύραν, καὶ Ὀρφέα. τούτων δὲ τὸν μὲν Ἡρακλέα κιθαρίζειν μανθάνοντα διὰ τὴν τῆς ψυχῆς βραδύτητα μὴ δύνασθαι δέξασθαι τὴν μάθησιν· ἔπειθ' ὑπὸ τοῦ Λίνου πληγαῖς ἐπιτιμηθέντα διοργισθῆναι καὶ τῇ κιθάρᾳ τὸν διδάσκαλον πατάξαντα ἀποκτεῖναι. Θαμύραν δὲ φύσει διαφόρῳ κεχορηγημένον ἐκπονῆσαι τὰ περὶ τὴν μουσικήν, καὶ κατὰ τὴν ἐν τῷ μελῳδεῖν ὑπεροχὴν φάσκειν ἑαυτὸν τῶν Μουσῶν ἐμμελέστερον ᾄδειν. διὸ καὶ τὰς θεὰς αὐτῷ χολωθείσας τήν τε μουσικὴν ἀφελέσθαι καὶ πηρῶσαι τὸν ἄνδρα, καθάπερ καὶ τὸν Ὅμηρον τούτοις προσμαρτυρεῖν λέγοντα

ἔνθα τε Μοῦσαι
ἀντόμεναι Θάμυριν τὸν Θρήικα παῦσαν ἀοιδῆς.

καὶ ἔτι

αἱ δὲ χολωσάμεναι πηρὸν θέσαν· αὐτὰρ ἀοιδὴν
θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν.

περὶ δὲ Ὀρφέως τοῦ τρίτου μαθητοῦ κατὰ μέρος ἀναγράψομεν, ὅταν τὰς πράξεις αὐτοῦ διεξίωμεν. τὸν δ' οὖν Λίνον φασὶ τοῖς Πελασγικοῖς γράμμασι συνταξάμε-

8. τε καὶ χώραν A(D)E, caeteri καὶ χώραν   λεγομένοις servarunt AB(D)   12. οἱ μὲν γὰρ Δρακάνῳ σ' Rhodomannus, ἄλλοι μὲν γὰρ διαικαννωσσε D, φῦναι μὲν δ' ἄλλοι σ' A, caeteri οἱ μὲν γὰρ Δρακάνῳ σε   οἱ δ'] ἐν A   Ἰκάρῳ] ἰκάρῳ A   13. φάσ' Rhodomannus: libri φασίν   οἱ δ' ἐν Νάξῳ δῖον] οἱ δὲ ἐναξύδιον C   14. Ἀλφειῷ] Ἀλφιῷ D   βαθυδινήεντι] βαθὺ δινήεντι D: sequentem versum soli servarunt ABD, ubi κυσαμένην] κυσσαμένην A   15. Θήβῃσιν ABD, caeteri Θήβαισιν   17. πολλὸν] πολλῶν D   18. τις Νύσση ex BD retulit Wesselingius: in textu tamen tacite posuit τις Νύση, ad quod tacet D, ut is Νύσῃ non Νύσσῃ ferre videatur: τις Νύσης A, caeteri τῆς Νύσης   ὕπατον ABD, caeteri ἄβατον   21. τούτου FG nescio utrum pro τοῦ θεοῦ an τοῦ solo   22. Νῦσαν] Νύσαν omnes   25. τῶν παλαιῶν] τῶν παλαιῶν τῶν D   26. σύμφωνα] συμφωνούμενα ABCDEQ   τούτοις om. Q

236. 28. παραλείπωμεν] παραλίπωμεν nescio qui Wesselingii   29. ἱστορημένων] ἱστορουμένων D   διέξιμεν] διέξειμεν D   30. Λίβυσι] Ἕλλησι FG   32. τῷ συνταξαμένῳ om. AD   33. μυθοποιίας] μυθολογίας AB et D Wesselingii



35. Ἰλιακὸν] Ἠλιακὸν AD   πόλλ'] πολλὰ D   36. συντέτακται ABDE, caeteri συνέταξε   38. φησὶ] φασὶ AB   43. Φοινίκεια A, Φοινικῆα D, Phoeniceas Poggius, caeteri Φοινίκια   45. ἰδίᾳ ABD, caeteri διὰ   49. Θαμύραν AD, caeteri Θάμυριν   καὶ omisit D   51. βραδύτητα Wesselingius: libri βραδυτῆτα   54. Θαμύραν AD, caeteri Θάμυριν   κεχορηγημένον] κεχρημένον EQV   55. κατὰ] τὰ κατὰ D   56. ἑαυτὸν] δ' αὐτὸν AB, et qui colon post ὑπεροχήν posuerat D   58. πηρῶσαι τὸν ἄνδρα ABD, caeteri πηρῶσαι   61. Θάμυριν] Θαμύραν nescio an A, quem ad 49. semper sic exhibere tradit Wessel.   62. καὶ ἔτι omisit D   65. κατὰ] immo τὰ κατὰ   66. διεξίωμεν] διεξιῶμεν D

νον τὰς τοῦ πρώτου Διονύσου πράξεις καὶ τὰς ἄλλας μυθολογίας ἀπολιπεῖν ἐν τοῖς ὑπομνήμασιν. ὁμοίως δὲ 237 τούτοις χρήσασθαι τοῖς Πελασγικοῖς γράμμασι τὸν Ὀρφέα καὶ Προναπίδην τὸν Ὁμήρου διδάσκαλον, εὐφυῆ γεγονότα μελοποιόν· πρὸς δὲ τούτοις Θυμοίτην τὸν Θυμοίτου τοῦ Λαομέδοντος, κατὰ τὴν ἡλικίαν γεγονότα τὴν Ὀρφέως, πλανηθῆναι κατὰ πολλοὺς τόπους τῆς οἰκουμένης, καὶ παραβαλεῖν τῆς Λιβύης εἰς τὴν πρὸς ἑσπέραν χώραν [τῆς οἰκουμένης] ἕως Ὠκεανοῦ· θεάσασθαι δὲ καὶ τὴν Νῦσαν, ἐν ᾗ μυθολογοῦσιν οἱ ἐγχώριοι ἀρχαῖοι τραφῆναι τὸν Διόνυσον, καὶ τὰς κατὰ μέρος τοῦ θεοῦ τούτου πράξεις μαθόντα παρὰ τῶν Νυσαέων συντάξασθαι τὴν Φρυγίαν ὀνομαζομένην ποίησιν, ἀρχαϊκῶς τῇ τε διαλέκτῳ καὶ τοῖς γράμμασι χρησάμενον.

68 φησὶ δ᾽ οὖν Ἄμμωνα βασιλεύοντα τοῦ μέρους τῆς Λιβύης Οὐρανοῦ γῆμαι θυγατέρα τὴν προσαγορευομένην Ῥέαν, ἀδελφὴν οὖσαν Κρόνου τε καὶ τῶν ἄλλων Τιτάνων. ἐπιόντα δὲ τὴν βασιλείαν εὑρεῖν πλησίον τῶν Κεραυνίων καλουμένων ὀρῶν παρθένον τῷ κάλλει διαφέρουσαν Ἀμάλθειαν ὄνομα. ἐρασθέντα δ᾽ αὐτῆς καὶ πλησιάσαντα γεννῆσαι παῖδα τῷ τε κάλλει καὶ τῇ ῥώμῃ θαυμαστόν, καὶ τὴν μὲν Ἀμάλθειαν ἀποδεῖξαι κυρίαν τοῦ σύνεγγυς τόπου παντός, ὄντος τῷ σχήματι παραπλησίου κέρατι βοός, ἀφ᾽ ἧς αἰτίας Ἑσπέρου κέρας προσαγορευθῆναι· διὰ δὲ τὴν ἀρετὴν τῆς χώρας εἶναι πλήρη παντοδαπῆς ἀμπέλου καὶ τῶν ἄλλων δένδρων τῶν ἡμέρους φερόντων καρπούς. τῆς δὲ προειρημένης γυναικὸς τὴν δυναστείαν παραλαβούσης ἀπὸ ταύτης τὴν χώραν Ἀμαλθείας κέρας ὀνομασθῆναι· διὸ καὶ τοὺς μεταγενεστέρους ἀνθρώπους διὰ τὴν προειρημένην αἰτίαν τὴν κρατίστην γῆν καὶ παντοδαποῖς καρποῖς πλήθουσαν ὡσαύτως Ἀμαλθείας κέρας προσαγορεύειν. τὸν δ᾽ οὖν Ἄμμωνα φοβούμενον

69. ἐν τοῖς] τοῖς A

237. 71. Προναπίδην] Προνοπίδην AB Poggius 73. Θυμοίτην] Θύμοιτον M, Θύμητον FG Poggius Wesselingii, meus Thymitum — Thymiti 74. τὴν Ὀρφέως D, caeteri τοῦ Ὀ. 75. καὶ παρ. — 76. οἰκουμένης omisit C 76. τῆς οἰκουμένης delet Rhodomannus, omisit Poggius 77. Νῦσαν] Νύσαν omnes

79. Νυσαέων ABC(D)E, caeteri Νυσαίων 81. ἀρχαϊκῶς] immo ἀρχαϊκοῖς 83. τοῦ μέρους AD, caeteri μέρους 87. καλουμένων omittunt FGM, asterisco notavit Stephanus, praeteriit Poggius 88. 90. Ἀμάλθειαν] Ἀμαλθίαν libri omnes, quem tanquam typothetae errorem in addendis corrigi iubet Stephanus Ἀμαλθείαν: Amaltheam Poggius 92. Ἑσπέρου ABC(D)E, caeteri ἑσπέριον 97. 100. Ἀμαλθείας] Ἀμαλθίας libri omnes, quem tanquam typothetae errorem in addendis corrigi iubet Stephanus: Amaltheae Poggius 99. πλήθουσαν A, caeteri πληθύουσαν



τὴν τῆς Ῥέας ζηλοτυπίαν κρύψαι τὸ γεγονός, καὶ τὸν παῖδα λάθρᾳ μετενεγκεῖν εἴς τινα πόλιν Νῦσαν, μακρὰν ἀπ᾽ ἐκείνων τῶν τόπων ἀπηρτημένην. κεῖσθαι δὲ ταύτην ἔν τινι νήσῳ περιεχομένῃ μὲν ὑπὸ τοῦ Τρίτωνος ποταμοῦ, περικρήμνῳ δὲ καὶ καθ᾽ ἕνα τόπον ἐχούσῃ στενὰς εἰσβολάς, ἃς ὠνομάσθαι πύλας Νυσίας. εἶναι δ᾽ ἐν αὐτῇ χώραν εὐδαίμονα λειμῶσί τε μαλακοῖς διειλημμένην καὶ πηγαίοις ὕδασιν ἀρδευομένην δαψιλέσι, δένδρα τε καρποφόρα παντοῖα καὶ πολλὴν ἄμπελον αὐτοφυῆ, καὶ ταύτης τὴν πλείστην ἀναδενδράδα. ὑπάρχειν δὲ καὶ πάντα 238 τὸν τόπον εὔπνουν, ἔτι δὲ καθ᾽ ὑπερβολὴν ὑγιεινόν· καὶ διὰ τοῦτο τοὺς ἐν αὐτῷ κατοικοῦντας μακροβιωτάτους ὑπάρχειν τῶν πλησιοχώρων. εἶναι δὲ τῆς νήσου τὴν μὲν πρώτην εἰσβολὴν αὐλωνοειδῆ, σύσκιον ὑψηλοῖς καὶ πυκνοῖς δένδρεσιν, ὥστε τὸν ἥλιον μὴ παντάπασι διαλάμπειν διὰ τὴν συνάγκειαν, αὐγὴν δὲ μόνην ὁρᾶσθαι φωτός.

69 πάντῃ δὲ κατὰ τὰς παρόδους προχεῖσθαι πηγὰς ὑδάτων τῇ γλυκύτητι διαφόρων, ὥστε τὸν τόπον εἶναι τοῖς βουλομένοις ἐνδιατρῖψαι προσηνέστατον. ἑξῆς δὲ ὑπάρχειν ἄντρον τῷ μὲν σχήματι κυκλοτερές, τῷ δὲ μεγέθει καὶ τῷ κάλλει θαυμαστόν. ὑπερκεῖσθαι γὰρ αὐτοῦ πανταχῇ κρημνὸν πρὸς ὕψος ἐξαίσιον, πέτρας ἔχοντα τοῖς χρώμασι διαφόρους· ἐναλλὰξ γὰρ ἀποστίλβειν τὰς μὲν θαλαττίαις πορφύραις τὴν χρόαν ἐχούσας παραπλήσιον, τὰς δὲ κυανῷ, τινὰς δ᾽ ἄλλαις φύσεσι περιλαμπομέναις, ὥστε μηδὲν εἶναι χρῶμα τῶν ἑωραμένων παρ᾽ ἀνθρώποις περὶ τὸν τόπον ἀθεώρητον. πρὸ δὲ τῆς εἰσόδου πεφυκέναι δένδρα θαυμαστά, τὰ μὲν κάρπιμα, τὰ δὲ ἀειθαλῆ, πρὸς αὐτὴν μόνην τὴν ἀπὸ τῆς θέας τέρψιν ὑπὸ τῆς φύσεως δεδημιουργημένα· ἐν δὲ τούτοις

1. τὴν τῆς Ῥέας D, caeteri τὴν Ῥέας 2. Νῦσαν] Νύσαν omnes 4. περιεχομένῃ] περιεχομένην D 6. Νυσίας ADE Poggius, caeteri Νυσείας: id quod ante πύλας ponere perhibentur AE 8. πηγαίοις] κηπαίοις A, κηπείοις BC, κηπίοις D, κήποις EQ, caeteri κηπείαις ἀρδευομένην ABCDEQ, caeteri ἀρδευομέναις: Poggius amoenis pratis distinctam et multis irriguam aquis 9. δένδρα] δένδρη C 11. πάντα τὸν τόπον] παντοδαπὸν C, caeteri πάντα τόπον

238. 13. κατοικοῦντας BCDEQ, caeteri βιοῦντας 14. αὐλωνοειδῆ] αὐλονοειδῆ D 16. συνάγκειαν] συνέγγειαν AB, συνέχειαν FGMQ 21. κυκλοτερές] ἠγκλοτερές C, κυκλωτερές D

23. πανταχῇ] πανταχοῦ AB 24. διαφόρους] διάφορον FG 25. θαλαττίαις πορφύραις] θαλαττίᾳ πορφύρᾳ D, θαλαττίας πορφύρᾳ C ἐχούσας] ἐχούσαις D 26. κυανῷ] κοιάνῳ D 27. περιλαμπομέναις Wesselingius: libri περιλαμπομένας χρῶμα τῶν] χρωμάτων D 30. μόνην A, caeteri μόνον

ἐννοττεύειν ὄρνεα παντοδαπὰ ταῖς φύσεσιν, ἃ τὴν χρόαν ἔχειν ἐπιτερπῆ καὶ τὴν μελῳδίαν προςηνεστάτην. διὸ καὶ πάντα τὸν τόπον ὑπάρχειν μὴ μόνον θεοπρεπῆ κατὰ τὴν πρόςοψιν ἀλλὰ καὶ κατὰ τὸν ἦχον, ὡς ἂν τῆς αὐτοδιδάκτου γλυκυφωνίας νικώσης τὴν ἐναρμόνιον τῆς τέχνης μελῳδίαν. διελθόντι δὲ τὴν εἴςοδον θεωρεῖσθαι μὲν ἄντρον ἀναπεπταμένον καὶ τῇ κατὰ τὸν ἥλιον αὐγῇ περιλαμπόμενον, ἄνθη τε παντοδαπὰ πεφυκότα, καὶ μάλιστα τήν τε κασίαν καὶ τἄλλα τὰ δυνάμενα δι' ἐνιαυτῶν διαφυλάττειν τὴν εὐωδίαν· ὁρᾶσθαι δὲ καὶ νυμφῶν εὐνὰς ἐν αὐτῷ πλείους ἐξ ἀνθῶν παντοδαπῶν, οὐ χειροποιήτους ἀλλ' ὑπ' αὐτῆς τῆς φύσεως ἀνειμένας θεοπρεπῶς. κατὰ πάντα δὲ τὸν τῆς περιφερείας κύκλον οὔτ' ἄνθος οὔτε φύλλον πεπτωκὸς ὁρᾶσθαι. διὸ καὶ τοῖς θεωμένοις οὐ μόνον ἐπιτερπῆ φαίνεσθαι τὴν πρόςοψιν ἀλλὰ καὶ
70 τὴν εὐωδίαν προςηνεστάτην. εἰς τοῦτο οὖν τὸ ἄντρον τὸν Ἄμμωνα παραγενόμενον παραθέσθαι τὸν παῖδα καὶ παραδοῦναι τρέφειν Νύσῃ μιᾷ τῶν Ἀρισταίου θυγατέρων. ἐπιστάτην δ' αὐτοῦ τάξαι τὸν Ἀρισταῖον, ἄνδρα συνέσει καὶ σωφροσύνῃ καὶ πάσῃ παιδείᾳ διαφέροντα. πρὸς δὲ τὰς ἀπὸ τῆς μητρυιᾶς Ῥέας ἐπιβουλὰς φύλακα τοῦ παιδὸς καταστῆσαι τὴν Ἀθηνᾶν, μικρὸν πρὸ τούτων τῶν χρόνων γηγενῆ φανεῖσαν ἐπὶ τοῦ Τρίτωνος ποταμοῦ, δι' ὃν καὶ Τριτωνίδα προςηγορεῦσθαι. μυθολογοῦσι δὲ τὴν θεὸν ταύτην ἑλομένην τὸν πάντα χρόνον τὴν παρθενίαν σωφροσύνῃ διενεγκεῖν, καὶ τὰς
πλείστας τῶν τεχνῶν ἐξευρεῖν, ἀγχίνουν οὖσαν καθ' 239
ὑπερβολήν· ζηλῶσαι δὲ καὶ τὰ κατὰ τὸν πόλεμον, ἀλκῇ καὶ ῥώμῃ διαφέρουσαν. ἄλλα τε πολλὰ πρᾶξαι μνήμης ἄξια καὶ τὴν αἰγίδα προςαγορευομένην ἀνελεῖν, θηρίον τι καταπληκτικὸν καὶ παντελῶς δυςκαταγώνιστον· γηγενὲς γὰρ ὑπάρχον καὶ φυσικῶς ἐκ τοῦ στόματος ἄπλετον ἐκβάλλον φλόγα τὸ μὲν πρῶτον φανῆναι περὶ τὴν Φρυγίαν, καὶ κατακαῦσαι τὴν χώραν, ἣν μέχρι τοῦ νῦν

32. ἐννοττεύειν] libri ἐννοσεύειν 35. πρόςοψιν ABC(D)EFGQ, caeteri ὄψιν καὶ κατὰ D, caeteri καὶ 40. κασίαν] κασσίαν B Poggius 41. ἐνιαυτῶν] ἑαυτῶν ABD 43. ὑπ' ABD, caeteri ἐξ 44. ἀνειμένας] ἀνειρημένας FG δὲ omisit D 53. μητρυιᾶς] μητρηᾶς A, μητρυᾶς D 55. γηγενῆ] γεγενημένην QV, γεγεννημένην E, nisi error est Wesselingii, idem ex Q falso afferentis 56. καὶ omisit ADFG Τριτωνίδα] Τριτογένειαν E et margo C, Τριτοαυγένει Q, Τριγωνίδα F, Τριτώνιδα D 57. θεὸν] θεὰν C 59. διενεγκεῖν] τε διενεγκεῖν D

239. 61. ἀλκῇ καὶ] ἀλκῇ δὲ καὶ D 65. ἄπλετον] ἄπλαστον E: debuit ἄπλατον 66. περὶ τὴν] περὶ τὰ κατὰ τὴν AB



κατακεκαυμένην Φρυγίαν ὀνομάζεσθαι· ἔπειτ' ἐπελθεῖν τὰ περὶ τὸν Ταῦρον ὄρη, καὶ συνεχῶς κατακαῦσαι τοὺς ἑξῆς δρυμοὺς μέχρι τῆς Ἰνδικῆς. μετὰ δὲ ταῦτα πάλιν ἐπὶ θάλατταν τὴν ἐπάνοδον ποιησάμενον περὶ μὲν τὴν Φοινίκην ἐμπρῆσαι τοὺς κατὰ τὸν Λίβανον δρυμούς, καὶ δι' Αἰγύπτου πορευθὲν ἐπὶ τῆς Λιβύης διελθεῖν τοὺς περὶ τὴν ἑσπέραν τόπους, καὶ τὸ τελευταῖον εἰς τοὺς περὶ τὰ Κεραύνια δρυμοὺς ἐγκατασκῆψαι. ἐπιφλεγομένης δὲ τῆς χώρας πάντῃ, καὶ τῶν ἀνθρώπων τῶν μὲν ἀπολλυμένων, τῶν δὲ διὰ τὸν φόβον ἐκλειπόντων τὰς πατρίδας καὶ μακρὰν ἐκτοπιζομένων, τὴν Ἀθηνᾶν φασι τὰ μὲν συνέσει τὰ δ' ἀλκῇ καὶ ῥώμῃ περιγενομένην ἀνελεῖν τὸ θηρίον, καὶ τὴν δορὰν αὐτοῦ περιαψαμένην φορεῖν τῷ στήθει ἅμα μὲν σκέπης ἕνεκα καὶ τῆς φυλακῆς τοῦ σώματος πρὸς τοὺς ὕστερον κινδύνους, ἅμα δ' ἀρετῆς ὑπόμνημα καὶ δικαίας δόξης. τὴν δὲ μητέρα τοῦ θηρίου γῆν ὀργισθεῖσαν ἀνεῖναι τοὺς ὀνομαζομένους γίγαντας ἀντιπάλους τοῖς θεοῖς, οὓς ὕστερον ὑπὸ Διὸς ἀναιρεθῆναι, συναγωνιζομένης Ἀθηνᾶς καὶ Διονύσου μετὰ τῶν ἄλλων θεῶν. οὐ μὴν ἀλλὰ τὸν Διόνυσον ἐν τῇ Νύσῃ τρεφόμενον καὶ μετέχοντα τῶν καλλίστων ἐπιτηδευμάτων μὴ μόνον γενέσθαι τῷ κάλλει καὶ τῇ ῥώμῃ διάφορον, ἀλλὰ καὶ φιλότεχνον καὶ πρὸς πᾶν τὸ χρήσιμον εὑρετικόν. ἐπινοῆσαι γὰρ αὐτὸν ἔτι παῖδα τὴν ἡλικίαν ὄντα τοῦ μὲν οἴνου τὴν φύσιν τε καὶ χρείαν, ἀποθλίψαντα βότρυς τῆς αὐτοφυοῦς ἀμπέλου, τῶν δ' ὡραίων τὰ δυνάμενα ξηραίνεσθαι καὶ πρὸς ἀποθησαυρισμὸν ὄντα χρήσιμα, μετὰ δὲ ταῦτα καὶ τὰς ἑκάστων κατὰ τρόπον φυτείας εὑρεῖν, καὶ βουληθῆναι τῷ γένει τῶν ἀνθρώπων μεταδοῦναι τῶν ἰδίων εὑρημάτων, ἐλπίσαντα διὰ τὸ μέγεθος τῆς εὐεργεσίας ἀθα-
νάτων τεύξεσθαι τιμῶν. τῆς δὲ περὶ αὐτὸν ἀρετῆς τε 71
καὶ δόξης διαδιδομένης λέγεται τὴν Ῥέαν ὀργισθεῖσαν Ἄμμωνι φιλοτιμηθῆναι λαβεῖν ὑποχείριον τὸν Διόνυσον. οὐ δυναμένην δὲ κρατῆσαι τῆς ἐπιβολῆς τὸν μὲν Ἄμμωνα καταλιπεῖν, ἀπαλλαγεῖσαν δὲ πρὸς τοὺς ἀδελφοὺς

69. ὄρη καὶ συνεχῶς] ὄρη συνεχῶς καὶ D 70. ἐπὶ θάλατταν omittunt FGM, asterisco notavit Stephanus 73. τῆς Λιβύης ABC(D)E, caeteri τὴν Λιβύην 75. ἐγκατασκῆψαι BD, caeteri κατασκῆψαι 77. ἐκλειπόντων] ἐκλιπόντων CD 84. ὀνομαζομένους AB(D), caeteri ὠνομασμένους 87. Νύσῃ] Νύσσῃ FG semper 89. καὶ φιλότεχνον post ἀλλὰ ponunt AB(D), ante ἀλλὰ caeteri 91. φύσιν τε καὶ] φύσιν καὶ τὴν A 93. δυνάμενα] δυνάμενα μὲν D 95. τρόπον B(D)E, caeteri τόπον γένει] γένη D 97. τεύξεσθαι D, caeteri τεύξασθαι 2. ἐπιβολῆς] ἐπιβουλῆς FG

Τιτᾶνας συνοικῆσαι Κρόνῳ τῷ ἀδελφῷ· τοῦτον δ' ὑπὸ τῆς Ῥέας πεισθέντα στρατεῦσαι μετὰ τῶν Τιτάνων ἐπ' Ἄμμωνα, καὶ γενομένης παρατάξεως τὸν μὲν Κρόνον ἐπὶ τοῦ προτερήματος ὑπάρξαι, τὸν δὲ Ἄμμωνα σιτοδείᾳ πιεζόμενον φυγεῖν εἰς Κρήτην, καὶ γήμαντα τῶν τότε 240 βασιλευόντων Κουρήτων ἑνὸς θυγατέρα Κρήτην δυναστεῦσαί τε τῶν τόπων καὶ τὸ πρὸ τοῦ τὴν νῆσον Ἰδαίαν καλουμένην ἀπὸ τῆς γυναικὸς ὀνομάσαι Κρήτην. τὸν δὲ Κρόνον μυθολογοῦσι κρατήσαντα τῶν Ἀμμωνίων τόπων, τούτων μὲν ἄρχειν πικρῶς, ἐπὶ δὲ τὴν Νῦσαν καὶ τὸν Διόνυσον στρατεῦσαι μετὰ πολλῆς δυνάμεως. τὸν δὲ Διόνυσον πυθόμενον τά τε τοῦ πατρὸς ἐλαττώματα καὶ τὴν τῶν Τιτάνων ἐπ' αὐτὸν συνδρομὴν ἀθροῖσαι στρατιώτας ἐκ τῆς Νύσης, ὧν εἶναι συντρόφους διακοσίους, διαφόρους τῇ τε ἀλκῇ καὶ τῇ πρὸς αὐτὸν εὐνοίᾳ· προςλαβέσθαι δὲ καὶ τῶν πλησιοχώρων τούς τε Λίβυας καὶ τὰς Ἀμαζόνας, περὶ ὧν προειρήκαμεν ὅτι δοκοῦσιν ἀλκῇ διενεγκεῖν, καὶ πρῶτον μὲν στρατείαν ὑπερόριον στείλασθαι· πολλὴν δὲ τῆς οἰκουμένης τοῖς ὅπλοις καταστρέψασθαι. μάλιστα δ' αὐτάς φασι παρορμῆσαι πρὸς τὴν συμμαχίαν Ἀθηνᾶν διὰ τὸν ὅμοιον τῆς προαιρέσεως ζῆλον, ὡς ἂν τῶν Ἀμαζόνων ἀντεχομένων ἐπὶ πολὺ τῆς ἀνδρείας καὶ παρθενίας. διῃρημένης δὲ τῆς δυνάμεως, καὶ τῶν μὲν ἀνδρῶν στρατηγοῦντος Διονύσου, τῶν δὲ γυναικῶν τὴν ἡγεμονίαν ἐχούσης Ἀθηνᾶς, προςπεσόντας μετὰ τῆς στρατιᾶς τοῖς Τιτᾶσι συνάψαι μάχην. γενομένης δὲ παρατάξεως ἰσχυρᾶς, καὶ πολλῶν παρ' ἀμφοτέροις πεσόντων, τρωθῆναι μὲν τὸν Κρόνον, ἐπικρατῆσαι δὲ τὸν Διόνυσον ἀριστεύσαντα κατὰ τὴν μάχην. μετὰ δὲ ταῦτα τοὺς μὲν Τιτᾶνας φυγεῖν εἰς τοὺς κατακτηθέντας ὑπὸ τῶν περὶ τὸν Ἄμμωνα τόπους, τὸν δὲ Διόνυσον ἀθροίσαντα πλῆθος αἰχμαλώτων ἐπανελθεῖν εἰς τὴν Νῦσαν. ἐνταῦθα δὲ τὴν δύναμιν περιστήσαντα καθωπλισμένην τοῖς ἁλοῦσι κατηγορίαν ποιήσασθαι τῶν Τιτάνων, καὶ πᾶσαν ὑπόνοιαν καταλιπεῖν ὡς μέλλοντα κατακόπτειν τοὺς αἰχμαλώτους. ἀπολύσαντος δ' αὐτοὺς τῶν ἐγκλημάτων καὶ τὴν ἐξουσίαν δόντος εἴτε συστρατεύειν εἴτε ἀπιέναι βούλοιντο, πάντας ἑλέσθαι συστρατεύειν· διὰ δὲ τὸ παράδοξον τῆς σωτηρίας προςκυνεῖν αὐτὸν ὡς θεόν. τὸν δὲ Διόνυσον παράγοντα καθ' ἕνα τῶν αἰχμαλώτων καὶ διδόντα σπονδὴν οἴνου πάντας ἐξορκῶσαι συστρατεύειν ἀδόλως καὶ μέχρι τελευτῆς βεβαίως διαγωνιεῖσθαι· διὸ καὶ τούτων πρώτων ὑποσπόνδων ὀνομασθέντων τοὺς μεταγενεστέρους ἀπομιμουμένους τὰ τότε πραχθέντα τὰς ἐν τοῖς πολέμοις διαλύσεις σπονδὰς προςαγορεύειν. 72 τοῦ δ' οὖν Διονύσου μέλλοντος στρατεύειν ἐπὶ τὸν Κρόνον καὶ τῆς δυνάμεως ἐκ τῆς Νύσης ἐξιούσης, μυθολογοῦσιν Ἀρισταῖον τὸν ἐπιστάτην αὐτοῦ θυσίαν τε παραστῆσαι καὶ πρῶτον ἀνθρώπων ὡς θεῷ Διονύσῳ θῦσαι. συστρατεῦσαι δέ φασι καὶ τῶν Νυσαίων τοὺς εὐγενεστάτους, οὓς ὀνομάζεσθαι 241 Σειληνούς. πρῶτον γὰρ τῶν ἁπάντων βασιλεῦσαί φασι τῆς Νύσης Σειληνόν, οὗ τὸ γένος ὅθεν ἦν ὑπὸ πάντων ἀγνοεῖσθαι διὰ τὴν ἀρχαιότητα. ἔχοντος δ' αὐτοῦ κατὰ τὴν ὀσφὺν οὐράν, διατελέσαι καὶ τοὺς ἐκγόνους τὸ παράσημον τοῦτο φοροῦντας διὰ τὴν τῆς φύσεως κοινωνίαν. τὸν δ' οὖν Διόνυσον ἀναζεύξαντα μετὰ τῆς δυνάμεως, καὶ διελθόντα πολλὴν μὲν ἄνυδρον χώραν, οὐκ ὀλίγην δ' ἔρημον καὶ θηριώδη, καταστρατοπεδεῦσαι περὶ πόλιν Λιβυκὴν τὴν ὀνομαζομένην Ζάβιρναν. πρὸς δὲ ταύτῃ γηγενὲς ὑπάρχον θηρίον καὶ πολλοὺς ἀναλίσκον τῶν ἐγχωρίων, τὴν ὀνομαζομένην κάμπην, ἀνελεῖν καὶ μεγάλης τυχεῖν δόξης ἐπ' ἀνδρείᾳ παρὰ τοῖς ἐγχωρίοις. ποιῆσαι δ' αὐτὸν καὶ χῶμα παμμέγεθες ἐπὶ τῷ φονευθέντι θηρίῳ, βουλόμενον ἀθάνατον ἀπολιπεῖν ὑπόμνημα τῆς ἰδίας ἀρετῆς, τὸ καὶ διαμεῖναι μέχρι τῶν νεωτέρων χρόνων. ἔπειτα τὸν μὲν Διόνυσον προάγειν πρὸς τοὺς Τιτᾶνας, εὐτάκτως ποιούμενον τὰς ὁδοιπορίας καὶ πᾶσι τοῖς ἐγχωρίοις φιλανθρώπως προςφερόμενον καὶ τὸ σύνολον ἑαυτὸν ἀποφαινόμενον στρατεύειν ἐπὶ κολάσει μὲν

5. μετὰ τῶν Τιτάνων ABCD Poggius, caeteri μετ' αὐτῶν 7. σιτοδείᾳ om. CE πιεζόμενον] πιεζούμενον D

240. 12. Ἀμμωνίων] Ἀμμωνειων E 13. Νῦσαν] Νύσαν omnes 17. διακοσίους] διακόνους M 20. στρατείαν A, στρατιάν D, caeteri στρατείαν πολλὴν 22. αὐτάς] αὐταῖς AD 29. ἀμφοτέροις AB(D)F, caeteri ἀμφοτέρων 32. τῶν] τοὺς B 34. Νῦσαν] Νύσαν omnes



41. αὐτὸν Reiskius: libri αὐτοὺς 43. ἐξορκῶσαι ABD, caeteri ἐξορκίσαι 44. ἀδόλως] δ' ὅλως A 51. θυσίαν] θυσίας BD παραστῆσαι] κατασκευάσαι B 52. Διονύσῳ omisit D 53. Νυσαίων BDEQ, Νυσσαέων F, caeteri Νυσαέων, Niscorum Poggius 54. Σειληνούς] Σιλίνους C, Σιλήνους D, caeteri Σιληνούς

241. 55. τῆς Νύσης omisit D Σειληνόν] Σίλινον C, Σιλῆνον D, caeteri Σιληνόν οὗ] οὗτος ABD 58. ἐκγόνους AD, caeteri ἐγγόνους 60. πολλὴν μὲν ἄνυδρον] τὴν ἄνυδρον AD 63. Ζάβιρναν] Καμίρναν A, Καβίρναν D, Ζακίραν EQV, Zambyrram Poggius Wesselingii, Zambirram meus 66. τοῖς ἐγχωρίοις omisit M 68. ἀπολιπεῖν BCD, caeteri ὑπολιπεῖν 69. τὸ — χρόνων omisit A 70. προάγειν ABD, caeteri προςάγειν πρὸς om. ABD

τῶν ἀσεβῶν, εὐεργεσίᾳ δὲ τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων. τοὺς δὲ Λίβυας θαυμάζοντας τὴν εὐταξίαν καὶ τὸ τῆς ψυχῆς μεγαλοπρεπές, τροφάς τε παρέχεσθαι τοῖς ἀνθρώποις δαψιλεῖς καὶ συστρατεύειν προθυμότατα. συνεγγιζούσης δὲ τῆς δυνάμεως τῇ πόλει τῶν Ἀμμωνίων τὸν Κρόνον πρὸ τοῦ τείχους παρατάξει λειφθέντα τὴν μὲν πόλιν νυκτὸς ἐμπρῆσαι, σπεύδοντα εἰς τέλος καταφθεῖραι τοῦ Διονύσου τὰ πατρῷα βασίλεια, αὐτὸν δ' ἀναλαβόντα τὴν γυναῖκα Ῥέαν καί τινας τῶν συνηγωνισμένων φίλων λαθεῖν ἐκ τῆς πόλεως διαδράντα. οὐ μὴν τόν γε Διόνυσον ὁμοίαν ἔχειν τούτῳ προαίρεσιν· λαβόντα γὰρ τόν τε Κρόνον καὶ τὴν Ῥέαν αἰχμαλώτους οὐ μόνον ἀφεῖναι τῶν ἐγκλημάτων διὰ τὴν συγγένειαν, ἀλλὰ καὶ παρακαλέσαι τὸν λοιπὸν χρόνον γονέων ἔχειν πρὸς αὐτὸν εὔνοιάν τε καὶ τάξιν καὶ συζῆν τιμωμένους ὑπ' αὐτοῦ μάλιστα πάντων. τὴν μὲν οὖν Ῥέαν διατελέσαι πάντα τὸν βίον ὡς υἱὸν ἀγαπῶσαν, τὸν δὲ Κρόνον ὕπουλον ἔχειν τὴν εὔνοιαν. γενέσθαι δ' αὐτοῖς περὶ τούτους τοὺς χρόνους υἱόν, ὃν προσαγορευθῆναι Δία, τιμηθῆναι δὲ μεγάλως ὑπὸ τοῦ Διονύσου, καὶ δι' ἀρετὴν ἐν τοῖς ὕστερον χρόνοις γενέσθαι πάντων βασιλέα.

73 τῶν δὲ Λιβύων εἰρηκότων αὐτῷ πρὸ τῆς μάχης ὅτι καθ' ὃν καιρὸν ἐξέπεσεν ἐκ τῆς βασιλείας Ἄμμων, τοῖς ἐγχωρίοις προειρηκὼς εἴη τεταγμένοις χρόνοις ἥξειν υἱὸν αὐτοῦ Διόνυσον, καὶ τήν τε πατρῴαν ἀνακτήσεσθαι βασιλείαν καὶ πάσης τῆς οἰκουμένης κυριεύσαντα θεὸν νομισθήσεσθαι, ὑπολαβὼν ἀληθῆ γεγονέναι μάντιν τό τε χρηστήριον ἱδρύσατο τοῦ πατρὸς καὶ τὴν πόλιν οἰκοδομήσας 242 τιμὰς ὥρισεν ὡς θεῷ καὶ τοὺς ἐπιμελησομένους τοῦ μαντείου κατέστησε. παραδεδόσθαι δὲ τὸν Ἄμμωνα σχεῖν κριοῦ κεφαλὴν τετυπωμένην, παράσημον ἐσχηκότος αὐτοῦ τὸ κράνος κατὰ τὰς στρατείας. εἰσὶ δ' οἱ μυθολογοῦντες αὐτῷ πρὸς ἀλήθειαν γενέσθαι φυσι-

79. παρατάξει omittunt CE λειφθέντα] ληφθεὶς (immo opinor ληφθέντα) A 80. μὲν πόλιν D, caeteri πόλιν εἰς] δ' εἰς D καταφθεῖραι] διαφθεῖραι ABD 81. τοῦ Δ. τὰ πατρῷα ABC(D)E, caeteri τὰ Δ. πατρῷα 82. συνηγωνισμένων ABC(D)E, caeteri συναγωνισαμένων 86. ἀφεῖναι] ἀφεθεῖναι A 90. βίον] χρόνον AB 91. ὕπουλον ἔχειν τὴν εὔνοιαν] ὕπουλον εὔνοιαν ἔχειν D 92. ὃν] καὶ AD 97. τοῖς ἐγχωρίοις om. FM, asterisco notat Stephanus 98. ἀνακτήσεσθαι] ἀνακτήσασθαι AD 99. κυριεύσαντα] βασιλεύσαντα ABEGQ 100. νομισθήσεσθαι] ὀνομασθήσεσθαι ABD 1. ἱδρύσατο] ἵδρυσεν τὸ D, ἵδρυσε τε B, omisit FG

242. 4. σχεῖν] ἔχειν BD 5. στρατείας] στρατιάς D 6. αὐτῷ πρὸς ἀλήθειαν] αὐτῶν πρὸς ἀλήθειαν αὐτῷ AB 7. φυσικῶς omisit D



κῶς καθ' ἑκάτερον μέρος τῶν κροτάφων κεράτια· διὸ καὶ τὸν Διόνυσον, υἱὸν αὐτοῦ γεγονότα, τὴν ὁμοίαν ἔχειν πρόσοψιν, καὶ τοῖς ἐπιγινομένοις τῶν ἀνθρώπων παραδεδόσθαι τὸν θεὸν τοῦτον γεγονότα κερατίαν. μετὰ δ' οὖν τὴν τῆς πόλεως οἰκοδομίαν καὶ τὴν περὶ τὸ χρηστήριον κατάστασιν πρῶτόν φασι τὸν Διόνυσον χρήσασθαι τῷ θεῷ περὶ τῆς στρατείας, καὶ λαβεῖν παρὰ τοῦ πατρὸς χρησμὸν ὅτι τοὺς ἀνθρώπους εὐεργετῶν τεύξεται τῆς ἀθανασίας. διὸ καὶ μετεωρισθέντα τῇ ψυχῇ τὸ μὲν πρῶτον ἐπὶ τὴν Αἴγυπτον στρατεῦσαι, καὶ τῆς χώρας καταστῆσαι βασιλέα Δία τὸν Κρόνου καὶ Ῥέας παῖδα, τὴν ἡλικίαν νέον ὄντα. παρακαταστῆσαι δ' αὐτῷ καὶ ἐπιστάτην Ὄλυμπον, ὑφ' οὗ τὸν Δία παιδευθέντα καὶ πρωτεύσαντα κατ' ἀρετὴν Ὀλύμπιον προσαγορευθῆναι. τὸν δ' οὖν Διόνυσον λέγεται διδάξαι τοὺς Αἰγυπτίους τήν τε τῆς ἀμπέλου φυτείαν καὶ τὴν χρῆσιν καὶ τὴν παράθεσιν τοῦ τε οἴνου καὶ τῶν ἀκροδρύων καὶ τῶν ἄλλων καρπῶν. πάντῃ δὲ διαδιδομένης περὶ αὐτοῦ φήμης ἀγαθῆς μηδένα καθάπερ πρὸς πολέμιον ἀντιτάττεσθαι, πάντας δὲ προθύμως ὑπακούοντας ἐπαίνοις καὶ θυσίαις ὡς θεὸν τιμᾶν. τῷ δ' αὐτῷ τρόπῳ ἐπελθεῖν φασι τὴν οἰκουμένην, ἐξημεροῦντα μὲν τὴν χώραν ταῖς φυτείαις, εὐεργετοῦντα δὲ τοὺς λαοὺς μεγάλαις τιμαῖς καὶ χάρισι πρὸς τὸν αἰῶνα. διὸ καὶ πάντας τοὺς ἀνθρώπους ἐν ταῖς πρὸς τοὺς ἄλλους θεοὺς τιμαῖς οὐχ ὁμοίαν ἔχοντας προαίρεσιν ἀλλήλοις σχεδὸν ἐπὶ μόνου τοῦ Διονύσου συμφωνουμένην ἀποδεικνύειν μαρτυρίαν τῆς ἀθανασίας. οὐδένα γὰρ οὔθ' Ἑλλήνων οὔτε βαρβάρων ἄμοιρον εἶναι τῆς τούτου δωρεᾶς καὶ χάριτος, ἀλλὰ καὶ τοὺς ἀπηγριωμένην ἔχοντας χώραν ἢ πρὸς φυτείαν ἀμπέλου παντελῶς ἀπηλλοτριωμένην μαθεῖν τὸ κατασκευαζόμενον ἐκ τῶν κριθῶν πόμα, βραχὺ λειπόμενον τῆς περὶ τὸν οἶνον εὐωδίας. τὸν δ' οὖν Διόνυσόν φασι τὴν κατάβασιν ἐκ τῆς Ἰνδικῆς ἐπὶ τὴν θάλατταν ταχεῖαν ποιησάμενον καταλαβεῖν ἅπαντας τοὺς Τιτᾶνας ἠθροικότας δυνάμεις καὶ διαβεβηκότας εἰς Κρήτην ἐπ' Ἄμ-

8. διὸ καὶ CDE, caeteri διὰ τοῦτο 13. καὶ λαβεῖν] καταλαβεῖν FG 16. στρατεῦσαι] στροπεδεῦσαι sic AB 19. ὑφ'] ἀφ' ABD 22. τῆς ἀμπέλου] τοῦ ἀμπέλου B 24. τῶν ἄλλων AB, τὴν τῶν ἄλλων D, caeteri τινων ἄλλων 26. πολέμιον ABC(D)E, caeteri πόλεμον ἀντιτάττεσθαι D, caeteri ἀντιτάσσεσθαι 28. ἐπελθεῖν φασι] φασὶν ἐπελθεῖν D 29. λαοὺς] ἄλλους AD 30. τιμαῖς] vocabulo ex sequentibus illato δωρεαῖς substituit Rhodomannus 34. οὐδένα] οὐθένα omnes 40. ταχεῖαν omisit D

μωνα. προςβεβοηθηκότος δὲ καὶ τοῦ Διὸς ἐκ τῆς Αἰγύπτου τοῖς περὶ τὸν Ἄμμωνα, καὶ πολέμου μεγάλου συνεστῶτος ἐν τῇ νήσῳ, ταχέως καὶ τοὺς περὶ τὸν Διόνυσον καὶ τὴν Ἀθηνᾶν καί τινας τῶν ἄλλων θεῶν νομισθέντων συνδραμεῖν εἰς Κρήτην. γενομένης δὲ παρα- 243 τάξεως μεγάλης ἐπικρατῆσαι τοὺς περὶ τὸν Διόνυσον καὶ πάντας ἀνελεῖν τοὺς Τιτᾶνας. μετὰ δὲ ταῦτα Ἄμμωνος καὶ Διονύσου μεταστάντων ἐκ τῆς ἀνθρωπίνης φύσεως εἰς τὴν ἀθανασίαν τὸν Δία φασὶ βασιλεῦσαι τοῦ σύμπαντος κόσμου, κεκολασμένων τῶν Τιτάνων, καὶ μηδενὸς ὄντος τοῦ τολμήσοντος δι' ἀσέβειαν ἀμφισβητῆσαι τῆς ἀρχῆς.

74 Τὸν μὲν οὖν πρῶτον Διόνυσον ἐξ Ἄμμωνος καὶ Ἀμαλθείας γενόμενον τοιαύτας οἱ Λίβυες ἱστοροῦσιν ἐπιτελέσασθαι πράξεις· τὸν δὲ δεύτερόν φασιν ἐξ Ἰοῦς τῆς Ἰνάχου Διὶ γενόμενον βασιλεῦσαι μὲν τῆς Αἰγύπτου, καταδεῖξαι δὲ τὰς τελετάς· τελευταῖον δὲ τὸν ἐκ Διὸς καὶ Σεμέλης τεκνωθέντα παρὰ τοῖς Ἕλλησι ζηλωτὴν γενέσθαι τῶν προτέρων. τὰς δ' ἀμφοτέρων προαιρέσεις μιμησάμενον στρατεῦσαι μὲν ἐπὶ πᾶσαν τὴν οἰκουμένην, στήλας δ' οὐκ ὀλίγας ἀπολιπεῖν τῶν ὅρων τῆς στρατείας· καὶ τὴν μὲν χώραν ἐξημεροῦν ταῖς φυτείαις, στρατιώτιδας δ' ἐπιλέξασθαι γυναῖκας, καθάπερ καὶ ὁ παλαιὸς τὰς Ἀμαζόνας. ἐνεργῆσαι δ' ἐπὶ πλεῖον καὶ τὰ περὶ τοὺς ὀργιασμούς, καὶ τελετὰς ἃς μὲν μεταθεῖναι πρὸς τὸ κρεῖττον, ἃς δ' ἐπινοῆσαι. διὰ δὲ τὸ πλῆθος τοῦ χρόνου τῶν προτέρων εὑρετῶν ἀγνοηθέντων ὑπὸ τῶν πολλῶν τοῦτον κληρονομῆσαι τὴν τῶν προγενεστέρων προαίρεσίν τε καὶ δόξαν. οὐκ ἐπὶ τούτου δὲ μόνον συμβῆναι τὸ προειρημένον ἀλλὰ καὶ μετὰ ταῦτα ἐφ' Ἡρακλέους. δυοῖν γὰρ ὄντων τῶν προγενεστέρων τῶν τὴν αὐτὴν ἐσχηκότων προςηγορίαν, τὸν μὲν ἀρχαιότατον Ἡρακλέα μυθολογεῖσθαι γεγονέναι παρ' Αἰγυπτίοις, καὶ πολλὴν τῆς οἰκουμένης τοῖς ὅπλοις καταστρεψάμενον θέσθαι τὴν ἐπὶ τῆς Λιβύης στήλην· τὸν δὲ δεύτερον ἐκ

43. προςβεβοηθηκότος BC(D), caeteri προςβεβηκότος: *subsidium tulere* Poggius 47. συνδραμεῖν] δραμεῖν A

243. 50. μεταστάντων] μεταστάντος A 55. Ἀμαλθείας] Ἀμαλθίας libri, quem tanquam typothetae errorem in addendis corrigi iubet Stephanus: *Amalthea* Poggius 61. τὰς δ' ἀμφοτέρων] τὸν δ' ἀμφοτέρων B, καὶ τὰς M 64. στρατείας] στρατιᾶς D 65. δ' ἐπιλέξασθαι AB(D)G, caeteri δὲ περιδέξασθαι 67. ὀργιασμούς] ὀργισμοὺς AB τελετὰς ἃς] τελετάς· καὶ τὰς ABD 68. ἃς δ'] τὰς δὲ AB 69. εὑρετῶν] εὐεργετῶν E 72. μόνον] μόνου ABD 73. ὄντων ABFG, caeteri ὄντοιν 74. ἀρχαιότατον AB, caeteri ἀρχαιότερον



Κρήτης ἕνα τῶν Ἰδαίων ὄντα Δακτύλων καὶ γενόμενον γόητα καὶ στρατηγικὸν συστήσασθαι τὸν Ὀλυμπιακὸν ἀγῶνα· τὸν δὲ τελευταῖον μικρὸν πρὸ τῶν Τρωικῶν ἐξ Ἀλκμήνης καὶ Διὸς τεκνωθέντα πολλὴν ἐπελθεῖν τῆς οἰκουμένης, ὑπηρετοῦντα τοῖς Εὐρυσθέως προςτάγμασιν. ἐπιτυχόντα δὲ πᾶσι τοῖς ἄθλοις θέσθαι μὲν καὶ στήλην τὴν ἐπὶ τῆς Εὐρώπης· διὰ δὲ τὴν ὁμωνυμίαν καὶ τὴν τῆς προαιρέσεως ὁμοιότητα χρόνων ἐπιγενομένων τελευτήσαντα κληρονομῆσαι τὰς τῶν ἀρχαιοτέρων πράξεις, ὡς ἑνὸς Ἡρακλέους γεγονότος ἐν παντὶ τῷ πρότερον αἰῶνι. ὑπὲρ δὲ τοῦ πλείους Διονύσους γεγονέναι σὺν ἄλλαις ἀποδείξεσι πειρῶνται φέρειν τὴν ἐκ τῆς Τιτανομαχίας· συμφωνουμένου γὰρ παρὰ πᾶσιν ὅτι Διόνυσος τῷ Διὶ συνηγωνίσατο τὸν πρὸς τοὺς Τιτᾶνας πόλεμον, οὐδαμῶς πρέπειν φασὶ τὴν τῶν Τιτάνων γενεὰν τιθέναι κατὰ τοὺς τῆς Σεμέλης χρόνους 244 οὐδὲ Κάδμον τὸν Ἀγήνορος ἀποφαίνεσθαι πρεσβύτερον εἶναι τῶν Ὀλυμπίων θεῶν. οἱ μὲν οὖν Λίβυες περὶ Διονύσου τοιαῦτα μυθολογοῦσιν· ἡμεῖς δὲ τὴν ἐν ἀρχῇ πρόθεσιν τετελεκότες αὐτοῦ περιγράψομεν τὴν τρίτην βίβλον.

78. Ἰδαίων] Ἰουδαίων B 79. γόητα] γενναῖον ABD Ὀλυμπιακὸν ABD, caeteri Ὀλυμπικὸν 83. προςτάγμασιν] προςτάγμασι omnes 86. ἀρχαιοτέρων ABC(D)EQ, caeteri ἀρχαίων 88. πρότερον] προτέρῳ EQV 90. τὴν] καὶ τὴν A, τὸν D 92. τῶν Τιτάνων C(D), caeteri Τιτάνων

244. 97. τετελεκότες ABD, caeteri τετελειωκότες περιγράψομεν Wesselingius: libri παραγράψομεν

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ 245

## ΕΝ ΤΗΙ ΤΕΤΑΡΤΗΙ ΤΩΝ ΔΙΟΔΩΡΟΥ

## ΒΙΒΛΩΝ.

α'. Προοίμιον περὶ τῶν παρὰ τοῖς Ἕλλησιν ἱστορουμένων κατὰ τοὺς ἀρχαιοτάτους χρόνους περὶ τῶν ἐπιφανεστάτων ἡρώων τε καὶ ἡμιθέων καὶ καθόλου τῶν κατὰ πόλεμόν ἀξιόλογόν τι κατειργασμένων.

β'. Περὶ Διονύσου, Πριάπου, Ἑρμαφροδίτου καὶ Μουσῶν.

γ'. Περὶ Ἡρακλέους καὶ τῶν δώδεκα ἄθλων καὶ τῶν ἄλλων τῶν πραχθέντων ὑπ' αὐτοῦ μέχρι τῆς ἀποθεώσεως.

δ'. Περὶ τῶν Ἀργοναυτῶν καὶ Μηδείας καὶ τῶν Πελίου θυγατέρων.

ε'. Περὶ τῶν ἀπογόνων τοῦ Ἡρακλέους.

ϛ'. Περὶ Θησέως καὶ τῶν ἄθλων αὐτοῦ.

ζ'. Περὶ τῶν ἑπτὰ ἐπὶ Θήβας.

η'. Περὶ τῶν ἐπιγόνων τῶν ἑπτὰ ἐπὶ Θήβας.

θ'. Περὶ Νηλέως καὶ τῶν ἀπογόνων αὐτοῦ.

ι'. Περὶ Λαπιθῶν καὶ Κενταύρων.

ια'. Περὶ Ἀσκληπιοῦ καὶ τῶν ἀπογόνων αὐτοῦ.

ιβ'. Περὶ τῶν Ἀσωποῦ θυγατέρων καὶ τῶν Αἰακῷ γενομένων υἱῶν.

ιγ'. Περὶ Πέλοπος καὶ Ταντάλου καὶ Οἰνομάου καὶ Νιόβης.

245. inscr. τάδε — βίβλων] πίναξ τῆς τετάρτης τῶν Δ. βίβλων A    1. παρὰ τοῖς — 2. χρόνους] μυθολογουμένων παρὰ τοῖς ἱστοριογράφοις ABCDEQ Poggius    3. περὶ — 5. κατειργασμένων om. ABCDE Poggius, asterisco notavit Stephanus, interpunctione ab χρόνους separant caeteri, quod inepte fieri docet p. 247. 42.    6. Πριάπου] καὶ Πριάπου καὶ D    8. ἀποθεώσεως] ἀποθέσεως B    9. καὶ Μ. ADE Poggius, caeteri περί τε Μ. 11. περὶ τῶν ἀπογόνων τοῦ Ἡρακλέους B(D)EQ Poggius, caeteri περὶ τῶν τοῦ Ἡρακλέους υἱῶν καὶ ἄλλων Ἡρακλειδῶν ἤτοι ἀπογόνων    13. τῶν] στρατευσαμένων subiiciunt ABCDEQ, *septem regibus qui ad Thebas castrametati sunt* Poggius    15. περὶ] καὶ D



ιδ'. Περὶ Δαρδάνου καὶ τῶν ἀπογόνων αὐτοῦ μέχρι Πριάμου.

ιε'. Περὶ Δαιδάλου καὶ Μινωταύρου καὶ τῆς Μίνω στρατείας εἰς Σικελίαν ἐπὶ Κώκαλον τὸν βασιλέα.

ιϛ'. Περὶ Ἀρισταίου καὶ Δάφνιδος καὶ Ἔρυκος ἔτι δὲ Ὠρίωνος.

22. μέχρι Πριάμου ACD, caeteri μέχρι τοῦ Πριάμου    24. Μίνω DE, caeteri Μίνωος    25. εἰς Σικελίαν om. AC Poggius    τὸν βασιλέα D, caeteri βασιλέα    26. περὶ Ἀρ. — 27. Ὠρίωνος om. A    Ἔρυκος] *Euridice* Poggius    ἔτι δὲ CDE, caeteri καὶ

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 246

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

## ΒΙΒΛΟΣ ΤΕΤΑΡΤΗ.

1 Οὐκ ἀγνοῶ μὲν ὅτι τοῖς τὰς παλαιὰς μυθολογίας συντταττομένοις συμβαίνει κατὰ τὴν γραφὴν ἐν πολλοῖς ἐλαττοῦσθαι. ἡ μὲν γὰρ τῶν ἀναγραφομένων ἀρχαιότης δυςεύρετος οὖσα πολλὴν ἀπορίαν παρέχεται τοῖς γράφουσιν, ἡ δὲ τῶν χρόνων ἀπαγγελία τὸν ἀκριβέστατον ἔλεγχον οὐ προςδεχομένη καταφρονεῖν ποιεῖ τῆς ἱστορίας τοὺς ἀναγινώσκοντας· πρὸς δὲ τούτοις ἡ ποικιλία καὶ τὸ πλῆθος τῶν γενεαλογουμένων ἡρώων τε καὶ ἡμιθέων καὶ τῶν ἄλλων ἀνδρῶν δυςέφικτον ἔχει τὴν ἀπαγγελίαν· τὸ δὲ μέγιστον καὶ πάντων ἀτοπώτατον, ὅτι συμβαίνει τοὺς ἀναγεγραφότας τὰς ἀρχαιοτάτας πράξεις τε καὶ μυθολογίας ἀσυμφώνους εἶναι πρὸς ἀλλήλους. διόπερ τῶν μεταγενεστέρων ἱστοριογράφων οἱ πρωτεύοντες τῇ δόξῃ τῆς μὲν ἀρχαίας μυθολογίας ἀπέστησαν διὰ τὴν δυςχέρειαν, τὰς δὲ νεωτέρας πράξεις ἀναγράφειν ἐπεχείρησαν. Ἔφορος μὲν γὰρ ὁ Κυμαῖος, Ἰσοκράτους ὢν μαθητής, ὑποστησάμενος γράφειν τὰς κοινὰς πράξεις, τὰς μὲν παλαιὰς μυθολογίας ὑπερέβη, τὰ δ' ἀπὸ τῆς Ἡρακλειδῶν καθόδου πραχθέντα συνταξάμενος ταύτην ἀρχὴν ἐποιήσατο τῆς ἱστορίας. ὁμοίως δὲ τούτῳ Καλλισθένης καὶ Θεόπομπος, κατὰ τὴν αὐτὴν ἡλικίαν γεγονότες, ἀπέστησαν τῶν παλαιῶν μύθων. ἡμεῖς δὲ τὴν ἐναντίαν τούτοις κρίσιν ἔχοντες, καὶ τὸν ἐκ τῆς ἀναγραφῆς πόνον

246. inscr. βίβλος τετάρτη] βιβλίον τέταρτον F 1. ἀγνοῶ μὲν A, ἀγνῶ μὲν D, caeteri ἀγνοοῦμεν 4. ἐλαττοῦσθαι ABD, caeteri ἐλασσοῦσθαι 6. ἀπορίαν] ἀπορείαν FG 8. ἀπαγγελία] ἐπαγγελία C 10. ἡ ποικιλία] τινὰ ποικιλίαν ABD 12. ἀπαγγελίαν] ἐπαγγελίαν G 14. ἀναγεγραφότας] ἀναγραφότας A, ἀναγράφοντας EGQ ἀρχαιοτάτας BC(D)EGQ, τοιαύτας A, caeteri ἀρχαίας 19. γὰρ DEGQ, et omisso μὲν C, caeteri οὖν



ὑποστάντες, τὴν πᾶσαν ἐπιμέλειαν ἐποιησάμεθα τῆς ἀρχαιολογίας. μέγισται γὰρ καὶ πλεῖσται συνετελέσθησαν πράξεις ὑπὸ τῶν ἡρώων τε καὶ ἡμιθέων καὶ πολλῶν
247 ἄλλων ἀνδρῶν ἀγαθῶν· ὧν διὰ τὰς κοινὰς εὐεργεσίας οἱ μεταγενέστεροι τοὺς μὲν ἰσοθέοις τοὺς δ' ἡρωικαῖς θυσίαις ἐτίμησαν, πάντας δ' ὁ τῆς ἱστορίας λόγος τοῖς καθήκουσιν ἐπαίνοις εἰς τὸν αἰῶνα καθύμνησεν. ἐν μὲν οὖν ταῖς πρὸ ταύτης βίβλοις τρισὶν ἀνεγράψαμεν τὰς παρὰ τοῖς ἄλλοις ἔθνεσι μυθολογουμένας πράξεις καὶ τὰ περὶ θεῶν παρ' αὐτοῖς ἱστορούμενα, πρὸς δὲ τούτοις τὰς τοποθεσίας τῆς παρ' ἑκάστοις χώρας καὶ τὰ φυόμενα παρ' αὐτοῖς θηρία καὶ τἆλλα ζῷα καὶ καθόλου πάντα τὰ μνήμης ἄξια καὶ παραδοξολογούμενα διεξιόντες, ἐν ταύτῃ δὲ τὰ παρὰ τοῖς Ἕλλησιν ἱστορούμενα κατὰ τοὺς ἀρχαιοτάτους χρόνους περὶ τῶν ἐπιφανεστάτων ἡρώων τε καὶ ἡμιθέων καὶ καθόλου τῶν κατὰ πόλεμον ἀξιόλογόν τι κατειργασμένων, ὁμοίως δὲ καὶ τῶν ἐν εἰρήνῃ τι χρήσιμον πρὸς τὸν κοινὸν βίον εὑρόντων ἢ νομοθετησάντων. ποιησόμεθα δὲ τὴν ἀρχὴν ἀπὸ Διονύσου διὰ τὸ καὶ παλαιὸν εἶναι σφόδρα τοῦτον καὶ μεγίστας εὐεργεσίας κατατεθεῖσθαι τῷ γένει τῶν ἀνθρώπων. εἴρηται μὲν οὖν ἡμῖν ἐν ταῖς προειρημέναις βίβλοις ὅτι τινὲς τῶν βαρβάρων ἀντιποιοῦνται τῆς γενέσεως τοῦ θεοῦ τούτου. Αἰγύπτιοι μὲν γὰρ τὸν παρ' αὐτοῖς θεὸν Ὄσιριν ὀνομαζόμενόν φασιν εἶναι τὸν παρ' Ἕλλησι Διόνυσον καλούμενον. τοῦτον δὲ μυθολογοῦσιν ἐπελθεῖν ἅπασαν τὴν οἰκουμένην εὑρετὴν γενόμενον τοῦ οἴνου, καὶ τὴν φυτείαν διδάξαι τῆς ἀμπέλου τοὺς ἀνθρώπους, καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τυχεῖν συμφωνουμένης ἀθανασίας. ὁμοίως δὲ τοὺς Ἰνδοὺς τὸν θεὸν τοῦτον παρ' ἑαυτοῖς ἀποφαίνεσθαι γεγονέναι, καὶ τὰ περὶ τὴν φυτείαν τῆς ἀμπέλου φιλοτεχνήσαντα μεταδοῦναι τῆς τοῦ οἴνου χρήσεως τοῖς κατὰ τὴν οἰκουμένην ἀνθρώποις. ἡμεῖς δὲ κατὰ μέρος τὰ περὶ τούτων εἰρη-

30. καὶ ἡμιθέων om. M ἄλλων om. AD ἀνδρῶν ἀγαθῶν] ἀγαθῶν ἀ. D ὧν D superscripsit eadem, ut videtur, manu

247. 33. θυσίαις] honores ac sacra Poggius, τιμαῖς Wesselingius: conf. ad p. 355. 1. 34. οὖν om. F ταύτης] ταύταις ABD 41. ἀρχαιοτάτους] ἀρχαίους BCDEGQ: v. p. 245. 2. 44. χρήσιμον] χρησίμων E 45. πρὸς ABD, caeteri εἰς 46. ἀρχὴν] γράφειν subiiciunt AD 53. γενόμενον] ὄντα ABD 56. τοὺς] τούτοις BD τὸν θεὸν omittunt FM, asterisco notavit Stephanus 57. καὶ ante (58.) μεταδοῦναι ponit E 60. τὰ omisit F, asterisco notavit Stephanus, malimque ante κατὰ μέρος poni

κότες νῦν τὰ παρὰ τοῖς Ἕλλησι περὶ τοῦ θεοῦ τούτου λεγόμενα διέξιμεν.

2 Κάδμον μὲν γάρ φασι τὸν Ἀγήνορος ἐκ Φοινίκης ὑπὸ τοῦ βασιλέως ἀποσταλῆναι πρὸς ζήτησιν τῆς Εὐρώπης, ἐντολὰς λαβόντα ἢ τὴν παρθένον ἀγαγεῖν ἢ μὴ ἀνακάμπτειν εἰς τὴν Φοινίκην. ἐπελθόντα δὲ πολλὴν χώραν, καὶ μὴ δυνάμενον ἀνευρεῖν, ἀπογνῶναι τὴν εἰς οἶκον ἀνακομιδήν· καταντήσαντα δ᾽ εἰς τὴν Βοιωτίαν κατὰ τὸν παραδεδομένον χρησμὸν κτίσαι τὰς Θήβας. ἐνταῦθα δὲ κατοικήσαντα γῆμαι μὲν Ἁρμονίαν τὴν Ἀφροδίτης, γεννῆσαι δ᾽ ἐξ αὐτῆς Σεμέλην καὶ Ἰνὼ καὶ Αὐτονόην καὶ Ἀγαύην ἔτι δὲ Πολύδωρον. τῇ δὲ Σεμέλῃ διὰ τὸ κάλλος Δία μιγέντα καὶ μεθ᾽ ἡσυχίας ποιούμενον τὰς ὁμιλίας δόξαι καταφρονεῖν αὐτῆς· διόπερ ὑπ᾽ αὐτῆς παρακληθῆναι τὰς ἐπιπλοκὰς ὁμοίας ποιεῖσθαι ταῖς πρὸς τὴν Ἥραν συμπεριφοραῖς. τὸν μὲν οὖν Δία παραγενόμενον θεοπρεπῶς μετὰ βροντῶν καὶ ἀστραπῶν ἐπιφανῶς ποιεῖσθαι τὴν συνουσίαν· τὴν δὲ Σεμέλην ἔγκυον οὖσαν καὶ τὸ μέγεθος τῆς περιστάσεως οὐκ ἐνέγκασαν, 248 τὸ μὲν βρέφος ἐκτρῶσαι, ὑπὸ δὲ τοῦ πυρὸς αὐτὴν τελευτῆσαι. ἔπειτα τὸ παιδίον ἀναλαβόντα τὸν Δία παραδοῦναι τῷ Ἑρμῇ, καὶ προστάξαι τοῦτο μὲν ἀποκομίσαι πρὸς τὸ ἄντρον τὸ ἐν τῇ Νύσῃ, κείμενον μεταξὺ Φοινίκης καὶ Νείλου, ταῖς δὲ νύμφαις παραδοῦναι τρέφειν καὶ μετὰ πολλῆς σπουδῆς ἐπιμέλειαν αὐτοῦ ποιεῖσθαι τὴν ἀρίστην. διὸ καὶ τραφέντα τὸν Διόνυσον ἐν τῇ Νύσῃ τυχεῖν τῆς προσηγορίας ταύτης ἀπὸ Διὸς καὶ Νύσης. καὶ τὸν Ὅμηρον δὲ τούτοις μαρτυρῆσαι ἐν τοῖς ὕμνοις ἐν οἷς λέγει

ἔστι δέ τις Νύση, ὕπατον ὄρος, ἀνθέον ὕλῃ,
τηλοῦ Φοινίκης, σχεδὸν Αἰγύπτοιο ῥοάων.

τραφέντα δ᾽ αὐτὸν ὑπὸ τῶν νυμφῶν ἐν τῇ Νύσῃ φασὶν εὑρετὴν τοῦ οἴνου γενέσθαι καὶ τὴν φυτείαν διδάξαι τῆς ἀμπέλου τοὺς ἀνθρώπους. ἐπιόντα δὲ σχεδὸν ὅλην τὴν οἰκουμένην πολλὴν χώραν ἐξημερῶσαι, καὶ διὰ τοῦτο

61. παρὰ τοῖς Ἕλλησι ABC(D)EGQ, caeteri παρὰ τῶν Ἑλλήνων 62. λεγόμενα post Ἕλλησι ponit D διέξιμεν] διέξειμεν D 65. λαβόντα] λαβοῦσαν FG 69. χρησμὸν] χρηματισμὸν A 70. κατοικήσαντα] καταντήσαντα καὶ praeponunt AB 72. Ἀγαύην] Ἀγνύην FG, caeteri Ἀγαυὴν Πολύδωρον] Πολυδώρην FGQ 74. δόξαι] δόξαν G 76. πρὸς] περὶ AB 78. ποιεῖσθαι BE, caeteri ποιῆσαι

248. 86. ποιεῖσθαι ABD, caeteri ποιήσασθαι 87. Νύσῃ] Νύσσῃ ubique FG 89. τούτοις] τοῦτο BD μαρτυρῆσαι] μαρτυρήσας F ἐν οἷς om. F 94. εὑρετὴν] εὑρετήν τε D 95. ὅλην BDE, caeteri πᾶσαν



τυχεῖν παρὰ πᾶσι μεγίστων τιμῶν. εὑρεῖν δ᾽ αὐτὸν καὶ τὸ ἐκ τῆς κριθῆς κατασκευαζόμενον πόμα, τὸ προσαγορευόμενον μὲν ὑπ᾽ ἐνίων ζῦθος, οὐ πολὺ δὲ λειπόμενον τῆς περὶ τὸν οἶνον εὐωδίας. τοῦτο δὲ διδάξαι τοὺς χώραν ἔχοντας μὴ δυναμένην ἐπιδέχεσθαι τὴν τῆς ἀμπέλου φυτείαν. περιάγεσθαι δ᾽ αὐτὸν καὶ στρατόπεδον οὐ μόνον ἀνδρῶν ἀλλὰ καὶ γυναικῶν, καὶ τοὺς ἀδίκους καὶ ἀσεβεῖς τῶν ἀνθρώπων κολάζειν. καὶ κατὰ μὲν τὴν Βοιωτίαν ἀποδιδόντα τῇ πατρίδι χάριτας ἐλευθερῶσαι πάσας τὰς πόλεις, καὶ κτίσαι πόλιν ἐπώνυμον τῆς αὐτονομίας, ἣν Ἐλευθερὰς προσαγορεῦσαι.

3 στρατεύσαντα δ᾽ εἰς τὴν Ἰνδικὴν τριέτει χρόνῳ τὴν ἐπάνοδον εἰς τὴν Βοιωτίαν ποιήσασθαι, κομίζοντα μὲν λαφύρων ἀξιόλογον πλῆθος, καταγαγεῖν δὲ πρῶτον τῶν ἁπάντων θρίαμβον ἐπ᾽ ἐλέφαντος Ἰνδικοῦ. καὶ τοὺς μὲν Βοιωτοὺς καὶ τοὺς ἄλλους Ἕλληνας καὶ Θρᾷκας ἀπομνημονεύοντας τῆς κατὰ τὴν Ἰνδικὴν στρατείας καταδεῖξαι τὰς τριετηρίδας θυσίας Διονύσῳ, καὶ τὸν θεὸν νομίζειν κατὰ τὸν χρόνον τοῦτον ποιεῖσθαι τὰς παρὰ τοῖς ἀνθρώποις ἐπιφανείας. διὸ καὶ παρὰ πολλαῖς τῶν Ἑλληνίδων πόλεων διὰ τριῶν ἐτῶν βακχεῖά τε γυναικῶν ἀθροίζεσθαι καὶ ταῖς παρθένοις νόμιμον εἶναι θυρσοφορεῖν καὶ συνενθουσιάζειν εὐαζού- 249 σαις καὶ τιμώσαις τὸν θεόν· τὰς δὲ γυναῖκας κατὰ συστήματα θυσιάζειν τῷ θεῷ καὶ βακχεύειν καὶ καθόλου τὴν παρουσίαν ὑμνεῖν τοῦ Διονύσου, μιμουμένας τὰς ἱστορουμένας τὸ παλαιὸν παρεδρεύειν τῷ θεῷ μαινάδας. κολάσαι δ᾽ αὐτὸν πολλοὺς μὲν καὶ ἄλλους κατὰ πᾶσαν τὴν οἰκουμένην τοὺς δοκοῦντας ἀσεβεῖν, ἐπιφανεστάτους δὲ Πενθέα καὶ Λυκοῦργον. τῆς δὲ κατὰ τὸν οἶνον εὑρέσεως καὶ δωρεᾶς κεχαρισμένης τοῖς ἀνθρώποις καθ᾽ ὑπερβολὴν διά τε τὴν ἡδονὴν τὴν ἐκ τοῦ ποτοῦ καὶ διὰ τὸ τοῖς σώμασιν εὐτονωτέρους γίνεσθαι τοὺς τὸν οἶνον πίνοντας, φασὶν ἐπὶ τῶν δείπνων, ὅταν ἄκρατος

98. ἐκ] ἀπὸ AB 99. μὲν om. D ζῦθος AB(D)EGQV, caeteri ζῦθον 100. τοῦτο] τοῦτον F 3. καὶ AD Eusebius, caeteri φ 6. πάσας τὰς AC(D)E, caeteri πάσας 7. Ἐλευθερὰς] Ἐλευθέρας D, Ἐλευθέραν G correctus in marg., Poggius 8. τριέτει χρόνῳ] τριετῆ χρόνον B, caeteri τριέτει χρόνῳ 10. ἀξιόλογον] ἀξιολόγων omnes 12. ἀπομνημονεύοντας] ἀπομνημονεύοντα A 14. τριετηρίδας] τριετηρικὰς Eusebius, sacra trieterica Poggius Διονύσῳ] Διονύσου F 19. εὐαζούσαις] σεβαζούσαις B τιμώσαις] τιμῶσαι AC

249. 22. μιμουμένας] μεμνημένας AB παρεδρεύειν] ἐνεδρεύειν AB 24. δοκοῦντας] δόξαντας D 28. εὐτονωτέρους] εὐτονοτέρους D 29. τῶν δείπνων] τὸ δεῖπνον C, τὸν δεῖπνον D

οἶνος ἐπιδιδῶται, προςεπιλέγειν ἀγαθοῦ δαίμονος, ὅταν δὲ μετὰ τὸ δεῖπνον διδῶται κεκραμένος ὕδατι, Διὸς σωτῆρος ἐπιφωνεῖν. τὸν μὲν γὰρ οἶνον ἄκρατον πινόμενον μανιώδεις διαθέσεις ἀποτελεῖν, τοῦ δ' ἀπὸ Διὸς ὄμβρου μιγέντος τὴν μὲν τέρψιν καὶ τὴν ἡδονὴν μένειν, τὸ δὲ τῆς μανίας καὶ παραλύσεως βλάπτον διορθοῦσθαι. καθόλου δὲ μυθολογοῦσι τῶν θεῶν μεγίστης ἀποδοχῆς τυγχάνειν παρ' ἀνθρώποις τοὺς ταῖς εὐεργεσίαις ὑπερβαλομένους κατὰ τὴν εὕρεσιν τῶν ἀγαθῶν Διόνυσόν τε καὶ Δήμητραν, τὸν μὲν τοῦ προςηνεστάτου ποτοῦ γενόμενον εὑρετήν, τὴν δὲ τῆς ξηρᾶς τροφῆς τὴν κρατίστην παραδοῦσαν τῷ γένει τῶν ἀνθρώπων.

4 Μυθολογοῦσι δέ τινες καὶ ἕτερον Διόνυσον γεγονέναι πολὺ τοῖς χρόνοις προτεροῦντα τούτου. φασὶ γὰρ ἐκ Διὸς καὶ Περσεφόνης Διόνυσον γενέσθαι τὸν ὑπό τινων Σαβάζιον ὀνομαζόμενον, οὗ τήν τε γένεσιν καὶ τὰς θυσίας καὶ τιμὰς νυκτερινὰς καὶ κρυφίους παρειςάγουσι διὰ τὴν αἰσχύνην τὴν ἐκ τῆς συνουσίας ἐπακολουθοῦσαν. λέγουσι δ' αὐτὸν ἀγχινοίᾳ διενεγκεῖν, καὶ πρῶτον ἐπιχειρῆσαι βοῦς ζευγνύειν καὶ διὰ τούτων τὸν σπόρον τῶν καρπῶν ἐπιτελεῖν· ἀφ' οὗ δὴ καὶ κερατίαν αὐτὸν παρειςάγουσι. καὶ τὸν μὲν ἐκ Σεμέλης γενόμενον ἐν τοῖς νεωτέροις χρόνοις φασὶ τῷ σώματι γενέσθαι τρυφερὸν καὶ παντελῶς ἁπαλόν, εὐπρεπείᾳ δὲ πολὺ τῶν ἄλλων διενεγκεῖν καὶ πρὸς τὰς ἀφροδισιακὰς ἡδονὰς εὐκατάφορον γεγονέναι, κατὰ δὲ τὰς στρατείας γυναικῶν πλῆθος περιάγεσθαι καθωπλισμένων λόγχαις τεθυρσωμέναις. φασὶ δὲ καὶ τὰς Μούσας αὐτῷ συναποδημεῖν, παρθένους οὔσας καὶ πεπαιδευμένας διαφερόντως· ταύτας δὲ διά τε τῆς μελῳδίας καὶ τῶν ὀρχήσεων ἔτι 250 δὲ τῶν ἄλλων τῶν ἐν παιδείᾳ καλῶν ψυχαγωγεῖν τὸν θεόν. φασὶ δὲ καὶ παιδαγωγὸν καὶ τροφέα συνέπεσθαι κατὰ τὰς στρατείας αὐτῷ Σειληνόν, εἰςηγητὴν καὶ διδάσκαλον γινόμενον τῶν καλλίστων ἐπιτηδευμάτων, καὶ μεγάλα συμβάλλεσθαι τῷ Διονύσῳ πρὸς ἀρετήν τε καὶ

30. ἐπιδίδοται προςεπιλέγειν ABD, caeteri δίδοται πᾶσιν ἐπιλέγειν 31. τὸ BC(D), caeteri τόν διδῶται] δίδοται libri 33. ἀποτελεῖν] ἐπιτελεῖν E 38. ὑπερβαλομένους] ὑπερβαλλομένους D 42. ἕτερον Διόνυσον] γρ. ἑτέρου Διονύσου margo D 43. πολὺ — 55. γεγονέναι om. FM 44. Περσεφόνης] Φερσεφόνης D 46. κρυφίους AB(D) Eusebius, caeteri κρυφίας 50. τὸν σπόρον τῶν καρπῶν] τὸν καρπὸν τῶν σπόρων D ἐπιτελεῖν] ἀποτελεῖν B δὴ καὶ A(D), δῆτα καὶ Eusebius, caeteri δὴ 54. τὰς ἀφροδισιακὰς] τὰ ἀφροδίσια καὶ A 56. καθωπλισμένων] καθωπλισμένον D, καθωπλισμένας Eusebius 59. τῆς] τὰς D 250. 60. παιδείᾳ] παιδιᾷ D 61. καὶ παιδ.] καὶ om. A 62. Σειληνόν Eusebius, Σιληνόν libri Diodori



δόξαν. καὶ κατὰ μὲν τὰς ἐν τοῖς πολέμοις μάχας ὅπλοις αὐτὸν πολεμικοῖς κεκοσμῆσθαι καὶ δοραῖς παρδάλεων, κατὰ δὲ τὰς ἐν εἰρήνῃ πανηγύρεις καὶ ἑορτὰς ἐσθῆσιν ἀνθειναῖς καὶ κατὰ τὴν μαλακότητα τρυφεραῖς χρῆσθαι. πρὸς δὲ τὰς ἐκ τοῦ πλεονάζοντος οἴνου κεφαλαλγίας τοῖς πίνουσι γινομένας διαδεδέσθαι λέγουσιν αὐτὸν μίτρᾳ τὴν κεφαλήν, ἀφ' ἧς αἰτίας καὶ μιτροφόρον ὀνομάζεσθαι· ἀπὸ δὲ ταύτης τῆς μίτρας ὕστερον παρὰ τοῖς βασιλεῦσι καταδειχθῆναι τὸ διάδημά φασι. διμήτορα δ' αὐτὸν προςαγορευθῆναι λέγουσι διὰ τὸ πατρὸς μὲν ἑνὸς ὑπάρξαι τοὺς δύο Διονύσους, μητέρων δὲ δυοῖν. κεκληρονομηκέναι δὲ τὸν νεώτερον καὶ τὰς τοῦ προγενεστέρου πράξεις· διόπερ τοὺς μεταγενεστέρους ἀνθρώπους, ἀγνοοῦντας μὲν τἀληθές, πλανηθέντας δὲ διὰ τὴν ὁμωνυμίαν, ἕνα γεγονέναι νομίσαι Διόνυσον. τὸν δὲ νάρθηκα προςάπτουσιν αὐτῷ διά τινας τοιαύτας αἰτίας. κατὰ τὴν ἐξ ἀρχῆς εὕρεσιν τοῦ οἴνου μήπω τῆς τοῦ ὕδατος κράσεως εὑρημένης ἄκρατον πίνειν τὸν οἶνον· κατὰ δὲ τὰς τῶν φίλων συναναστροφὰς καὶ εὐωχίας τοὺς συνεορτάζοντας δαψιλῆ τὸν ἄκρατον ἐμφορησαμένους μανιώδεις γίνεσθαι, καὶ ταῖς βακτηρίαις ξυλίναις χρωμένους, ταύταις ἀλλήλους τύπτειν. διὸ καὶ τινῶν μὲν τραυματιζομένων, τινῶν δὲ καὶ τελευτώντων ἐκ τῶν καιρίων τραυμάτων, προςκόψαντα τὸν Διόνυσον ταῖς τοιαύταις περιστάσεσι τὸ μὲν ἀποστῆσαι τοῦ πίνειν δαψιλῆ τὸν ἄκρατον ἀποδοκιμάσαι διὰ τὴν ἡδονὴν τοῦ ποτοῦ, καταδεῖξαι δὲ νάρθηξι χρῆσθαι καὶ μὴ ξυλίναις βακτηρίαις.

5 Ἐπωνυμίας δ' αὐτῷ τοὺς ἀνθρώπους πολλὰς προςάψαι τὰς ἀφορμὰς ἀπὸ τῶν περὶ αὐτὸν ἐπιτηδευμάτων λαβόντας. Βακχεῖον μὲν γὰρ ἀπὸ τῶν συνεπομένων βακχῶν ὀνομάσαι, Ληναῖον δὲ ἀπὸ τοῦ πατῆσαι τὰς σταφυλὰς ἐν ληνῷ, Βρόμιον δὲ ἀπὸ τοῦ κατὰ τὴν γένεσιν αὐτοῦ γενομένου βρόμου· ὁμοίως δὲ καὶ πυριγενῆ διὰ τὴν ὁμοίαν αἰτίαν ὠνομάσθαι. Θρίαμβον δ' αὐτὸν ὀνομασθῆναί φασιν ἀπὸ τοῦ πρῶτον τῶν μνημονευομένων

68. ἐσθῆσιν] ἐσθήσεσιν AB ἀνθειναῖς] ἀνθίναις D 69. πλεονάζοντος] πλεάζοντος A, πελάζοντος B 71. μίτρᾳ Eusebius: libri μίτρῃ 72. μιτροφόρον] μιτρηφόρον A(C)DE, *mitriphoros* Poggius 76. δύο om. C, asterisco notavit Stephanus δυοῖν CE Eusebius, caeteri δυεῖν 77. νεώτερον] νειότερον D καὶ τὰς AD, caeteri τὰς 84. συναναστροφὰς] ἀναστροφὰς C 87. τινῶν μὲν] τινῶν AD 88. καιρίων] κερίων D προςκόψαντα] προςκώψεντα D 90. ἀποδοκιμάσαι] ἀπεδοκίμασεν C 92. νάρθηξι] νάρθηκι Eusebius 95. Βακχεῖον] Βάκχιον D, Βάκχον Eusebius, Poggius 96. βακχῶν] βάκχων D πατῆσαι] πατεῖσθαι Eusebius 99. ὠνομάσθαι BDE, caeteri ὀνομάσαι

καταγαγεῖν ἀπὸ τῆς στρατείας θρίαμβον εἰς τὴν πατρίδα, τὴν ἐξ Ἰνδῶν ποιησάμενον ἐπάνοδον μετὰ πολλῶν λαφύρων. παραπλησίως δὲ καὶ τὰς λοιπὰς προσηγορίας 251 ἐπιθετικὰς αὐτῷ γεγενῆσθαι, περὶ ὧν μακρὸν ἂν εἴη λέγειν καὶ τῆς ὑποκειμένης ἱστορίας ἀνοίκειον. δίμορφον δ᾽ αὐτὸν δοκεῖν ὑπάρχειν διὰ τὸ δύο Διονύσους γεγονέναι, τὸν μὲν παλαιὸν καταπώγωνα διὰ τὸ τοὺς ἀρχαίους πάντας πωγωνοτροφεῖν, τὸν δὲ νεώτερον ὡραῖον καὶ τρυφερὸν καὶ νέον, καθότι προείρηται. ἔνιοι δὲ λέγουσιν ὅτι τῶν μεθυόντων διττὰς διαθέσεις ἐχόντων, καὶ τῶν μὲν ὀργίλων τῶν δὲ ἱλαρῶν γινομένων, δίμορφον ὠνομάσθαι τὸν θεόν. καὶ Σατύρους δέ φασιν αὐτὸν περιάγεσθαι, καὶ τούτους ἐν ταῖς ὀρχήσεσι καὶ ταῖς τραγῳδίαις τέρψιν καὶ πολλὴν ἡδονὴν παρέχεσθαι τῷ θεῷ. καθόλου δὲ τὰς μὲν Μούσας τοῖς ἐκ τῆς παιδείας ἀγαθοῖς ὠφελούσας τε καὶ τερπούσας, τοὺς δὲ Σατύρους τοῖς πρὸς γέλωτα συνεργοῦσιν ἐπιτηδεύμασι χρωμένους, παρασκευάζειν τῷ Διονύσῳ τὸν εὐδαίμονα καὶ κεχαρισμένον βίον. καθόλου δὲ τῶν θυμελικῶν ἀγώνων φασὶν εὑρετὴν γενέσθαι, καὶ θέατρα καταδεῖξαι, καὶ μουσικῶν ἀκροαμάτων σύστημα ποιήσασθαι· πρὸς δὲ τούτοις ἀλειτουργήτους ποιῆσαι καὶ τοὺς ἐν ταῖς στρατείαις μεταχειριζομένους τι τῆς μουσικῆς ἐπιστήμης· ἀφ᾽ ὧν τοὺς μεταγενεστέρους μουσικὰς συνόδους συστήσασθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, καὶ ἀτελεῖς ποιῆσαι τοὺς τὰ τοιαῦτα ἐπιτηδεύοντας. καὶ περὶ μὲν Διονύσου καὶ τῶν περὶ αὐτοῦ μυθολογουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι στοχαζόμενοι τῆς συμμετρίας.

6 Περὶ δὲ Πριάπου καὶ τῶν μυθολογουμένων περὶ αὐτοῦ νῦν διέξιμεν, οἰκεῖον ὁρῶντες τὸν περὶ τούτου λόγον ταῖς Διονυσιακαῖς ἱστορίαις. μυθολογοῦσιν οὖν οἱ παλαιοὶ τὸν Πρίαπον υἱὸν εἶναι Διονύσου καὶ Ἀφροδίτης, πιθανῶς τὴν γένεσιν ταύτην ἐξηγούμενοι· τοὺς γὰρ οἰνωθέντας φυσικῶς ἐντετάσθαι πρὸς τὰς ἀφροδισιακὰς ἡδονάς. τινὲς δέ φασι τὸ αἰδοῖον τῶν ἀνθρώπων

1. στρατείας] στρατιᾶς C

251. 4. γεγενῆσθαι] γενέσθαι A 7. παλαιὸν] αὐτῶν addunt AB 9. ὡραῖον om. AD 11. ὀργίλων] ἱλαρῶν D ἱλαρῶν] ὀργίλων D 12. ὠνομάσθαι] ὀνομάσαι FG 16. τε om. D 17. τοῖς — συνεργοῦσιν ἐπιτηδεύμασι ABDFG, caeteri ταῖς — συνεργούσαις ἐπιτηδεύσεσι 19. τῶν] τοῦτον ABD 21. ποιήσασθαι ABD, caeteri ποιῆσαι 26. τὰ] περὶ τὰ AB 30. διέξιμεν] διέξειμεν D 31. Διονυσιακαῖς] Διονυσικαῖς A 32. τὸν Πρίαπον] τοῦ Πριάπου B υἱὸν] υἱὸν μὲν D 33. τοὺς γὰρ οἰνωθέντας] τοῦ καὶ παροινωθέντας ABD



τοὺς παλαιοὺς μυθωδῶς ὀνομάζειν βουλομένους Πρίαπον προσαγορεῦσαι. ἔνιοι δὲ λέγουσι τὸ γεννητικὸν μόριον, αἴτιον ὑπάρχον τῆς γενέσεως τῶν ἀνθρώπων καὶ διαμονῆς εἰς ἅπαντα τὸν αἰῶνα, τυχεῖν τῆς ἀθανάτου τιμῆς. οἱ δ᾽ Αἰγύπτιοι περὶ τοῦ Πριάπου μυθολογοῦντές φασι τὸ παλαιὸν τοὺς Τιτᾶνας ἐπιβουλεύσαντας Ὀσίριδι τοῦτον μὲν ἀνελεῖν, τὸ δὲ σῶμα αὐτοῦ διελόντας εἰς ἴσας μερίδας καὶ λαβόντας ἀπενεγκεῖν ἐκ τῆς οἰκείας λαθραίως· μόνον δὲ τὸ αἰδοῖον εἰς τὸν ποταμὸν ῥῖψαι διὰ τὸ μηδένα βούλεσθαι τοῦτο ἀνελέσθαι. τὴν δὲ Ἶσιν 252 τὸν φόνον τοῦ ἀνδρὸς ἀναζητοῦσαν, καὶ τοὺς μὲν Τιτᾶνας ἀνελοῦσαν, τὰ δὲ τοῦ σώματος μέρη περιπλάσασαν εἰς ἀνθρώπου τύπον, ταῦτα μὲν δοῦναι θάψαι τοῖς ἱερεῦσι καὶ τιμᾶν προστάξαι ὡς θεὸν τὸν Ὄσιριν, τὸ δὲ αἰδοῖον μόνον οὐ δυναμένην ἀνευρεῖν καταδεῖξαι τιμᾶν ὡς θεὸν καὶ ἀναθεῖναι κατὰ τὸ ἱερὸν ἐντεταμένον. περὶ μὲν οὖν τῆς γενέσεως τοῦ Πριάπου καὶ τῆς τιμῆς τοιαῦτα μυθολογεῖται παρὰ τοῖς παλαιοῖς τῶν Αἰγυπτίων. τοῦτον δὲ τὸν θεὸν τινὲς μὲν Ἰθύφαλλον ὀνομάζουσι τινὲς δὲ Τύχωνα. τὰς δὲ τιμὰς οὐ μόνον κατὰ πόλιν ἀπονέμουσιν αὐτῷ ἐν τοῖς ἱεροῖς, ἀλλὰ καὶ κατὰ τὰς ἀγροικίας, ὀπωροφύλακα τῶν ἀμπελώνων ἀποδεικνύντες καὶ τῶν κήπων, ἔτι δὲ πρὸς τοὺς βασκαίνοντάς τι τῶν καλῶν τοῦτον κολαστὴν παρεισάγοντες. ἔν τε ταῖς τελεταῖς οὐ μόνον ταῖς Διονυσιακαῖς ἀλλὰ καὶ ταῖς ἄλλαις σχεδὸν ἁπάσαις οὗτος ὁ θεὸς τυγχάνει τιμῆς τινος, μετὰ γέλωτος καὶ παιδιᾶς παρεισαγόμενος ἐν ταῖς θυσίαις. παραπλησίως δὲ τῷ Πριάπῳ τινὲς μυθολογοῦσι γεγενῆσθαι τὸν ὀνομαζόμενον Ἑρμαφρόδιτον, ὃν ἐξ Ἑρμοῦ καὶ Ἀφροδίτης γεννηθέντα τυχεῖν τῆς ἐξ ἀμφοτέρων τῶν γονέων συντεθείσης προσηγορίας. τοῦτον δ᾽ οἱ μὲν

36. μυθωδῶς ABCDE, μυθικῶς Eusebius, *occultius* Poggius, caeteri μυθῳδοὺς ὀνομάζειν βουλομένους ABCDE, caeteri βουλομένους ὀνομάζειν 38. ὑπάρχον] ὑπάρχειν ABD Eusebius διαμονῆς] διὰ τοῦτο Eusebius et Poggius qui *alii genitalia dicunt caussam esse hominum generationis, proptereaque semper extitisse immortali honore celebrata* 41. τὸ παλαιὸν τοὺς Τιτᾶνας ACDE, *olim Titanas* Poggius, caeteri τοὺς Τιτᾶνας τὸ παλαιὸν 43. μερίδας] ἑαυτοῖς addunt AB καὶ λαβ.] καταλαβ. FG οἰκείας] οἰκίας vertit Poggius 45. τὸν] τοῦ A

252. 46. φόνον] φόνου A 50. τιμᾶν ὡς θεὸν] ὡς θεὸν τιμᾶν D 54. Τύχωνα ABC(D)EG, caeteri Τυφῶνα, quod notavit Stephanus 57. ἀμπελώνων] ἀμπέλων QV 61. σχεδὸν ἁπάσαις AB, *in reliquis ferme aliis* Poggius, caeteri cum Eusebio ἁπάσαις τιμῆς τινος] τινὸς τιμῆς D 63. μυθολογοῦσι] ὁμολογοῦσι F 65. τυχεῖν τῆς AC(D)E, caeteri τυχεῖν

φασιν εἶναι θεὸν καὶ κατά τινας χρόνους φαίνεσθαι παρ' ἀνθρώποις, καὶ γεννᾶσθαι τὴν τοῦ σώματος φύσιν ἔχοντα μεμιγμένην ἐξ ἀνδρὸς καὶ γυναικός· καὶ τὴν μὲν εὐπρέπειαν καὶ μαλακότητα τοῦ σώματος ἔχειν γυναικὶ παρεμφερῆ, τὸ δὲ ἀῤῥενωπὸν καὶ δραστικὸν ἔχειν ἀνδρός· ἔνιοι δὲ τὰ τοιαῦτα γένη ταῖς φύσεσιν ἀποφαίνονται τέρατα ὑπάρχειν, καὶ γεννώμενα σπανίως προσημαντικὰ γίνεσθαι ποτὲ μὲν κακῶν ποτὲ δ' ἀγαθῶν. καὶ περὶ μὲν τῶν τοιούτων ἅλις ἡμῖν ἐχέτω.

7 Περὶ δὲ τῶν Μουσῶν, ἐπειδήπερ ἐμνήσθημεν ἐν ταῖς τοῦ Διονύσου πράξεσιν, οἰκεῖον ἂν εἴη διελθεῖν ἐν κεφαλαίοις. ταύτας γὰρ οἱ πλεῖστοι τῶν μυθογράφων καὶ μάλιστα οἱ δεδοκιμασμένοι φασὶ θυγατέρας εἶναι Διὸς καὶ Μνημοσύνης· ὀλίγοι δὲ τῶν ποιητῶν, ἐν οἷς ἐστι καὶ Ἀλκμάν. θυγατέρας ἀποφαίνονται Οὐρανοῦ καὶ Γῆς. ὁμοίως δὲ καὶ κατὰ τὸν ἀριθμὸν διαφωνοῦσιν· οἱ μὲν γὰρ τρεῖς λέγουσιν οἱ δὲ ἐννέα, καὶ κεκράτηκεν ὁ τῶν ἐννέα ἀριθμὸς ὑπὸ τῶν ἐπιφανεστάτων ἀνδρῶν βεβαιούμενος, λέγω δὲ Ὁμήρου τε καὶ Ἡσιόδου καὶ τῶν ἄλλων τῶν τοιούτων. Ὅμηρος μὲν γὰρ λέγει

Μοῦσαι δ' ἐννέα πᾶσαι ἀμειβόμεναι ὀπὶ καλῇ.

Ἡσίοδος δὲ καὶ τὰ ὀνόματα αὐτῶν ἀποφαίνεται λέγων

Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε 253
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε
Καλλιόπη θ', ἣ σφεων προφερεστάτη ἐστὶν ἁπασέων.

τούτων δ' ἑκάστη προσάπτουσι τὰς οἰκείας διαθέσεις τῶν περὶ μουσικὴν ἐπιτηδευμάτων, οἷον ποιητικήν, μελῳδίαν, ὀρχήσεις καὶ χορείας, ἀστρολογίαν τε καὶ τὰ λοιπὰ τῶν ἐπιτηδευμάτων. παρθένους δ' αὐτὰς οἱ πλεῖστοι γεγονέναι μυθολογοῦσι διὰ τὸ τὰς κατὰ τὴν παιδείαν ἀρετὰς ἀφθόρους δοκεῖν εἶναι. Μούσας δ' αὐτὰς ὠνομάσθαι ἀπὸ τοῦ μυεῖν τοὺς ἀνθρώπους, τοῦτο δ' ἐστὶν ἀπὸ τοῦ διδάσκειν τὰ καλὰ καὶ συμφέροντα καὶ ὑπὸ τῶν ἀπαιδεύτων ἀγνοούμενα. ἑκάστῃ δὲ προσηγορίᾳ τὸν οἰκεῖον λόγον ἀπονέμοντές φασιν ὠνομάσθαι τὴν

68. παρ' ABCDGQ Eusebius, caeteri τοῖς 71. ἔχειν post ἀνδρὸς ponit D 72. ἀνδρός] τὰ δὲ φυσικὰ μόρια συγγενᾶσθαι τούτῳ καὶ γυναικὸς καὶ ἀνδρὸς addit B 75. μὲν τῶν] τῶν A 77. τοῦ] περὶ τοῦ AB 81. Ἀλκμὰν] Ἀλκμαίων FG, Alcmeon Poggius 82. καὶ κατὰ AC(D), caeteri κατὰ 86. λέγει AC(D)E Poggius, caeteri praeponunt ταῦτα, quod asterisco notavit Stephanus 87. καλῇ] κάλλη D

253. 96. οἰκείας] οἰκίας C 97. ποιητικήν] aberat interpunctio 99. δ'] δι' D, caeteri τε 1. ἀφθόρους ABD, caeteri ἀφθάρτους 2. ὠνομάσθαι] ὀνομάσαι G



μὲν Κλειὼ διὰ τὸ τὸν ἐκ τῆς ποιήσεως τῶν ἐγκωμιαζομένων ἔπαινον μέγα κλέος περιποιεῖν τοῖς ἐπαινουμένοις, Εὐτέρπην δὲ ἀπὸ τοῦ τέρπειν τοὺς ἀκροωμένους τοῖς ἀπὸ τῆς παιδείας ἀγαθοῖς, Θάλειαν δὲ ἀπὸ τοῦ θάλλειν ἐπὶ πολλοὺς χρόνους τοὺς διὰ τῶν ποιημάτων ἐγκωμιαζομένους, Μελπομένην δὲ ἀπὸ τῆς μελῳδίας, δι' ἧς τοὺς ἀκούοντας ψυχαγωγεῖσθαι, Τερψιχόρην δὲ ἀπὸ τοῦ τέρπειν τοὺς ἀκροατὰς τοῖς ἐκ παιδείας περιγινομένοις ἀγαθοῖς, Ἐρατὼ δὲ ἀπὸ τοῦ τοὺς παιδευθέντας ποθεινοὺς καὶ ἐπεράστους ἀποτελεῖν, Πολύμνιαν δὲ ἀπὸ τοῦ διὰ πολλῆς ὑμνήσεως ἐπιφανεῖς κατασκευάζειν τοὺς διὰ τῶν ποιημάτων ἀπαθανατιζομένους τῇ δόξῃ, Οὐρανίαν δὲ ἀπὸ τοῦ τοὺς παιδευθέντας ὑπ' αὐτῆς ἐξαίρεσθαι πρὸς οὐρανόν· τῇ γὰρ δόξῃ καὶ τοῖς φρονήμασι μετεωρίζεσθαι τὰς ψυχὰς εἰς ὕψος οὐράνιον· Καλλιόπην δὲ ἀπὸ τοῦ καλὴν ὄπα προΐεσθαι, τοῦτο δ' ἐστὶ τῇ εὐεπείᾳ διάφορον οὖσαν ἀποδοχῆς τυγχάνειν ὑπὸ τῶν ἀκουόντων.

Τούτων δ' ἡμῖν ἀρκούντως εἰρημένων μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὰς Ἡρακλέους πράξεις. οὐκ ἀγνοῶ 8
δ' ὅτι πολλὰ δύσχρηστα συμβαίνει τοῖς ἱστοροῦσι τὰς παλαιὰς μυθολογίας, καὶ μάλιστα τὰς περὶ Ἡρακλέους. τῷ μὲν γὰρ μεγέθει τῶν κατεργασθέντων ὁμολογουμένως οὗτος παραδέδοται πάντας τοὺς ἐξ αἰῶνος ὑπεράραι τῇ μνήμῃ παραδοθέντας· δυσέφικτον οὖν ἐστι τὸ κατὰ τὴν ἀξίαν ἕκαστον τῶν πραχθέντων ἀπαγγεῖλαι καὶ τὸν λόγον ἐξισῶσαι τοῖς τηλικούτοις ἔργοις, οἷς διὰ τὸ μέγεθος ἔπαθλον ἦν ἡ ἀθανασία. διὰ δὲ τὴν παλαιότητα καὶ τὸ παράδοξον τῶν ἱστορουμένων παρὰ πολλοῖς ἀπιστουμένων τῶν μύθων, ἀναγκαῖον ἢ παραλιπόντας τὰ μέγι-
254 στα τῶν πραχθέντων καθαιρεῖν τι τῆς τοῦ θεοῦ δόξης ἢ πάντα διεξιόντας τὴν ἱστορίαν ποιεῖν ἀπιστουμένην. ἔνιοι γὰρ τῶν ἀναγινωσκόντων οὐ δικαίᾳ χρώμενοι κρίσει τἀκριβὲς ἐπιζητοῦσιν ἐν ταῖς ἀρχαίαις μυθολογίαις ἐπ' ἴσης τοῖς πραττομένοις ἐν τοῖς καθ' ἡμᾶς χρόνοις,

7. περιποιεῖν] ἐμποιεῖν AB 8. δὲ om. C 10. τοὺς διὰ τῶν ποιημάτων ἐγκωμιαζομένους servarunt AB(D) Poggius qui poetarum laus parta 14. περιγινομένοις] γινομένοις AB 15. καὶ ἐπεράστους om. AD 18. ποιημάτων] ποιητῶν ABD Poggius ἀπαθανατ.] ἀθανατ. D, θανατ. A 20. οὐρανόν] οὐρανὸν τῇ δόξῃ A nescio an omissis τῇ γὰρ δόξῃ 21. οὐράνιον om. AD 22. τοῦτο δ' ἐστὶ B, τὸ δ' ἐστὶ A, caeteri τουτέστι 25. μεταβιβάσομεν C(D)EQ, caeteri μεταβιβάσωμεν 29. μὲν γὰρ] γὰρ AD 31. τοὺς ἐξ αἰῶνος om. FM 32. ἕκαστον] ἑκάστου ABD 33. ἐξισῶσαι τοῖς om. A 35. om. D 37. ἢ D, ἦν ἢ B, caeteri ἦν

254. 42. τοῖς — χρόνοις ABD, caeteri τῷ — χρόνῳ

καὶ τὰ δισταζόμενα τῶν ἔργων διὰ τὸ μέγεθος ἐκ τοῦ καθ᾽ αὐτοὺς βίου τεκμαιρόμενοι, τὴν Ἡρακλέους δύναμιν ἐκ τῆς ἀσθενείας τῶν νῦν ἀνθρώπων θεωροῦσιν, ὥςτε διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους τῶν ἔργων ἀπιστεῖσθαι τὴν γραφήν. καθόλου μὲν γὰρ ἐν ταῖς ἱστορουμέναις μυθολογίαις οὐκ ἐκ παντὸς τρόπου πικρῶς τὴν ἀλήθειαν ἐξεταστέον. καὶ γὰρ ἐν τοῖς θεάτροις, πεπεισμένοι μήτε Κενταύρους διφυεῖς ἐξ ἑτερογενῶν σωμάτων ὑπάρξαι μήτε Γηρυόνην τρισώματον, ὅμως προςδεχόμεθα τὰς τοιαύτας μυθολογίας, καὶ ταῖς ἐπισημασίαις συναύξομεν τὴν τοῦ θεοῦ τιμήν. καὶ γὰρ ἄτοπον Ἡρακλέα μὲν ἔτι κατ᾽ ἀνθρώπους ὄντα τοῖς ἰδίοις πόνοις ἐξημερῶσαι τὴν οἰκουμένην, τοὺς δ᾽ ἀνθρώπους ἐπιλαθομένους τῆς κοινῆς εὐεργεσίας συκοφαντεῖν τὸν ἐπὶ τοῖς καλλίστοις ἔργοις ἔπαινον, καὶ τοὺς μὲν προγόνους διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς ὁμολογουμένην αὐτῷ συγχωρῆσαι τὴν ἀθανασίαν, ἡμᾶς δὲ πρὸς τὸν θεὸν μηδὲ τὴν πατροπαράδοτον εὐσέβειαν διαφυλάττειν. ἀλλὰ γὰρ τῶν τοιούτων λόγων ἀφέμενοι διέξιμεν αὐτοῦ τὰς πράξεις ἀπ᾽ ἀρχῆς ἀκολούθως τοῖς ἀρχαιοτάτοις τῶν ποιητῶν τε καὶ
9 μυθολόγων. τῆς Ἀκρισίου τοίνυν Δανάης καὶ Διός φασι γενέσθαι Περσέα· τούτῳ δὲ μιγεῖσαν τὴν Κηφέως Ἀνδρομέδαν Ἠλεκτρύωνα γεννῆσαι, ἔπειτα τούτῳ τὴν Πέλοπος Εὐρυδίκην συνοικήσασαν Ἀλκμήνην τεκνῶσαι, καὶ ταύτῃ Δία μιγέντα δι᾽ ἀπάτης Ἡρακλέα γεννῆσαι. τὴν μὲν οὖν ὅλην τοῦ γένους ῥίζαν ἀπ᾽ ἀμφοτέρων τῶν γονέων εἰς τὸν μέγιστον τῶν θεῶν ἀναφέρειν λέγεται τὸν εἰρημένον τρόπον. τὴν δὲ γεγενημένην περὶ αὐτὸν ἀρετὴν οὐκ ἐν ταῖς πράξεσι θεωρηθῆναι μόνον, ἀλλὰ καὶ πρὸ τῆς γενέσεως γινώσκεσθαι. τὸν γὰρ Δία μισγόμενον Ἀλκμήνῃ τριπλασίαν τὴν νύκτα ποιῆσαι, καὶ τῷ πλήθει τοῦ πρὸς τὴν παιδοποιίαν ἀναλωθέντος χρόνου

43. καὶ τὰ δισταζόμενα] καταδισταζόμενοι B, καταδισταζομένων FG 47. μὲν abesse malim: conf. ad p. 49. 39. ἱστορουμέναις μυθολογίαις] μυθολογουμέναις ἱστορίαις BCE, notam ante ἱστορουμέναις posuit Stephanus 50. κενταύρους] minotaurum Poggius 51. μήτε Γ. τρ. om. A 52. τὰς] εἰς τὰς BD 53. συναύξομεν] συναυξομένην AB 55. ἐξημερῶσαι] ἡμερῶσαι AB 56. κοινῆς ἰδίας AB 58. ὑπερβολὴν D, caeteri ὑπεροχὴν ὁμολογουμένην] ὁμολογουμένους FG 61. διέξιμεν] διέξειμεν D 65. Ἠλεκτρυόνα] Ἠλεκτρύωνα Eusebius 66. Εὐρυδίκην ABC(D)EGQ Poggius, caeteri Εὐρυμέδαν 67. τεκνῶσαι] γεννῆσαι B 69. ἀπ᾽ ἀμφοτέρων τῶν γονέων omittunt FM, asterisco notavit Stephanus 71. γεγενημένην] γενομένην A 74. ποιῆσαι] ποιήσασθαι FG



προσημῆναι τὴν ὑπερβολὴν τῆς τοῦ γεννηθησομένου ῥώμης. καθόλου δὲ τὴν ὁμιλίαν ταύτην οὐκ ἐρωτικῆς ἐπιθυμίας ἕνεκα ποιήσασθαι, καθάπερ ἐπὶ τῶν ἄλλων γυναικῶν, ἀλλὰ τὸ πλεῖον τῆς παιδοποιίας χάριν. διὸ καὶ βουλόμενον τὴν ἐπιπλοκὴν νόμιμον ποιήσασθαι βιάσασθαι μὲν μὴ βουληθῆναι, πεῖσαι δ᾽ οὐδαμῶς ἐλπίζειν διὰ τὴν σωφροσύνην· τὴν ἀπάτην οὖν προκρίναντα διὰ ταύτης παρακρούσασθαι τὴν Ἀλκμήνην, Ἀμφιτρύωνι
255 κατὰ πᾶν ὁμοιωθέντα. διελθόντος δὲ τοῦ κατὰ φύσιν χρόνου ταῖς ἐγκύοις, τὸν μὲν Δία πρὸς τὴν Ἡρακλέους γένεσιν ἐνεχθέντα τῇ διανοίᾳ προειπεῖν παρόντων ἁπάντων τῶν θεῶν ὅτι τὸν κατ᾽ ἐκείνην τὴν ἡμέραν γεννώμενον Περσειδῶν ποιήσει βασιλέα. τὴν δ᾽ Ἥραν ζηλοτυποῦσαν, καὶ συνεργὸν ἔχουσαν Εἰλείθυιαν τὴν θυγατέρα, τῆς μὲν Ἀλκμήνης παρακατασχεῖν τὰς ὠδῖνας, τὸν δ᾽ Εὐρυσθέα πρὸ τοῦ καθήκοντος χρόνου πρὸς τὸ φῶς ἀγαγεῖν. τὸν δὲ Δία καταστρατηγηθέντα βουληθῆναι τήν τε ὑπόσχεσιν βεβαιῶσαι καὶ τῆς Ἡρακλέους ἐπιφανείας προνοηθῆναι. διό φασιν αὐτὸν τὴν μὲν Ἥραν πεῖσαι συγχωρῆσαι βασιλέα μὲν ὑπάρξαι κατὰ τὴν ἰδίαν ὑπόσχεσιν Εὐρυσθέα, τὸν δ᾽ Ἡρακλέα τεταγμένον ὑπὸ τὸν Εὐρυσθέα τελέσαι δώδεκα ἄθλους οὓς ἂν Εὐρυσθεὺς προςτάξῃ, καὶ τοῦτο πράξαντα τυχεῖν τῆς ἀθανασίας. Ἀλκμήνη δὲ τεκοῦσα, καὶ φοβηθεῖσα τὴν τῆς Ἥρας ζηλοτυπίαν, ἐξέθηκε τὸ βρέφος εἰς τὸν τόπον ὃς νῦν ἀπ᾽ ἐκείνου καλεῖται πεδίον Ἡράκλειον. καθ᾽ ὃν δὴ χρόνον Ἀθηνᾶ μετὰ τῆς Ἥρας προςιοῦσα, καὶ θαυμάσασα τοῦ παιδίου τὴν φύσιν, συνέπεισε τὴν Ἥραν τὴν θηλὴν ὑποσχεῖν. τοῦ δὲ παιδὸς ὑπὲρ τὴν ἡλικίαν βιαιότερον ἐπισπασαμένου τὴν θηλήν, ἡ μὲν Ἥρα διαλγήσασα τὸ βρέφος ἔῤῥιψεν, Ἀθηνᾶ δὲ κομίσασα αὐτὸ πρὸς τὴν μητέρα τρέφειν παρεκελεύσατο. θαυμάσαι δ᾽ ἄν τις εἰκότως τὸ τῆς περιπετείας παράδοξον· ἡ μὲν γὰρ στέργειν ὀφείλουσα μήτηρ τὸ ἴδιον τέκνον ἀπώλλυεν, ἡ δὲ μητρυιᾶς ἔχουσα μῖσος δι᾽ ἄγνοιαν ἔσωζε τὸ τῇ φύσει πολέμιον.

76. γεννηθησομένου] γενησομένου F

255. 86. ἁπάντων om. CE, asterisco notavit Stephanus, praeteriit Poggius 87. κατ᾽ ἐκείνην τὴν] κατ᾽ τὴν ἐκείνην ed. Steph., quod soli corrigere traduntur AC(D)F γεννώμενον] γενόμενον ABCDEGQ 88. Περσιδῶν (sic) ante γενόμενον ponunt ABDEG 89. ἔχουσαν ABC(D)EGQ, caeteri σχοῦσαν 95. μὲν om. A 96. τὸν — 97. Εὐρυσθέα om. A 98. Εὐρυσθεὺς] ὁ Εὐρυσθεὺς B προςτάξῃ] προςτάξει D pr. 1. πεδίον] παιδικὸν BCDEGQ, παιδίον V 3. προςιοῦσα ABD, caeteri προϊοῦσα καὶ θαυμάσασα om. ABD 4. τὴν θηλὴν ὑποσχεῖν] ὑποσχεῖν τὴν θηλὴν D

*Μετὰ δὲ ταῦτα ἡ μὲν Ἥρα δύο δράκοντας ἀπέστειλε τοὺς ἀναλώσοντας τὸ βρέφος· ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας ἀπέπνιξε τοὺς δράκοντας. διόπερ Ἀργεῖοι πυθόμενοι τὸ γεγονὸς Ἡρακλέα προςηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον. τοῖς μὲν οὖν ἄλλοις οἱ γονεῖς τοὔνομα περιτιθέασι, τούτῳ δὲ μόνῳ ἡ ἀρετὴ τὴν προσηγορίαν ἔθετο. μετὰ δὲ ταῦτα ὁ μὲν Ἀμφιτρύων φυγαδευθεὶς ἐκ Τίρυνθος μετῴκησεν εἰς Θήβας· ὁ δ' Ἡρακλῆς τραφεὶς καὶ παιδευθεὶς καὶ μάλιστα ἐν τοῖς γυμνασίοις διαπονηθεὶς ἐγένετο ῥώμῃ τε σώματος πολὺ προέχων τῶν ἄλλων ἁπάντων καὶ ψυχῆς λαμπρότητι περιβόητος, ὅς γε τὴν ἡλικίαν ἔφηβος ὢν πρῶτον μὲν ἠλευθέρωσε τὰς Θήβας, ἀποδιδοὺς ὡς πατρίδι τὰς προςηκούσας χάριτας. ὑποτεταγμένων γὰρ τῶν Θηβαίων Ἐργίνῳ τῷ βασιλεῖ τῶν Μινυῶν καὶ κατ' ἐνιαυτὸν ὡρισμένους φόρους τελούντων μεθ' ὕβρεως, οὐ καταπλαγεὶς τὴν τῶν δεδουλωμένων ὑπεροχὴν ἐτόλμησε πρᾶξιν 256 ἐπιτελέσαι περιβόητον· τοὺς γὰρ παραγενομένους τῶν Μινυῶν ἐπὶ τὴν ἀπαίτησιν τῶν δασμῶν καὶ μεθ' ὕβρεως εἰςπραττομένους ἀκρωτηριάσας ἐξέβαλεν ἐκ τῆς πόλεως. Ἐργίνου δ' ἐξαιτοῦντος τὸν αἴτιον, Κρέων βασιλεύων τῶν Θηβαίων καὶ καταπλαγεὶς τὸ βάρος τῆς ἐξουσίας ἕτοιμος ἦν ἐκδιδόναι τὸν αἴτιον τῶν ἐγκλημάτων. ὁ δ' Ἡρακλῆς πείσας τοὺς ἡλικιώτας ἐλευθεροῦν τὴν πατρίδα κατέσπασεν ἐκ τῶν ναῶν τὰς προςηλωμένας πανοπλίας, ἃς οἱ πρόγονοι σκῦλα τοῖς θεοῖς ἦσαν ἀνατεθεικότες· οὐ γὰρ ἦν εὑρεῖν κατὰ τὴν πόλιν ἰδιωτικὸν ὅπλον διὰ τὸ τοὺς Μινύας παρωπλικέναι τὴν πόλιν, ἵνα μηδεμίαν λαμβάνωσιν οἱ κατὰ τὰς Θήβας ἀποστάσεως ἔννοιαν. ὁ δὲ Ἡρακλῆς πυθόμενος Ἐργῖνον τὸν βασιλέα τῶν Μινυῶν προςάγειν τῇ πόλει μετὰ στρατιωτῶν, ἀπαντήσας αὐτῷ κατά τινα στενοχωρίαν, καὶ τὸ μέγεθος τῆς τῶν πολεμίων δυνάμεως ἄχρηστον ποιήσας, αὐτόν τε τὸν Ἐργῖνον ἀνεῖλε καὶ τοὺς μετ' αὐτοῦ σχεδὸν ἅπαντας ἀπέκτεινεν. ἄφνω δὲ προςπεσὼν τῇ πόλει τῶν Ὀρχομενίων καὶ παρειςπεσὼν ἐντὸς τῶν πυλῶν τά τε βασίλεια τῶν Μινυῶν ἐνέπρησε καὶ τὴν πόλιν κατέσκαψε. περιβοήτου δὲ τῆς πράξεως γενομένης καθ' ὅλην τὴν Ἑλλάδα καὶ πάντων θαυμαζόντων τὸ παράδοξον, ὁ μὲν βασιλεὺς Κρέων θαυμάσας τὴν ἀρετὴν τοῦ νεανίσκου τήν τε θυγατέρα Μεγάραν συνῴκισεν αὐτῷ καὶ καθάπερ υἱῷ γνησίῳ τὴν πόλιν ἐπέτρεψεν· Εὐρυσθεὺς δ' ὁ τὴν βασιλείαν ἔχων τῆς Ἀργείας ὑποπτεύσας τὴν Ἡρακλέους αὔξησιν μετεπέμπετό τε αὐτὸν καὶ προςέταττε τελεῖν ἄθλους. οὐχ ὑπακούοντος δὲ τοῦ Ἡρακλέους, Ζεὺς μὲν ἀπέστειλε διακελευόμενος ὑπουργεῖν Εὐρυσθεῖ, Ἡρακλῆς δὲ παρελθὼν εἰς Δελφοὺς καὶ περὶ τούτων ἐπερωτήσας τὸν θεὸν ἔλαβε χρησμὸν τὸν δηλοῦντα διότι τοῖς θεοῖς δέδοκται δώδεκα ἄθλους τελέσαι προςτάττοντος Εὐρυσθέως, καὶ τοῦτο πράξαντα τεύξεσθαι τῆς ἀθανασίας.*

*Τούτων δὲ πραχθέντων ὁ μὲν Ἡρακλῆς ἐνέπεσεν εἰς* 11
*ἀθυμίαν οὐ τὴν τυχοῦσαν. τό τε γὰρ τῷ ταπεινοτέρῳ δουλεύειν οὐδαμῶς ἄξιον ἔκρινε [δεῖν] τῆς ἰδίας ἀρετῆς, τό τε τῷ Διὶ καὶ πατρὶ μὴ πείθεσθαι καὶ ἀσύμφορον ἐφαίνετο καὶ ἀδύνατον. εἰς πολλὴν οὖν ἀμηχανίαν ἐμπίπτοντος αὐτοῦ, Ἥρα μὲν ἔπεμψεν αὐτῷ λύτταν· ὁ δὲ τῇ ψυχῇ δυςφορῶν εἰς μανίαν ἐνέπεσε. τοῦ πάθους δ' αὐξομένου τῶν φρενῶν ἐκτὸς γενόμενος τὸν μὲν Ἰόλαον ἐπεβάλετο κτείνειν, ἐκείνου δὲ φυγόντος, καὶ τῶν παίδων τῶν ἐκ Μεγάρας πλησίον διατριβόντων,*
257 *τούτους ὡς πολεμίους κατετόξευσε. μόγις δὲ τῆς μανίας ἀπολυθείς, καὶ ἐπιγνοὺς τὴν ἰδίαν ἄγνοιαν, περιαλγὴς ἦν ἐπὶ τῷ μεγέθει τῆς συμφορᾶς. πάντων δ' αὐτῷ συλλυπουμένων καὶ συμπενθούντων, ἐπὶ πολὺν χρόνον κατὰ τὴν οἰκίαν ἡσύχαζεν, ἐκκλίνων τὰς τῶν ἀνθρώπων ὁμιλίας τε καὶ ἀπαντήσεις. τέλος δὲ τοῦ χρόνου τὸ πάθος πραΰναντος κρίνας ὑπομένειν τοὺς κινδύνους παρεγένετο πρὸς Εὐρυσθέα· καὶ πρῶτον ἔλαβεν ἆθλον ἀποκτεῖναι τὸν ἐν Νεμέᾳ λέοντα. οὗτος δὲ μεγέθει μὲν ὑπερφυὴς ἦν, ἄτρωτος δὲ ὢν σιδήρῳ καὶ χαλκῷ καὶ λίθῳ*

13. *οὐ καταπλαγεὶς* servarunt ABD Eusebius 16. *γεγονὸς* ABD, caeteri *γενόμενον* 20. *μετῴκησεν*] *μετῴκισεν* A 21. *ὁ — παιδευθεὶς* om. FG 28. s. *Μινυῶν*] *Μηνύων* B et AD aliquoties, caeteri *Μινύων* 29. *δεδουλωμένων*] *δουλωμάτων* EGQ et correctus C, *δεδουλευκότων* M

256. 32. *εἰςπραττομένους* ABD, caeteri *ἐκπραττομένους* 34. *καὶ καταπλαγεὶς*] *καταπλαγεὶς* A(D) 40. *ἰδιωτικὸν ὅπλον*] *ἰδιωτικῶν ὅπλων* C 45. *μέγεθος*] *μέγιστον* ABD *πολεμίων*] *πόλεων* A

54. *συνῴκισεν*] *συνῴκησεν* D 55. *τὴν*] *τὰ κατὰ τὴν* AB 59. *ὑπουργεῖν*] *καὶ δουλεύειν* addit EV *Εὐρυσθεῖ* AC(D)E Poggius, caeteri praeponunt *τῷ βασιλεῖ*, quae asterisco notavit Stephanus 63. *τεύξεσθαι* Poppo: libri *τεύξασθαι* 66. *ἄξιον* om. AEV, asterisco notavit Stephanus *ἔκρινε* D, *ἔκρινε δεῖν* caeteri, *ἔκρινεν εἶναι* Iensius 69. *λύτταν*] *λύσσαν* omnes 71. *αὐξομένου*] *αὐξανομένου* B Eusebius 74. *μόγις* ABD, caeteri *μόλις*

257. 77. *συμπενθούντων* BD, caeteri *συμπαθούντων* 79. *τέλος*] *εἰς τέλος* AB 80. *πραΰναντος*] *πραΰνοντος* ABDF 82. *ἀποκτεῖναι* om. CE, asterisco notavit Stephanus 83. *ἦν*] *ὢν* ABD

τῆς κατὰ χεῖρα βιαζομένης προσεδεῖτο ἀνάγκης. διέτριβε δὲ μάλιστα μεταξὺ Μυκηνῶν καὶ Νεμέας περὶ ὄρος τὸ καλούμενον ἀπὸ τοῦ συμβεβηκότος Τρητόν· εἶχε γὰρ περὶ τὴν ῥίζαν διώρυγα διηνεκῆ, καθ' ἣν εἰώθει φωλεύειν τὸ θηρίον. ὁ δ' Ἡρακλῆς καταντήσας ἐπὶ τὸν τόπον προσέβαλεν αὐτῷ, καὶ τοῦ θηρίου συμφυγόντος εἰς τὴν διώρυγα συνακολουθῶν αὐτῷ καὶ τὸ ἕτερον τῶν στομίων ἐμφράξας συνεπλάκη, καὶ τὸν αὐχένα σφίγξας τοῖς βραχίοσιν ἀπέπνιξε. τὴν δὲ δορὰν αὐτοῦ περιθέμενος, καὶ διὰ τὸ μέγεθος ἅπαν τὸ ἴδιον σῶμα περιλαβών, εἶχε σκεπαστήριον τῶν μετὰ ταῦτα κινδύνων. δεύτερον δ' ἔλαβεν ἆθλον ἀποκτεῖναι τὴν Λερναίαν ὕδραν, ἧς ἐξ ἑνὸς σώματος ἑκατὸν αὐχένες ἔχοντες κεφαλὰς ὄφεων διετυποῦντο. τούτων δ' εἰ μία διαφθαρείη, διπλασίας ὁ τμηθεὶς ἀνίει τόπος· δι' ἣν αἰτίαν ἀήττητος ὑπάρχειν διείληπτο, καὶ κατὰ λόγον· τὸ γὰρ χειρωθὲν αὐτῆς μέρος διπλάσιον ἀπεδίδου βοήθημα. πρὸς δὲ τὴν δυςτραπελίαν ταύτην ἐπινοήσας τι φιλοτέχνημα προσέταξεν Ἰολάῳ τὸ ἀποτμηθὲν μέρος λαμπάδι καιομένῃ ἐπικαίειν, ἵνα τὴν ῥύσιν ἐπισχῇ τοῦ αἵματος. οὕτως οὖν χειρωσάμενος τὸ ζῷον εἰς τὴν χολὴν ἀπέβαπτε τὰς ἀκίδας, ἵνα τὸ βληθὲν βέλος ἔχῃ τὴν ἐκ τῆς ἀκίδος πληγὴν ἀνίατον.

12 Τρίτον δὲ πρόσταγμα ἔλαβεν ἐνεγκεῖν τὸν Ἐρυμάνθιον κάπρον ζῶντα, ὃς διέτριβεν ἐν τῇ Λαμπείᾳ τῆς Ἀρκαδίας. ἐδόκει δὲ τὸ πρόσταγμα τοῦτο πολλὴν ἔχειν δυςχέρειαν· ἔδει γὰρ τὸν ἀγωνιζόμενον τοιούτῳ θηρίῳ τοσαύτην ἔχειν περιουσίαν ὥςτε ἐπ' αὐτῆς τῆς μάχης ἀκριβῶς στοχάζεσθαι τοῦ καιροῦ. ἔτι μὲν γὰρ ἰσχύοντα ἀφεὶς αὐτὸν ἀπὸ τῶν ὀδόντων ἂν ἐκινδύνευσε, πλείω δὲ τοῦ δέοντος καταπολεμήσας ἀπέκτεινεν, ὥςτε τὸν ἆθλον ὑπάρχειν ἀσυντέλεστον. ὅμως δὲ κατὰ τὴν μάχην ταμιευσάμενος ἀκριβῶς τὴν συμμετρίαν ἀπήνεγκε τὸν κάπρον ζῶντα πρὸς Εὐρυσθέα· ὃν ἰδὼν ὁ βασιλεὺς ἐπὶ τῶν ὤμων

85. Μυκηνῶν] Μυκήνων D 90. συμφυγόντος] φυγόντος AB 92. σφίγξας] σφρίγξας A 93. ἀπέπνιξε] ἐπέπνιξε AB 94. περιλαβὼν] περιβαλὼν BD 96. ἆθλον om. AD Λερναίαν] ἐν Λερνέᾳ A 98. διετυποῦντο] immo διετετύπωντο διαφθαρείη] φθαρείη B 100. κατὰ om. CE 2. δυςτραπελίαν] δυςτραπέλειαν D 4. ῥύσιν] ῥῆσιν F 7. ἔχῃ] ἔχει D, παρέχῃ EGQ, παρέχει C 8. Ἐρυμάνθιον A(D), caeteri Ἐρυμάνθειον 9. διέτριβεν] διέτριβε μὲν omnes: v. ad 318. 38. II. 308. 2. 352. 55. τῇ Λαμπείᾳ Wesselingius, τῇ Λαμπίᾳ BD, caeteri πεδίῳ 12. ἔχειν] κεκτῆσθαι EGQV 13. ἀκριβῶς om. D στοχάζεσθαι] στοχάσασθαι ACEF 14. ἀφεὶς] ἀφεῖσθαι B 15. πλείω] immo πλεῖον 16. ὥςτε AD, caeteri ὡς τὸν Rhodomannus: libri τὸ



258 φέροντα, καὶ φοβηθείς, ἔκρυψεν ἑαυτὸν εἰς χαλκοῦν πίθον. ἅμα δὲ τούτοις πραττομένοις Ἡρακλῆς κατηγωνίσατο τοὺς ὀνομαζομένους Κενταύρους διὰ τοιαύτας αἰτίας. Φόλος ἦν Κένταυρος, ἀφ' οὗ συνέβη τὸ πλησίον ὄρος Φολόην ὀνομασθῆναι· οὗτος ξενίοις δεχόμενος τὸν Ἡρακλέα τὸν κατακεχωσμένον οἴνου πίθον ἀνέῳξε. τοῦτον γὰρ μυθολογοῦσι τὸ παλαιὸν Διόνυσον παρατεθεῖσθαί τινι Κενταύρῳ, καὶ προςτάξαι τότε ἀνοῖξαι ὅταν Ἡρακλῆς παραγένηται. διόπερ ὕστερον τέτταρσι γενεαῖς ἐπιξενωθέντος αὐτοῦ μνησθῆναι τὸν Φόλον τῆς Διονύσου παραγγελίας. ἀνοιχθέντος οὖν τοῦ πίθου, καὶ τῆς εὐωδίας διὰ τὴν παλαιότητα καὶ δύναμιν τοῦ οἴνου προςπεσούσης τοῖς πλησίον οἰκοῦσι Κενταύροις, συνέβη διοιστρηθῆναι τούτους. διὸ καὶ προςπεσόντες ἀθρόοι τῇ οἰκήσει τοῦ Φόλου, καταπληκτικῶς ὥρμησαν πρὸς ἁρπαγήν. ὁ μὲν οὖν Φόλος φοβηθεὶς ἔκρυψεν ἑαυτόν, ὁ δ' Ἡρακλῆς παραδόξως συνεπλάκη τοῖς βιαζομένοις· ἔδει γὰρ διαγωνίζεσθαι πρὸς τοὺς ἀπὸ μὲν μητρὸς θεοὺς ὄντας, τὸ δὲ τάχος ἔχοντας ἵππων, ῥώμῃ δὲ διςωμάτους θῆρας, ἐμπειρίαν δὲ καὶ σύνεσιν ἔχοντας ἀνδρῶν. τῶν δὲ Κενταύρων οἱ μὲν πεύκας αὐτοῤῥίζους ἔχοντες ἐπῆεσαν, οἱ δὲ πέτρας μεγάλας, τινὲς δὲ λαμπάδας ἡμμένας, ἕτεροι δὲ βουφόνους πελέκεις. ὁ δ' ἀκαταπλήκτως ὑποστὰς ἀξίαν τῶν προκατειργασμένων συνεστήσατο μάχην. συνηγωνίζετο δ' αὐτοῖς ἡ μήτηρ Νεφέλη πολὺν ὄμβρον ἐκχέουσα, δι' οὗ τοὺς μὲν τετρασκελεῖς οὐκ ἔβλαπτε, τῷ δὲ δυσὶν ἠρεισμένῳ σκέλεσι τὴν βάσιν ὀλισθηρὰν κατεσκεύαζεν. ἀλλ' ὅμως τοῖς τοιούτοις προτερήμασι πλεονεκτοῦντας Ἡρακλῆς παραδόξως κατηγωνίσατο, καὶ τοὺς μὲν πλείστους ἀπέκτεινε, τοὺς δ' ὑπολειφθέντας φυγεῖν ἠνάγκασε. τῶν δ' ἀναιρεθέντων Κενταύρων ὑπῆρχον ἐπιφανέστατοι Δάφνις καὶ Ἀργεῖος καὶ Ἀμφίων ἔτι δὲ Ἱπποτίων καὶ Ὄρειος καὶ Ἰσοπλὴς καὶ Μελαγχαίτης, πρὸς δὲ τούτοις Θηρεὺς καὶ Δούπων καὶ Φρῖξος. τῶν δὲ διαφυγόντων τὸν κίνδυνον ὕστερον ἕκαστος τιμωρίας ἠξιώθη· Ὅμαδος μὲν γὰρ ἐν Ἀρκαδίᾳ τὴν Εὐρυ-

258. 20. ἑαυτὸν] αὐτὸν AD 21. κενταύρους] ταύρους A 23. Φολόην] Φόλον FGM 24. τὸν Ἡ.] Ἡ. D 28. τέτταρσι] πολλαῖς EGQV 30. ἀνοιχθέντος ABCD, caeteri ἀνεῳχθέντος 40. αὐτοῤῥίζους] αὐτορίζους omnes 46. δυσὶν] δυεῖν ABD ἠρεισμένῳ ABD, εἰρισμένῳ C, caeteri ἐρηρεισμένῳ 47. κατεσκεύαζεν] κατασκευάζειν BD 48. τοῖς τοιούτοις] τοὺς τοιούτους D, qui τοὺς τοιούτοις fortasse voluit 52. καὶ servarunt ACDE Ἀργεῖος] Ἀργῖος AD 53. Ὄρειος] Ὄριος A, Ὤνειρος F Ἰσοπλής] Ἰσοπλὶς CG Μελαγχαίτης] Μελαγχέτις C 56. Ὅμαδος] Ὅμαλος AB μὲν γὰρ] conf. ad p. 334. 62. ἐν Ἀρκαδίᾳ om. EV, asterisco notavit Stephanus

σθέως ἀδελφὴν Ἀλκυόνην βιασάμενος ἀνῃρέθη. ἐφ' ᾧ θαυμασθῆναι συνέβη τὸν Ἡρακλέα διαφερόντως· τὸν μὲν γὰρ ἐχθρὸν κατ' ἰδίαν ἐμίσησε, τὴν δὲ ὑβριζομένην ἐλεῶν ἐπιεικείᾳ διαφέρειν ὑπελάμβανεν. ἴδιον δέ τι συνέβη περὶ τὸν Ἡρακλέους φίλον τὸν ὀνομαζόμενον Φόλον. οὗτος γὰρ διὰ τὴν συγγένειαν θάπτων τοὺς πε- [259] πτωκότας Κενταύρους, καὶ βέλος ἔκ τινος ἐξαίρων, ὑπὸ τῆς ἀκίδος ἐπλήγη, καὶ τὸ τραῦμα ἔχων ἀνίατον ἐτελεύτησεν· ὃν Ἡρακλῆς μεγαλοπρεπῶς θάψας ὑπὸ τὸ ὄρος ἔθηκεν, ὃ στήλης ἐνδόξου γέγονε κρεῖττον· Φολόη γὰρ ὀνομαζόμενον διὰ τῆς ἐπωνυμίας μηνύει τὸν ταφέντα καὶ οὐ δι' ἐπιγραφῆς. ὁμοίως δὲ καὶ Χείρωνα τὸν ἐπὶ τῇ ἰατρικῇ θαυμαζόμενον ἀκουσίως τόξου βολῇ διέφθειρε. καὶ περὶ μὲν τῶν Κενταύρων ἱκανῶς ἡμῖν εἰρήσθω.

13 Μετὰ δὲ ταῦτ' ἔλαβε πρόσταγμα τὴν χρυσόκερων μὲν οὖσαν ἔλαφον, τάχει δὲ διαφέρουσαν, ἀγαγεῖν. τοῦτον δὲ τὸν ἆθλον συντελῶν τὴν ἐπίνοιαν ἔσχεν οὐκ ἀχρηστοτέραν τῆς κατὰ τὸ σῶμα ῥώμης. οἱ μὲν γάρ φασιν αὐτὴν ἄρκυσιν ἑλεῖν, οἱ δὲ διὰ τῆς στιβείας χειρώσασθαι καθεύδουσαν, τινὲς δὲ συνεχεῖ διωγμῷ καταπονῆσαι· πλὴν ἄνευ βίας καὶ κινδύνων διὰ τῆς κατὰ τὴν ψυχὴν ἀγχινοίας τὸν ἆθλον τοῦτον κατειργάσατο. ὁ δ' Ἡρακλῆς πρόσταγμα λαβὼν τὰς ἐκ τῆς Στυμφαλίδος λίμνης ὄρνιθας ἐξελάσαι, τέχνῃ καὶ ἐπινοίᾳ ῥᾳδίως συνετέλεσε τὸν ἆθλον. ἐπεπόλασε γάρ, ὡς ἔοικεν, ὀρνίθων πλῆθος ἀμύθητον, καὶ τοὺς ἐν τῇ πλησίον χώρᾳ καρποὺς ἐλυμαίνετο. βίᾳ μὲν οὖν ἀδύνατον ἦν χειρώσασθαι τὰ ζῷα διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους, φιλοτέχνου δ' ἐπινοίας ἡ πρᾶξις προςεδεῖτο. διόπερ κατασκευάσας χαλ-

57. θαυμασθ. συνέβη] invertit D 59. ἐλεῶν] ἑλῶν A 60. ὑπελάμβανεν] διελάμβανεν G 61. περὶ] καὶ περὶ D Φόλον] φίλον A

259. 62. συγγένειαν] εὐγένειαν AB 65. ὃν Ἡρακλῆς] ὁ δ' Ἡρακλῆς αὐτὸν CE θάψας ὑπὸ τὸ ὄρος ἔθηκεν ABD, caeteri ἔθαψεν ὑπὸ τὸ ὄρος 66. Φολόη] Φολόην ABDG, Φόλον F 67. ἐπωνυμίας AD, caeteri ὁμωνυμίας μηνύει] μηνύον A, μηνύειν BDF 68. δὲ καὶ] δὲ F 70. βολῇ] βουλῇ F διέφθειρε] διέφθηρεν D 73. ἀγαγεῖν] ἀπαγαγεῖν CE 74. τὴν ἐπίνοιαν D, caeteri ἐπίνοιαν 75. κατὰ τὸ σῶμα] τοῦ σώματος AB 76. αὐτὴν ἄρκυσιν ἑλεῖν] αὐτὴν ἀνελεῖν AB στιβείας Eichstadius, στιβίας AD, caeteri στειβίας: καὶ τῆς κοίτης addit V 77. συνεχεῖ] συνεχῆ D 79. τὸν ἆθλον τοῦτον] τὸ ἆθλον τοῦτο ABD 82. συνετέλεσε] συντελέσαι G 85. τὰ ζῷα διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους] αὐτῶν subiicit M, τὸ πλῆθος τῶν ζώων διὰ τὴν ὑ. τούτων EGQV 86. δ' D, δὲ caeteri πρᾶξις] τέχνη F



κῆν πλαταγήν, καὶ διὰ ταύτης ἐξαίσιον κατασκευάζων ψόφον, ἐξεφόβει τὰ ζῷα, καὶ πέρας τῇ συνεχείᾳ τοῦ κρότου ῥᾳδίως ἐκπολεμήσας καθαρὰν ἐποίησε τὴν λίμνην. τελέσας δὲ καὶ τοῦτον τὸν ἆθλον ἔλαβε παρ' Εὐρυσθέως πρόσταγμα τὴν αὐλὴν τοῦ Αὐγέου καθᾶραι μηδενὸς βοηθοῦντος· αὕτη δ' ἐκ πολλῶν χρόνων ἠθροισμένην κόπρον εἶχεν ἄπλατον, ἣν ὕβρεως ἕνεκεν Εὐρυσθεὺς προςέταξε καθᾶραι. ὁ δ' Ἡρακλῆς τὸ μὲν τοῖς ὤμοις ἐξενεγκεῖν ταύτην ἀπεδοκίμασεν, ἐκκλίνων τὴν ἐκ τῆς ὕβρεως αἰσχύνην· ἐπαγαγὼν δὲ τὸν Ἀλφειὸν καλούμενον ποταμὸν ἐπὶ τὴν αὐλήν, καὶ διὰ τοῦ ῥεύματος ἐκκαθάρας αὐτήν, χωρὶς ὕβρεως συνετέλεσε τὸν ἆθλον ἐν ἡμέρᾳ μιᾷ. διὸ καὶ θαυμάσαι ἄν τις τὴν ἐπίνοιαν· τὸ γὰρ ὑπερήφανον τοῦ προστάγματος χωρὶς αἰσχύνης ἐπετέλεσεν, οὐδὲν ὑπομείνας ἀνάξιον τῆς ἀθανασίας. μετὰ δὲ ταῦτα λαβὼν ἆθλον τὸν ἐκ Κρήτης ταῦρον [260] ἀγαγεῖν, οὗ Πασιφάην ἐρασθῆναί φασι, πλεύσας εἰς τὴν νῆσον, καὶ Μίνω τὸν βασιλέα συνεργὸν λαβών, ἤγαγεν αὐτὸν εἰς Πελοπόννησον, τὸ τηλικοῦτον πέλαγος ἐπ' αὐτῷ ναυστοληθείς.

Τελέσας δὲ τοῦτον τὸν ἆθλον τὸν Ὀλυμπιακὸν ἀγῶ- 14
να συνεστήσατο, κάλλιστον τῶν τόπων πρὸς τηλικαύτην πανήγυριν προκρίνας τὸ παρὰ τὸν Ἀλφειὸν ποταμὸν πεδίον, ἐν ᾧ τὸν ἀγῶνα τοῦτον τῷ Διὶ τῷ πατρίῳ καθιέρωσε. στεφανίτην δ' αὐτὸν κατεσκεύασεν, ὅτι καὶ αὐτὸς εὐηργέτησε τὸ γένος τῶν ἀνθρώπων οὐδένα λαβὼν μισθόν. τὰ δὲ ἀθλήματα πάντα αὐτὸς ἀδηρίτως ἐνίκησε, μηδενὸς τολμήσαντος αὐτῷ συγκριθῆναι διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς, καίπερ τῶν ἀθλημάτων ἐναντίων ἀλλήλοις ὄντων· τὸν γὰρ πύκτην ἢ παγκρατιαστὴν τοῦ σταδιέως δύςκολον περιγενέσθαι, καὶ πάλιν τὸν ἐν τοῖς κούφοις ἀθλήμασι πρωτεύοντα [καταγωνίσασθαι] τοὺς ἐν τοῖς βαρέσιν ὑπερέχοντας δυςχερὲς καταπονῆσαι. διό-

87. πλαταγήν] πλατάνην A, caeteri πλατάγην: καὶ τύμπανον addit V 89. ἐκπολεμήσας] ἐκπολιορκήσας B 92. τοῦ] τὴν D Αὐγέου C, Αὐγαίου ABD, Aegei Poggius, caeteri Αὐγείου 93. χρόνων ABD, caeteri ἐτῶν 94. ἄπλατον ABD, caeteri ἄπλετον 95. τοῖς — 96. ἀπεδ. om. A 96. ταύτην CDEG, caeteri αὐτὴν ἀνάξιον ἔκρινεν addit E, post ταύτην pro ἀπεδοκίμασεν, ut videtur 97. ἐπαγαγὼν] ἐπαγωγὸν D Ἀλφειὸν ABD, caeteri Πηνειὸν καλούμενον om. EV, asterisco notavit Stephanus 98. αὐλὴν] αὐτὴν F 100. ἄν τις] τις ἂν D

260. 5. ἤγαγεν αὐτὸν ABD, caeteri ἤγαγεν 7. αὐτῷ AB(D)E, caeteri αὐτὸν 8. Ὀλυμπιακὸν E, caeteri Ὀλυμπικὸν 12. κατεσκεύασεν] ἐποίησεν D 18. καὶ — 19. καταγων. om. FM 19. καταγωνίσασθαι delet Rhodomannus καταπονῆσαι praeteriit Poggius, κατανοῆσαι AB

περ εἰκότως ἐγένετο τιμιώτατος ἁπάντων τῶν ἀγώνων οὗτος, τὴν ἀρχὴν ἀπ' ἀγαθοῦ λαβών. οὐκ ἄξιον δὲ παραλιπεῖν οὐδὲ τὰς ὑπὸ τῶν θεῶν δοθείσας αὐτῷ δωρεὰς διὰ τὴν ἀρετήν. ἀπὸ γὰρ τῶν πολέμων τραπέντος αὐτοῦ πρὸς ἀνέσεις τε καὶ πανηγύρεις ἔτι δὲ ἑορτὰς καὶ ἀγῶνας, ἐτίμησαν αὐτὸν δωρεαῖς οἰκείαις ἕκαστος τῶν θεῶν, Ἀθηνᾶ μὲν πέπλῳ, Ἥφαιστος δὲ ῥοπάλῳ καὶ θώρακι· καὶ πρὸς ἀλλήλους ἐφιλοτιμήθησαν οἱ προειρημένοι θεοὶ κατὰ τὰς τέχνας, τῆς μὲν πρὸς εἰρηνικὴν ἀπόλαυσιν καὶ τέρψιν, τοῦ δὲ πρὸς τὴν τῶν πολεμικῶν κινδύνων ἀσφάλειαν. τῶν δ' ἄλλων Ποσειδῶν μὲν ἵππους ἐδωρήσατο, Ἑρμῆς δὲ ξίφος, Ἀπόλλων δὲ τόξον τε ἔδωκε καὶ τοξεύειν ἐδίδαξε, Δημήτηρ δὲ πρὸς τὸν καθαρμὸν τοῦ Κενταύρων φόνου τὰ μικρὰ μυστήρια συνεστήσατο, τὸν Ἡρακλέα τιμῶσα. ἴδιον δέ τι συνέβη καὶ κατὰ τὴν γένεσιν τοῦ θεοῦ τούτου συντελεσθῆναι. Ζεὺς γὰρ πρώτῃ μὲν ἐμίγη γυναικὶ θνητῇ Νιόβῃ τῇ Φορωνέως, ἐσχάτῃ δ' Ἀλκμήνῃ· ταύτην δ' ἀπὸ Νιόβης ἑκκαιδεκάτην οἱ μυθογράφοι γενεαλογοῦσιν· εἰς δὲ τὸ γεννᾶν ἀνθρώπους ἐκ μὲν τῶν ταύτης προγόνων ἤρξατο, εἰς αὐτὴν δὲ ταύτην κατέληξεν· ἐν ταύτῃ γὰρ τὰς πρὸς θνητὴν ὁμιλίας κατέλυσε, καὶ κατὰ τοὺς ὕστερον χρόνους οὐδένα τούτων γεννήσειν ἄξιον ἐλπίζων οὐκ ἐβουλήθη τοῖς κρείττοσιν ἐπεισάγειν τὰ χείρω.

15 Μετὰ δὲ ταῦτα τῶν περὶ τὴν Παλλήνην γιγάντων 261 ἑλομένων τὸν πρὸς τοὺς ἀθανάτους πόλεμον, Ἡρακλῆς τοῖς θεοῖς συναγωνισάμενος, καὶ πολλοὺς ἀνελὼν τῶν γηγενῶν, ἀποδοχῆς ἔτυχε τῆς μεγίστης. Ζεὺς γὰρ τοὺς μὲν συναγωνισαμένους τῶν θεῶν μόνους ὠνόμασεν Ὀλυμπίους, ἵνα τῇ ταύτης τιμῇ ὁ ἀγαθὸς κοσμηθεὶς ἐπωνυμίᾳ διαφέρῃ τοῦ χείρονος· ἠξίωσε δὲ ταύτης τῆς προσηγορίας τῶν ἐκ θνητῶν γυναικῶν γενομένων Διό-

22. τῶν ἀγώνων οὗτος] οὗτος τῶν ἀγώνων D *cum nota transpositionis* ἀρχὴν ABD Poggius, caeteri ὑπεροχὴν 28. πέπλῳ] ἀμπέλῳ FGM, καὶ θώρακι addit C δὲ om. D
29. πρὸς ἀλλήλους] προσαλλήλως A 32. δ' D, caeteri δὲ
36. τιμῶσα] τιμῆσαι B, τιμήσασα A 38. πρώτῃ] πρῶτον D
39. τῇ] τοῦ G δ' D, caeteri δὲ Ἀλκμήνῃ] *Semele* Poggius
40. δ' D, caeteri δὲ μυθογράφοι] μυθολόγοι EGQV 41. εἰς δὲ τὸ] an ὥστε τοῦ? 43. τὰς πρὸς θνητὴν ὁμιλίας] τὴν πρὸς τὰς θνητὰς ὁμιλίαν Eusebius 44. κατέλυσε ABC, κατέλυσεν D Eusebius, caeteri κατέπαυσε 45. ἐβουλήθη] ἐκολούθη G, ἠβουλήθει B

261. 47. ἑλομένων] verius fortasse ἀνελομένων 52. τῇ ταύτης] sententia esse debet quam Poggius reddidit, *ut hoc cognominis honore bonus a malo internosceretur*: nunc verba disiecta sunt



νυσον καὶ Ἡρακλέα, οὐ μόνον ὅτι πατρὸς ἦσαν Διός, ἀλλ' ὅτι καὶ τὴν προαίρεσιν ὁμοίαν ἔσχον, εὐεργετήσαντες μεγάλα τὸν βίον τῶν ἀνθρώπων. Ζεὺς δέ, Προμηθέως παραδόντος τὸ πῦρ τοῖς ἀνθρώποις, δεσμοῖς κατελάβετο καὶ παρέστησεν ἀετὸν τὸν ἐσθίοντα τὸ ἧπαρ αὐτοῦ. Ἡρακλῆς δὲ ὁρῶν τῆς τιμωρίας αὐτὸν τυγχάνοντα διὰ τὴν τῶν ἀνθρώπων εὐεργεσίαν, τὸν μὲν ἀετὸν κατετόξευσε, τὸν δὲ Δία πείσας λῆξαι τῆς ὀργῆς ἔσωσε τὸν κοινὸν εὐεργέτην. μετὰ δὲ ταῦτα ἔλαβεν ἆθλον ἀγαγεῖν τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους. αὗται δὲ χαλκᾶς μὲν φάτνας εἶχον διὰ τὴν ἀγριότητα, ἁλύσεσι δὲ σιδηραῖς διὰ τὴν ἰσχὺν ἐδεσμεύοντο, τροφὴν δ' ἐλάμβανον οὐ τὴν ἐκ γῆς φυομένην, ἀλλὰ τὰ τῶν ξένων μέλη διαιρούμεναι τροφὴν εἶχον τὴν συμφορὰν τῶν ἀκληρούντων. ταύτας ὁ Ἡρακλῆς βουλόμενος χειρώσασθαι, τὸν κύριον Διομήδην παρέβαλε, καὶ ταῖς τοῦ παρανομεῖν διδάξαντος σαρξὶν ἐκπληρώσας τὴν ἔνδειαν τῶν ζῴων εὐπειθεῖς ἔσχεν. Εὐρυσθεὺς δέ, ἀχθεισῶν πρὸς αὐτὸν τῶν ἵππων, ταύτας μὲν ἱερὰς ἐποίησεν Ἥρας, ὧν τὴν ἐπιγονὴν συνέβη διαμεῖναι μέχρι τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος βασιλείας. τοῦτον δὲ τὸν ἆθλον ἐπιτελέσας, μετ' Ἰάσονος συνεξέπλευσε συστρατεύσων ἐπὶ τὸ χρυσόμαλλον δέρος εἰς Κόλχους. ἀλλὰ περὶ μὲν τούτων ἐν τῇ τῶν Ἀργοναυτῶν στρατείᾳ τὰ κατὰ μέρος διέξιμεν.

16 Ἡρακλῆς δὲ λαβὼν πρόσταγμα τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ἐνεγκεῖν ζωστῆρα τὴν ἐπὶ τὰς Ἀμαζόνας στρατείαν ἐποιήσατο. πλεύσας οὖν εἰς τὸν ἀπ' ἐκείνου Εὔξεινον κληθέντα Πόντον, καὶ καταπλεύσας ἐπὶ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος ποταμοῦ, πλησίον Θεμισκύρας πόλεως κατεστρατοπέδευσεν, ἐν ᾗ τὰ βασίλεια τῶν Ἀμαζόνων ὑπῆρχε. καὶ τὸ μὲν πρῶτον ᾔτει παρ' αὐτῶν τὸν προστεταγμένον ζωστῆρα· ὡς δ' οὐχ ὑπήκουον, συνῆψε μάχην αὐταῖς. τὸ μὲν οὖν ἄλλο πλῆθος αὐτῶν ἀντετά-

56. ἀλλὰ διότι ACDE, caeteri ἀλλ' ὅτι ἔσχον] εἶχον CEFQ
57. τὸν βίον] τὸ γένος AB 59. 62. ἀετὸν (D)EF, caeteri αἰετὸν 65. χαλκᾶς] χαλκοῦ A 68. τὰ τῶν AB(D)FG, caeteri τῶν ξένων ABC(D)FGM, caeteri addunt ἀνθρώπων, quod asterisco notavit Stephanus 70. τὸν ABC(D)E, caeteri addunt ἴδιον, asterisco notatum ab Stephano Διομήδην D, caeteri Διομήδη παρέβαλε B(D), caeteri παρέλαβε 71. παρανομεῖν] παραμεῖναι EV, ὑπερμεῖναι C: καὶ ἐθισθῆναι σαρκοφαγίαν, quae addunt caeteri, omittunt AC(D)MU, asterisco notavit Stephanus
77. συνεξέπλευσε AB, (— εν) D, caeteri ἔπλευσε συστρατεύσων] συστρατεύων AB 78. δέρος A, caeteri δέρας 79. διέξιμεν] διέξειμεν D 86. Ἀμαζόνων] Ἀμαζονίδων CE ὑπῆρχε] ὑπῆρχον FG

χθη τοῖς πολλοῖς· αἱ δὲ τιμιώταται κατ' αὐτὸν 262 ταχθεῖσαι τὸν Ἡρακλέα μάχην καρτερὰν συνεστήσαντο. πρώτη μὲν γὰρ αὐτῷ συνάψασα μάχην Ἄελλα καὶ διὰ τὸ τάχος ταύτης τετευχυῖα τῆς προςηγορίας ὀξύτερον εὗρεν αὐτῆς τὸν ἀντιταχθέντα. δευτέρα δὲ Φιλιππὶς εὐθὺς ἐκ τῆς πρώτης συστάσεως καιρίᾳ πληγῇ περιπεσοῦσα διεφθάρη. μετὰ δὲ ταῦτα Προθόη συνῆψε μάχην, ἣν ἐκ προκλήσεως ἔφασαν ἑπτάκις νενικηκέναι τὸν ἀντιταξάμενον. πεσούσης δὲ καὶ ταύτης, τετάρτην ἐχειρώσατο τὴν ὀνομαζομένην Ἐρίβοιαν. αὕτη δὲ διὰ τὴν ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδραγαθίαν καυχωμένη μηδενὸς χρείαν ἔχειν βοηθοῦ, ψευδῆ τὴν ἐπαγγελίαν ἔσχε κρείττονι περιπεσοῦσα. μετὰ δὲ ταύτας Κελαινὼ καὶ Εὐρυβία καὶ Φοίβη, Ἀρτέμιδος οὖσαι συγκυνηγοὶ καὶ διὰ παντὸς εὐστόχως ἀκοντίζουσαι, τὸν ἕνα σκοπὸν οὐκ ἔτρωσαν, ἀλλ' ἑαυταῖς συνασπίζουσαι πᾶσαι τότε κατεκόπησαν. μετὰ δὲ ταύτας Δηιάνειραν καὶ Ἀστερίαν καὶ Μάρπην ἔτι δὲ Τέκμησσαν καὶ Ἀλκίππην ἐχειρώσατο. αὕτη δὲ ὀμόσασα παρθένος διαμένειν, τὸν μὲν ὅρκον διετήρησε, τὸ δὲ ζῆν οὐ διεφύλαξεν. ἡ δὲ τὴν στρατηγίαν ἔχουσα τῶν Ἀμαζόνων Μελανίππη καὶ θαυμαζομένη μάλιστα δι' ἀνδρείαν ἀπέβαλε τὴν ἡγεμονίαν. Ἡρακλῆς δὲ τὰς ἐπιφανεστάτας τῶν Ἀμαζονίδων ἀνελὼν καὶ τὸ λοιπὸν πλῆθος φυγεῖν συναναγκάσας κατέκοψε τὰς πλείστας, ὥςτε παντελῶς τὸ ἔθνος αὐτῶν συντριβῆναι. τῶν δὲ αἰχμαλωτίδων Ἀντιόπην μὲν ἐδωρήσατο Θησεῖ, Μελανίππην δὲ ἀπελύτρωσεν ἀντιλαβὼν τὸν ζωστῆρα.

17 Εὐρυσθέως δὲ προστάξαντος ἆθλον δέκατον τὰς Γηρυόνου βοῦς ἀγαγεῖν, ἃς νέμεσθαι συνέβαινε τῆς Ἰβηρίας ἐν τοῖς πρὸς τὸν Ὠκεανὸν κεκλιμένοις μέρεσιν, Ἡρακλῆς θεωρῶν τὸν πόνον τοῦτον μεγάλης προςδεόμενον κακοπαθείας καὶ παρασκευῆς, συνεστήσατο στόλον ἀξιόλογον καὶ πλῆθος στρατιωτῶν ἀξιόχρεων ἐπὶ ταύτην τὴν στρατείαν. διεβεβόητο γὰρ κατὰ πᾶσαν τὴν οἰκουμένην ὅτι Χρυσάωρ ὁ λαβὼν ἀπὸ τοῦ πλούτου τὴν προςηγορίαν βασιλεύει μὲν ἁπάσης Ἰβηρίας, τρεῖς δ' ἔχει συναγωνιστὰς υἱούς, διαφέροντας ταῖς τε ῥώμαις τῶν σωμάτων καὶ ταῖς ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδραγαθίαις, πρὸς δὲ τούτοις ὅτι τῶν υἱῶν ἕκαστος μεγάλας ἔχει δυνάμεις συνεστώσας ἐξ ἀνδρῶν μαχίμων· ὧν δὴ χάριν ὁ μὲν Εὐρυσθεὺς νομίζων δυςέφικτον εἶναι τὴν ἐπὶ τούτους στρατείαν, προςετετάχει τὸν προειρημένον ἆθλον. ὁ δ' Ἡρακλῆς ἀκολούθως ταῖς προκατειργασμέναις πράξεσι 263 τεθαῤῥηκότως ὑπέστη τοὺς κινδύνους. καὶ τὰς μὲν δυνάμεις ἤθροισεν εἰς Κρήτην, κεκρικὼς ἐκ ταύτης ποιεῖσθαι τὴν ὁρμήν· σφόδρα γὰρ εὐφυῶς ἡ νῆσος αὕτη κεῖται πρὸς τὰς ἐφ' ὅλην τὴν οἰκουμένην στρατείας· πρὸ δὲ τῆς ἀναγωγῆς τιμηθεὶς ὑπὸ τῶν ἐγχωρίων μεγαλοπρεπῶς, καὶ βουλόμενος τοῖς Κρησὶ χαρίσασθαι καθαρὰν ἐποίησε τὴν νῆσον τῶν θηρίων. διόπερ ἐν τοῖς ὕστερον χρόνοις οὐδὲν ἔτι τῶν ἀγρίων ζῴων ὑπῆρχεν ἐν τῇ νήσῳ, οἷον ἄρκτων, λύκων, ὄφεων ἢ τῶν ἄλλων τῶν τοιούτων. ταῦτα δ' ἔπραξεν ἀποσεμνύνων τὴν νῆσον, ἐν ᾗ μυθολογοῦσι καὶ γενέσθαι καὶ τραφῆναι τὸν Δία. ποιησάμενος οὖν τὸν ἐκ ταύτης πλοῦν κατῆρεν εἰς τὴν Λιβύην, καὶ πρῶτον μὲν Ἀνταῖον τὸν ῥώμῃ σώματος καὶ παλαίστρας ἐμπειρίᾳ διαβεβοημένον καὶ τοὺς ὑπ' αὐτοῦ καταπαλαισθέντας ξένους ἀποκτείναντα προκαλεσάμενος εἰς μάχην καὶ συμπλακεὶς διέφθειρεν. ἀκολούθως δὲ τούτοις τὴν μὲν Λιβύην πλήθουσαν ἀγρίων ζῴων πολλὰ τῶν κατὰ τὴν ἔρημον χώραν χειρωσάμενος ἐξημέρωσεν, ὥςτε καὶ γεωργίαις καὶ ταῖς ἄλλαις φυτείαις ταῖς τοὺς καρποὺς παρασκευαζούσαις πληρωθῆναι πολλὴν μὲν ἀμπελόφυτον πολλὴν δὲ ἐλαιοφόρον· καθόλου δὲ τὴν Λιβύην διὰ τὸ πλῆθος τῶν κατὰ τὴν χώραν θηρίων ἀοίκητον πρότερον οὖσαν ἐξημερώσας ἐποίησε μηδεμιᾶς χώ-

89. τιμιώταται ABD, caeteri ἐπισημόταται
262. 91. συνάψασα om. FG 94. Φιλιππὶς D Bipont., Φιλίππης C, Φίλιππος FG, caeteri Φίλιππις 95. καιρίᾳ] καιρίῳ A et D Wesselingii 96. Προθόη] Προθὸν F, Προθόνη G 99. Ἐρίβοιαν] Eurybiam Poggius 100. ἀγῶσιν ABCDEQ, caeteri ἔργοις 1. χρείαν] χάριν χρείας ABD 3. Εὐρυβία] Εὐρυαία GQ Ἀρτέμιδος] τῆς Ἀρτέμιδος A et D Bipont. 4. εὐστόχως] εὐστόχως μάχως C 5. σκοπὸν] στοχὸν B ἑαυταῖς] ἑαυταὶ B 6. πᾶσαι τότε] invertit D ταύτας] ταῦτα F 7. Ἀστερίαν] Ἀστέρειαν FG 8. Ἀλκίππην] Χαλκίππην AB et D Bipont. 9. διαμένειν AB et D Wesselingii, οὖσα διαμένειν CEGQ, caeteri εἶναι: διαμενεῖν ed. Wessel. tacente D διετήρησε] ἐτήρησε AB, ἐφύλαξεν D Bipont. 10. διεφύλαξεν] διετήρεν D Bipont. Ἀμαζόνων AB et D Wesselingii, caeteri Ἀμαζονίδων 11. 16. Μελανίππη] Menalippe Poggius 17. ἀπελύτρωσεν] ἀπέλυσεν A 21. ἐν τοῖς] ἐντὸς E Ὠκεανὸν] ποταμὸν addunt AB

23. κακοπαθείας καὶ παρασκευῆς] παρασκευῆς καὶ κακοπαθείας D Bipont. 25. κατὰ πᾶσαν AB et D Wesselingii, caeteri καθ' ὅλην
29. ταῖς — ἀγῶσιν ἀνδραγαθίαις ABCD, ταῖς — ἔργοις ἀνδραγαθίαις F, caeteri ταῖς (τοῖς QV) — ἔργοις ἀνδραγαθήμασι ἐν τοῖς] ἐν ABCE et D Wesselingii 31. ἀνδρῶν] ἐθνῶν ABD 33. τούτους D, τοῦτον AB, caeteri τούτοις
263. 39. ἀναγωγῆς] ἀγωγῆς AB 41. νῆσον] Κρήτην AB 43. ζῴων] θηρίων AB ὑπῆρχεν] ὑπῆρχον F ἄρκτων] ἄρκων DFG 44. τῶν τοιούτων] τοιούτων D 47. πλοῦν] ἔκπλουν D
50. προκ.] προςκ. BC 55. ἀμπελ.] χώραν addit D 56. ἐλαιοφόρον ABC(D)EGQV: post id χώραν om. B(D): caeteri ἐλαιόφυτον 57. ἀοίκητον] ἀνίκητον F 58. πρότερον] πρῶτον AB

ρας εὐδαιμονίᾳ λείπεσθαι. ὁμοίως δὲ καὶ τοὺς παρανομοῦντας ἀνθρώπους ἢ δυνάστας ὑπερηφάνους ἀποκτείνας τὰς πόλεις ἐποίησεν εὐδαίμονας. μυθολογοῦσι δ' αὐτὸν διὰ τοῦτο μισῆσαι καὶ πολεμῆσαι τὸ γένος τῶν ἀγρίων θηρίων καὶ παρανόμων ἀνδρῶν, ὅτι παιδὶ μὲν ὄντι νηπίῳ συνέβη τοὺς ὄφεις ἐπιβούλους αὐτῷ γενέσθαι, ἀνδρωθέντι δὲ πεσεῖν ὑπ' ἐξουσίαν ὑπερηφάνου καὶ ἀδίκου μονάρχου τοῦ τοὺς ἄθλους προςτάττοντος.

18 Μετὰ δὲ τὸν Ἀνταίου θάνατον παρελθὼν εἰς Αἴγυπτον ἀνεῖλε Βούσιριν τὸν βασιλέα ξενοκτονοῦντα τοὺς παρεπιδημοῦντας. διεξιὼν δὲ τὴν ἄνυδρον τῆς Λιβύης, καὶ περιτυχὼν χώρᾳ καταῤῥύτῳ καὶ καρποφόρῳ, πόλιν ἔκτισε θαυμαστὴν τῷ μεγέθει, τὴν ὀνομαζομένην Ἑκατόμπυλον, ᾗ ἔθετο τὴν προςηγορίαν ἀπὸ τοῦ πλήθους τῶν κατ' αὐτὴν πυλῶν. διαμεμένηκε δὲ ἡ ταύτης τῆς πόλεως εὐδαιμονία μέχρι τῶν νεωτέρων καιρῶν, ἐν οἷς καὶ Καρχηδόνιοι δυνάμεσιν ἀξιολόγοις καὶ στρατηγοῖς ἀγαθοῖς στρατεύσαντες ἐπ' αὐτὴν κύριοι κατέστησαν. ὁ δ' Ἡρακλῆς πολλὴν τῆς Λιβύης ἐπελθὼν παρῆλθεν ἐπὶ τὸν πρὸς Γαδείροις Ὠκεανόν, καὶ στήλας ἔθετο καθ' ἑκατέραν τῶν ἠπείρων. συμπαραπλέοντος δὲ τοῦ στόλου 264 διαβὰς εἰς τὴν Ἰβηρίαν, καὶ καταλαβὼν τοὺς Χρυσάορος υἱοὺς τρισὶ δυνάμεσι μεγάλαις κατεστρατοπεδευκότας ἐκ διαστήματος, πάντας τοὺς ἡγεμόνας ἐκ προκλήσεως ἀνελὼν καὶ τὴν Ἰβηρίαν χειρωσάμενος ἀπήλασε τὰς διωνομασμένας τῶν βοῶν ἀγέλας. διεξιὼν δὲ τὴν τῶν Ἰβήρων χώραν, καὶ τιμηθεὶς ὑπό τινος τῶν ἐγχωρίων βασιλέως, ἀνδρὸς εὐσεβείᾳ καὶ δικαιοσύνῃ διαφέροντος, κατέλιπε μέρος τῶν βοῶν ἐν δωρεαῖς τῷ βασιλεῖ. ὁ δὲ λαβὼν ἁπάσας καθιέρωσεν Ἡρακλεῖ, καὶ κατ' ἐνιαυτὸν ἐκ τούτων ἔθυεν αὐτῷ τὸν καλλιστεύοντα τῶν ταύρων· τὰς δὲ βοῦς τηρουμένας συνέβη ἱερὰς διαμεῖναι κατὰ τὴν Ἰβηρίαν μέχρι τῶν καθ' ἡμᾶς καιρῶν. ἡμεῖς δ' ἐπεὶ περὶ τῶν Ἡρακλέους στηλῶν ἐμνήσθημεν, οἰκεῖον εἶναι νομίζομεν περὶ αὐτῶν διελθεῖν. Ἡρακλῆς γὰρ παραβαλὼν εἰς τὰς ἄκρας τῶν ἠπείρων τὰς παρὰ τὸν Ὠκεανὸν κειμένας τῆς τε Λιβύης καὶ τῆς Εὐρώπης

62. καὶ πολεμῆσαι om. AD 66. προςτάττοντος D, caeteri προςτάσσοντος 71. ἑκατόμπυλον] ἑκατόνπυλον D 72. ᾗ] ἧς ABD 73. διαμεμένηκε ABD, caeteri διέμεινε 78. Γαδείροις AB(D)E, caeteri Γαδείρους

264. 81. μεγάλαις] μεγάλοις FG, omittunt CE, asterisco notavit Stephanus 83. τὴν] περὶ τὴν AB 88. δωρεαῖς ABD, caeteri δωρεᾷ 94. παραβαλὼν] παραλαβὼν B εἰς] πρὸς FG

95. τῆς τε Λιβύης καὶ τῆς Εὐρώπης om. FGM, asterisco notavit Stephanus



ἔγνω τῆς στρατείας θέσθαι στήλας ταύτας. βουλόμενος δ' ἀείμνηστον ἔργον ἐπ' αὐτῷ συντελέσαι, φασὶ τὰς ἄκρας ἀμφοτέρας ἐπὶ πολὺ προςχῶσαι. διὸ καὶ πρότερον διεστηκυίας ἀπ' ἀλλήλων πολὺ διάστημα, συναγαγεῖν τὸν πόρον εἰς στενόν, ὅπως ἀλιτενοῦς καὶ στενοῦ γενομένου κωλύηται τὰ μεγάλα κήτη διεκπίπτειν ἐκ τοῦ Ὠκεανοῦ πρὸς τὴν ἐντὸς θάλατταν, ἅμα δὲ καὶ διὰ τὸ μέγεθος τῶν ἔργων μένῃ ἀείμνηστος ἡ δόξα τοῦ κατασκευάσαντος, ὡς δέ τινες φασι, τοὐναντίον τῶν ἠπείρων ἀμφοτέρων συνεζευγμένων, διασκάψαι ταύτας, καὶ τὸν πόρον ἀνοίξαντα ποιῆσαι τὸν Ὠκεανὸν μίσγεσθαι τῇ καθ' ἡμᾶς θαλάττῃ. ἀλλὰ περὶ μὲν τούτων ἐξέσται σκοπεῖν ὡς ἂν ἕκαστος ἑαυτὸν πείθῃ. τὸ παραπλήσιον δὲ τούτοις ἔπραξε πρότερον κατὰ τὴν Ἑλλάδα. περὶ μὲν γὰρ τὰ καλούμενα Τέμπη τῆς πεδιάδος χώρας ἐπὶ πολὺν τόπον λιμναζούσης, διέσκαψε τὸν συνεχῆ τόπον, καὶ κατὰ τῆς διώρυγος δεξάμενος ἅπαν τὸ κατὰ τὴν λίμνην ὕδωρ ἐποίησε τὰ πεδία φανῆναι τὰ κατὰ τὴν Θετταλίαν παρὰ τὸν Πηνειὸν ποταμόν. ἐν δὲ τῇ Βοιωτίᾳ τοὐναντίον ἐμφράξας τὸ περὶ τὸν Μινύειον Ὀρχομενὸν ῥεῖθρον ἐποίησε λιμνάζειν τὴν χώραν καὶ φθαρῆναι τὰ κατ' αὐτὴν ἅπαντα. ἀλλὰ τὰ μὲν κατὰ τὴν Θετταλίαν ἔπραξεν εὐεργετῶν τοὺς Ἕλληνας, τὰ δὲ κατὰ τὴν Βοιωτίαν τιμωρίαν λαμβάνων παρὰ τῶν τὴν Μινυάδα κατοικούντων διὰ τὴν τῶν Θηβαίων καταδούλωσιν.

19 Ὁ δ' οὖν Ἡρακλῆς τῶν μὲν Ἰβήρων παρέδωκε τὴν βασιλείαν τοῖς ἀρίστοις τῶν ἐγχωρίων, αὐτὸς δ' ἀναλαβὼν τὴν δύναμιν καὶ καταντήσας εἰς τὴν Κελτικὴν καὶ 265 πᾶσαν ἐπελθών, κατέλυσε μὲν τὰς συνήθεις παρανομίας καὶ ξενοκτονίας, πολλοῦ δὲ πλήθους ἀνθρώπων ἐκ παντὸς ἔθνους ἑκουσίως συστρατεύοντος, ἔκτισε πόλιν εὐμεγέθη τὴν ὀνομαζομένην ἀπὸ τῆς κατὰ τὴν στρατείαν ἄλης Ἀλησίαν. πολλοὺς δὲ καὶ τῶν ἐγχωρίων ἀνέμιξεν εἰς τὴν πόλιν· ὧν ἐπικρατησάντων τῷ πλήθει πάντας τοὺς ἐνοι-

97. βουλόμενος] fort. βουλόμενον 99. προςχῶσαι] προχῶσαι DF 1. ἀλιτενοῦς καὶ om. CE, asterisco notavit Stephanus 2. κήτη] κήτει D 4. μένῃ om. AD 7. τῇ — θαλάττῃ] τῆς — θαλάττης B 8. ἐξέσται σκοπεῖν D, ἔξεστι σκοπεῖν A, caeteri σκοπεῖν ἐξέσται 16. ἐμφράξας] διαφράξας AB Μινύειον Ὀρχομενὸν AB(D)E, Μινύην ἐρχόμενον GQV, Μινύειν ἐρχόμενον C, caeteri Μινυεινὸν, *Minei fluminis* Poggius 22. οὖν om. ADF, asterisco notavit Stephanus

265. 27. συστρατεύοντος] συστρατεύσαντος EGQV 28. ὀνομαζομένην] ὀνομασθεῖσαν D 31. ἐνοικοῦντας ABDG, caeteri κατοικοῦντας

κοῦντας ἐκβαρβαρωθῆναι συνέβη. οἱ δὲ Κελτοὶ μέχρι τῶνδε τῶν καιρῶν τιμῶσι ταύτην τὴν πόλιν, ὡς ἁπάσης τῆς Κελτικῆς οὖσαν ἑστίαν καὶ μητρόπολιν. διέμεινε δ' αὕτη πάντα τὸν ἀφ' Ἡρακλέους χρόνον ἐλευθέρα καὶ ἀπόρθητος μέχρι τοῦ καθ' ἡμᾶς χρόνου· τὸ δὲ τελευταῖον ὑπὸ Γαΐου Καίσαρος τοῦ διὰ τὸ μέγεθος τῶν πράξεων θεοῦ προςαγορευθέντος ἐκ βίας ἁλοῦσα συνηναγκάσθη μετὰ τῶν ἄλλων Κελτῶν ὑποταγῆναι Ῥωμαίοις. ὁ δ' Ἡρακλῆς τὴν ἐκ τῆς Κελτικῆς πορείαν ἐπὶ τὴν Ἰταλίαν ποιούμενος καὶ διεξιὼν τὴν ὀρεινὴν τὴν κατὰ τὰς Ἄλπεις ὡδοποίησε τὴν τραχύτητα τῆς ὁδοῦ καὶ τὸ δύςβατον, ὥςτε δύνασθαι στρατοπέδοις καὶ ταῖς τῶν ὑποζυγίων ἀποσκευαῖς βάσιμον εἶναι. τῶν δὲ τὴν ὀρεινὴν ταύτην κατοικούντων βαρβάρων εἰωθότων τὰ διεξιόντα τῶν στρατοπέδων περικόπτειν καὶ λῃστεύειν ἐν ταῖς δυςχωρίαις, χειρωσάμενος ἅπαντας καὶ τοὺς ἡγεμόνας τῆς παρανομίας ἀνελὼν ἐποίησεν ἀσφαλῆ τοῖς μεταγενεστέροις τὴν ὁδοιπορίαν. διελθὼν δὲ τὰς Ἄλπεις καὶ τῆς νῦν καλουμένης Γαλατίας τὴν πεδιάδα διεξιὼν ἐποιήσατο τὴν πορείαν διὰ τῆς Λιγυστικῆς.

**20** Οἱ δὲ ταύτην τὴν χώραν κατοικοῦντες Λίγυες νέμονται γῆν τραχεῖαν καὶ παντελῶς λυπράν· τῶν δ' ἐγχωρίων ταῖς ἐργασίαις καὶ ταῖς τῆς κακοπαθείας ὑπερβολαῖς φέρει καρποὺς πρὸς βίαν ὀλίγους. διὸ καὶ τοῖς ὄγκοις εἰσὶ συνεσταλμένοι καὶ διὰ τὴν συνεχῆ γυμνασίαν εὔτονοι. τῆς γὰρ κατὰ τὴν τρυφὴν ῥᾳστώνης πολὺ κεχωρισμένοι ἐλαφροὶ μὲν ταῖς εὐκινησίαις εἰσίν, ἐν δὲ τοῖς πολεμικοῖς ἀγῶσι ταῖς ἀλκαῖς διάφοροι. καθόλου δὲ τῶν πλησιοχώρων τὸ πονεῖν συνεχῶς ἠσκηκότων, καὶ τῆς χώρας πολλῆς ἐργασίας προςδεομένης, εἰθίκασι τὰς γυναῖκας τῶν κακοπαθειῶν τῶν ἐν ταῖς ἐργασίαις κοινωνοὺς ποιεῖσθαι. μισθοῦ δὲ παρ' ἀλλήλοις ἐργαζομένων τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν, ἴδιόν τι καὶ παράδοξον καθ' ἡμᾶς συνέβη περὶ μίαν γυναῖκα γενέσθαι. ἔγκυος γὰρ οὖσα καὶ μετὰ τῶν ἀνδρῶν ἐργαζομένη μισθοῦ, μεταξὺ συνεχομένη ταῖς ὠδῖσιν ἀπῆλθεν εἴς τινας θάμνους ἀθορύβως· ἐν αἷς τεκοῦσα, καὶ τὸ παιδίον φύλλοις ἐνειλήσασα, τοῦτο μὲν εἴς τινας θάμνους ἀπέ-
266 κρυψεν, αὐτὴ δὲ συμμίξασα τοῖς ἐργαζομένοις τὴν αὐτὴν ἐκείνοις ὑπέμενε κακοπάθειαν, οὐδὲν δηλώσασα περὶ τοῦ συμβεβηκότος. τοῦ δὲ βρέφους κλαυθμυριζομένου, καὶ τῆς πράξεως φανερᾶς γενομένης, ὁ μὲν ἐφεστηκὼς οὐδαμῶς ἠδύνατο πεῖσαι παύσασθαι τῶν ἔργων· ἡ δ' οὐ πρότερον ἀπέστη τῆς κακοπαθείας ἕως ὁ μισθωσάμενος ἐλεήσας καὶ τὸν μισθὸν ἀποδοὺς ἀπέλυσε τῶν ἔργων.

**21** Ἡρακλῆς δὲ διελθὼν τήν τε τῶν Λιγύων καὶ τὴν τῶν Τυῤῥηνῶν χώραν, καταντήσας πρὸς τὸν Τίβεριν ποταμὸν κατεστρατοπέδευσεν οὗ νῦν ἡ Ῥώμη ἐστίν. ἀλλ' αὕτη μὲν πολλαῖς γενεαῖς ὕστερον ὑπὸ Ῥωμύλου τοῦ Ἄρεος ἐκτίσθη, τότε δέ τινες τῶν ἐγχωρίων κατῴκουν ἐν τῷ νῦν καλουμένῳ Παλατίῳ, μικρὰν παντελῶς πόλιν οἰκοῦντες. ἐν ταύτῃ δὲ τῶν ἐπιφανῶν ὄντες ἀνδρῶν Κάκιος καὶ Πινάριος ἐδέξαντο τὸν Ἡρακλέα ξενίοις ἀξιολόγοις καὶ δωρεαῖς κεχαρισμέναις ἐτίμησαν· καὶ τούτων τῶν ἀνδρῶν ὑπομνήματα μέχρι τῶνδε τῶν καιρῶν διαμένει κατὰ τὴν Ῥώμην. τῶν γὰρ νῦν εὐγενῶν ἀνδρῶν τὸ τῶν Πιναρίων ὀνομαζόμενον γένος διαμένει παρὰ τοῖς Ῥωμαίοις, ὡς ὑπάρχον ἀρχαιότατον, τοῦ δὲ Κακίου ἐν τῷ Παλατίῳ κατάβασίς ἐστιν ἔχουσα λιθίνην κλίμακα τὴν ὀνομαζομένην ἀπ' ἐκείνου Κακίαν, οὖσαν πλησίον τῆς τότε γενομένης οἰκίας τοῦ Κακίου. ὁ δ' οὖν Ἡρακλῆς ἀποδεξάμενος τὴν εὔνοιαν τῶν τὸ Παλάτιον οἰκούντων, προεῖπεν αὐτοῖς ὅτι μετὰ τὴν ἑαυτοῦ μετάστασιν εἰς θεοὺς τοῖς εὐξαμένοις ἐκδεκατεύσειν Ἡρακλεῖ τὴν οὐσίαν συμβήσεται τὸν βίον εὐδαιμονέστερον ἕξειν· ὃ καὶ συνέβη κατὰ τοὺς ὕστερον χρόνους διαμεῖναι μέχρι τῶν καθ' ἡμᾶς χρόνων. πολλοὺς γὰρ Ῥωμαίων οὐ μόνον τῶν συμμέτρους οὐσίας κεκτημένων ἀλλὰ καὶ τῶν μεγαλοπλούτων τινὰς εὐξαμένους ἐκδεκατεύσειν Ἡρακλεῖ, καὶ

32. τιμῶσι ABD Poggius, caeteri ἐτίμων  34. ἀφ'] ἐφ' ABD  38. τῶν] πάντων τῶν D  40. πορείαν] πορείας A  42. ὥςτε] ἕως τε AB  43. ὑποζυγίων] παραζυγίων FG  45. τὰ διεξιόντα] διεξιέναι FG  46. περικόπτειν καὶ omisit F, περικόπτειν — ἡγεμόνας om. A  52. κατοικοῦντες] οἰκοῦντες BC  54. τῆς om. AB  ὑπερβολαῖς om. F  55. βίαν] βίον G  57. γὰρ om. F  63. ποιεῖσθαι] ποιῆσαι F  64. παρ' ἀλλήλοις AB, παραλλήλοις D, caeteri ἀλλήλοις  65. καθ' CD, caeteri καὶ καθ', quorum prius Stephanus asterisco notavit, neglexit etiam Poggius  66. γενέσθαι om. F, asterisco notavit Stephanus

69. ἐν αἷς A, ἐν οἷς BD, caeteri εἰς ἃς  ἐνειλήσασα] ἐνειλίσασα D

266. 72. ὑπέμενε] ὑπέμεινε AD  οὐδὲν — 73. συμβεβηκότος om. FM, asterisco notavit Stephanus  73. δὲ βρέφους] βρέφους δὲ D  79. τὴν τῶν DE, caeteri τῶν  82. Ῥωμύλου] Ῥωμύλλου D  85. ὄντες ABC(D)E, caeteri ὄντων  86. Κάκιος] Potitius Poggius  91. ὑπάρχον] ὑπάρχων F  92. Κακίου A, Κακίκιος F, caeteri Κάκιος, Potitiorum Poggius  94. Κακίαν] Potitia Poggius  95. Κακίου A, caeteri Κάκιος, Potitia Poggius  96. προεῖπεν] προείπειν B, προειπεῖν D  97. 2. ἐκδεκατεύσειν bis AB(D), caeteri bis ἐκδεκατεύειν

μετὰ ταῦτα γενομένους εὐδαίμονας, ἐκδεκατεῦσαι τὰς οὐσίας οὔσας ταλάντων τετρακισχιλίων. Λεύκολλος γὰρ ὁ τῶν καθ' αὑτὸν Ῥωμαίων σχεδόν τι πλουσιώτατος ὢν διατιμησάμενος τὴν ἰδίαν οὐσίαν κατέθυσε τῷ θεῷ πᾶσαν τὴν δεκάτην, εὐωχίας ποιῶν συνεχεῖς καὶ πολυδαπάνους. κατεσκεύασαν δὲ καὶ Ῥωμαῖοι τούτῳ τῷ θεῷ παρὰ τὸν Τίβεριν ἱερὸν ἀξιόλογον, ἐν ᾧ νομίζουσι συντελεῖν τὰς ἐκ τῆς δεκάτης θυσίας. ὁ δ' οὖν Ἡρακλῆς ἀπὸ τοῦ 267
Τιβέρεως ἀναζεύξας καὶ διεξιὼν τὴν παράλιον τῆς νῦν Ἰταλίας ὀνομαζομένης κατήντησεν εἰς τὸ Κυμαῖον πεδίον, ἐν ᾧ μυθολογοῦσιν ἄνδρας γενέσθαι ταῖς τε ῥώμαις προέχοντας καὶ ἐπὶ παρανομίᾳ διωνομασμένους, οὓς ὀνομάζεσθαι γίγαντας. ὠνομάσθαι δὲ καὶ τὸ πεδίον τοῦτο Φλεγραῖον ἀπὸ τοῦ λόφου τοῦ τὸ παλαιὸν ἄπλατον πῦρ ἐκφυσῶντος παραπλησίως τῇ κατὰ τὴν Σικελίαν Αἴτνῃ· καλεῖται δὲ νῦν ὁ τόπος Οὐεσούσιος, ἔχων πολλὰ σημεῖα τοῦ κεκαῦσθαι κατὰ τοὺς ἀρχαίους χρόνους. τοὺς δ' οὖν γίγαντας πυθομένους τὴν τοῦ Ἡρακλέους παρουσίαν ἀθροισθῆναι πάντας καὶ παρατάξασθαι τῷ προειρημένῳ. θαυμαστῆς δὲ γενομένης μάχης κατά τε τὴν ῥώμην καὶ τὴν ἀλκὴν τῶν γιγάντων, φασὶ τὸν Ἡρακλέα συμμαχούντων αὐτῷ τῶν θεῶν κρατῆσαι τῇ μάχῃ, καὶ τοὺς πλείστους ἀνελόντα τὴν χώραν ἐξημερῶσαι. μυθολογοῦνται δ' οἱ γίγαντες γηγενεῖς γεγονέναι διὰ τὴν ὑπερβολὴν τοῦ κατὰ τὸ σῶμα μεγέθους. καὶ περὶ μὲν τῶν ἐν Φλέγρᾳ φονευθέντων γιγάντων τοιαῦτα μυθολογοῦσί τινες, οἷς καὶ Τίμαιος ὁ συγγραφεὺς ἠκολούθησεν.

22 Ὁ δ' Ἡρακλῆς ἐκ τοῦ Φλεγραίου πεδίου κατελθὼν παρὰ τὴν θάλατταν κατεσκεύασεν ἔργα περὶ τὴν Ἄορνον ὀνομαζομένην λίμνην, ἱερὰν δὲ Περσεφόνης νομιζομένην.

3. γενομένους εὐδαίμονας] γενομένης εὐδαιμονίας CFGQ 4. οὔσας om. AD 10. ἐν ᾧ] ἔνθα A

267. 11. θυσίας] οὐσίας B 13. τὸ Κυμαῖον] τῶν Κυμαίων B, τὸ Κυμαίων D 14. ἄνδρας γενέσθαι ABD, caeteri ἄνδρας 15. οὓς ὀνομάζεσθαι ABD, caeteri ὀνομάζεσθαι: *tradunt fuisse homines admodum fortes et ob eorum scelera gigantes appellatos* Poggius 17. ἄπλατον AD, caeteri ἄπλετον 18. ἐκφυσῶντος] ἐκφυσσῶντος A, ante ἄπλατον ponit D 19. τόπος] malim λόφος Οὐεσούσιος] Οὐϊσούσιος B, οὗτος Ἰσούσιος A, *Vesuvius* Poggius: Οὐεσούιος Wesselingius, rectius fortasse scripturus Οὐεσούβιος 20. κεκαῦσθαι] κεκαῦθαι F, κεκλαῦσθαι D 22. τοῦ omisit D 29. Φλέγρᾳ] Φλεγραίῳ ABD 32. πεδίου] παιδίου A 33. παρὰ] ἐπὶ AB 34. λίμνην — 35. ὀνομαζ. om. F Περσεφόνης] Φερσεφόνης D 35. νομιζομένην Stephanus: libri ὀνομαζομένην



κεῖται μὲν οὖν ἡ λίμνη μεταξὺ Μισηνοῦ καὶ Δικαιαρχείων, πλησίον τῶν θερμῶν ὑδάτων· ἔχει δὲ τὴν μὲν περίμετρον ὡς πέντε σταδίων, τὸ δὲ βάθος ἄπιστον· ἔχουσα γὰρ ὕδωρ καθαρώτατον, φαίνεται τῇ χρόᾳ κυανοῦν διὰ τὴν ὑπερβολὴν τοῦ βάθους. μυθολογοῦσι δὲ τὸ μὲν παλαιὸν γεγενῆσθαι νεκυομαντεῖον πρὸς αὐτῇ, ὃ τοῖς ὕστερον χρόνοις καταλελύσθαι φασίν. ἀναπεπταμένης δὲ τῆς λίμνης εἰς τὴν θάλατταν, τὸν Ἡρακλέα λέγεται τὸν μὲν ἔκρουν ἐγχῶσαι, τὴν δ' ὁδὸν τὴν νῦν οὖσαν παρὰ θάλατταν κατασκευάσαι τὴν ἀπ' ἐκείνου καλουμένην Ἡρακλείαν. ταῦτα μὲν οὖν ἔπραξε περὶ τούτους τοὺς τόπους. ἐντεῦθεν δ' ἀναζεύξας κατήντησε τῆς Ποσειδωνιατῶν χώρας πρός τινα πέτραν, πρὸς ᾗ μυθολογοῦσιν ἴδιόν τι γενέσθαι καὶ παράδοξον. τῶν γὰρ ἐγχωρίων τινὰ κυνηγὸν ἐν τοῖς κατὰ τὴν θήραν ἀνδραγαθήμασι διωνο-
268μασμένον ἐν μὲν τοῖς ἔμπροσθεν χρόνοις εἰωθέναι τῶν ληφθέντων θηρίων τὰς κεφαλὰς καὶ τοὺς πόδας ἀνατιθέναι τῇ Ἀρτέμιδι καὶ προσηλοῦν τοῖς δένδρεσι· τότε δ' οὖν ὑπερφυῆ κάπρον χειρωσάμενον, καὶ τῆς θεοῦ καταφρονήσαντα, εἰπεῖν ὅτι τὴν κεφαλὴν τοῦ θηρίου ἑαυτῷ ἀνατίθησι, καὶ τοῖς λόγοις ἀκολούθως ἔκ τινος δένδρου κρεμάσαι ταύτην, αὐτὸν δὲ καυματώδους περιστάσεως οὔσης κατὰ τὴν μεσημβρίαν εἰς ὕπνον τραπῆναι· καθ' ὃν δὴ χρόνον τοῦ δεσμοῦ λυθέντος αὐτομάτως πεσεῖν τὴν κεφαλὴν ἐπὶ τὸν κοιμώμενον καὶ διαφθεῖραι. ἀλλὰ γὰρ οὐκ ἄν τις θαυμάσειε τὸ γεγονός, ὅτι τῆς θεᾶς ταύτης πολλαὶ περιστάσεις μνημονεύονται περιέχουσαι τὴν κατὰ τῶν ἀσεβῶν τιμωρίαν. τῷ δ' Ἡρακλεῖ διὰ τὴν εὐσέβειαν τοὐναντίον συνέβη γενέσθαι. καταντήσαντος γὰρ αὐτοῦ πρὸς τὰ μεθόρια τῆς Ῥηγίνης καὶ Λοκρίδος, καὶ διὰ τὸν ἐκ τῆς ὁδοιπορίας κόπον ἀναπαυομένου, φασὶν

35. Μισηνοῦ] Μισύνου A, Μισήνου D 36. Δικαιαρχείων] Δικαιαρχαίων A, Δικαιαρχίων D, Δικαιαρχιῶν F 39. κυανοῦν ABD, caeteri κυάνεον 40. νεκυομαντεῖον] νεκρομαντεῖον FG 42. ἀναπεπταμένης] ἀναπεπταμένος F θάλατταν] θάλασσαν D 43. ἐγχῶσαι C(D)EGQV, caeteri ἐκχῶσαι 45. ἀπ' ἐκείνου AB C(D)EGQ, caeteri νῦν Ἡρακλείαν] Ἡράκλειαν omnes 46. τούτους] ἐκείνους D 47. πρός] ἐπί A 48. πρὸς] ἐν AB

50. θήραν AB(D), caeteri χώραν: Poggius *in regione quae dicitur Andragathia*: „*videtur legisse* ἀνδραγαθίᾳ" Wesseling.

268. 53. δ' οὖν] γοῦν ABD ὑπερφυῆ] τὸν ὑπερφυῆ D 55. ἑαυτῷ ABC(D)E, caeteri αὐτῇ 57. κατὰ τὴν] κατὰ D 59. λυθέντος AC(D)FM Poggius, caeteri subiiciunt τοῦ κρατοῦντος τὴν κεφαλὴν αὐτήν, quae asterisco notavit Stephanus τὴν κεφαλὴν om. E 65. Ῥηγίνης] Ῥηγείνης D καὶ om. AD

ὑπὸ τῶν τεττίγων αὐτὸν ἐνοχλούμενον εὔξασθαι τοῖς θεοῖς ἀφανεῖς γενέσθαι τοὺς ἐνοχλοῦντας αὐτόν· καὶ διὰ τοῦτο, τῶν θεῶν βεβαιωσάντων τὴν εὐχήν, μὴ μόνον κατὰ τὸ παρὸν ἀφανεῖς γενέσθαι τούτους, ἀλλὰ καὶ κατὰ τὸν ὕστερον χρόνον ἅπαντα μηδένα κατὰ τὴν χώραν φαίνεσθαι τέττιγα. ὁ δ' οὖν Ἡρακλῆς καταντήσας ἐπὶ τὸν πορθμὸν κατὰ τὸ στενώτατον τῆς θαλάττης τὰς μὲν βοῦς ἐπεραίωσεν εἰς τὴν Σικελίαν, αὐτὸς δὲ ταύρου κέρως λαβόμενος διενήξατο τὸν πόρον, ὄντος τοῦ διαστήματος σταδίων τριῶν καὶ δέκα, ὥς Τίμαιός φησι.

23 Μετὰ δὲ ταῦτα βουλόμενος ἐγκυκλωθῆναι πᾶσαν Σικελίαν, ἐποιεῖτο τὴν πορείαν ἀπὸ Πελωριάδος ἐπὶ τὸν Ἔρυκα. διεξιόντος δ' αὐτοῦ τὴν παράλιον τῆς νήσου, μυθολογοῦσι τὰς νύμφας ἀνεῖναι θερμὰ λουτρὰ πρὸς τὴν ἀνάπαυσιν τῆς κατὰ τὴν ὁδοιπορίαν γενομένης αὐτῷ κακοπαθείας. τούτων δὲ ὄντων διττῶν, τὰ μὲν Ἱμεραῖα τὰ δ' Ἐγεσταῖα προσαγορεύεται, τὴν ὀνομασίαν ἔχοντα ταύτην ἀπὸ τῶν τόπων. τοῦ δ' Ἡρακλέους πλησιάσαντος τοῖς κατὰ τὸν Ἔρυκα τόποις, προεκαλέσατο αὐτὸν Ἔρυξ εἰς πάλην, υἱὸς μὲν ὢν Ἀφροδίτης καὶ Βούτα τοῦ τότε βασιλεύοντος τῶν τόπων. γενομένης δὲ τῆς φιλοτιμίας μετὰ προστίμου, καὶ τοῦ μὲν Ἔρυκος διδόντος τὴν χώραν, τοῦ δ' Ἡρακλέους τὰς βοῦς, τὸ μὲν πρῶτον ἀγανακτεῖν 269 τὸν Ἔρυκα, διότι πολὺ λείπονται τῆς ἀξίας αἱ βοῦς, συγκρινομένης τῆς χώρας πρὸς αὐτάς· πρὸς ταῦτα δὲ τοῦ Ἡρακλέους ἀποφαινομένου διότι, ἂν ταύτας ἀποβάλῃ, στερηθήσεται τῆς ἀθανασίας, εὐδοκήσας ὁ Ἔρυξ τῇ συνθήκῃ καὶ παλαίσας, ἐλείφθη καὶ τὴν χώραν ἀπέβαλεν. ὁ δ' Ἡρακλῆς τὴν μὲν χώραν παρέθετο τοῖς ἐγχωρίοις, συγχωρήσας αὐτοῖς λαμβάνειν τοὺς καρπούς, μέχρι ἄν τις τῶν ἐκγόνων αὐτοῦ παραγενόμενος ἀπαιτήσῃ· ὅπερ καὶ συνέβη γενέσθαι. πολλαῖς γὰρ ὕστερον

68. αὐτὸν] αὐτῷ AEQ 73. κατὰ] καὶ διὰ FG, καὶ κατὰ CD στενώτατον] libri στενότατον θαλάττης] θαλάσσης D ἐπεραίωσεν] ἐπερέωσεν D 74. εἰς — λαβόμενος desunt F 76. τριῶν καὶ δέκα (D) ed. Wessel.: ιγ ed. Steph. 77. ἐγκυκλωθῆναι] κυκλωθεῖναι A, ἐγκυκλωθεῖναι D, ἐν κύκλῳ θεῖναι G 81. γενομένης αὐτῷ] invertit D 83. Ἱμεραῖα (D) Poggius, Ἱμηραῖα (?) A, caeteri Ἡμεραῖα δ' D, caeteri δὲ Ἐγεσταῖα] Γετταῖα GM προσαγορεύεται] καλεῖται A 86. προεκ.] προσεκ. ABE πάλην] πάλιν A 87. Βούτα] Βουτοίτου G, nescio an omisso τοῦ, caeteri Βουτᾶ

269. 93. ἂν ταύτας] ταύτας ἂν D 95. ἀπέβαλεν — 96. ἐγχωρίοις om. A 97. μέχρι D, caeteri μέχρις 98. ἐκγόνων DE, caeteri ἐγγόνων 99. καὶ omisit D



γενεαῖς Δωριεὺς ὁ Λακεδαιμόνιος καταντήσας εἰς Σικελίαν καὶ τὴν χώραν ἀπολαβών, ἔκτισε πόλιν Ἡράκλειαν. ταχὺ δ' αὐτῆς αὐξομένης, οἱ Καρχηδόνιοι φθονήσαντες ἅμα καὶ φοβηθέντες μήποτε πλεῖον ἰσχύσασα τῆς Καρχηδόνος ἀφέληται τῶν Φοινίκων τὴν ἡγεμονίαν, στρατεύσαντες ἐπ' αὐτὴν μεγάλαις δυνάμεσι καὶ κατὰ κράτος ἑλόντες κατέσκαψαν. ἀλλὰ περὶ μὲν τούτων τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν. τότε δ' ὁ Ἡρακλῆς ἐγκυκλούμενος τὴν Σικελίαν, καὶ καταντήσας εἰς τὴν νῦν οὖσαν τῶν Συρακοσίων πόλιν, καὶ πυθόμενος τὰ μυθολογούμενα κατὰ τὴν τῆς Κόρης ἁρπαγήν, εὐθὺς ἔθυσέ τε ταῖς θεαῖς μεγαλοπρεπῶς καὶ εἰς τὴν Κυάνην τὸν καλλιστεύοντα τῶν ταύρων καθαγίσας κατέδειξε θύειν τοὺς ἐγχωρίους κατ' ἐνιαυτὸν τῇ Κόρῃ καὶ πρὸς τῇ Κυάνῃ λαμπρῶς ἄγειν πανήγυρίν τε καὶ θυσίαν. αὐτὸς δὲ μετὰ τῶν βοῶν διὰ τῆς μεσογείου διεξιών, καὶ τῶν ἐγχωρίων Σικανῶν μεγάλαις δυνάμεσιν ἀντιταξαμένων, ἐνίκησεν ἐπιφανεῖ παρατάξει καὶ πολλοὺς ἀπέκτεινεν, ἐν οἷς μυθολογοῦσί τινες καὶ στρατηγοὺς ἐπιφανεῖς γεγενῆσθαι τοὺς μέχρι τοῦ νῦν ἡρωικῆς τιμῆς τυγχάνοντας, Λεύκασπιν καὶ Πεδιακράτην καὶ Βουφόναν καὶ Γλυχάταν ἔτι δὲ Βυταίαν καὶ Κρυτιδᾶν.

Μετὰ δὲ ταῦτα διελθὼν τὸ Λεοντῖνον πεδίον τὸ 24
μὲν κάλλος τῆς χώρας ἐθαύμασε, πρὸς δὲ τοὺς τιμῶντας 25
αὐτὸν οἰκείως διατιθέμενος ἀπέλιπε παρ' αὐτοῖς ἀθάνατα μνημεῖα τῆς ἑαυτοῦ παρουσίας, ὧν ἴδιόν τι συνέβη γε-
270 νέσθαι περὶ τὴν πόλιν τῶν Ἀγυριναίων. ἐν ταύτῃ γὰρ τιμηθεὶς ἐπ' ἴσης τοῖς Ὀλυμπίοις θεοῖς πανηγύρεσι καὶ θυσίαις λαμπραῖς, καίπερ κατὰ τοὺς ἔμπροσθεν χρόνους οὐδεμίαν θυσίαν προσδεχόμενος, τότε πρώτως συνευδόκησε, τοῦ δαιμονίου τὴν ἀθανασίαν αὐτῷ προσημαίνοντος. ὁδοῦ γὰρ οὔσης οὐκ ἄποθεν τῆς πόλεως πετρώδους,

100. Λακεδαιμόνιος] Λακελαίνοντος FGQ Σικελίαν] τὴν Σικελίαν AC 8. ἐγκυκλούμενος] κυκλούμενος B 9. καὶ om. AD Συρακοσίων] Συρακουσίων omnes 11. εὐθὺς om. D Poggius, asterisco notavit Stephanus, videturque ex ἔθυσε natum 12. Κυάνην D, caeteri Κυανὴν 13. καθαγίσας] καθαγιάσας BEGQV 14. Κυάνῃ D, caeteri Κυανῇ 20. Πεδιακράτην] Pedicrates Poggius 21. Βουφόναν D, caeteri Βουφονᾶν Γλυχάταν BD, Glichatas Poggius, Γλύκατον A, Γαυχάταν CEGQ, caeteri Γαυγατᾶν 22. Βυταίαν D, Βουταίαν AB, Βαγγαῖον CEGQ, Buteus Poggius, caeteri Κυγαῖον 25. διατιθέμενος ABD, caeteri διαθέμενος 26. ὧν ἴδιόν] ἴδιον δέ D 27. περὶ] παρὰ AB Ἀγυριναίων] Ἀγυρειναίων D

270. 28. ἐπ' ἴσης] ἐφ' ἴσης C 29. καίπερ] καὶ CDE 31. συνευδόκησε] συνευδοκῆσαι AD

αἱ βοῦς τὰ ἴχνη καθάπερ ἐπὶ κηροῦ τινος ἀπετυποῦντο. ὁμοίως δὲ καὶ αὐτῷ τῷ Ἡρακλεῖ τούτου συμβαίνοντος, καὶ τοῦ ἄθλου δεκάτου τελουμένου, νομίσας ἤδη τι λαμβάνειν τῆς ἀθανασίας, προςεδέχετο τὰς τελουμένας ὑπὸ τῶν ἐγχωρίων κατ᾽ ἐνιαυτὸν θυσίας. διόπερ τοῖς εὐδοκιμουμένοις τὰς χάριτας ἀποδιδούς, πρὸ μὲν τῆς πόλεως κατεσκεύασε λίμνην, ἔχουσαν τὸν περίβολον σταδίων τεττάρων, ἣν ἐπώνυμον αὐτῷ καλεῖσθαι προςέταξεν· ὡςαύτως δὲ καὶ τῶν βοῶν τοῖς ἀποτυπωθεῖσιν ἴχνεσι τὴν ἀφ᾽ ἑαυτοῦ προςηγορίαν ἐπιθείς, τέμενος καθιέρωσεν ἥρωι Γηρυόνῃ, ὃ μέχρι τοῦ νῦν τιμᾶται παρὰ τοῖς ἐγχωρίοις. Ἰολάου τε τοῦ ἀδελφιδοῦ συστρατεύοντος τέμενος ἀξιόλογον ἐποίησε, καὶ τιμὰς καὶ θυσίας κατέδειξεν αὐτῷ γίνεσθαι κατ᾽ ἐνιαυτὸν τὰς μέχρι τοῦ νῦν τηρουμένας. πάντες γὰρ οἱ κατὰ ταύτην τὴν πόλιν οἰκοῦντες ἐκ γενετῆς τὰς κόμας ἱερὰς Ἰολάῳ τρέφουσι, μέχρι ἂν ὅτου θυσίαις μεγαλοπρεπέσι καλλιερήσαντες τὸν θεὸν ἵλεων κατασκευάσωσι. τοσαύτη δ᾽ ἐστὶν ἁγνεία καὶ σεμνότης περὶ τὸ τέμενος ὥςτε τοὺς μὴ τελοῦντας τὰς εἰθισμένας θυσίας παῖδας ἀφώνους γίνεσθαι καὶ τοῖς τετελευτηκόσιν ὁμοίους. ἀλλ᾽ οὗτοι μέν, ὅταν εὔξηταί τις ἀποδώσειν τὴν θυσίαν καὶ ἐνέχυρον τῆς θυσίας ἀναδείξῃ τῷ θεῷ, παραχρῆμα ἀποκαθίστασθαί φασι τοὺς τῇ προειρημένῃ νόσῳ κατεχομένους. οἱ δ᾽ οὖν ἐγχώριοι τούτοις ἀκολούθως τὴν μὲν πύλην πρὸς ᾗ τὰς ἀπαντήσεις καὶ θυσίας τῷ θεῷ παρέστησαν Ἡρακλείαν προςηγόρευσαν· ἀγῶνα δὲ γυμνικὸν καὶ ἱππικὸν καθ᾽ ἕκαστον ἔτος μετὰ πάσης προθυμίας ποιοῦσι. πανδήμου δὲ τῆς ἀποδοχῆς ἐλευθέρων τε καὶ δούλων γινομένης, κατέδειξαν καὶ τοὺς οἰκέτας ἰδίᾳ τιμῶντας τὸν θεὸν θιάσους τε συνάγειν καὶ συνιόντας εὐωχίας τε καὶ θυσίας τῷ θεῷ συντελεῖν. ὁ

34. *αὐτῷ τῷ* A(D), caeteri *αὐτῷ* 37. *προςεδέχετο — ἐγχωρίων* om. A 40. *σταδίων*] *στάδια* FGQ *τεττάρων* D, *τέσσαρα* FGQ, caeteri *τεσσάρων* 41. *αὐτῷ* ABD, caeteri *αὐτοῦ* 42. *ἴχνεσιν* omnes *ἀφ᾽*] *ἐφ᾽* D 43. *καθιέρωσεν*] *κατεσκεύασεν* ABD *Γηρυόνῃ*] *Κρυομένῃ* A et fortasse B 44. *ὃ — ἐγχ.* om. FM, asterisco notavit Stephanus 45. *ἀδελφιδοῦ*] *ἀδελφιδοῦς* D 48. *κατὰ ταύτην*] *κατ᾽ αὐτὴν* C, *κατὰ* E, *ταύτην* asterisco notavit Stephanus 49. *ἱερὰς* om. A, *ἱεροὺς* G 50. *μέχρι* D, caeteri *μέχρις* 51. *ἵλεων* A, *ἵλεω* BD, caeteri *Ἰόλαον*, *propitium* Poggius 52. *ἁγνεία*] *ἁγνία* D 55. *τὴν θυσίαν*] *τὰς θυσίας* FGQ 56. *ἐνέχυρον*] *ἐνέχειρον* FG *θυσίας*] *οὐσίας* F *ἀναδείξῃ*] *ἀναθήσῃ* F 57. *φασὶ* servarunt AB(D): structura ne offendaris, conf. p. 148. 61. 258. 38. 60. *Ἡρακλείαν*] *Ἡράκλειαν* omnes *δὲ*] *δὲ καὶ* F 61. *ἱππικὸν*] *ἱππικοὺς* FG 64. *θιάσους*] *θειάσους* FG



δ᾽ Ἡρακλῆς μετὰ τῶν βοῶν περαιωθεὶς εἰς τὴν Ἰταλίαν προῆγε διὰ τῆς παραλίας, καὶ Λακίνιον μὲν κλέπτοντα τῶν βοῶν ἀνεῖλε, Κρότωνα δὲ ἀκουσίως ἀποκτείνας ἔθαψε μεγαλοπρεπῶς καὶ τάφον αὐτοῦ κατεσκεύασε· προεῖπε δὲ τοῖς ἐγχωρίοις ὅτι καὶ κατὰ τοὺς ὕστερον χρόνους ἔσται πόλις ἐπίσημος ὁμώνυμος τῷ τετελευτηκότι.
271 αὐτὸς δὲ κυκλωθεὶς τὸν Ἀδρίαν καὶ πεζῇ περιελθὼν τὸν προειρημένον κόλπον κατήντησεν εἰς τὴν Ἤπειρον, ἐξ ἧς πορευθεὶς εἰς τὴν Πελοπόννησον, καὶ τετελεκὼς τὸν δέκατον ἆθλον, ἔλαβε πρόςταγμα παρ᾽ Εὐρυσθέως τὸν ἐξ Ἅιδου Κέρβερον πρὸς τὸ φῶς ἀγαγεῖν. πρὸς δὲ τοῦτον τὸν ἆθλον ὑπολαβὼν συνοίσειν αὐτῷ, παρῆλθεν εἰς τὰς Ἀθήνας καὶ μετέσχε τῶν ἐν Ἐλευσῖνι μυστηρίων, Μουσαίου τοῦ Ὀρφέως υἱοῦ τότε προεστηκότος τῆς τελετῆς.

Ἐπεὶ δ᾽ Ὀρφέως ἐμνήσθημεν, οὐκ ἀνοίκειόν ἐστι 25
παρεκβάντας βραχέα περὶ αὐτοῦ διελθεῖν. οὗτος γὰρ ἦν υἱὸς μὲν Οἰάγρου, Θρᾷξ δὲ τὸ γένος, παιδείᾳ δὲ καὶ μελῳδίᾳ καὶ ποιήσει πολὺ προέχων τῶν μνημονευομένων. καὶ γὰρ ποίημα συνετάξατο θαυμαζόμενον καὶ κατὰ τὴν ᾠδὴν εὐμελείᾳ διαφέρον. ἐπὶ τοσοῦτο δὲ προέβη τῇ δόξῃ ὥςτε δοκεῖν τῇ μελῳδίᾳ θέλγειν τά τε θηρία καὶ τὰ δένδρα. περὶ δὲ παιδείαν ἀσχοληθείς, καὶ τὰ περὶ τῆς θεολογίας μυθολογούμενα μαθών, ἀπεδήμησε μὲν εἰς Αἴγυπτον, κἀκεῖ πολλὰ προςεπιμαθὼν μέγιστος ἐγένετο τῶν Ἑλλήνων ἔν τε ταῖς τελεταῖς καὶ ταῖς θεολογίαις καὶ ποιήμασι καὶ μελῳδίαις. συνεστρατεύσατο δὲ καὶ τοῖς Ἀργοναύταις, καὶ διὰ τὸν ἔρωτα τὸν πρὸς τὴν γυναῖκα καταβῆναι μὲν εἰς Ἅιδου παραδόξως ἐτόλμησε, τὴν δὲ Περσεφόνην διὰ τῆς εὐμελείας ψυχαγωγήσας ἔπεισε συνεργῆσαι ταῖς ἐπιθυμίαις, καὶ συγχωρῆσαι τὴν γυναῖκα αὐτοῦ τετελευτηκυῖαν ἀναγαγεῖν ἐξ Ἅιδου παραπλησίως τῷ Διονύσῳ· καὶ γὰρ ἐκεῖνον μυθολογοῦσιν ἀναγαγεῖν

66. *περαιωθεὶς*] *πορευθεὶς* AB 67. *παραλίας* ABCDG, caeteri *παραλίου* 70. *αὐτοῦ*] *αὐτῷ* AB *δὲ*] *δὲ καὶ* D 72. *δὲ κυκλωθεὶς*] *δ᾽ ἐν κύκλῳ θεὶς* D, i. e. *ἐγκυκλωθείς*, *δὲ ἐκ κυκλωθεὶς* B
271. 73. *τὸν Ἀδρίαν*] *τὴν Ἀνδρίαν* A correctus in marg.
74. *ἐξ ἧς*] *ἐξῆς δὲ* D 77. *πρὸς τὸ*] *εἰς τὸ* A 78. *τὸν* (D) Wesselingius, caeteri *τὸ* 83. *Θρᾷξ*] *Θρᾶξ* omnes 85. *συνετάξατο* D, *συνέταξε* AB, caeteri *συνέταξε τὸ* 86. *κατὰ*] malim *τῇ κατὰ* *εὐμελείᾳ* ACFQ, *εὐμελίᾳ* D, caeteri *ἐμμελείᾳ* 87. *διαφέρον*] *διαφέρων* D Poggius, omisso hic quidem *δὲ* post *τοσοῦτο* 89. *δένδρα*] *δένδρη* ADE 92. *τελεταῖς καὶ ταῖς θεολογίαις*] *θεολογίαις καὶ ταῖς τελεταῖς* D 95. *μὲν* om. AD 96. *Περσεφόνην*] *Φερσεφόνην* D *εὐμελείας* ABGQ, *εὐμελίας* D, caeteri *ἐμμελείας* 98. *αὐτοῦ*] *αὑτοῦ* D

τὴν μητέρα Σεμέλην ἐξ Ἅιδου, καὶ μεταδόντα τῆς ἀθανασίας Θυώνην μετονομάσαι. ἡμεῖς δ᾽ ἐπεὶ περὶ Ὀρφέως διεληλύθαμεν, μεταβησόμεθα πάλιν ἐπὶ τὸν Ἡρακλέα.

26 Οὗτος γὰρ κατὰ τοὺς παραδεδομένους μύθους καταβὰς εἰς τοὺς καθ᾽ Ἅιδου τόπους, καὶ προςδεχθεὶς ὑπὸ τῆς Περσεφόνης ὡς ἂν ἀδελφός, Θησέα μὲν ἀνήγαγεν ἐκ δεσμῶν μετὰ Πειρίθου, χαρισαμένης τῆς Κόρης, τὸν δὲ κύνα παραλαβὼν δεδεμένον παραδόξως ἀνήγαγε καὶ φανερὸν κατέστησεν ἀνθρώποις. τελευταῖον δ᾽ ἆθλον λαβὼν ἐνεγκεῖν τὰ τῶν Ἑσπερίδων χρυσᾶ μῆλα, πάλιν ἔπλευσεν εἰς τὴν Λιβύην. περὶ δὲ τῶν μήλων τούτων διαπεφωνήκασιν οἱ μυθογράφοι, καὶ τινὲς μέν φασιν ἔν τισι κήποις τῶν Ἑσπερίδων ὑπάρξαι κατὰ τὴν Λιβύην μῆλα χρυσᾶ, τηρούμενα συνεχῶς ὑπό τινος δράκοντος φοβερωτάτου, τινὲς δὲ λέγουσι ποίμνας προβάτων κάλλει 272 διαφερούσας κεκτῆσθαι τὰς Ἑσπερίδας, χρυσᾶ δὲ μῆλα ἀπὸ τοῦ κάλλους ὠνομάσθαι ποιητικῶς, ὥςπερ καὶ τὴν Ἀφροδίτην χρυσῆν καλεῖσθαι διὰ τὴν εὐπρέπειαν. ἔνιοι δὲ λέγουσιν ὅτι πρόβατα τὴν χρόαν ἰδιάζουσαν ἔχοντα καὶ παρόμοιον χρυσῷ τετευχέναι ταύτης τῆς προςηγορίας, Δράκοντα δὲ τῶν ποιμνίων ἐπιμελητὴν καθεσταμένον, καὶ ῥώμῃ σώματος καὶ ἀλκῇ διαφέροντα, τηρεῖν τὰ πρόβατα καὶ τοὺς λῃστεύειν αὐτὰ τολμῶντας ἀποκτείνειν. ἀλλὰ περὶ μὲν τούτων ἐξέσται διαλαμβάνειν ὡς ἂν ἕκαστος ἑαυτὸν πείθῃ. ὁ δ᾽ Ἡρακλῆς τὸν φύλακα τῶν μήλων ἀνελών, καὶ ταῦτα ἀποκομίσας πρὸς Εὐρυσθέα, καὶ τοὺς ἄθλους ἐπιτετελεκώς, προςεδέχετο τῆς ἀθανασίας τεύξεσθαι, καθάπερ ὁ Ἀπόλλων ἔχρησεν.

27 Ἡμῖν δ᾽ οὐ παραλειπτέον τὰ περὶ Ἄτλαντος μυθολογούμενα καὶ τὰ περὶ τοῦ γένους τῶν Ἑσπερίδων. κατὰ γὰρ τὴν Ἑσπερῖτιν ὀνομαζομένην χώραν φασὶν ἀδελφοὺς δύο γενέσθαι δόξῃ διωνομασμένους, Ἕσπερον καὶ Ἄτλαντα. τούτους δὲ κεκτῆσθαι πρόβατα τῷ μὲν κάλλει διάφορα, τῇ δὲ χρόᾳ ξανθὰ καὶ χρυσοειδῆ· ἀφ᾽ ἧς αἰτίας τοὺς ποιητὰς τὰ πρόβατα μῆλα καλοῦντας ὀνομάσαι χρυσᾶ μῆλα. τὸν μὲν οὖν Ἕσπερον θυγατέρα γεννήσαντα τὴν ὀνομαζομένην Ἑσπερίδα συνοικίσαι τῷ ἀδελφῷ· ἀφ᾽ ἧς

1. καὶ om. F 7. ὑπὸ] ἀπὸ FG Περσεφόνης] Φερσεφόνης D 10. ἀνήγαγε] ἀπήγαγε AB 12. χρυσᾶ] χρύσεα ABD 15. χρυσᾶ] χρυσὰ D 16. τηρούμενα συνεχῶς om. A 272. 18. χρυσᾶ] χρυσὰ D 20. χρυσῆν] χρυσὴν D 21. ὅτι] ὅτε τὰ D 23. ποιμνίων] ποιμνῶν D 30. ἐπιτετελεκώς] ἀποτετελεκὼς ABD τεύξεσθαι] τεύξασθαι E 31. ὁ servarunt A(D) 34. Ἑσπερῖτιν] Ἑσπερίτην D 37. διάφορα ABD, caeteri παράδοξα 39. χρυσᾶ] χρυσὰ D 40. Ἑσπερίδα] Εὐεσπερίδα DE συνοικίσαι G, caeteri συνοικῆσαι



τὴν χώραν Ἑσπερῖτιν ὀνομασθῆναι. τὸν δ᾽ Ἄτλαντα ἐκ ταύτης ἑπτὰ γεννῆσαι θυγατέρας, ἃς ἀπὸ μὲν τοῦ πατρὸς Ἀτλαντίδας, ἀπὸ δὲ τῆς μητρὸς Ἑσπερίδας ὀνομασθῆναι. τούτων δὲ τῶν Ἀτλαντίδων κάλλει καὶ σωφροσύνῃ διαφερουσῶν, λέγουσι Βούσιριν τὸν βασιλέα τῶν Αἰγυπτίων ἐπιθυμῆσαι τῶν παρθένων ἐγκρατῆ γενέσθαι. διὸ καὶ λῃστὰς ἐπ᾽ αὐτὰς κατὰ θάλατταν ἀποστείλαντα διακελεύσασθαι τὰς κόρας ἁρπάσαι καὶ διακομίσαι πρὸς ἑαυτόν. κατὰ δὲ τοῦτον τὸν καιρὸν Ἡρακλέα τελοῦντα τὸν ὕστατον ἆθλον Ἀνταῖον μὲν ἀνελεῖν ἐν τῇ Λιβύῃ, συναναγκάζοντα τοὺς ξένους διαπαλαίειν, Βούσιριν δὲ κατὰ τὴν Αἴγυπτον τῷ Διὶ καλλιερεῖν σφαγιάζοντα τοὺς παρεπιδημοῦντας ξένους τῆς προςηκούσης τιμωρίας καταξιῶσαι· μετὰ δὲ ταῦτα ἀνὰ τὸν Νεῖλον πλεύσαντα εἰς τὴν Αἰθιοπίαν τὸν βασιλέα τῶν Αἰθιόπων Ἠμαθίωνα κατάρχοντα μάχης ἀποκτεῖναι· τὸ δ᾽ ὕστατον ἐπανελθεῖν πάλιν ἐπὶ τὸν ἆθλον. τοὺς δὲ λῃστὰς ἐν κήπῳ τινὶ παιζούσας τὰς κόρας συναρπάσαι, καὶ ταχὺ φυγόντας εἰς τὰς ναῦς ἀποπλεῖν. τούτοις δ᾽ ἐπί τ νος ἀκτῆς δειπνοποιουμένοις ἐπιστάντα τὸν Ἡρακλέα, καὶ παρὰ τῶν παρθένων μαθόντα τὸ συμβεβηκός, τοὺς μὲν λῃστὰς ἅπαντας ἀποκτεῖναι, τὰς δὲ κόρας ἀποκομίσαι πρὸς Ἄτλαντα τὸν πατέρα· ἀνθ᾽ ὧν τὸν Ἄτλαντα χάριν τῆς 273 εὐεργεσίας ἀποδιδόντα μὴ μόνον δοῦναι τὰ πρὸς τὸν ἆθλον καθήκοντα προθύμως, ἀλλὰ καὶ τὰ κατὰ τὴν ἀστρολογίαν ἀφθόνως διδάξαι. περιττότερον γὰρ αὐτὸν τὰ κατὰ τὴν ἀστρολογίαν ἐκπεπονηκότα καὶ τὴν τῶν ἄστρων σφαῖραν φιλοτέχνως εὑρόντα ἔχειν ὑπόληψιν ὡς τὸν κόσμον ὅλον ἐπὶ τῶν ὤμων φέροντα. παραπλησίως δὲ καὶ τοῦ Ἡρακλέους ἐξενέγκαντος εἰς τοὺς Ἕλληνας τὸν σφαιρικὸν λόγον, δόξης μεγάλης τυχεῖν, ὡς διαδεδεγμένον τὸν Ἀτλαντικὸν κόσμον, αἰνιττομένων τῶν ἀνθρώπων τὸ γεγονός.

41. Ἑσπερῖτιν] Εὐεσπερίτην D 42. δ᾽ D, caeteri δὲ 43. ἃς om. D 47. ἐπ᾽ αὐτὰς] ἐπ᾽ αὐτοὺς F, omisit D 48. διακελεύσασθαι] διακελεῦσαι F 50. ὕστατον Reiskius: libri ὕστερον: secundum, quasi δεύτερον legisset, Poggius 51. ἀνελεῖν] ἀνεῖλεν ABD συναναγκ.] τὸν συναναγκ. D 53. καλλιερεῖν delendum 54. καταξιῶσαι ABD, caeteri ἀξιῶσαι 56. βασιλέα] βασιλεύοντα BCDE 57. ἐπανελθεῖν] ἐπανελθὼν ABD 60. ἀκτῆς] αὐλῆς ABD 63. ἀποκομίσαι] ἀποστεῖλαι AB 65. ἀποδιδόντα om. AD
273. 69. εὑρόντα] ἔχοντα omnes, nisi quod Poggius ob *sphaeram astrorum ab se adinventam* 70. ὅλον] ἅπαντα AB, ὅλων C φέροντα] φοροῦντα D 71. Ἡρακλέους] Ἡρακλέως D
73. Ἀτλαντικὸν ABD, Ἀτλάντιον F, caeteri Ἀτλάντειον
74. γεγονός AB(D), caeteri γένος

28 Τοῦ δ' Ἡρακλέους περὶ ταῦτ' ὄντος φασὶ τὰς ὑπολειφθείσας Ἀμαζόνας περὶ τὸν Θερμώδοντα ποταμὸν ἀθροισθείσας πανδημεὶ σπεῦσαι τοὺς Ἕλληνας ἀμύνασθαι περὶ ὧν Ἡρακλῆς στρατεύσας διειργάσατο. διαφορώτατα δὲ τοὺς Ἀθηναίους ἐφιλοτιμοῦντο διὰ τὸ τὸν Θησέα καταδεδουλῶσθαι τὴν ἡγεμόνα τῶν Ἀμαζόνων Ἀντιόπην, ὡς δ' ἔνιοι γράφουσιν, Ἱππολύτην. συστρατευσάντων δὲ τῶν Σκυθῶν ταῖς Ἀμαζόσι συνέβη δύναμιν ἀξιόλογον ἀθροισθῆναι, μεθ' ἧς αἱ προηγούμεναι τῶν Ἀμαζονίδων περαιωθεῖσαι τὸν Κιμμέριον Βόσπορον προῆγον διὰ τῆς Θρᾴκης. τέλος δὲ πολλὴν τῆς Εὐρώπης ἐπελθοῦσαι κατήντησαν εἰς τὴν Ἀττικήν, καὶ κατεστρατοπέδευσαν ὅπου νῦν ἐστι τὸ καλούμενον ἀπ' ἐκείνων Ἀμαζονεῖον. Θησεὺς δὲ πυθόμενος τὴν τῶν Ἀμαζόνων ἔφοδον ἐβοήθει ταῖς πολιτικαῖς δυνάμεσιν, ἔχων μεθ' ἑαυτοῦ τὴν Ἀμαζονίδα Ἀντιόπην, ἐξ ἧς ἦν πεπαιδοποιημένος υἱὸν Ἱππόλυτον. συνάψας δὲ μάχην ταῖς Ἀμαζόσι, καὶ τῶν Ἀθηναίων ὑπερεχόντων ταῖς ἀνδραγαθίαις, ἐνίκησαν οἱ περὶ τὸν Θησέα, καὶ τῶν ἀντιταχθεισῶν Ἀμαζονίδων ἃς μὲν κατέκοψαν, ἃς δὲ τῆς Ἀττικῆς ἐξέβαλον. συνέβη δὲ καὶ τὴν Ἀντιόπην συναγωνισαμένην τῷ ἀνδρὶ Θησεῖ, καὶ κατὰ τὴν μάχην ἀριστεύουσαν, ἡρωικῶς καταστρέψαι τὸν βίον. αἱ δ' ὑπολειφθεῖσαι τῶν Ἀμαζόνων ἀπογνοῦσαι τὴν πατρῴαν γῆν ἐπανῆλθον μετὰ τῶν Σκυθῶν εἰς τὴν Σκυθίαν καὶ μετ' ἐκείνων κατῴκησαν. ἡμεῖς δὲ ἀρκούντως περὶ τούτων διεληλυθότες ἐπάνιμεν πάλιν ἐπὶ τὰς Ἡρακλέους πράξεις.

29 Τετελεκότος γὰρ αὐτοῦ τοὺς ἄθλους, καὶ τοῦ θεοῦ χρήσαντος συμφέρειν πρὸ τῆς εἰς θεοὺς μεταλλαγῆς ἀποικίαν εἰς Σαρδὼ πέμψαι, καὶ τοὺς ἐκ τῶν Θεσπιάδων αὐτῷ γενομένους υἱοὺς ἡγεμόνας ποιῆσαι ταύτης, ἔκρινε τὸν ἀδελφιδοῦν Ἰόλαον ἐκπέμψαι μετὰ τῶν παίδων διὰ τὸ παντελῶς νέους εἶναι. ἀναγκαῖον δ' ἡμῖν φαίνεται προδιελθεῖν περὶ τῆς γενέσεως τῶν παίδων, ἵνα τὸν περὶ τῆς ἀποικίας λόγον καθαρώτερον ἐκθέσθαι δυνηθῶμεν.

75. ταῦτ' D, caeteri ταῦτα 80. τὸν Θ. A(D), caeteri Θ. καταδεδουλῶσθαι ABD, caeteri δεδουλῶσθαι 82. ταῖς] τοῖς D Ἀμαζόσι] Ἀμαζῶσιν C 85. Βόσπορον A(D), caeteri Βόσφορον 90. τὴν om. D Ἀμαζονίδα ABD, caeteri Ἀμαζόνα 95. δὲ] δ' ἐκ D 99. μετὰ τῶν Σ. εἰς τὴν Σ. καὶ μετ' ἐκείνων κατῴκησαν ABD, εἰς τὴν Σκυθίαν καὶ μετὰ τῶν Σκυθῶν κατῴκησαν CEGQ, caeteri εἰς τὴν Σ. μετὰ τῶν Σ. καὶ μετ' ἐκείνων κατῴκησαν 1. ἐπάνιμεν ABCEGQ, ἐπάνειμεν D, caeteri ἐπανίωμεν 5. Θεσπιάδων] Θεσπεσιάδων FG



Θέσπιος ἀνὴρ ἦν τὸ γένος ἐπιφανὴς ἐκ τῶν Ἀθηνῶν, 74 υἱὸς Ἐρεχθέως. βασιλεύων δὲ τῆς ὁμωνύμου χώρας ἐγέννησεν ἐκ πλειόνων γυναικῶν θυγατέρας πεντήκοντα. Ἡρακλέους δ' ἔτι παιδὸς ὄντος τὴν ἡλικίαν, καὶ ῥώμῃ σώματος ὑπερφυοῦς ὄντος, ἐφιλοτιμήθη τὰς θυγατέρας ἐκ τούτου τεκνοποιήσασθαι. διὸ καὶ καλέσας αὐτὸν ἐπί τινα θυσίαν καὶ λαμπρῶς ἑστιάσας ἀπέστειλε κατὰ μίαν τῶν θυγατέρων· αἷς ἁπάσαις μιγεὶς καὶ ποιήσας ἐγκύους ἐγένετο πατὴρ υἱῶν πεντήκοντα. ὧν λαβόντων τὴν κοινὴν προσηγορίαν ἀπὸ τῶν Θεσπιάδων, καὶ γενομένων ἐνηλίκων, ἔκρινεν ἐκπέμπειν τούτους εἰς τὴν ἀποικίαν τὴν εἰς Σαρδόνα κατὰ τὸν χρησμόν. ἡγουμένου δὲ τοῦ στόλου παντὸς Ἰολάου, καὶ συνεστρατευμένου σχεδὸν ἁπάσας τὰς στρατείας, ἐπέτρεψεν αὐτῷ τὰ περὶ τοὺς Θεσπιάδας καὶ τὴν ἀποικίαν. τῶν δὲ πεντήκοντα παίδων δύο μὲν κατέμειναν ἐν ταῖς Θήβαις, ὧν τοὺς ἀπογόνους φασὶ μέχρι τοῦ νῦν τιμᾶσθαι, ἑπτὰ δ' ἐν Θεσπιαῖς, οὓς ὀνομάζουσι δημούχους, ὧν καὶ τοὺς ἀπογόνους ἡγήσασθαί φασι τῆς πόλεως μέχρι τῶν νεωτέρων καιρῶν. τοὺς δὲ λοιποὺς ἅπαντας Ἰόλαος ἀναλαβὼν καὶ πολλοὺς ἄλλους τοὺς βουλομένους κοινωνεῖν τῆς ἀποικίας ἔπλευσεν εἰς τὴν Σαρδόνα. κρατήσας δὲ μάχῃ τῶν ἐγχωρίων κατεκληρούχησε τὸ κάλλιστον τῆς νήσου, καὶ μάλιστα τὴν πεδιάδα χώραν, ἣν μέχρι τοῦ νῦν καλεῖσθαι Ἰολαεῖον. ἐξημερώσας δὲ τὴν χώραν καὶ καταφυτεύσας δένδρεσι καρπίμοις κατεσκεύασε περιμάχητον. ἐπὶ τοσοῦτον γὰρ ἡ νῆσος διωνομάσθη τῇ τῶν καρπῶν ἀφθονίᾳ ὥστε Καρχηδονίους ὕστερον αὐξηθέντας ἐπιθυμῆσαι τῆς νήσου, καὶ πολλοὺς ἀγῶνας καὶ κινδύνους ὑπὲρ αὐτῆς ἀναδέξασθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.

11. Θέσπιος ABD, Θέσις C, caeteri Θέσπις: post id γὰρ omittunt ABCDEV Poggius, asterisco notavit Stephanus ἀνὴρ vel omittere vel post ἦν ponere videntur ABC, ut ex quibus Θ. ἦν afferat Wesselingius, nisi id imprudens fecit

274. 14. δ' D, caeteri δὲ 17. διὸ καὶ] διὸ ACD 20. πατὴρ υἱῶν πεντήκοντα ABC(D)EGQ et ut videtur Poggius, caeteri ἀνὴρ τῶν ν̄. ἐκ τούτων γίνονται αὐτῷ παῖδες ν̄. 21. ἀπὸ τῶν AC(D)EF, caeteri ἀπὸ: utrumque abesse debebit, si probes quod pro Θεσπιάδων D fert Θεσπιαδῶν: communi nomine Thespiades dicti sunt Poggius 22. τούτους] τούτων Q 23. Σαρδόνα D, Σαρδῶ B, caeteri Σαρδῶνα 24. συνεστρατευμένου BC(D)EQ, caeteri συστρατευομένου 28. Θεσπιαῖς] Θεσπίαις D 33. Σαρδόνα D, Σαρδῶ B, caeteri Σαρδῶνα 35. ἣν — καλεῖσθαι ABC(D), caeteri ἣ — καλεῖται Ἰολαεῖον ABC(D)EGQ, caeteri Ἰόλαιον, Iolaeam Poggius 36. καταφυτεύσας ABD, caeteri κατάφυτον 37. ποιήσας post καρπίμοις omittunt ABCD

30 τότε δ' ὁ Ἰόλαος καταστήσας τὰ περὶ τὴν ἀποικίαν, καὶ τὸν Δαίδαλον ἐκ τῆς Σικελίας μεταπεμψάμενος, κατεσκεύασεν ἔργα πολλὰ καὶ μεγάλα μέχρι τῶν νῦν καιρῶν διαμένοντα καὶ ἀπὸ τοῦ κατασκευάσαντος Δαιδάλεια καλούμενα. ᾠκοδόμησε δὲ καὶ γυμνάσια μεγάλα καὶ πολυτελῆ, καὶ δικαστήρια κατέστησε καὶ τἄλλα τὰ πρὸς τὴν εὐδαιμονίαν συντείνοντα. ὠνόμασε δὲ καὶ τοὺς λαοὺς Ἰολαείους, ἀφ' ἑαυτοῦ θέμενος τὴν προςηγορίαν, συγχωρησάντων τῶν Θεσπιαδῶν, καὶ δόντων αὐτῷ τοῦτο τὸ γέρας καθαπερεὶ τινι πατρί. διὰ γὰρ τὴν πρὸς αὐτοὺς σπουδὴν ἐπὶ τοσοῦτον εὐνοίας προήχθησαν ὥςτ' ἐπώνυμον αὐτῷ περιθεῖναι τὴν τοῦ γονέως προςηγορίαν. διόπερ ἐν τοῖς ὕστερον χρόνοις οἱ τὰς θυσίας τελοῦντες τούτῳ τῷ θεῷ προςαγορεύουσιν αὐτὸν Ἰόλαον πατέρα, 275
καθάπερ οἱ Πέρσαι τὸν Κῦρον. μετὰ δὲ ταῦτα ὁ μὲν Ἰόλαος ἐπανιὼν εἰς τὴν Ἑλλάδα, καὶ προςπλεύσας τῇ Σικελίᾳ, οὐκ ὀλίγον χρόνον διέτριψεν ἐν τῇ νήσῳ. καθ' ὃν δὴ χρόνον καί τινες τῶν συναποδημούντων αὐτῷ διὰ τὸ κάλλος τῆς χώρας κατέμειναν ἐν τῇ Σικελίᾳ, καὶ τοῖς Σικανοῖς καταμιγέντες ἐν ταύτῃ κατῴκησαν, τιμώμενοι διαφερόντως ὑπὸ τῶν ἐγχωρίων. ὁ δ' Ἰόλαος μεγάλης ἀποδοχῆς τυγχάνων καὶ πολλοὺς εὐεργετῶν ἐν πολλαῖς τῶν πόλεων ἐτιμήθη τεμένεσι καὶ τιμαῖς ἡρωικαῖς. ἴδιον δέ τι καὶ παράδοξον συνέβη γενέσθαι κατὰ τὴν ἀποικίαν ταύτην· ὁ μὲν γὰρ θεὸς ἔχρησεν αὐτοῖς ὅτι πάντες οἱ τῆς ἀποικίας ταύτης μετασχόντες καὶ οἱ τούτων ἔκγονοι διατελέσουσιν ἅπαντα τὸν αἰῶνα διαμένοντες ἐλεύθεροι· τὸ δ' ἀποτέλεσμα τούτων ἀκολούθως τῷ χρησμῷ διέμεινε μέχρι τῶν καθ' ἡμᾶς καιρῶν. οἱ μὲν γὰρ λαοὶ διὰ τὸ πλῆθος τοῦ χρόνου, πλειόνων τῶν βαρβάρων ὄντων τῶν μετεσχηκότων τῆς ἀποικίας, ἐξεβαρβαρώθησαν, καὶ μεταστάντες εἰς τὴν ὀρεινὴν ἐν ταῖς δυςχωρίαις κατῴκησαν. ἐθίσαντες δ' ἑαυτοὺς τρέφεσθαι γάλακτι καὶ κρέασι καὶ πολλὰς ἀγέλας κτηνῶν τρέφοντες οὐκ ἐπεδέοντο σίτου· κατασκευάσαντες δ' οἰκήσεις ἑαυτοῖς καταγείους

43. καταστήσας AB(D)EFGMQ, caeteri μεταστήσας  τὰ περὶ τὴν ABD, caeteri τὴν  47. Δαιδάλεια] Δαιδάλια AD Poggius, Δαίδαλα Q  48. καὶ πολ. — 49. τὰ om. A  δικαστήρια] δικαστὴν FG  50. Ἰολαείους Wesselingius: libri Ἰολάους  51. Θεσπιαδῶν D, eraso acuto supra α et hic et 21., 275. 84., caeteri Θεσπιάδων
275. 58. ἐπανιὼν ABC(D)EGQ, caeteri ἐπανελθὼν  60. ἐν om. B  62. κατέμειναν] καὶ ἔμειναν FG  67. τι om. C  69. ἀποικίας] οἰκίας A  71. ἀποτέλεσμα] τέλεσμα B  τούτων] αὐτῶν D  73. διὰ — χρόνου asterisco notavit Stephanus, omisit V  76. δ' ἑαυτοὺς] αὐτοὺς G



καὶ τὴν τοῦ βίου διεξαγωγὴν ἐν τοῖς ὀρύγμασι ποιούμενοι τοὺς ἐκ τῶν πολέμων κινδύνους ἐξέφυγον. διὸ καὶ πρότερον μὲν Καρχηδόνιοι, μετὰ δὲ ταῦτα Ῥωμαῖοι πολλάκις πολεμήσαντες τούτοις τῆς προθέσεως διήμαρτον. καὶ περὶ μὲν Ἰολάου καὶ Θεσπιαδῶν ἔτι δὲ τῆς ἀποικίας τῆς εἰς Σαρδόνα γενομένης ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

Περὶ δ' Ἡρακλέους τὰ συνεχῆ τοῖς προειρημένοις προςθήσομεν. τελέσας γὰρ τοὺς ἄθλους τὴν μὲν ἑαυ- 31
τοῦ γυναῖκα Μεγάραν συνῴκισεν Ἰολάῳ, διὰ τὴν περὶ τὰ τέκνα συμφορὰν ὑποπτευσάμενος τὴν ἐξ ἐκείνης παιδοποιίαν, ἑτέραν δὲ ἐζήτει πρὸς τέκνων γένεσιν ἀνύποπτον. διόπερ ἐμνήστευσεν Ἰόλην τὴν Εὐρύτου τοῦ δυναστεύσαντος Οἰχαλίας. ὁ δ' Εὔρυτος διὰ τὴν ἐκ τῆς Μεγάρας γενομένην ἀτυχίαν εὐλαβηθεὶς, ἀπεκρίθη βουλεύσεσθαι περὶ τοῦ γάμου. ὁ δ' ἀποτυχὼν τῆς μνηστείας διὰ τὴν ἀτιμίαν ἐξήλασε τὰς ἵππους τοῦ Εὐρύτου. Ἰφίτου δὲ τοῦ Εὐρύτου τὸ γεγονὸς ὑποπτεύσαντος καὶ παραγενομένου κατὰ ζήτησιν τῶν ἵππων εἰς Τίρυνθα, τοῦτον μὲν ἀναβιβάσας ὁ Ἡρακλῆς ἐπί τινα πύργον ὑψη-
276 λὸν ἐκέλευσεν ἀφορᾶν μή που νεμόμεναι τυγχάνουσιν. οὐ δυναμένου δὲ κατανοῆσαι τοῦ Ἰφίτου, φήσας αὐτὸν ψευδῶς κατῃτιᾶσθαι τὴν κλοπὴν κατεκρήμνισεν ἀπὸ τοῦ πύργου. διὰ δὲ τὸν τούτου θάνατον Ἡρακλῆς νοσήσας παρῆλθεν εἰς Πύλον πρὸς Νηλέα, καὶ παρεκάλεσεν αὐτὸν καθᾶραι τὸν φόνον. ὁ μὲν οὖν Νηλεὺς βουλευσάμενος μετὰ τῶν υἱῶν ἔλαβε πάντας πλὴν Νέστορος τοῦ νεωτάτου συγκαταινοῦντας μὴ προςδέξασθαι τὸν καθαρμόν. ὁ δ' Ἡρακλῆς τότε μὲν παρελθὼν πρὸς Δηίφοβον τὸν Ἱππολύτου καὶ πείσας αὐτὸν ἐκαθάρθη· οὐ δυνάμενος δὲ ἀπολυθῆναι τῆς νόσου, ἐπηρώτησε τὸν Ἀπόλλω περὶ τῆς θεραπείας. τούτου δὲ χρήσαντος ὅτι ῥᾷον οὕτως ἀπολυθήσεται τῆς νόσου, εἰ πραθεὶς δικαίως τὴν

80. διεξαγωγὴν ABC(D)EGMQ, caeteri διαγωγὴν  82. πολλάκις om. A  84. Θεσπιαδῶν D, caeteri Θεσπιάδων  85. Σαρδόνα D, Σαρδῶ B, caeteri Σαρδῶνα  86. προειρημένοις ABD, caeteri εἰρημένοις  89. συνῴκισεν] συνῴκησεν AD  Ἰολάῳ] Ἰόλᾳ Eusebius P. E. p. 55.  90. συμφορὰν] σπουδὴν σ. D
92. Εὐρύτου] Εὐρύπου F  95. βουλεύσεσθαι] βούλεσθαι FG  δ' D, caeteri δὲ  96. τὰς C(D), caeteri τοὺς  99. Τίρυνθα] Τίρυνθον A, Tyrinthum Poggius etiam infra  ὁ Ἡρακλῆς om. DFG  100. ἀφορᾶν BD, caeteri ἐφορᾶν
276. 1. τυγχάνουσιν] τυγχάνωσι F  5. τὸν φόνον] τοῦ φόνου E  7. συγκ.] τοὺς συγκ. D  9. Δηίφοβον τὸν] Δηίφοβον D  11. Ἀπόλλω D, caeteri Ἀπόλλωνα  12. οὕτως] τοῦτον A correctus in marg., οὗτος EV  ἀπολυθήσεται] ἀπολύσεται E  τῆς νόσου om. FM, asterisco notavit Stephanus

ἑαυτοῦ τιμὴν ἀποδοίη τοῖς Ἰφίτου παισίν, ἀναγκαζόμενος [οὖν] πείθεσθαι ὑπὸ τῆς νόσου τῷ χρησμῷ, μετά τινων φίλων ἔπλευσεν εἰς τὴν Ἀσίαν. ἐκεῖ δ' ὑπομείνας ἑκουσίως ὑπό τινος τῶν φίλων ἐπράθη, καὶ παρθένου δοῦλος ἐγένετο Ὀμφάλης τῆς Ἰαρδάνου, βασιλευούσης τῶν τότε Μαιόνων νῦν δὲ Λυδῶν ὀνομαζομένων. καὶ τὴν μὲν τιμὴν ὁ ἀποδόμενος τὸν Ἡρακλέα τοῖς Ἰφίτου παισὶν ἀπέδωκε κατὰ τὸν χρησμόν, ὁ δ' Ἡρακλῆς ὑγιασθεὶς καὶ δουλεύων τῇ Ὀμφάλῃ τοὺς κατὰ τὴν χώραν λῃστεύοντας ἐκόλασε. τοὺς μὲν γὰρ ὀνομαζομένους Κέρκωπας, λῃστεύοντας καὶ πολλὰ κακὰ διεργαζομένους, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ζωγρήσας δεδεμένους παρέδωκε τῇ Ὀμφάλῃ· Συλέα δὲ τοὺς παριόντας ξένους συναρπάζοντα, καὶ τοὺς ἀμπελῶνας σκάπτειν ἀναγκάζοντα, τῷ σκαφείῳ πατάξας ἀπέκτεινεν· Ἰτώνων δὲ λεηλατούντων πολλὴν τῆς ὑπὸ Ὀμφάλῃ χώρας, τήν τε λείαν ἀφείλετο καὶ τὴν πόλιν ἐξ ἧς ἐποιοῦντο τὴν ὁρμὴν ἐκπορθήσας ἐξηνδραποδίσατο καὶ κατέσκαψεν. ἡ δ' Ὀμφάλη ἀποδεχομένη τὴν ἀνδρείαν τοῦ Ἡρακλέους, καὶ πυθομένη τίς ἐστι καὶ τίνων, ἐθαύμασε τὴν ἀρετήν· ἐλεύθερον δ' ἀφεῖσα καὶ συνοικήσασα αὐτῷ Λαμῶν ἐγέννησε. προϋπῆρχε δὲ τῷ Ἡρακλεῖ κατὰ τὸν τῆς δουλείας καιρὸν ἐκ
32 δούλης υἱὸς Κλεόλαος. μετὰ δὲ ταῦτα ἐπανελθὼν εἰς Πελοπόννησον, ἐστράτευσεν εἰς Ἴλιον, ἐγκαλῶν Λαομέδοντι τῷ βασιλεῖ. οὗτος γὰρ Ἡρακλέους στρατεύοντος μετὰ Ἰάσονος ἐπὶ τὸ χρυσόμαλλον δέρος, καὶ τὸ κῆτος ἀνελόντος, ἀπεστέρησε τῶν ὡμολογημένων ἵππων, περὶ ὧν
ἐν τοῖς Ἀργοναύταις τὰ κατὰ μέρος μικρὸν ὕστερον διέξι- 277
μεν. καὶ τότε μὲν διὰ τὴν μετ' Ἰάσονος στρατείαν ἀσχοληθείς, ὕστερον δὲ λαβὼν καιρόν, ἐπὶ τὴν Τροίαν ἐστράτευσεν, ὥς μέν τινές φασι, ναυσὶ μακραῖς ὀκτωκαίδεκα, ὡς δὲ Ὅμηρος γέγραφεν, ἓξ ταῖς ἁπάσαις, ἐν οἷς παρεισάγει τὸν υἱὸν αὐτοῦ Τληπόλεμον λέγοντα

ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην
εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα·
ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

ὁ δ' οὖν Ἡρακλῆς καταπλεύσας εἰς τὴν Τρῳάδα αὐτὸς μὲν μετὰ τῶν ἀρίστων προῆγεν ἐπὶ τὴν πόλιν, ἐπὶ δὲ τῶν νεῶν ἀπέλιπεν ἡγεμόνα τὸν Ἀμφιαράου υἱὸν Οἰκλέα. Λαομέδων δέ, ἀπροσδοκήτου τῆς παρουσίας τῶν πολεμίων γενομένης, δύναμιν ἀξιόλογον συναγαγεῖν ἐξεκλείσθη διὰ τὴν ὀξύτητα τῶν καιρῶν· ἀθροίσας δὲ ὅσους ἐδύνατο μετὰ τούτων ἦλθεν εἰς τὰς ναῦς, ἐλπίζων, εἰ ταύτας ἐμπρήσειε, τέλος ἐπιθήσειν τῷ πολέμῳ. τοῦ δὲ Οἰκλέους ἀπαντήσαντος, ὁ μὲν στρατηγὸς Οἰκλῆς ἔπεσεν, οἱ δὲ λοιποὶ συνδιωχθέντες εἰς τὰς ναῦς ἔφθασαν ἀναπλεύσαντες ἀπὸ τῆς γῆς. Λαομέδων δὲ ἐπανελθὼν καὶ πρὸς τῇ πόλει τοῖς μεθ' Ἡρακλέους συμβαλὼν αὐτός τε ἔπεσε καὶ τῶν συναγωνιζομένων οἱ πλείους. Ἡρακλῆς δὲ τὴν πόλιν ἑλὼν κατὰ κράτος καὶ πολλοὺς ἐν χειρῶν νόμῳ κατασφάξας Πριάμῳ τὴν βασιλείαν ἀπέδωκε τῶν Ἰλιέων διὰ τὴν δικαιοσύνην. οὗτος γὰρ μόνος τῶν υἱῶν τοῦ Λαομέδοντος ἐναντιούμενος τῷ πατρὶ τὰς ἵππους συνεβούλευεν ἀποδοῦναι τῷ Ἡρακλεῖ κατὰ τὰς ἐπαγγελίας. ὁ δ' Ἡρακλῆς ἐστεφάνωσε Τελαμῶνα ἀριστείοις, δοὺς αὐτῷ τὴν Λαομέδοντος θυγατέρα Ἡσιόνην. οὗτος

13. τοῖς] θεοῖς addit D, sed uncis inclusum 14. οὖν om. D 16. ὑπομείνας ἑκουσίως om. ABD: sunt eadem p. 430. 59. παρθένου servarunt ABD Poggius 18. τότε AD Eusebius, caeteri ποτὲ Μαιόνων] Μῃόνων CEQ 22. ἐκόλασε] ἐκόλησε F 26. καὶ — 27. ἀναγκάζοντα om. CE, asterisco notavit Stephanus 27. σκαφείῳ] σκαφίῳ D, καὶ τῷ περὶ τὰς σκαφὰς τῆς γῆς ὀργάνῳ gl. C 29. Ὀμφάλῃ] Ὀμφάλης F ἀφείλετο] ἀφείλατο A 31. δ' D, caeteri δὲ 32. τοῦ] τὴν D 34. Λαμῶν] Λάμος G, Λαμὸν (D)V, Iamonem Poggius 36. Κλεόλαος] Κλεόδαος D, Κλεόδαιος B, Κλαιόδαιος A: Κλεόλαος etiam Eusebius 39. μετὰ Ἰάσονος om. CE, asterisco notavit Stephanus 40. δέρος A, δέῤῥος D, caeteri δέρας 41. ἀπεστέρησε] ἀπεστερήθη ABD

277. 42. μικρὸν om. A διέξιμεν] διέξειμεν D 45. μακραῖς] μικραῖς B

46. ὀκτὼ καὶ δέκα ed. Wess.: ιη ed. Steph. καὶ δέκα om. ABD ὡς δὲ Ὅμηρος om. D Bipontinorum ἁπάσαις] πάσαις, ascripto ἁ supra π, D Bipont. 47. Τληπόλεμον] Triptolemum Poggius, ut p. 281. 30. 302. 56. 67. 49. τινά A, ποτέ BCDEQ, τότε caeteri Ἡρακληείην] Ἡρακλείην A, Ἡρακληέα C 51. δεῦρ'] δεῦρο D Bipont. 52. ἓξ οἴῃς AB(D), ἐξοίης D Wesselingii, ἓξ οἴαις E, caeteri ἓξ οἴαις παυροτέροισιν] παυροτέροις D Bipont. 53. ἐξαλάπαξε] ἐξαλαπάξαι D Bipont., ἐξαλάπαξαι D Wesselingii 56. ἀπέλιπεν AD, ἀνέλιπεν B, caeteri κατέλιπεν Οἰκλέα] Ἰοκλέα B, Oileo Poggius Wesselingii, meus Oicleo, caeteri Ὀϊκλέα: quam et infra diaeresin sustuli 58. γενομένης ABC(D)E, caeteri γεγενημένης 64. ἔφθασαν] ἐφθάρησαν ABD ἀναπλεύσαντες] ἀναπλεῦσαι E 65. τῇ πόλει] τὴν πόλιν G 68. ἐν χειρῶν νόμῳ] τουτέστιν ἐν μάχῃ καὶ βίᾳ πολεμικῇ gl. V 69. τῶν Ἰλιέων] τῶν Ἰλιάδων D, τῶν Ἰλιάδων AB, τῶν Ἰλιαίων C, τῆς Ἰλίου EGQV 70. διὰ τὴν δικαιοσύνην om. M 71. τὰς ABD, caeteri τοὺς συνεβούλευεν] συνεβούλευσεν D, post ἀποδοῦναι ponens

γὰρ κατὰ τὴν πολιορκίαν πρῶτος βιασάμενος εἰςέπεσεν εἰς τὴν πόλιν, Ἡρακλέους προςβαλόντος κατὰ τὸ καρτερώτατον μέρος τοῦ τείχους τῆς ἀκροπόλεως.

33 Μετὰ δὲ ταῦτα Ἡρακλῆς μὲν ἐπανελθὼν εἰς Πελοπόννησον ἐστράτευσεν ἐπ' Αὐγέαν διὰ τὴν ἀποστέρησιν τοῦ μισθοῦ. γενομένης δὲ μάχης πρὸς τοὺς Ἠλείους, τότε μὲν ἄπρακτος ἐπανῆλθεν εἰς Ὤλενον πρὸς Δεξαμενόν· 278 τῆς δὲ τούτου θυγατρὸς Ἱππολύτης συνοικιζομένης Ἀζᾶνι, συνδειπνῶν Ἡρακλῆς, καὶ θεασάμενος ἐν τοῖς γάμοις ὑβρίζοντα τὸν Κένταυρον Εὐρυτίωνα καὶ τὴν Ἱππολύτην βιαζόμενον, ἀπέκτεινεν. εἰς Τίρυνθα δὲ Ἡρακλέους ἐπανελθόντος, Εὐρυσθεὺς αἰτιασάμενος αὐτὸν ἐπιβουλεύειν τῇ βασιλείᾳ προςέταξεν ἀπελθεῖν ἐκ Τίρυνθος αὐτόν τε καὶ τὴν Ἀλκμήνην καὶ Ἰφικλέα καὶ Ἰόλαον. διόπερ ἀναγκασθεὶς ἔφυγε μετὰ τούτων καὶ κατῴκησε τῆς Ἀρκαδίας ἐν Φενεῷ. ἐντεῦθεν δὲ ὁρμώμενος, καὶ πυθόμενος ἐξ Ἤλιδος πομπὴν ἀποστέλλεσθαι Ποσειδῶνι εἰς Ἰσθμόν, καὶ ταύτης ἀφηγεῖσθαι Εὔρυτον τὸν Αὐγέου, προςπεσὼν ἄφνω τὸν Εὔρυτον ἀπέκτεινε περὶ Κλεωνάς, ἔνθα νῦν ἱερόν ἐστιν Ἡρακλέους. μετὰ δὲ ταῦτα στρατεύσας ἐπὶ τὴν Ἦλιν, τόν τε βασιλέα ἐφόνευσεν Αὐγέαν, καὶ τὴν πόλιν ἑλὼν κατὰ κράτος Φυλέα τὸν Αὐγέου μετεπέμψατο, καὶ τούτῳ τὴν βασιλείαν παρέδωκεν· ἦν γὰρ ὑπὸ τοῦ πατρὸς πεφυγαδευμένος καθ' ὃν καιρὸν δικαστὴς γενόμενος τῷ πατρὶ πρὸς Ἡρακλέα περὶ τοῦ μισθοῦ τὸ νίκημα ἀπέδωκεν Ἡρακλεῖ. μετὰ δε ταῦτα Ἱπποκόων μὲν ἐφυγάδευσεν ἐκ τῆς Σπάρτης τον ἀδελφὸν Τυνδάρεων, Οἰωνὸν δὲ τὸν Λικυμνίου φίλον ὄντα Ἡρακλέους οἱ υἱοὶ τοῦ Ἱπποκόωντος εἴκοσι τὸν ἀριθμὸν ὄντες ἀπέκτειναν. ἐφ' οἷς ἀγανακτήσας Ἡρακλῆς ἐστράτευσεν ἐπ' αὐτούς· μεγάλῃ δὲ μάχῃ νικήσας παμπληθεῖς ἀπέκτεινε. τὴν δὲ Σπάρτην ἑλὼν κατὰ κράτος κατήγαγεν ἐπὶ τὴν βασιλείαν Τυνδάρεων τὸν πατέρα τῶν Διοςκούρων, καὶ τὴν βασιλείαν ὡς δορίκτητον Τυνδάρεῳ παρέθετο, προςτάξας τοῖς ἀφ' ἑαυτοῦ γενομένοις φυλάττειν. ἔπεσον δ' ἐν τῇ μάχῃ τῶν μὲν μεθ' Ἡρακλέους ὀλίγοι παντελῶς, ἐν οἷς ἦσαν ἐπιφανεῖς ἄνδρες Ἴφικλος καὶ Κηφεὺς καὶ Κηφέως υἱοὶ τὸν ἀριθμὸν ὄντες ἑπτακαίδεκα· τρεῖς γὰρ ἀπὸ τῶν εἴκοσι μόνον διεσώθησαν· τῶν δ' ἐναντίων αὐτός τε ὁ Ἱπποκόων καὶ μετ' αὐτοῦ δέκα μὲν υἱοί, τῶν δ' ἄλλων Σπαρτιατῶν παμπληθεῖς. ἀπὸ δὲ ταύτης τῆς στρατείας ἐπανιὼν εἰς τὴν Ἀρκαδίαν, καὶ καταλύσας παρὰ Ἄλεῳ τῷ βασιλεῖ, τῇ θυγατρὶ τούτου λάθρᾳ μιγεὶς Αὔγῃ καὶ ταύτην ποιήσας ἔγκυον εἰς Στύμφαλον ἐπανῆλθεν. Ἄλεως δ' ἀγνοῶν τὸ πεπραγμένον, ὡς ὁ τῆς γαστρὸς ὄγκος ἐμήνυσε τὴν φθοράν, ἐζήτει τὸν φθείραντα. τῆς δ' Αὔγης ἀποφαινομένης ὅτι βιάσαιτο αὐτὴν Ἡρακλῆς, ἀπιστήσας τοῖς ὑπὸ ταύτης λεγομένοις ταύτην μὲν παρέδωκε Ναυπλίῳ φίλῳ καθεστῶτι, καὶ προςέταξε καταποντίσαι. Αὔγη δ' ἀπαγομένη εἰς Ναυ- 279 πλίαν, καὶ γενομένη κατὰ τὸ Παρθένιον ὄρος, ὑπό τε τῶν ὠδίνων καταβαρουμένη, παρῆλθεν εἰς τὴν πλησίαν ὕλην ὡς ἐπί τινα χρείαν ἀναγκαίαν· τεκοῦσα δὲ παιδίον ἄῤῥεν ἀπέλιπε τὸ βρέφος εἴς τινας θάμνους κρύψασα. μετὰ δὲ ταῦτα Αὔγη μὲν ἀπηλλάγη μετὰ Ναυπλίου, καὶ καταντήσασα τῆς Ἀργείας εἰς τὸν ἐν Ναυπλίᾳ λιμένα παραδόξου σωτηρίας ἔτυχεν. ὁ γὰρ Ναύπλιος καταποντίσαι μὲν αὐτὴν κατὰ τὰς ἐντολὰς οὐκ ἔκρινε, ξένοις δέ τισι Καρσὶν ἀναγομένοις εἰς τὴν Ἀσίαν δωρήσασθαι. οὗτοι δ' ἀπαγαγόντες εἰς τὴν Ἀσίαν ἀπέδοντο τὴν Αὔγην τῷ βασιλεῖ τῆς Μυσίας Τεύθραντι. τὸ δὲ ἀπολειφθὲν ἐν

79. Αὐγέαν] Αὐγαίαν A 81. Ὤλενον] Σώλενον EGQV πρὸς Δεξαμενόν (D) Rhodomannus, caeteri προςδεξάμενον

278. 83. Ἀζᾶνι Wesselingius, Ἀζάνει AB, Ἀζανεῖ D, caeteri Ἀζάνι 89. Ἰφικλέα] Ἰκλέα A 92. Ποσειδῶνι] Ποσειδῶνος GQ ἀφηγεῖσθαι] ἐφηγεῖσθαι B 93. Αὐγέου] Αὐγαίου A semper 94. ἱερόν ἐστιν] invertit D 95. Ἦλιν] Ἥλιον G 98. πατρὸς AD, caeteri πατρὸς αὐτοῦ 1. Ἱπποκόων] Ἱπποκόωντα ABD Poggius Wesselingii, meus Hippocoon, etsi Τυνδάρεω pro genitivo habuit 2 Τυνδάρεων D, caeteri Τυνδάρεω 3. Οἰωνὸν AC(D)EG, Αἰωνὸν F, Eonum Poggius Wesselingii, meus Eonium, caeteri Τἰωνὸν 7. ἑλὼν] λαβὼν FG 8. Τυνδάρεων AB, caeteri Τυνδάρεω

9. Τυνδαρέῳ addunt ante παρέθετο D et secundum annotationem Wessel. AB; ante ὡς δορύκτητον ed. Wessel., per errorem, ut videtur. ego autem eo nomine lubenter caream 10. δορίκτητον C, caeteri δορύκτητον 13. Ἴφικλος] Ἴφιτος FGM Poggius καὶ Κηφεὺς servarunt BD, Typheus Poggius Wesselingii, Tiphus meus δέκα καὶ ἑπτὰ (D) ed. Wessel., ιζ ed. Stephani: dedi ἑπτακαίδεκα 14. τῶν om. D μόνον ABCDG, caeteri μόνοι διεσώθησαν] ἐσώθησαν AB 18. παρὰ Ἄλεῳ] παραλέῳ FG, παρὰ Λεῷ Eusebius: scribe παρ' Ἄλεῳ 19. Αὔγῃ om. AD Eusebius 20. Ἄλεως] Ἄλεος D δ' D, caeteri δὲ 21. ὡς] ἕως BD 22. φθείραντα] φθαρέντα B 23. βιάσαιτο] βιάσατο F 24. ἀπιστήσας notavit Stephanus ὑπὸ om. A 26. Αὔγη] αὕτη D δ' D, caeteri δὲ ἀπαγομένη ABCDEQ, caeteri ἀγομένη Ναυπλίαν] Ναύπλιον AB

279. 28. τε omisit D ὠδίνων] Ἰνδικῶν F 29. ἀναγκαίαν] ἀναγκαῖον B 31. Αὔγη] αὕτη D 32. μετὰ Ναυπλίου] πρὸς τὸν Ναύπλιον AD, πρότον Ναύπλιον B Ἀργείας] Ἀρκαδίας ABD Poggius

τῷ Παρθενίῳ βρέφος ὑπὸ τῆς Αὔγης βουκόλοι τινὲς Κορύθου τοῦ βασιλέως εὑρόντες ὑπό τινος ἐλάφου τῷ μαστῷ τρεφόμενον, ἐδωρήσαντο τῷ δεσπότῃ. ὁ δὲ Κόρυθος παραλαβὼν τὸ παιδίον ἀσμένως ὡς ἴδιον υἱὸν ἔτρεφε, προσαγορεύσας Τήλεφον ἀπὸ τῆς τρεφούσης ἐλάφου. Τήλεφος δ' ἀνδρωθεὶς καὶ τὴν μητέρα μαθεῖν σπεύδων, παρῆλθεν εἰς Δελφούς, καὶ χρησμὸν ἔλαβε πλεῖν εἰς τὴν Μυσίαν πρὸς Τεύθραντα τὸν βασιλέα. ἀνευρὼν δὲ τὴν μητέρα, καὶ γνωσθεὶς τίνος ἦν πατρός, ἀποδοχῆς ἐτύγχανε τῆς μεγίστης. ὁ δὲ Τεύθρας ἄπαις ὢν ἀῤῥένων, τὴν θυγατέρα Ἀργιόπην συνῴκισε τῷ Τηλέφῳ, καὶ διάδοχον ἀπέδειξε τῆς βασιλείας.

34 Ἡρακλῆς δὲ μετὰ τὴν ἐν Φενεῷ κατοίκησιν ἔτει πέμπτῳ δυςφορῶν ἐπὶ τῷ τετελευτηκέναι Οἰωνὸν τὸν Λικυμνίου καὶ Ἴφικλον τὸν ἀδελφὸν ἀπῆλθεν ἑκουσίως ἐξ Ἀρκαδίας καὶ πάσης Πελοποννήσου. συναπελθόντων δ' αὐτῷ πολλῶν ἐκ τῆς Ἀρκαδίας, ἀπῆλθε τῆς Αἰτωλίας εἰς Καλυδῶνα κἀκεῖ κατῴκησεν. οὐκ ὄντων δ' αὐτῷ παίδων γνησίων οὐδὲ γαμετῆς γυναικός, ἔγημε Δηιάνειραν τὴν Οἰνέως, τετελευτηκότος ἤδη Μελεάγρου. οὐκ ἀνοίκειον δ' εἶναι νομίζομεν βραχὺ παρεκβάντας ἡμᾶς ἀπαγγεῖλαι τὴν περὶ τὸν Μελέαγρον περιπέτειαν. Οἰνεὺς γάρ, γενομένης αὐτῷ εὐκαρπίας τοῦ σίτου, τοῖς μὲν ἄλλοις θεοῖς ἐτέλεσε θυσίας, μόνης δὲ τῆς Ἀρτέμιδος ὠλιγώρησεν· δι' ἣν αἰτίαν ἡ θεὸς αὐτῷ μηνίσασα τὸν διαβεβοημένον Καλυδώνιον ὗν ἀνῆκεν, ὑπερφυῆ τὸ μέγεθος. οὗτος τὴν σύνεγγυς χώραν καταφθείρων τὰς κτήσεις ἐλυμαίνετο. διόπερ Μελέαγρος ὁ Οἰνέως, τὴν μὲν ἡλικίαν μάλιστα ἀκμάζων, ῥώμῃ δὲ καὶ ἀνδρείᾳ διαφέρων, παρέλαβε πολλοὺς τῶν ἀριστέων ἐπὶ τὴν τούτου κυνηγίαν. πρώτου δὲ Μελεάγρου τὸ θηρίον ἀκοντίσαντος, ὁμολογούμενον αὐτῷ τὸ πρωτεῖον συνεχωρήθη· τοῦτο δ' ἦν ἡ δορὰ τοῦ ζῴου. μετεχούσης δὲ τῆς κυνηγίας Ἀταλάντης τῆς Σχοινέως, ἐρασθεὶς αὐτῆς ὁ Μελέαγρος, παρεχώρησε τῆς δορᾶς καὶ τοῦ κατὰ τὴν ἀριστείαν ἐπαίνου.

42. ἀσμένως] ἄσμενος A  44. δ' D, caeteri δὲ  46. Μυσίαν] Ἀσίαν AM  48. ἀῤῥένων] παίδων addunt Wesselingius et Porsonus Advers. p. 229. sicut apud Dionysium vol. I. p. 110. 11. R. ἄπαιδος ἀῤῥένων παίδων addidit codex Vaticanus  51. Φενεῷ] Φενέῳ D  κατοίκησιν] κατῴκησεν A  52. Οἰωνὸν AC(D)E, *filiorum* Poggius, caeteri Τίωνὸν  58. Δηιάνειραν] Δηϊάνειραν D, Δηϊανιραν A  63. Ἀρτέμιδος] ἄρτιμος sic D  65. οὗτος] οὗτος δὲ D  68. ἀριστέων] ἀρίστων AB(D)  69. κυνηγίαν] κυνηγεσίαν B  71. τοῦτο] τὸ G  72. κυνηγίας] κυνηγεσίας B



280 ἐπὶ δὲ τοῖς πραχθεῖσιν οἱ Θεστίου παῖδες συγκυνηγοῦντες ἠγανάκτησαν, ὅτι ξένην γυναῖκα προετίμησεν αὐτῶν, παραπέμψας τὴν οἰκειότητα. διόπερ ἀκυροῦντες τοῦ Μελεάγρου τὴν δωρεὰν ἐνήδρευσαν Ἀταλάντῃ, καὶ κατὰ τὴν εἰς Ἀρκαδίαν αὐτῆς ἐπάνοδον ἐπιθέμενοι τὴν δορὰν ἀφείλοντο. Μελέαγρος δὲ διά τε τὸν πρὸς τὴν Ἀταλάντην ἔρωτα καὶ διὰ τὴν ἀτιμίαν παροξυνθείς, ἐβοήθησε τῇ Ἀταλάντῃ. καὶ τὸ μὲν πρῶτον παρεκάλει τοὺς ἡρπακότας ἀποδοῦναι τῇ γυναικὶ τὸ δοθὲν ἀριστεῖον· ὡς δ' οὐ προςεῖχον, ἀπέκτεινεν αὐτούς, ὄντας τῆς Ἀλθαίας ἀδελφούς. διόπερ ἡ μὲν Ἀλθαία γενομένη περιαλγὴς ἐπὶ τῇ τῶν ὁμαίμων ἀναιρέσει ἀρὰς ἔθετο καθ' ἃς ἠξίωσεν ἀποθανεῖν Μελέαγρον· καὶ τοὺς ἀθανάτους ὑπακούσαντας ἐπενεγκεῖν αὐτῷ τὴν τοῦ βίου καταστροφήν. ἔνιοι δὲ μυθολογοῦσιν ὅτι κατὰ τὴν Μελεάγρου γένεσιν τῇ Ἀλθαίᾳ τὰς Μοίρας καθ' ὕπνους ἐπιστάσας εἰπεῖν ὅτι τότε τελευτήσει Μελέαγρος ὁ υἱὸς αὐτῆς ὅταν ὁ δαλὸς κατακαυθῇ. διόπερ τεκοῦσαν, καὶ νομίσασαν ἐν τῇ τοῦ δαλοῦ φυλακῇ τὴν σωτηρίαν τοῦ τέκνου κεῖσθαι, τὸν δαλὸν ἐπιμελῶς τηρεῖν. ὕστερον δ' ἐπὶ τῷ φόνῳ τῶν ἀδελφῶν παροξυνθεῖσαν τὸν δαλὸν κατακαῦσαι, καὶ τῷ Μελεάγρῳ τῆς τελευτῆς αἰτίαν καταστῆναι· ἀεὶ δὲ μᾶλλον ἐπὶ τοῖς πεπραγμένοις λυπουμένην τὸ τέλος ἀγχόνῃ
τὸν βίον καταστρέψαι. ἅμα δὲ τούτοις πραττομένοις Ἱπ- 35
πόνουν ἐν Ὠλένῳ πρὸς τὴν θυγατέρα Περίβοιαν, φάσκουσαν αὐτὴν ἐξ Ἄρεος ὑπάρχειν ἔγκυον, διενεχθέντα πέμψαι ταύτην εἰς Αἰτωλίαν πρὸς Οἰνέα καὶ παρακελεύσασθαι ταύτην ἀφανίσαι τὴν ταχίστην. ὁ δ' Οἰνεὺς ἀπολωλεκὼς προςφάτως υἱὸν καὶ γυναῖκα, τὸ μὲν ἀποκτεῖναι τὴν Περίβοιαν ἀπέγνω, γήμας δ' αὐτὴν ἐγέννησεν υἱὸν Τυδέα. τὰ μὲν οὖν περὶ Μελέαγρον καὶ Ἀλθαίαν

74. πραχθεῖσιν] προσταχθεῖσιν B, προςαχθεῖσιν A  Θεστίου] Θεστείου D
280. 75. συγκυνηγοῦντες ABC(D)EQ, caeteri συγκυνηγετοῦντες  76. παραπέμψας] παραπεμψάμενος D  78. Ἀταλάντῃ ABD, caeteri Ἀταλάντην  αὐτῆς om. ADF  79. ἀφείλοντο] ἀφείλαντο D  80. τὴν Ἀ.] τὴν om. D  86. ὁμαίμων ABC(D)EGQ, caeteri ὁμαιμόνων  90. ὅτι τότε A(D), caeteri τότε  91. τελευτήσει A(D), caeteri τελευτήσειν  92. κατακαυθῇ] καυθῇ CEQ  95. τὸν δαλὸν] τὸν δῆλον D, post κατακαῦσαι ponens  96. αἰτίαν D, caeteri τὴν αἰτίαν  97. τοῖς πεπραγμένοις] τῶν πεπραγμένων FG  λυπουμένην AB(D), caeteri λυπουμένη  98. ἀγχόνῃ] ἀγχώνῃ D, ἀγχομένη CE  καταστρέψαι AB(D), caeteri κατέστρεψεν  99. Ἱππόνουν] Ἱππόκνουν F, *Hippotus* Poggius  2. παρακελεύσασθαι] παρακαλέσασθαι EQV  3. ταύτην delet Wesselingius: ego eo non valde offendor  ἀφανίσαι] ἀφανῆσαι C  5. δ' D, caeteri δὲ

ἔτι δ' Οἰνέα τοιαύτης ἔτυχε διεξόδου. Ἡρακλῆς δὲ τοῖς Καλυδωνίοις βουλόμενος χαρίσασθαι τὸν Ἀχελῷον ποταμὸν ἀπέστρεψε, καὶ ῥύσιν ἄλλην κατασκευάσας ἀπέλαβε χώραν πολλὴν καὶ πάμφορον, ἀρδευομένην ὑπὸ τοῦ προειρημένου ῥείθρου. διὸ καὶ τῶν ποιητῶν τινας μυθοποιῆσαι τὸ πραχθέν· παρειςήγαγον γὰρ τὸν Ἡρακλέα πρὸς τὸν Ἀχελῷον συνάψαι μάχην, ὡμοιωμένου τοῦ ποταμοῦ ταύρῳ· κατὰ δὲ τὴν συμπλοκὴν θάτερον τῶν κεράτων κλάσαντα δωρήσασθαι τοῖς Αἰτωλοῖς, ὃ προςαγορεῦσαι κέρας Ἀμαλθείας. ἐν ᾧ πλάττουσι πάσης ὀπωρινῆς ὥρας ὑπάρχειν πλῆθος, βοτρύων τε καὶ μήλων καὶ τῶν ἄλλων τῶν τοιούτων, αἰνιττομένων τῶν ποιητῶν 281 κέρας μὲν τοῦ Ἀχελῴου τὸ διὰ τῆς διώρυγος φερόμενον ῥεῖθρον, τὰ δὲ μῆλα καὶ τὰς ῥόας καὶ τοὺς βότρυς δηλοῦν τὴν καρποφόρον χώραν τὴν ὑπὸ τοῦ ποταμοῦ ἀρδευομένην καὶ τὸ πλῆθος τῶν καρποφορούντων φυτῶν· Ἀμαλθείας δ' εἶναι κέρας οἱονεί τινος ἀμαλακιστίας, δι' ἧς τὴν εὐτονίαν τοῦ κατασκευάσαντος δηλοῦσθαι.

36 Ἡρακλῆς δὲ τοῖς Καλυδωνίοις συστρατεύσας ἐπὶ Θεσπρωτοὺς πόλιν τε Ἐφύραν κατὰ κράτος εἷλε καὶ Φυλέα τὸν βασιλέα τῶν Θεσπρωτῶν ἀπέκτεινε. λαβὼν δὲ αἰχμάλωτον τὴν θυγατέρα τοῦ Φυλέως, ἐπεμίγη ταύτῃ καὶ ἐτέκνωσε Τληπόλεμον. μετὰ δὲ τὸν Δηιανείρας γάμον τρισὶν ὕστερον ἔτεσι δειπνῶν παρ' Οἰνεῖ, διακονοῦντος Εὐρυνόμου τοῦ Ἀρχιτέλους υἱοῦ, παιδὸς τὴν ἡλικίαν, ἁμαρτάνοντος δὲ ἐν τῷ διακονεῖν, πατάξας κονδύλῳ, καὶ βαρυτέρας τῆς πληγῆς γενομένης, ἀπέκτεινεν ἀκουσίως τὸν παῖδα. περιαλγὴς δὲ γενόμενος ἐπὶ τῷ πάθει πάλιν ἐκ τῆς Καλυδῶνος ἑκουσίως ἔφυγε μετὰ τῆς γυναικὸς Δηιανείρας καὶ Ὕλλου τοῦ ἐκ ταύτης, παιδὸς ὄντος τὴν ἡλικίαν, ἐπεὶ δὲ πορευόμενος ἦλθε πρὸς τὸν Εὔηνον ποταμόν, κατέλαβε Νέσσον τὸν Κένταυρον μισθοῦ διαβιβάζοντα τὸν ποταμόν. οὗτος δὲ πρώτην διαβιβάσας τὴν Δηιάνειραν, καὶ διὰ τὸ κάλλος ἐρασθείς,

7. ἔτυχε] ἔτυχον B 12. πραχθὲν] προςταχθὲν AB 14. ὡμοιωμένου] ὁμοιωμένως C 15. δωρήσασθαι] χαρίσασθαι ABD 17. πάσης ὀπωρινῆς ὥρας ὑπάρχειν πλῆθος] πλῆθος ὑπάρχειν πάσης ὀπωρινῆς ὥρας D

281. 19. αἰνιττομένων] δὲ addit F 21. τὰς ῥόας D, τὰ ῥοΐδια EGQV, caeteri τὰς ῥοιὰς 23. καρποφορούντων] καρποφορουμένων ABD 27. εἷλε] ἑλεῖν G 29. τὴν θυγατέρα A(D), caeteri θυγατέρα 31. ἔτεσι] χρόνοις FGQ 33. ἐν τῷ — γενομένης] μεθύων A 37. Δηιανείρας] Διϊανείρας fere semper AD 39. Νέσσον] Νέσον A 40. πρώτην ABDEQ, πρότερον Eusebius, caeteri πρῶτον τὴν omittit D



ἐπεχείρησε βιάσασθαι ταύτην. ἐπιβοωμένης δ' αὐτῆς τὸν ἄνδρα, ὁ μὲν Ἡρακλῆς ἐτόξευσε τὸν Κένταυρον, ὁ δὲ Νέσσος μεταξὺ μισγόμενος, καὶ διὰ τὴν ὀξύτητα τῆς πληγῆς εὐθὺς ἀποθνήσκων, ἔφησε τῇ Δηιανείρᾳ δώσειν φίλτρον, ὅπως μηδεμιᾷ τῶν ἄλλων γυναικῶν Ἡρακλῆς θελήσῃ πλησιάσαι. παρεκελεύσατο οὖν λαβοῦσαν τὸν ἐξ αὐτοῦ πεσόντα γόνον, καὶ τούτῳ προςμίξασαν ἔλαιον καὶ τὸ ἀπὸ τῆς ἀκίδος ἀποστάζον αἷμα, χρῖσαι τὸν χιτῶνα τοῦ Ἡρακλέους. οὗτος μὲν οὖν ταύτην τὴν ὑποθήκην δοὺς τῇ Δηιανείρᾳ παραχρῆμα ἐξέπνευσεν, ἡ δὲ κατὰ τὴν γενομένην τοῦ Νέσσου παραγγελίαν εἰς ἄγγος ἀναλαβοῦσα τὸν γόνον, καὶ τὴν ἀκίδα βάψασα, λάθρᾳ τοῦ Ἡρακλέους ἐφύλαττεν. ὁ δὲ διαβὰς τὸν ποταμὸν κατήντησε πρὸς Κήϋκα τὸν τῆς Τραχῖνος βασιλέα, καὶ μετὰ τούτου κατῴκησεν, ἔχων τοὺς ἀεὶ συστρατεύοντας τῶν Ἀρκάδων.

Μετὰ δὲ ταῦτα Φύλαντος τοῦ Δρυόπων βασιλέως 37 δόξαντος εἰς τὸ ἐν Δελφοῖς ἱερὸν παρανενομηκέναι, στρατεύσας μετὰ τῶν Μηλιέων τόν τε βασιλέα τῶν Δρυόπων ἀνεῖλε καὶ τοὺς ἄλλους ἐκ τῆς χώρας ἐξαναστήσας Μηλιεῦσι παρέδωκε τὴν χώραν· τὴν δὲ Φύλαντος 282 θυγατέρα λαβὼν αἰχμάλωτον, καὶ μιγεὶς αὐτῇ, υἱὸν Ἀντίοχον ἐγέννησεν. ἐτέκνωσε δὲ καὶ ἐκ τῆς Δηιανείρας νεωτέρους τοῦ Ὕλλου υἱοὺς δύο Γληνέα καὶ Ὀδίτην. τῶν δ' ἐκπεσόντων Δρυόπων οἱ μὲν εἰς τὴν Εὔβοιαν καταντήσαντες ἔκτισαν πόλιν Κάρυστον, οἱ δ' εἰς Κύπρον τὴν νῆσον πλεύσαντες καὶ τοῖς ἐγχωρίοις ἀναμιχθέντες ἐνταῦθα κατῴκησαν, οἱ δὲ λοιποὶ τῶν Δρυόπων καταφυγόντες ἐπὶ τὸν Εὐρυσθέα βοηθείας ἔτυχον διὰ τὴν ἔχθραν τὴν πρὸς Ἡρακλέα. τούτου γὰρ αὐτοῖς συνεργοῦντος τρεῖς πόλεις ᾤκισαν ἐν Πελοποννήσῳ, Ἀσίνην καὶ Ἑρμιόνην ἔτι δ' Ἠϊόνα. μετὰ δὲ τὴν Δρυόπων ἀνάστασιν, πολέμου συνεστῶτος τοῖς Δωριεῦσι τοῖς τὴν Ἑστιαιῶτιν καλουμένην οἰκοῦσιν, ὧν ἐβασίλευεν

42. ταύτην] ταύτης BD δ' αὐτῆς om. F 47. λαβοῦσαν om. F 49. ἀποστάζον] ἀποσταζόμενον Eusebius 52. παραγγελίαν] τὴν παραγγελίαν FG ἄγγος] ἀγγεῖον EGQV 53. ἀκίδα] ἀκίδαν D 55. Τραχῖνος] Τραχεῖνος D 60. τῶν om. ACDF

282. 64. Ἀντίοχον] Ἀντίλοχον ABD Poggius 65. Γληνέα ABC(D)EGQ, *Gleneam* Poggius, caeteri Γυνέα Ὀδίτην] Ὀδείτην CE, Διοπίτην AB Poggius, Διοπείτην D 68. τοῖς ἐγχωρίοις] τῶν ἐγχωρίων FG 70. καταφ. — ἔτυχον om. A 72. ᾤκισαν Wesselingius: ᾤκησαν, in rasura scriptis κη, D cum caeteris 74. τοῖς om. D

Αἰγίμιος, καὶ τοῖς Λαπίθαις τοῖς περὶ τὸν Ὄλυμπον ἱδρυμένοις, ὧν ἐδυνάστευε Κόρωνος ὁ Καινέως, ὑπερεχόντων δὲ τῶν Λαπιθῶν πολὺ ταῖς δυνάμεσιν, οἱ Δωριεῖς κατέφυγον ἐπὶ τὸν Ἡρακλέα, καὶ σύμμαχον αὐτὸν ἐκάλεσαν ἐπὶ τρίτῳ μέρει τῆς Δωρίδος χώρας καὶ τῆς βασιλείας· πείσαντες δὲ κοινῇ τὴν ἐπὶ τοὺς Λαπίθας στρατείαν ἐποιήσαντο. ὁ δ' Ἡρακλῆς ἔχων ἀεὶ τοὺς μεθ' ἑαυτοῦ στρατεύσαντας Ἀρκάδας, καὶ μετὰ τούτων χειρωσάμενος τοὺς Λαπίθας, αὐτόν τε τὸν βασιλέα Κόρωνον ἀνεῖλε καὶ τῶν ἄλλων τοὺς πλείστους κατακόψας ἠνάγκασεν ἐκχωρῆσαι τῆς ἀμφισβητησίμου χώρας. τούτων δὲ πραχθέντων Αἰγιμίῳ μὲν τὸ ἐπιβάλλον τῆς χώρας τρίτον μέρος παρέθετο καὶ παρεκελεύσατο φυλάττειν τοῖς ἀφ' ἑαυτοῦ· ἐπανιὼν δ' εἰς Τραχῖνα, καὶ προκληθεὶς ὑπὸ Κύκνου τοῦ Ἄρεος, τοῦτον μὲν ἀπέκτεινεν, ἐκ δὲ τῆς Ἰτώνου πορευόμενος, καὶ διὰ τῆς Πελασγιώτιδος γῆς βαδίζων, Ὀρμενίῳ τῷ βασιλεῖ συνέμιξεν, οὗ τὴν θυγατέρα ἐμνήστευεν Ἀστυδάμειαν. οὐ προσέχοντος δ' αὐτοῦ διὰ τὸ ἔχειν αὐτὸν γαμετὴν Δηιάνειραν τὴν Οἰνέως, στρατεύσας ἐπ' αὐτὸν τήν τε πόλιν εἷλε καὶ τὸν ἀπειθοῦντα βασιλέα ἀπέκτεινε· τὴν δὲ Ἀστυδάμειαν αἰχμάλωτον λαβών, καὶ μιγεὶς αὐτῇ, Κτήσιππον υἱὸν ἐγέννησε. ταῦτα δὲ διαπραξάμενος ἐστράτευσεν εἰς τὴν Οἰχαλίαν ἐπὶ τοὺς Εὐρύτου παῖδας, ὅτι τὴν Ἰόλην μνηστεύσας ἀπέτυχε. συναγωνιζομένων δ' αὐτῷ τῶν Ἀρκάδων τήν τε πόλιν εἷλε καὶ τοὺς Εὐρύτου παῖδας ἀπέκτεινε Τοξέα καὶ Μολίονα καὶ Πύτιον. λαβὼν δὲ καὶ 283 τὴν Ἰόλην αἰχμάλωτον ἀπῆλθε τῆς Εὐβοίας ἐπὶ τὸ ἀκρωτήριον τὸ καλούμενον Κηναῖον.

76. *Αἰγίμιος* ABC(D)EQ, caeteri *Αἰγιμαῖος* 77. *ἐδυνάστευε* ABC(D)GQ, caeteri *ἐβασίλευε* *Κόρωνος*] *Κορωνὸς* omnes et 85. *Κορωνὸν* *Καινέως* CE., *Κενέως* ABGQ, *Κενεως* D, caeteri *Φορωνέως* 78. *Λαπιθῶν*] *Λαπίθων* D 81. *πείσαντες δὲ κοινῇ*] *κοινὴν δὲ* ABG, *κοινῇ δὲ* D, *πείσαντες δὲ κοινῇν* Q 83. *ἀεὶ τοὺς*] malim inverti *στρατεύσαντας*] *συστρατεύσαντας* B 87. *Αἰγιμίῳ* ABC(D)EQ, caeteri *Αἰγιμαίῳ* 89. *ἀφ' ἑαυτοῦ*] *ἀπ' αὐτοῦ* DM et qui *τοὺς* FG, *ὑπ αὐτοῦ* AB 90. *Κύκνου*] *Κηύκου* F 91. *Ἰτώνου*] *Ἰτώνης* B, *Icono* Poggius 92. *καὶ* om. AD 93. *Ὀρμενίῳ*] *Ὀρχομενίῳ* AB et *χο* deletis D, *Ἀρμενίου* Eusebius, *Ὀρμενίου* vel *Ὀρμενίων* Wesselingius, quorum alterutro recepto articulum transponi malim *ἐμνήστευεν*] *ἐμνήστευσεν* BF 94. *Ἀστυδάμειαν*] *Ἀστυάνειραν* Eusebius 95. *τὴν Οἰνέως* om. M Poggius, asterisco notavit Stephanus 99. *εἰς*] *ἐπὶ* A 100. *Οἰχαλίαν*] *Aetholiam* Poggius 2. *εἷλε*] *ἀνεῖλε* AB 3. *καὶ Μολίονα* AE, caeteri *Μολίονα* *Πύτιον*] *Αἰγύπτιον* ABD, *Κλύτιον* Burmannus

283. 5. *Κηναῖον*] *Καιναῖον* A, *Κιναῖον* D, *Ginaeum* Poggius, *Κτηναῖον* FGQ



Ἐνταῦθα δὲ θυσίαν ἐπιτελῶν, ἀπέστειλε Λίχαν τὸν 38 ὑπηρέτην εἰς Τραχῖνα πρὸς τὴν γυναῖκα Δηιάνειραν· τούτῳ δὲ προστεταγμένον ἦν αἰτῆσαι χιτῶνα καὶ ἱμάτιον, οἷς εἰώθει χρῆσθαι πρὸς τὰς θυσίας. ἡ δὲ Δηιάνειρα πυθομένη τοῦ Λίχα τὴν πρὸς Ἰόλην φιλοστοργίαν, καὶ βουλομένη πλεῖον ἑαυτὴν ἀγαπᾶσθαι, τὸν χιτῶνα ἔχρισε τῷ παρὰ τοῦ Κενταύρου δεδομένῳ πρὸς ἀπώλειαν φίλτρῳ. ὁ μὲν οὖν Λίχας ἀγνοῶν περὶ τούτων ἀπήνεγκε τὴν ἐσθῆτα πρὸς τὴν θυσίαν· ὁ δ' Ἡρακλῆς ἐνδὺς τὸν κεχρισμένον χιτῶνα, καὶ κατ' ὀλίγον τῆς τοῦ σηπτικοῦ φαρμάκου δυνάμεως ἐνεργούσης, περιέπεσε συμφορᾷ τῇ μεγίστῃ. τῆς γὰρ ἀκίδος τὸν ἐκ τῆς ἐχίδνης ἰὸν ἀνειληφυίας, καὶ διὰ τοῦτο τοῦ χιτῶνος διὰ τὴν θερμασίαν τὴν σάρκα τοῦ σώματος λυμαινομένου, περιαλγὴς γενόμενος ὁ Ἡρακλῆς τὸν μὲν διακονήσαντα Λίχαν ἀπέκτεινε, τὸ δὲ στρατόπεδον ἀπολύσας ἐπανῆλθεν εἰς τὴν Τραχῖνα. ἀεὶ δὲ μᾶλλον τῇ νόσῳ βαρυνόμενος, αὐτὸς μὲν ἀπέστειλεν εἰς Δελφοὺς Λικύμνιον καὶ Ἰόλαον ἐπερωτήσοντας τὸν Ἀπόλλωνα τί χρὴ περὶ τῆς νόσου πράττειν· Δηιάνειρα δὲ τὸ μέγεθος τῆς Ἡρακλέους συμφορᾶς καταπεπληγμένη, καὶ συνειδυῖα ἑαυτῇ τὴν ἁμαρτίαν, ἀγχόνῃ τὸν βίον κατέστρεψεν. ὁ δὲ θεὸς ἔχρησε κομισθῆναι τὸν Ἡρακλέα μετὰ τῆς πολεμικῆς διασκευῆς εἰς τὴν Οἴτην, κατασκευάσαι δὲ πλησίον αὐτοῦ πυρὰν εὐμεγέθη· περὶ δὲ τῶν λοιπῶν ἔφησε Διὶ μελήσειν. τῶν δὲ περὶ τὸν Ἰόλαον ποιησάντων τὰ προστεταγμένα, καὶ ἐκ διαστήματος ἀποθεωρούντων τὸ ἀποβησόμενον, ὁ μὲν Ἡρακλῆς ἀπογνοὺς τὰ καθ' ἑαυτόν, καὶ παρελθὼν εἰς τὴν πυράν, παρεκάλει τὸν ἀεὶ προσιόντα ὑφάψαι τὴν πυράν. οὐδενὸς δὲ τολμῶντος ὑπακοῦσαι μόνος Φιλοκτήτης ἐπείσθη· λαβὼν δὲ τῆς ὑπουργίας χάριν τὴν τῶν τόξων δωρεὰν ἧψε τὴν πυράν. εὐθὺς δὲ καὶ κεραυνῶν ἐκ τοῦ περιέχοντος πεσόντων ἡ πυρὰ πᾶσα κατεφλέχθη. μετὰ δὲ ταῦτα οἱ μὲν περὶ τὸν Ἰόλαον ἐλθόντες ἐπὶ τὴν ὀστολογίαν, καὶ μηδὲν ὅλως ὀστέον εὑρόντες, ὑπέλαβον τὸν Ἡρακλέα τοῖς χρησμοῖς ἀκολούθως ἐξ ἀνθρώπων εἰς

7. *γυναῖκα* om. EV, asterisco notavit Stephanus 8. *προστ.*] *προτ.* B *χιτῶνα*] *χειτῶνα* C et infra 13. *πρὸς ἀπώλειαν*] *προσώπῳ* FGM 16. *σηπτικοῦ*] *σηπικοῦ* A 21. *διακονήσαντα* ABC(D)EGQ Eusebius, caeteri *διακομίσαντα*, quod malim 27. *ἀγχόνῃ*] *ἀγχώνῃ* D 32. *τὰ προστεταγμένα* ABCDEGQ, iussa Poggius, caeteri *τὸ προστεταγμένον* 38. *τὴν πυρὰν* D, caeteri *πυρὰν* *εὐθὺς* AB(D), caeteri *εὐθὺ* 40. *τὸν* om. M 41. *ὀστολογίαν*] *ἀστρολογίαν* G 43. *εἰς θεοὺς* om. EV, asterisco notavit Stephanus

39 θεοὺς μεθεστάσθαι. διόπερ ὡς ἥρωι ποιήσαντες ἁγισμοὺς 284 καὶ χώματα κατασκευάσαντες ἀπηλλάγησαν εἰς Τραχῖνα. μετὰ δὲ τούτους Μενοίτιος ὁ Ἄκτορος υἱός, φίλος ὢν Ἡρακλεῖ, κάπρον καὶ ταῦρον καὶ κριὸν θύσας ὡς ἥρωι κατέδειξε κατ' ἐνιαυτὸν ἐν Ὀποῦντι θύειν καὶ τιμᾶν ὡς ἥρωα τὸν Ἡρακλέα. τὸ παραπλήσιον δὲ ποιησάντων καὶ τῶν Θηβαίων, Ἀθηναῖοι πρῶτοι τῶν ἄλλων ὡς θεὸν ἐτίμησαν θυσίαις τὸν Ἡρακλέα, καὶ τοῖς ἄλλοις ἀνθρώποις παράδειγμα τὴν ἑαυτῶν εἰς τὸν θεὸν εὐσέβειαν ἀποδείξαντες προετρέψαντο τὸ μὲν πρῶτον ἅπαντας Ἕλληνας, μετὰ δὲ ταῦτα καὶ τοὺς κατὰ τὴν οἰκουμένην ἀνθρώπους ἅπαντας ὡς θεὸν τιμᾶν τὸν Ἡρακλέα. προςθετέον δ' ἡμῖν τοῖς εἰρημένοις ὅτι μετὰ τὴν ἀποθέωσιν αὐτοῦ Ζεὺς Ἥραν μὲν ἔπεισεν υἱοποιήσασθαι τὸν Ἡρακλέα καὶ τὸ λοιπὸν εἰς τὸν ἅπαντα χρόνον μητρὸς εὔνοιαν παρέχεσθαι· τὴν δὲ τέκνωσιν [αὐτοῦ] γενέσθαι φασὶ τοιαύτην· τὴν Ἥραν ἀναβᾶσαν ἐπὶ κλίνην καὶ τὸν Ἡρακλέα προςλαβομένην πρὸς τὸ σῶμα διὰ τῶν ἐνδυμάτων ἀφεῖναι πρὸς τὴν γῆν, μιμουμένην τὴν ἀληθινὴν γένεσιν· ὅπερ μέχρι τοῦ νῦν ποιεῖν τοὺς βαρβάρους ὅταν θετὸν υἱὸν ποιεῖσθαι βούλωνται. τὴν δ' Ἥραν μετὰ τὴν τέκνωσιν μυθολογοῦσι συνοικίσαι τὴν Ἥβην τῷ Ἡρακλεῖ, περὶ ἧς καὶ τὸν ποιητὴν τεθεικέναι κατὰ τὴν νεκυίαν

εἴδωλον, αὐτὸς δὲ μετ' ἀθανάτοισι θεοῖσι
τέρπεται ἐν θαλίαις καὶ ἔχει καλλίσφυρον Ἥβην.

τὸν δ' οὖν Ἡρακλέα λέγουσι καταλεγόμενον ὑπὸ τοῦ Διὸς εἰς τοὺς δώδεκα θεοὺς μὴ προςδέξασθαι τὴν τιμὴν ταύτην· ἀδύνατον γὰρ ἦν τοῦτον καταλεχθῆναι μὴ πρότερον ἑνὸς τῶν δώδεκα θεῶν ἐκβληθέντος· ἄτοπον οὖν εἶναι προςδέξασθαι τιμὴν ἑτέρῳ θεῷ φέρουσαν ἀτιμίαν. περὶ μὲν οὖν Ἡρακλέους εἰ καὶ πεπλεονάκαμεν, ἀλλ'

μεθεστᾶσθαι B(D), μετεστᾶσθαι AQ, μεθαστᾶσθαι FG, caeteri μεθίστασθαι

284. 44. ἁγισμοὺς ABC(D)EGQ, caeteri ἁγιασμοὺς 47. κάπρον καὶ ταῦρον ABD, caeteri ταῦρον καὶ κάπρον 48. κατέδειξε om. FG 50. ἄλλων] Ἑλλήνων vertit Poggius 52. ἀνθρώποις om. A Poggius εἰς τὸν θεὸν in marg. supplet D 57. ἔπεισεν] ἐποίησεν A 59. παρέχεσθαι] παρέξεσθαι ABD post τέκνωσιν om. αὐτοῦ ACDF 60. ἐπὶ D, caeteri ἐπὶ τὴν 64. ποιεῖσθαι] ποιῆσαι G 65. συνοικίσαι] συνοικῆσαι AD 66. τεθεικέναι] τεθηκέναι D 70. καταλεγόμενον A(D), caeteri κατὰ τὸ λεγόμενον 71. προςδέξασθαι] προςδέξεσθαι A: τοὺς θεοὺς subiiciunt BD 72. καταλεχθῆναι] καταδεχθῆναι AB, κατενεχθῆναι E 73. ἐκβληθέντος] ἐκβληθέντα F



οὖν οὐδὲν τῶν μυθολογουμένων περὶ αὐτοῦ παραλελοίπαμεν.

40 Περὶ δὲ τῶν Ἀργοναυτῶν, ἐπειδὴ τούτοις Ἡρακλῆς συνεστράτευσεν, οἰκεῖον ἂν εἴη διελθεῖν περὶ αὐτῶν. Ἰάσονα γενέσθαι λέγουσιν υἱὸν μὲν Αἴσονος, ἀδελφιδοῦν δὲ Πελίου τοῦ Θετταλῶν βασιλέως, ῥώμῃ δὲ σώματος καὶ ψυχῆς λαμπρότητι διενέγκαντα τῶν ἡλικιωτῶν ἐπιθυμῆσαί τι πρᾶξαι μνήμης ἄξιον. ὁρῶντα δὲ τὸν πρὸ 285 αὐτοῦ Περσέα καί τινας ἄλλους διὰ τὰς ὑπερορίους στρατείας καὶ τὸ παράβολον τῶν ἄθλων δόξης ἀειμνήστου τετευχότας, ζηλῶσαι τὰς προαιρέσεις αὐτῶν. διὸ καὶ τὴν ἐπιβολὴν ἀνακοινωσάμενον τῷ βασιλεῖ ταχέως λαβεῖν αὐτὸν συγκάταινον, οὐχ οὕτω τοῦ Πελίου σπεύδοντος προαγαγεῖν εἰς ἐπιφάνειαν τὸν νεανίσκον ὡς ἐλπίζοντος ἐν ταῖς παραβόλοις στρατείαις διαφθαρήσεσθαι. αὐτὸν μὲν γὰρ ἐκ φύσεως ἐστερῆσθαι παίδων ἀῤῥένων, τὸν δ' ἀδελφὸν εὐλαβεῖσθαι μήποτε συνεργὸν ἔχων τὸν υἱὸν ἐπίθηται τῇ βασιλείᾳ. κρύπτοντα δὲ τὴν ὑποψίαν ταύτην, καὶ τὰ πρὸς τὴν στρατείαν χρήσιμα χορηγήσειν ἐπαγγειλάμενον, παρακαλεῖν ἆθλον τελέσαι στειλάμενον τὸν πλοῦν εἰς Κόλχους ἐπὶ τὸ διαβεβοημένον τοῦ κριοῦ δέρος χρυσόμαλλον. τὸν δὲ Πόντον κατ' ἐκείνους τοὺς χρόνους περιοικούμενον ὑπὸ ἐθνῶν βαρβάρων καὶ παντελῶς ἀγρίων ἄξενον προσαγορεύεσθαι, ξενοκτονούντων τῶν ἐγχωρίων τοὺς καταπλέοντας. Ἰάσονα δὲ δόξης ὀρεγόμενον καὶ τὸν ἆθλον δυςέφικτον μέν, οὐ κατὰ πᾶν δ' ἀδύνατον κρίνοντα, καὶ διὰ τοῦτο μᾶλλον αὑτὸν ἐπιφανέστερον ἔσεσθαι διαλαμβάνοντα, παρασκευάσασθαι τὰ πρὸς τὴν ἐπιβολήν.

41 καὶ πρῶτον μὲν περὶ τὸ Πήλιον ναυπηγήσασθαι τὸ σκάφος, πολὺ τῷ μεγέθει καὶ τῇ λοιπῇ κατασκευῇ τὴν τότε συνήθειαν ὑπερβάλλον, διὰ τὸ σχεδίαις πλεῖν τοὺς τότε ἀνθρώπους καὶ μικροῖς παντελῶς ἀκατίοις. διὸ καὶ τῶν ἰδόντων αὐτὸ τότε καταπληττομένων, καὶ τῆς φήμης διαδοθείσης κατὰ τὴν Ἑλλάδα περί τε τοῦ ἄθλου καὶ τῆς κατὰ τὴν ναυπηγίαν ἐπιβολῆς, οὐκ ὀλίγους τῶν ἐν ὑπεροχαῖς νεανίσκων ἐπι-

76. οὖν om. A

285. 85. ὑπερορίους] ὑπερορείας F παράβολον] παράδοξον A correctus in margine 86. τετευχότας] τετυχηκότας B 87. τὴν ἐπιβολὴν BD, caeteri τῆς ἐπιβολῆς 88. συγκάταινον] συγκατάθετον gl. marginis A 89. οὕτω B, caeteri οὕτως 97. Κόλχους] Κολχοὺς D δέρος A, δέῤῥος D, caeteri δέρας 2. τὸν AB, caeteri τὸ 3. αὑτὸν] αὐτὸν D 5. ἐπιβολήν] ἐπιβουλήν C 6. τὸ om. D 10. αὐτὸ τότε] αὐτό τε D 12. περί τε τοῦ ἄθλου] legebatur πρός τε τὸ ἄθλον

θυμῆσαι μετασχεῖν τῆς στρατείας. Ἰάσονα δὲ καθελκύσαντα τὸ σκάφος καὶ κοσμήσαντα πᾶσι τοῖς ἀνήκουσι πρὸς ἔκπληξιν λαμπρῶς ἐκλέξαι τῶν ὀρεγομένων τῆς αὐτῆς προαιρέσεως τοὺς ἐπιφανεστάτους ἀριστεῖς, ὥστε σὺν αὐτῷ τοὺς ἅπαντας εἶναι πεντήκοντα καὶ τέτταρας. τούτων δ' ὑπάρχειν ἐνδοξοτάτους Κάστορα καὶ Πολυδεύκην, ἔτι δ' Ἡρακλέα καὶ Τελαμῶνα, πρὸς δὲ τούτοις Ὀρφέα καὶ τὴν Σχοινέως Ἀταλάντην, ἔτι δὲ τοὺς Θεσπίου παῖδας καὶ αὐτὸν τὸν στελλόμενον τὸν πλοῦν ἐπὶ τὴν Κολχίδα. τὴν δὲ ναῦν Ἀργὼ προσαγορευθῆναι κατὰ μέν τινας τῶν μυθογράφων ἀπὸ τοῦ τὸ σκάφος ἀρχιτεκτονήσαντος Ἄργου καὶ συμπλεύσαντος ἕνεκα τοῦ
θεραπεύειν ἀεὶ τὰ πονοῦντα μέρη τῆς νεώς, ὡς δ' ἔνιοι 286
λέγουσιν, ἀπὸ τῆς περὶ τὸ τάχος ὑπερβολῆς, ὡς ἂν τῶν ἀρχαίων ἀργὸν τὸ ταχὺ προσαγορευόντων. τοὺς δ' οὖν ἀριστεῖς συνελθόντας ἑλέσθαι σφῶν αὐτῶν στρατηγὸν
42 Ἡρακλέα, προκρίναντας κατ' ἀνδρείαν. ἔπειτα ἐκ τῆς
Ἰωλκοῦ τὸν ἔκπλουν ποιησαμένους, καὶ παραλλάξαντας τόν τε Ἄθω καὶ Σαμοθρᾴκην, χειμῶνι περιπεσεῖν, καὶ προσενεχθῆναι τῆς Τρῳάδος πρὸς Σίγειον. ἐνταῦθα δ' αὐτῶν τὴν ἀπόβασιν ποιησαμένων εὑρεθῆναί φασι παρθένον δεδεμένην παρὰ τὸν αἰγιαλὸν διὰ τοιαύτας αἰτίας. λέγεται τὸν Ποσειδῶνα διὰ τὴν μυθολογουμένην τῶν Τρωικῶν τειχῶν κατασκευὴν μηνίσαντα Λαομέδοντι τῷ βασιλεῖ κῆτος ἀνεῖναι ἐκ τοῦ πελάγους πρὸς τὴν χώραν· ὑπὸ δὲ τούτου τοὺς παρὰ τὸν αἰγιαλὸν διατρίβοντας καὶ τοὺς γεωργοῦντας τὴν παραθαλάττιον παραδόξως συναρπάζεσθαι· πρὸς δὲ τούτοις λοιμὸν ἐμπεσεῖν εἰς τὰ πλήθη καὶ καρπῶν παντελῆ φθοράν, ὥστε πάντας ἐκπλήττεσθαι τὸ μέγεθος τῆς περιστάσεως. διὸ καὶ συντρεχόντων τῶν ὄχλων εἰς ἐκκλησίαν, καὶ ζητούντων ἀπαλλαγὴν τῶν ἀτυχημάτων, λέγεται τὸν βασιλέα πέμψαι πρὸς τὸν Ἀπόλλω τοὺς ἐπερωτήσοντας περὶ τῶν συμβεβηκότων. ἐκπεσόντος οὖν χρησμοῦ μῆνιν ὑπάρχειν Ποσειδῶνος, καὶ τότε ταύτην λήξειν ὅταν οἱ Τρῶες τὸ

14. Ἰάσονα δὲ] τὸν δὲ Ἰάσονα A    καθελκύσαντα] κατελήνσαντα A    18. πεντήκοντα καὶ τέτταρας ed. Wesselingii tacente D: τὸ Stephaniana, *quattuor et quinquaginta* Poggius    22. αὐτὸν τὸν] αὐτοὶ μὲν οἱ A, αυτοι τὸν (sic notatur) D    στελλόμενον] στελλόμενοι A

286. 30. ἀνδρείαν] ἀνδρίαν A    31. Ἰωλκοῦ] Ἰώλκου D    34. Σίγειον] Σίγιον A    36. τοιαύτας] τοιαύτης A    41. παραδόξως ABD, caeteri παραχρῆμα    42. λοιμὸν] λαβὼν B, βλάβην A    ἐμπεσεῖν] ἐμπνεύειν G    47. Ἀπόλλω ABD, caeteri Ἀπόλλωνα



λαχὸν τῶν τέκνων ἑκουσίως παραδῶσι βορὰν τῷ κήτει, φασὶν ἁπάντων εἰς τὸν κλῆρον ἐμβαινόντων ἐπανελθεῖν εἰς Ἡσιόνην τὴν τοῦ βασιλέως θυγατέρα. διόπερ τὸν Λαομέδοντα συναναγκασθέντα παραδοῦναι τὴν παρθένον καὶ δεσμοῖς καταλαβόμενον ἀπολιπεῖν παρὰ τὸν αἰγιαλόν. ἐνταῦθα τὸν Ἡρακλέα μετὰ τῶν Ἀργοναυτῶν τὴν ἀπόβασιν ποιησάμενον, καὶ μαθόντα παρὰ τῆς κόρης τὴν περιπέτειαν, ἀναρρῆξαι μὲν τοὺς περὶ τὸ σῶμα δεσμούς, ἀναβάντα δ' εἰς τὴν πόλιν ἐπαγγείλασθαι τῷ βασιλεῖ διαφθερεῖν τὸ κῆτος. τοῦ δὲ Λαομέδοντος ἀποδεξαμένου τὸν λόγον καὶ δωρεὰν δώσειν ἐπαγγειλαμένου τὰς ἀνικήτους ἵππους, φασὶ τὸ μὲν κῆτος ὑφ' Ἡρακλέους ἀναιρεθῆναι, τῇ δ' Ἡσιόνῃ δοθῆναι τὴν ἐξουσίαν εἴτε βούλοιτο μετὰ τοῦ σώσαντος ἀπελθεῖν εἴτε μετὰ τῶν γονέων καταμένειν ἐν τῇ πατρίδι. τὴν μὲν οὖν κόρην ἑλέσθαι τὸν μετὰ τοῦ ξένου βίον, οὐ μόνον τῆς συγγενείας τὴν εὐεργεσίαν προκρίνασαν, ἀλλὰ καὶ φοβουμένην μὴ πάλιν φανέντος κήτους πρὸς τὴν ὁμοίαν ὑπὸ τῶν πολιτῶν ἐκτεθῇ τιμωρίαν. τὸν δ' οὖν Ἡρακλέα δώροις καὶ τοῖς προσήκουσι ξενίοις λαμπρῶς τιμηθέντα τὴν Ἡσιόνην καὶ τὰς ἵππους παραθέσθαι τῷ
287 Λαομέδοντι, συνταξάμενον μετὰ τὴν ἐκ Κόλχων ἐπάνοδον ἀπολήψεσθαι [ταῦτα], αὐτὸν δ' ἀναχθῆναι μετὰ τῶν Ἀργοναυτῶν κατὰ σπουδὴν ἐπὶ τὸν προκείμενον ἆθλον.

Ἐπιγενομένου δὲ μεγάλου χειμῶνος, καὶ τῶν ἀρι- 43
στέων ἀπογινωσκόντων τὴν σωτηρίαν, φασὶν Ὀρφέα, τῆς τελετῆς μόνον τῶν συμπλεόντων μετεσχηκότα, ποιήσασθαι τοῖς Σαμόθρᾳξι τὰς ὑπὲρ τῆς σωτηρίας εὐχάς. εὐθὺς δὲ τοῦ πνεύματος ἐνδόντος, καὶ δυοῖν ἀστέρων ἐπὶ τὰς τῶν Διοσκούρων κεφαλὰς ἐπιπεσόντων, ἅπαντας μὲν ἐκπλαγῆναι τὸ παράδοξον, ὑπολαβεῖν δὲ θεῶν προνοίᾳ τῶν κινδύνων ἑαυτοὺς ἀπηλλάχθαι. διὸ καὶ τοὺς

50. παραδῶσι] παραδώσειν D    51. ἐμβαινόντων ABD, caeteri ἐμβληθέντων    ἐπανελθεῖν ABC(D)EF, ἐπελθεῖν M, caeteri ἐλθεῖν    52. Ἡσιόνην] Ἰσιόνην D    53. συν.] καὶ συν. A    παραδοῦναι] δοῦναι EQV    55. τὸν Ἡ.] δὲ τὸν μὲν Ἡ. D    59. διαφθερεῖν B(D), caeteri διαφθείρειν    62. Ἡσιόνῃ] Ἰσιόνῃ D    63. σώσαντος] σώματος G    65. μετὰ] μεταξὺ FG    τῆς συγγεν. τὴν εὐεργεσίαν] τὴν εὐεργεσίαν τῆς συγγεν. D    67. ὑπὸ om. FG    68. οὖν om. AD    69. Ἡσιόνην] Ἰσιόνην D

287. 71. Κόλχων] Κολχῶν D    ἀπολήψεσθαι] ἐπαρεῖν QV, ἐπαρκεῖν E    72. post ἀπολήψεσθαι om. ταῦτα ACDF, asterisco notavit Stephanus    77. Σαμόθραξι, accentu supra ι eraso, et hic et postea D: caeteri Σαμοθρᾳξὶ    εὐθὺς Wesselingius: libri εὐθὺ    78. δυοῖν] δυεῖν AD    79. Διοσκούρων] Διοσκόρων B

ἐπιγινομένοις παραδοσίμου γεγενημένης τῆς περιπετείας, ἀεὶ τοὺς χειμαζομένους τῶν πλεόντων εὐχὰς μὲν τίθεσθαι τοῖς Σαμόθραξι, τὰς δὲ τῶν ἀστέρων παρουσίας ἀναπέμπειν εἰς τὴν τῶν Διοσκούρων ἐπιφάνειαν. οὐ μὴν ἀλλὰ τότε λήξαντος τοῦ χειμῶνος ἀποβῆναι μὲν τοὺς ἀριστεῖς τῆς Θρᾴκης εἰς τὴν ὑπὸ Φινέως βασιλευομένην χώραν, περιπεσεῖν δὲ δυσὶ νεανίσκοις ἐπὶ τιμωρίᾳ διωρυγμένοις καὶ μάστιξι πληγὰς συνεχεῖς λαμβάνουσι· τούτους δ' ὑπάρχειν Φινέως υἱοὺς καὶ Κλεοπάτρας, ἥν φασιν ἐξ Ὠρειθυίας τῆς Ἐρεχθέως γεννηθῆναι καὶ Βορέου, διὰ δὲ μητρυιᾶς τόλμαν καὶ διαβολὰς ψευδεῖς τυγχάνοντας ὑπὸ τοῦ πατρὸς ἀδίκως τῆς προειρημένης τιμωρίας. τὸν γὰρ Φινέα γεγαμηκότα Ἰδαίαν τὴν Δαρδάνου τοῦ Σκυθῶν βασιλέως θυγατέρα, καὶ διὰ τὸν πρὸς αὐτὴν ἔρωτα πάντα χαριζόμενον, πιστεῦσαι διότι τῇ μητρυιᾷ βίαν ἐφ' ὕβρει προςήγαγον οἱ πρόγονοι, βουλόμενοι τῇ μητρὶ χαρίζεσθαι. τῶν δὲ περὶ τὸν Ἡρακλέα παραδόξως ἐπιφανέντων, φασὶ τοὺς μὲν ἐν ταῖς ἀνάγκαις ὄντας ἐπικαλέσασθαι καθάπερ θεοὺς τοὺς ἀριστεῖς, καὶ τὰς αἰτίας δηλώσαντας τῆς τοῦ πατρὸς παρανομίας δεῖσθαι τῶν ἀτυχημάτων αὐτοὺς ἐξελέσθαι.

44 τὸν δὲ Φινέα πικρῶς ἀπαντήσαντα τοῖς ξένοις παραγγεῖλαι μηδὲν τῶν καθ' ἑαυτὸν πολυπραγμονεῖν· μηδένα γὰρ πατέρα λαβεῖν παρ' υἱῶν ἑκουσίως τιμωρίαν, εἰ μὴ τῷ μεγέθει τῶν ἀδικημάτων ὑπερθοῖντο τὴν φυσικὴν τῶν γονέων εἰς τέκνα φιλοστοργίαν. ἐνταῦθα συμπλέοντας τοῖς περὶ τὸν Ἡρακλέα τοὺς ἐπικαλουμένους μὲν Βορεάδας, ἀδελφοὺς δὲ ὄντας Κλεοπάτρας, λέγεται διὰ τὴν συγγένειαν πρώτους ὁρμῆσαι πρὸς τὴν βοήθειαν, καὶ τοὺς μὲν περικειμένους τοῖς νεανίσκοις δεσμοὺς περιῤῥῆξαι, τοὺς δὲ ἐναντιουμένους τῶν βαρβάρων ἀποκτεῖναι. ὁρμήσαντος δὲ τοῦ Φινέως πρὸς μάχην, καὶ τοῦ πλήθους τῶν Θρᾳκῶν συνδραμόντος, φασὶ τὸν Ἡρακλέα πάντων ἄριστα διαγωνισάμενον αὐτόν [288] τε τὸν Φινέα καὶ τῶν ἄλλων οὐκ ὀλίγους ἀνελεῖν,

82. γεγενημένης AB(D), caeteri γενομένης 83. χειμαζομένους] χειμάζοντας A 84. τὰς — παρουσίας ABCDEGQ, caeteri τὴν — παρουσίαν 85. Διοσκούρων] Διοσκόρων B 88. περιπεσεῖν ABD, caeteri περιτυχεῖν 89. διωρυγμένοις ABC(D) EGQ, caeteri διορυττομένοις: κατωρυγμένοις Reiskius καὶ servarunt ABC(D)EG συνεχεῖς om. FM, asterisco notavit Stephanus 91. ἐξ Ὠρειθυίας] Ἐξωροθυίας D 92. διαβολὰς ψευδεῖς] διαβολὴν ψευδῶς FGM 95. Ἰδαίαν] Ἰδέαν CEQ Poggius τοῦ] τῶν AB 98. πρόγονοι] προγονοὶ E 2. δηλώσαντας] δηλώσαντες F 5. μηδὲν D, caeteri μηθὲν ἑαυτὸν] αὐτὸν F 9. τοῖς] τοὺς F 10. μὲν om. A 13. ἐναντιουμένους] ἐναντίους μόνους FG



τὸ δὲ τελευταῖον κρατήσαντα τῶν βασιλείων τὴν μὲν Κλεοπάτραν ἐκ τῆς φυλακῆς προαγαγεῖν, τοῖς δὲ Φινείδαις ἀποκαταστῆσαι τὴν πατρῴαν ἀρχήν· βουλομένων δ' αὐτῶν τὴν μητρυιὰν μετ' αἰκίας ἀποκτεῖναι, πεῖσαι τῆς μὲν τιμωρίας ταύτης ἀποστῆναι, πρὸς δὲ τὸν πατέρα πέμψαντας εἰς τὴν Σκυθίαν ἐκεῖνον παρακαλέσαι τῶν εἰς αὐτοὺς ἀνομημάτων λαβεῖν κόλασιν. οὗ γενηθέντος τὸν μὲν Σκύθην τῆς θυγατρὸς καταγνῶναι θάνατον, τοὺς δ' ἐκ τῆς Κλεοπάτρας υἱοὺς ἀπενέγκασθαι παρὰ τοῖς Θρᾳξὶ δόξαν ἐπιεικείας. οὐκ ἀγνοῶ δὲ διότι τινὲς τῶν μυθογράφων τυφλωθῆναί φασι τοὺς Φινείδας ὑπὸ τοῦ πατρός, καὶ τὸν Φινέα τῆς ὁμοίας τυχεῖν συμφορᾶς ὑπὸ Βορέου. ὁμοίως δὲ καὶ τὸν Ἡρακλέα τινὲς παραδεδώκασι πρὸς ὑδρείαν ἐξελθόντα κατὰ τὴν Ἀσίαν ὑπὸ τῶν Ἀργοναυτῶν ἐπὶ τῆς χώρας ἀπολειφθῆναι. καθόλου γὰρ τοὺς παλαιοὺς μύθους οὐχ ἁπλῆν οὐδὲ συμπεφωνημένην ἱστορίαν ἔχειν συμβέβηκε. διόπερ οὐ χρὴ θαυμάζειν, ἐάν τινα τῶν ἀρχαιολογουμένων μὴ συμφώνως ἅπασι τοῖς ποιηταῖς καὶ συγγραφεῦσι συγκρίνωμεν. οὐ μὴν ἀλλὰ καὶ τοὺς Φινείδας λέγεται τὴν βασιλείαν παραδόντας τῇ μητρὶ Κλεοπάτρᾳ συστρατεῦσαι τοῖς ἀριστεῦσιν. ἀναχθέντας δ' αὐτοὺς ἐκ τῆς Θρᾴκης καὶ κομισθέντας εἰς τὸν Πόντον προσχεῖν τῇ Ταυρικῇ, τὴν ἀγριότητα τῶν ἐγχωρίων ἀγνοοῦντας. νόμιμον γὰρ εἶναι τοῖς τὴν χώραν ταύτην οἰκοῦσι βαρβάροις θύειν Ἀρτέμιδι ταυροπόλῳ τοὺς καταπλέοντας ξένους· παρ' οἷς φασι τὴν Ἰφιγένειαν ἐν τοῖς ὕστερον χρόνοις ἱέρειαν τῆς εἰρημένης θεοῦ κατασταθεῖσαν θύειν τοὺς ἁλισκομένους.

45 Ἐπιζητούσης δὲ τῆς ἱστορίας τὰς τῆς ξενοκτονίας αἰτίας, ἀναγκαῖον βραχέα διελθεῖν, ἄλλως τε καὶ τῆς παρεκβάσεως οἰκείας ἐσομένης ταῖς τῶν Ἀργοναυτῶν πράξεσι. φασὶ γὰρ Ἡλίου δύο γενέσθαι παῖδας, Αἰήτην τε καὶ Πέρσην· τούτων δὲ τὸν μὲν Αἰήτην βασιλεῦσαι τῆς Κολχίδος, τὸν δ' ἕτερον τῆς Ταυρικῆς, ἀμφοτέρους δὲ διενεγκεῖν ὠμότητι. καὶ Πέρσου μὲν Ἑκάτην γενέσθαι θυγατέρα, τόλμῃ καὶ παρανομίᾳ προέχουσαν τοῦ πατρός· φιλοκύνηγον δ' οὖσαν ἐν ταῖς ἀποτυχίαις ἀνθρώ-

288. 19. ἐκ om. D προαγαγεῖν AB(D), caeteri προάγειν Φινείδαις] Φινίδαις AD ubique, Φοινείδαις F 23. πέμψαντας B(D) Poggius, πέμψαντος E, caeteri πέμψαντα 27. δὲ διότι ABDFG, caeteri δ' ὅτι 33. γὰρ] δὲ D ἁπλῆν] ἁπλεῖν A 37. καὶ om. FG 39. ἀριστεῦσιν] ἀριστεύσασιν FG 43. θύειν — 45. κατασταθεῖσαν om. AD 48. βραχέα om. FG 54. προέχ.] προςέχ. A

πους ἀντὶ τῶν θηρίων κατατοξεύειν. φιλότεχνον δ' εἰς φαρμάκων θανασίμων συνθέσεις γενομένην τὸ καλούμενον ἀκόνιτον ἐξευρεῖν, καὶ τῆς ἑκάστου δυνάμεως πεῖραν λαμβάνειν μίσγουσαν ταῖς διδομέναις τοῖς ξένοις τροφαῖς. ἐμπειρίαν δὲ μεγάλην ἐν τούτοις ἔχουσαν πρῶτον μὲν τὸν πατέρα φαρμάκῳ διαφθεῖραι, καὶ διαδέξασθαι τὴν βασιλείαν, ἔπειτ' Ἀρτέμιδος ἱερὸν ἱδρυσαμένην, καὶ τοὺς καταπλέοντας ξένους θύεσθαι τῇ θεῷ 289 καταδείξασαν, ἐπ' ὠμότητι διονομασθῆναι. μετὰ δὲ ταῦτα συνοικήσασαν Αἰήτῃ γεννῆσαι δύο θυγατέρας, Κίρκην τε καὶ Μήδειαν, ἔτι δ' υἱὸν Αἰγιαλέα. καὶ τὴν μὲν Κίρκην εἰς φαρμάκων παντοδαπῶν ἐπίνοιαν ἐκτραπεῖσαν ἐξευρεῖν ῥιζῶν παντοίας φύσεις καὶ δυνάμεις ἀπιστουμένας. οὐκ ὀλίγα μὲν γὰρ ὑπὸ τῆς μητρὸς Ἑκάτης διδαχθῆναι, πολὺ δὲ πλείω διὰ τῆς ἰδίας ἐπιμελείας ἐξευροῦσαν μηδεμίαν ὑπερβολὴν ἀπολιπεῖν ἑτέρᾳ πρὸς ἐπίνοιαν φαρμακείας. δοθῆναι δ' αὐτὴν εἰς γάμον τῷ βασιλεῖ τῶν Σαρματῶν, οὓς ἔνιοι Σκύθας προσαγορεύουσι. καὶ τὸ μὲν πρῶτον τὸν ἄνδρα φαρμάκοις ἀνελεῖν, μετὰ δὲ ταῦτα τὴν βασιλείαν διαδεξαμένην πολλὰ κατὰ τῶν ἀρχομένων ὠμὰ πρᾶξαι καὶ βίαια. διόπερ ἐκπεσοῦσαν τῆς βασιλείας κατὰ μέν τινας τῶν μυθογράφων φυγεῖν ἐπὶ τὸν Ὠκεανόν, καὶ νῆσον ἔρημον καταλαβομένην ἐνταῦθα μετὰ τῶν συμφυγουσῶν γυναικῶν καθιδρυθῆναι, κατὰ δέ τινας τῶν ἱστορικῶν ἐκλιποῦσαν τὸν Πόντον κατοικῆσαι τῆς Ἰταλίας ἀκρωτήριον τὸ μέχρι τοῦ
46 νῦν ἀπ' ἐκείνης Κίρκαιον ὀνομαζόμενον. τὴν δὲ Μήδειαν ἱστοροῦσι μαθεῖν παρά τε τῆς μητρὸς καὶ τῆς ἀδελφῆς ἁπάσας τὰς τῶν φαρμάκων δυνάμεις, προαιρέσει δ' ἐναντιωτάτῃ χρῆσθαι· διατελεῖν γὰρ τοὺς καταπλέοντας τῶν ξένων ἐξαιρουμένην ἐκ τῶν κινδύνων. καὶ ποτὲ μὲν παρὰ τοῦ πατρὸς αἰτεῖσθαι δεήσει καὶ χάριτι τὴν τῶν μελλόντων ἀπόλλυσθαι σωτηρίαν, ποτὲ δ' αὐτὴν ἐκ τῆς φυλακῆς ἀφιεῖσαν προνοεῖσθαι τῆς τῶν ἀτυχούντων ἀσφαλείας· τὸν μὲν γὰρ Αἰήτην τὰ μὲν διὰ τὴν

56. κατατοξεύειν] τοξεύειν EGQ 58. τὸ] τὸν D ἀκόνιτον] ἀκόντιον FG 62. Ἀρτέμιδος] Ἀρτέμιδι A 63. ἱερὸν — καταπλ. om. A

289. 66. Μήδειαν] Μηδίαν D fere semper 67. Αἰγιαλέα] Αἰγιάλεα D τὴν μὲν CDEF, caeteri τὴν 68. ῥιζῶν παντοίας φύσεις ABC(D)EGQ, caeteri παντοίας φύσεις βοτανῶν 70. πλείω] καὶ πλείω A 72. ἑτέρᾳ] ἑτέραν AG φαρμακείας] φαρμακίας D 81. ἐκλιποῦσαν] ἐκλείπουσαν D Πόντον] τύπον FGQ 83. Κίρκαιον] Κιρκαῖον D 91. ἀσφαλείας] σωτηρίας ABD μὲν prius om. D, quod malim



ἰδίαν ὠμότητα, τὰ δ' ὑπὸ τῆς γυναικὸς Ἑκάτης πεισθέντα, προσδέξασθαι τὸ τῆς ξενοκτονίας νόμιμον. ἀντιπραττούσης δὲ τῆς Μηδείας ἀεὶ μᾶλλον τῇ προαιρέσει τῶν γονέων, φασὶ τὸν Αἰήτην ὑποπτεύσαντα τὴν ἐκ τῆς θυγατρὸς ἐπιβουλὴν εἰς ἐλευθέραν αὐτὴν ἀποθέσθαι φυλακήν· τὴν δὲ Μήδειαν διαδρᾶσαν καταφυγεῖν εἴς τι τέμενος Ἡλίου κείμενον παρὰ θάλατταν. καθ' ὃν δὴ χρόνον τοὺς Ἀργοναύτας ἀπὸ τῆς Ταυρικῆς κομισθέντας νυκτὸς καταπλεῦσαι τῆς Κολχίδος εἰς τὸ προειρημένον τέμενος. ἔνθα δὴ περιτυχόντας τῇ Μηδείᾳ πλανωμένῃ περὶ τὸν αἰγιαλόν, καὶ μαθόντας παρ' αὐτῆς τὸ τῆς ξενοκτονίας νόμιμον, ἀποδέξασθαι μὲν τὴν ἡμερότητα τῆς παρθένου, δηλώσαντας δὲ αὐτῇ τὴν ἑαυτῶν ἐπιβολὴν πάλιν παρ' ἐκείνης μαθεῖν τὸν ὑπάρχοντα αὐτῇ κίνδυνον ἀπὸ τοῦ πατρὸς διὰ τὴν πρὸς τοὺς ξένους εὐσέβειαν. κοινοῦ δὲ τοῦ συμφέροντος φανέντος, τὴν μὲν Μήδειαν ἐπαγγείλασθαι συνεργήσειν αὐτοῖς μέχρι ἂν συντελέσωσι τὸν προκείμενον ἆθλον, τὸν δὲ Ἰάσονα διὰ
290 τῶν ὅρκων δοῦναι πίστεις ὅτι γήμας αὐτὴν ἕξει σύμβιον ἅπαντα τὸν τοῦ ζῆν χρόνον. μετὰ δὲ ταῦτα τοὺς Ἀργοναύτας ἀπολιπόντας φυλακὰς τῆς νεὼς νυκτὸς ὁρμῆσαι μετὰ τῆς Μηδείας ἐπὶ τὸ χρυσόμαλλον δέρος· περὶ οὗ τὸ κατὰ μέρος οἰκεῖον ἂν εἴη διελθεῖν, ἵνα μηδὲν τῶν ἀνηκόντων εἰς τὴν ὑποκειμένην ἱστορίαν ἀγνοῆται. 47

Φρίξον τὸν Ἀθάμαντος μυθολογοῦσι διὰ τὰς ἀπὸ τῆς μητρυιᾶς ἐπιβουλὰς ἀναλαβόντα τὴν ἀδελφὴν Ἕλλην φυγεῖν ἐκ τῆς Ἑλλάδος. περαιουμένων δ' αὐτῶν κατά τινα θεῶν πρόνοιαν ἐκ τῆς Εὐρώπης εἰς τὴν Ἀσίαν ἐπὶ κριοῦ χρυσομάλλου, τὴν μὲν παρθένον ἀποπεσεῖν εἰς τὴν θάλατταν, ἣν ἀπ' ἐκείνης Ἑλλήσποντον ὀνομασθῆναι, τὸν δὲ Φρίξον εἰς τὸν Πόντον πορευθέντα καταχθῆναι μὲν πρὸς τὴν Κολχίδα, κατὰ δέ τι λόγιον θύσαντα τὸν κριὸν ἀναθεῖναι τὸ δέρος εἰς τὸ τοῦ Ἄρεος ἱερόν. μετὰ δὲ ταῦτα

92. πεισθέντα] πισθέντα C 93. νόμιμον] ὄνομα FGM 94. ἀεὶ] αἰεὶ AD μᾶλλον τῇ πρ. om. AD 96. εἰς ἐλ. — ἀποθέσθαι] τουτέστιν ἐν εὐρυχώρῳ τόπῳ περιορίσαι gl. C 97. διαδρᾶσαν] διαδρᾶσαι F 1. περιτυχόντας] περιτυχόντες AB 2. περὶ] παρὰ AB, iuxta Poggius 3. μαθόντας] μαθόντες BD 6. ἀπὸ Wesselingius: libri ὑπὸ 9. συνεργήσειν] συνεργεῖν G μέχρι D, caeteri μέχρις συντελέσωσι] συντελῶσι D

290. 11. γήμας] γήμαντα C 13. φυλακὰς] φύλακας vertit Poggius 14. δέρος D, δέῤῥος A, caeteri δέρας τὸ om. D 16. εἰς] ἐπὶ AD ἀγνοῆται] ἀγνοεῖται D 23. καταχθῆναι ABD, caeteri κατενεχθῆναι 25. δέρος D, caeteri δέρας

βασιλεύοντι τῆς Κολχίδος Αἰήτῃ χρησμὸν ἐκπεσεῖν ὅτι τότε καταστρέψει τὸν βίον ὅταν ξένοι καταπλεύσαντες τὸ χρυσόμαλλον δέρος ἀπενέγκωσι. διὰ δὴ ταύτας τὰς αἰτίας καὶ διὰ τὴν ἰδίαν ὠμότητα καταδεῖξαι θύειν τοὺς ξένους, ἵνα διαδοθείσης τῆς φήμης εἰς ἅπαντα τόπον περὶ τῆς Κόλχων ἀγριότητος μηδεὶς τῶν ξένων ἐπιβῆναι τολμήσῃ τῆς χώρας. περιβαλεῖν δὲ καὶ τῷ τεμένει τεῖχος καὶ φύλακας πολλοὺς ἐπιστῆσαι τῶν ἐκ τῆς Ταυρικῆς ἀφ᾽ ὧν καὶ τερατώδεις παρὰ τοῖς Ἕλλησι πλασθῆναι μύθους. διαβεβοῆσθαι γὰρ ὅτι πυρίπνοοι ταῦροι περὶ τὸ τέμενος ὑπῆρχον, δράκων δ᾽ αὐτοῖς ἐτήρει τὸ δέρος, ἀπὸ μὲν τῶν Ταύρων μετενεχθείσης τῆς ὁμωνυμίας ἐπὶ τὴν τῶν βοῶν ἰσχύν, ἀπὸ δὲ τῆς κατὰ τὴν ξενοκτονίαν ὠμότητος πῦρ πνεῖν τοὺς ταύρους μυθολογηθέντος· παραπλησίως δὲ τοῦ τηροῦντος τὸ τέμενος Δράκοντος ὀνομαζομένου, μετενηνοχέναι τοὺς ποιητὰς ἐπὶ τὸ τερατῶδες καὶ καταπληκτικὸν τοῦ ζῴου. τῆς δ᾽ ὁμοίας μυθολογίας ἔχεσθαι καὶ τὰ περὶ τοῦ Φρίξου λεγόμενα. διαπλεῦσαι γὰρ αὐτόν φασιν οἱ μὲν ἐπὶ νεὼς προτομὴν ἐπὶ τῆς πρῴρας ἐχούσης κριοῦ, καὶ τὴν Ἕλλην δυςφοροῦσαν ἐπὶ τῇ ναυτίᾳ, καὶ διὰ τοῦτο ἐπὶ τοῦ τοίχου τῆς νεὼς ἐκκύπτουσαν, εἰς τὴν θάλατταν προπεσεῖν. ἔνιοι δέ φασι τὸν βασιλέα τῶν Σκυθῶν, ὄντα γαμβρὸν Αἰήτου, παρὰ τοῖς Κόλχοις ἐπιδημῆσαι καθ᾽ ὃν καιρὸν ἁλῶναι συνέβη τὸν Φρίξον μετὰ τοῦ παιδαγωγοῦ. ἐρωτικῶς δὲ σχόντα τοῦ παιδὸς λαβεῖν αὐτὸν ἐν δωρεᾷ παρ᾽ Αἰήτου, καὶ καθάπερ υἱὸν γνήσιον ἀγαπήσαντα καταλιπεῖν αὐτῷ τὴν βασιλείαν. τὸν δὲ παιδαγωγὸν ὀνομαζόμενον Κριὸν τυθῆναι τοῖς θεοῖς, καὶ τοῦ σώματος ἐκδαρέντος προςηλωθῆναι τῷ νεῷ τὸ δέρμα κατά τι νόμιμον. μετὰ δὲ ταῦτα 291
Αἰήτῃ γενομένου χρησμοῦ, καθ᾽ ὃν ἐσημαίνετο τελευτήσειν αὐτὸν ὅταν ξένοι καταπλεύσαντες τὸ τοῦ Κριοῦ δέ-

26. βασιλεύοντι — Αἰήτῃ] βασιλεύοντος — Αἰήτου ABDG 27. καταστρέψει] καταστρέφει F 29. δέρος D, qui sic semper, G, δέῤῥος A, caeteri δέρας 30. καὶ διὰ] καὶ D 31. ἅπαντα] ἅπαντα τὸν D 33. τολμήσῃ] τολμήσειε B 34. ἐπιστῆσαι ABCDG, caeteri περιστῆσαι 38. δέῤῥος plerumque A, editiones δέρας 40. ὠμότητος] ὠμότητα FG 41. μυθολογηθέντος] μυθολογηθέντας B τοῦ] τούτου FG 43. καὶ om. C 44. τῆς δ᾽ ὁμοίας] τῆς ὁμοίας δὲ D 48. ναυτίᾳ] ναυτιλίᾳ ABD, αἰτίᾳ G 49. θάλατταν D, caeteri θάλασσαν προπεσεῖν BDFG, προςπεσεῖν AC, caeteri πεσεῖν 52. σχόντα] ἔσχοντα G 53. παρ᾽] παρὰ D 56. τυθῆναι] τεθῆναι G ἐκδαρέντος] ἐκδαρθέντος ABD 57. νεῷ] *templo* Poggius: libri θεῷ

291. 58. τι] τὸ ABD Αἰήτῃ] Αἰήτου D 59. ἐσημαίνετο] ἐσήμαινε ABD 60. καταπλεύσαντες] καταντήσαντες FGMQ



ρος ἀπενέγκωσι, φασὶ τὸν βασιλέα τειχίσαι τὸ τέμενος καὶ φρουρὰν ἐγκαταστῆσαι, πρὸς δὲ τούτοις χρυσῶσαι τὸ δέρος, ἵνα διὰ τὴν ἐπιφάνειαν ὑπὸ τῶν στρατιωτῶν ἐπιμελεστάτης ἀξιωθῇ φυλακῆς. ταῦτα μὲν οὖν ἐξέσται τοὺς ἀναγινώσκοντας κρίνειν πρὸς τὰς ἰδίας ἑκάστου προαιρέσεις.

48 Τὴν δὲ Μήδειαν ἱστοροῦσι καθηγήσασθαι τοῖς Ἀργοναύταις πρὸς τὸ τοῦ Ἄρεος τέμενος, ἀπέχον ἑβδομήκοντα σταδίους ἀπὸ τῆς πόλεως, ἣν καλεῖσθαι μὲν Σύβαριν, ἔχειν δὲ τὰ βασίλεια τῶν Κόλχων. προςελθοῦσαν δὲ ταῖς πύλαις κεκλεισμέναις νυκτὸς τῇ Ταυρικῇ διαλέκτῳ προςφωνῆσαι τοῖς φρουροῖς. τῶν δὲ στρατιωτῶν ἀνοιξάντων προθύμως ὡς ἂν βασιλέως θυγατρί, φασὶ τοὺς Ἀργοναύτας εἰςπεσόντας ἐσπασμένοις τοῖς ξίφεσι πολλοὺς μὲν φονεῦσαι τῶν βαρβάρων, τοὺς δ᾽ ἄλλους διὰ τὸ παράδοξον καταπληξαμένους ἐκβαλεῖν ἐκ τοῦ τεμένους, καὶ τὸ δέρος ἀναλαβόντας πρὸς τὴν ναῦν ἐπείγεσθαι κατὰ σπουδήν. παραπλησίως δὲ τούτοις καὶ τὴν Μήδειαν ἐν τῷ τεμένει τὸν μυθολογούμενον ἄϋπνον δράκοντα περιεσπειραμένον τὸ δέρος φαρμάκοις ἀποκτεῖναι, καὶ μετ᾽ Ἰάσονος τὴν ἐπὶ θάλατταν κατάβασιν ποιήσασθαι. τῶν δὲ διαφυγόντων Ταύρων ἀπαγγειλάντων τῷ βασιλεῖ τὴν γενομένην ἐπίθεσίν φασι τὸν Αἰήτην μετὰ τῶν περὶ αὐτὸν στρατιωτῶν διώξαντα τοὺς Ἕλληνας καταλαβεῖν πλησίον τῆς θαλάττης· ἐξ ἐφόδου δὲ συνάψαντα μάχην ἀνελεῖν ἕνα τῶν Ἀργοναυτῶν Ἴφιτον τὸν Εὐρυσθέως ἀδελφὸν τοῦ τοὺς ἄθλους Ἡρακλεῖ προςτάξαντος, ἔπειτα τοῖς ἄλλοις τῷ πλήθει τῶν συναγωνιζομένων περιχυθέντα καὶ βιαιότερον ἐγκείμενον ὑπὸ Μελεάγρου φονευθῆναι. ἔνθα δὴ πεσόντος τοῦ βασιλέως καὶ τῶν Ἑλλήνων ἐπαρθέντων, τραπῆναι τοὺς Κόλχους πρὸς φυγήν, καὶ κατὰ τὸν διωγμὸν τοὺς πλείστους αὐτῶν ἀναιρεθῆ-

δέρος] δέρας editiones φασὶ post βασιλέα ponit D τειχίσαι τὸ τέμενος καὶ φρουρὰν ἐγκαταστῆσαι, πρὸς δὲ τούτοις χρυσῶσαι τὸ δέρας (δέρος D) ABD, caeteri χρυσῶσαι τὸ δέρας καὶ φρουρὰν ἐγκαταστῆσαι 62. ὑπὸ om. F 68. ἀπὸ om. A 71. φρουροῖς ABD, caeteri φρουροῦσι 73. εἰςπεσόντας] προςπεσόντας GQ 76. δέρος] δέρας editiones 79. περιεσπειραμένον] περιεσπειρμένον B 80. δέρος CD, δέῤῥος A, δέρας B, caeteri δέρμα φαρμάκοις] τοῖς φαρμάκοις D μετ᾽] μετὰ D 86. Ἴφιτον] Ἶφιν Wesselingius, *Iphiclum* Poggius Wesselingii 88. τοῖς ἄλλοις AB(D), τοὺς Ἕλληνας G, caeteri τοὺς ἄλλους 89. περιχυθέντα — ἐγκείμενον ABD, caeteri περιχυθέντας — ἐγκειμένους 91. τοὺς Κόλχους πρὸς φυγήν] πρὸς φυγὴν τοὺς Κόλχους D 92. τὸν διωγμὸν AB(D), caeteri τὴν ὁδὸν

ναι. γενέσθαι δὲ καὶ τῶν ἀριστέων τραυματίας Ἰάσονα καὶ Λαέρτην ἔτι δὲ Ἀταλάντην καὶ τοὺς Θεσπιάδας προσαγορευομένους. τούτους μὲν οὖν φασιν ὑπὸ τῆς Μηδείας ἐν ὀλίγαις ἡμέραις τισὶ ῥίζαις καὶ βοτάναις θεραπευθῆναι, τοὺς δ' Ἀργοναύτας ἐπισιτισαμένους ἐκπλεῦσαι, καὶ μέσον ἤδη τὸ Ποντικὸν πέλαγος ἔχοντας περιπεσεῖν χειμῶνι παντελῶς ἐπικινδύνῳ. τοῦ δ' Ὀρφέως, καθάπερ καὶ πρότερον, εὐχὰς ποιησαμένου τοῖς Σαμόθρᾳξι, λῆξαι μὲν τοὺς ἀνέμους, φανῆναι δὲ πλησίον τῆς νεὼς τὸν προσαγορευόμενον θαλάττιον Γλαῦκον. τοῦτον δ' ἐπὶ δύο νύκτας καὶ δύο ἡμέρας συνεχῶς τῇ νηὶ συμπλεύσαντα προειπεῖν μὲν Ἡρακλεῖ περὶ τῶν ἄθλων καὶ τῆς 292 ἀθανασίας, τοῖς δὲ Τυνδαρίδαις, ὅτι προσαγορευθήσονται μὲν Διόσκουροι, τιμῆς δ' ἰσοθέου τεύξονται παρὰ πᾶσιν ἀνθρώποις. καθόλου δ' ἐξ ὀνόματος προσφωνήσαντα πάντας τοὺς Ἀργοναύτας εἰπεῖν ὡς διὰ τὰς Ὀρφέως εὐχὰς θεῶν προνοίᾳ φανεὶς αὐτοῖς σημαίνει τὰ μέλλοντα γενήσεσθαι. συμβουλεύειν οὖν αὐτοῖς, ἐπὰν τάχιστα τῆς γῆς ἅψωνται, τὰς εὐχὰς ἀποδιδόναι τοῖς
49 θεοῖς, δι' οὓς τετεύχασι δὶς ἤδη τῆς σωτηρίας. ἔπειτα
τὸν μὲν Γλαῦκον δῦναι πάλιν εἰς τὸ πέλαγος, τοὺς δ' Ἀργοναύτας κατὰ στόμα τοῦ Πόντου γενομένους προσπλεῦσαι τῇ γῇ, βασιλεύοντος τότε τῆς χώρας Βύζαντος, ἀφ' οὗ καὶ τὴν πόλιν τῶν Βυζαντίων ὠνομάσθαι. ἐνταῦθα δὲ βωμοὺς ἱδρυσαμένους καὶ τοῖς θεοῖς τὰς εὐχὰς ἀποδόντας καθιερῶσαι τὸν τόπον τὸν ἔτι καὶ νῦν τιμώμενον ὑπὸ τῶν παραπλεόντων. μετὰ δὲ ταῦτα ἀναχθέντας, καὶ διαπλεύσαντας τήν τε Προποντίδα καὶ τὸν Ἑλλήσποντον, προσενεχθῆναι τῇ Τρῳάδι. ἐνταῦθα δ' Ἡρακλέους πέμψαντος εἰς τὴν πόλιν Ἴφικλόν τε τὸν ἀδελφὸν καὶ Τελαμῶνα τάς τε ἵππους καὶ τὴν Ἡσιόνην ἀπαιτήσοντας, λέγεται τὸν Λαομέδοντα τοὺς μὲν πρεσβευτὰς εἰς φυλακὴν ἀποθέσθαι, τοῖς δὲ ἄλλοις Ἀργοναύταις δι' ἐνέδρας βουλεῦσαι θάνατον· καὶ τοὺς μὲν ἄλλους

93. τραυματίας] τραυματίαν BCD  96. Μηδείας] Μηδίας A  97. καὶ βοτάναις delet Schaeferus: ac vide ad p. 289. 68.  1. Σαμόθραξι D, caeteri Σαμοθρᾳξί

292. 7. πᾶσιν — 8. προσφ. omittit B  9. εἰπεῖν om. F  11. οὖν ACDE, caeteri μὲν οὖν, quorum prius asterisco notavit Stephanus  ἐπὰν] ὅταν ABD  12. τάχιστα om. ABD  ἀποδιδόναι] ἀποδοῦναι BD  14. δῦναι] δοῦναι B  19. ἀποδόντας] ἀποδιδόντας BD  20. τὸν ἔτι καὶ] ἔτι A  24. τὰς Eichstadius: libri τούς  25. Ἡσιόνην] Ἰσιόνην D  26. πρεσβευτὰς] πρεσβύτας DG, πρεσβεῖς A  27. βουλεῦσαι CEGQ, caeteri βουλεύσασθαι



υἱοὺς ἔχειν τῇ πράξει συνεργούς, Πρίαμον δὲ μόνον ἐναντιοπραγοῦντα· τοῦτον γὰρ ἀποφήνασθαι δεῖν τὰ πρὸς τοὺς ξένους δίκαια τηρεῖν, καὶ τήν τε ἀδελφὴν καὶ τὰς ὡμολογημένας ἵππους ἀποδιδόναι. οὐδενὸς δ' αὐτῷ προσέχοντός φασιν εἰς τὴν φυλακὴν δύο ξίφη παρενέγκαντα λάθρᾳ δοῦναι τοῖς περὶ τὸν Τελαμῶνα, καὶ τὴν τοῦ πατρὸς προαίρεσιν ἐξηγησάμενον αἴτιον γενέσθαι τῆς σωτηρίας αὐτοῖς. εὐθὺς γὰρ τοὺς περὶ τὸν Τελαμῶνα φονεῦσαι μὲν τῶν φυλάκων τοὺς ἀντεχομένους, φυγόντας δ' ἐπὶ θάλατταν ἀπαγγεῖλαι τὰ κατὰ μέρος τοῖς Ἀργοναύταις. διόπερ τούτους μὲν ἑτοίμους γενομένους πρὸς μάχην ἀπαντῆσαι τοῖς ἐκ τῆς πόλεως ἐκχεομένοις μετὰ τοῦ βασιλέως. γενομένης δὲ μάχης ἰσχυρᾶς, καὶ τῶν ἀριστέων διὰ τὰς ἀρετὰς ἐπικρατούντων, μυθολογοῦσι τὸν Ἡρακλέα πάντων ἄριστα διαγωνίσασθαι· τόν τε γὰρ Λαομέδοντα φονεῦσαι, καὶ τῆς πόλεως ἐξ ἐφόδου κρατήσαντα κολάσαι μὲν τοὺς μετασχόντας τῷ βασιλεῖ τῆς ἐπιβουλῆς, Πριάμῳ δὲ διὰ τὴν δικαιοσύνην παραδοῦναι τὴν βασιλείαν, καὶ φιλίαν συνθέμενον ἐκπλεῦσαι μετὰ τῶν Ἀργοναυτῶν. ἔνιοι δὲ τῶν ἀρχαίων ποιητῶν παραδεδώκασιν οὐ μετὰ τῶν Ἀργοναυτῶν ἀλλ' ἰδίᾳ στρατεύσαντα τὸν Ἡρακλέα ναυσὶν ἓξ ἕνεκα τῶν ἵππων ἑλεῖν τὴν Τροίαν· προσμαρτυρεῖν δὲ τούτοις καὶ Ὅμηρον ἐν τοῖσδε τοῖς ἔπεσιν,

ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην
293 εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα·
ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος
ἓξ οἴῃς σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

τοὺς δ' Ἀργοναύτας φασὶν ἐκ τῆς Τρῳάδος ἀναχθέντας εἰς Σαμοθρᾴκην κομισθῆναι, καὶ τοῖς μεγάλοις θεοῖς τὰς εὐχὰς ἀποδόντας πάλιν ἀναθεῖναι τὰς φιάλας εἰς τὸ τέμενος τὰς ἔτι καὶ νῦν διαμενούσας.

50 Τῆς δὲ τῶν ἀριστέων ἀνακομιδῆς ἀγνοουμένης ἔτι κατὰ τὴν Θετταλίαν φασὶ προσπεσεῖν φήμην ὅτι πάντες οἱ μετὰ Ἰάσονος στρατεύσαντες ἐν τοῖς κατὰ Πόντον τόποις ἀπολώλασι. διόπερ τὸν Πελίαν καιρὸν ἔχειν ὑπολαμβάνοντα τοὺς ἐφέδρους τῆς βασιλείας πάντας ἄρδην

33. λάθρᾳ om. EV, asterisco notavit Stephanus  36. μὲν om. F  48. ἔνιοι — 49. Ἀργοναυτῶν om. C  50. τὸν om. D  51. προσμαρτυρεῖν] προσμαρτυρεῖ EGQ  52. Ὅμηρον] Ὅμηρος Q  τούτοις om. A  52. τοῖσδε ABC(D)EFGQ, caeteri τούτοις  53. τινα A, caeteri ποτε  Ἡρακληείην] Ἡρακλείην D

293. 57. ἐξαλάπαξε] ἐξελάπαξε C, ἐξαλαπάξαι D  χήρωσε] χειρῶσαι D  67. πάντας ACD, caeteri ἅπαντας

ἀνελεῖν. τὸν μὲν γὰρ πατέρα τοῦ Ἰάσονος ἀναγκάσαι πιεῖν αἷμα ταύρου, τὸν δὲ ἀδελφὸν Πρόμαχον, παῖδα τὴν ἡλικίαν ὄντα, φονεῦσαι· Ἀμφινόμην δὲ τὴν μητέρα μέλλουσαν ἀναιρεῖσθαί φασιν ἔπανδρον καὶ μνήμης ἀξίαν ἐπιτελέσασθαι πρᾶξιν. καταφυγοῦσαν γὰρ ἐπὶ τὴν ἑστίαν τοῦ βασιλέως καὶ καταρασαμένην παθεῖν αὐτὸν ἄξια τῶν ἀσεβημάτων ξίφει πατάξασαν ἑαυτῆς τὸ στῆθος ἡρωικῶς καταστρέψαι τὸν βίον. τὸν δὲ Πελίαν τούτῳ τῷ τρόπῳ πᾶσαν τὴν Ἰάσονος συγγένειαν ἄρδην ἀνελόντα ταχὺ τὴν προςήκουσαν τοῖς ἀσεβήμασι κομίσασθαι τιμωρίαν. τὸν γὰρ Ἰάσονα καταπλεύσαντα νυκτὸς τῆς Θετταλίας εἰς ὅρμον οὐ μακρὰν μὲν τῆς Ἰωλκοῦ κείμενον, ἀθεώρητον δὲ τοῖς ἐκ τῆς πόλεως, μαθεῖν παρά τινος τῶν κατὰ τὴν χώραν τὰ γενόμενα περὶ τοὺς συγγενεῖς ἀτυχήματα. πάντων δὲ τῶν ἀριστέων ἑτοίμων ὄντων βοηθεῖν τῷ Ἰάσονι καὶ πάντα κίνδυνον ἀναδέχεσθαι, περὶ τῆς ἐπιθέσεως ἐμπεσεῖν αὐτοῖς ἀμφιςβήτησιν· οὓς μὲν γὰρ συμβουλεύειν παραχρῆμα βιασαμένους εἰς τὴν πόλιν ἀπροςδοκήτως ἐπιθέσθαι τῷ βασιλεῖ, τινὰς δ' ἀποφαίνεσθαι δεῖν στρατιώτας ἀπὸ τῆς ἰδίας πατρίδος ἕκαστον συλλέξαντα κοινὸν ἄρασθαι πόλεμον· ἀδύνατον γὰρ εἶναι πεντήκοντα καὶ τρισὶν ἀνδράσι περιγενέσθαι βασιλέως δύναμιν ἔχοντος καὶ πόλεις ἀξιολόγους. τοιαύτης δ' οὔσης ἐν αὐτοῖς ἀπορίας, λέγεται τὴν Μήδειαν ἐπαγγείλασθαι δι' ἑαυτῆς τόν τε Πελίαν ἀποκτεῖναι δόλῳ καὶ τὰ βασίλεια παραδώσειν τοῖς ἀριστεῦσιν ἀκινδύνως. ἐνταῦθα πάντων θαυμασάντων τὸν λόγον καὶ τὸν τρόπον τῆς ἐπιβολῆς μαθεῖν ζητούντων, εἰπεῖν ὅτι κομίζει μεθ' ἑαυτῆς πολλὰς καὶ παραδόξους δυνάμεις φαρμάκων ὑπό τε τῆς μητρὸς Ἑκάτης εὑρημένας καὶ τῆς ἀδελφῆς Κίρκης· καὶ ταύταις μὲν μηδέποτε χρῆσθαι πρότερον πρὸς ἀπώλειαν ἀνθρώπων, νυνὶ δὲ δι' αὐτῶν ἀμυνεῖσθαι ῥᾳδίως τοὺς ἀξίους τιμωρίας. προειποῦσαν δὲ τοῖς ἀριστεῦσι τὰ κατὰ μέρος τῆς ἐπιθέσεως, ἐκ τῶν βασιλείων αὐτοῖς ἐπαγγεί- 294
λασθαι σημαίνειν τῆς μὲν ἡμέρας καπνῷ, τῆς δὲ νυκτὸς πυρί, πρὸς τὴν ὑπερκειμένην τῆς θαλάττης σκοπήν.

68. γὰρ om. D    τοῦ] τὸν AD    72. γὰρ om. A    74. ἑαυτῆς ABD, caeteri αὐτῆς    77. ἀσεβήμασι] ἀσηβάσμασι F    80. τῆς Ἰ.] τοῦ Ἰ. FG    81. γενόμενα] γινόμενα BD    84. ἀναδέχεσθαι] ἀνεδέχεσθαι A    85. οὓς] τοὺς BD    86. εἰς τὴν πόλιν om. EV, asterisco notavit Stephanus    88. συλλέξαντα] ἐκλέξασθαι ABD    89. κοινὸν — τρισὶν om. F    94. παραδώσειν ACD, παράδωσαν B, caeteri παραδοῦναι    96. μαθεῖν om. F, asterisco notavit Stephanus    98. εὑρημένας ante ὑπὸ ponit D    1. ἀμυνεῖσθαι] ἀμύνεσθαι D
294. 3. αὐτοῖς] αὐτῶν FG    5. ὑπερκειμένην] ὑποκειμένην A    θαλάττης] θαλάσσης D



51 αὐτὴν δὲ κατασκευάσασαν Ἀρτέμιδος εἴδωλον κοῖλον εἰς μὲν τοῦτο παντοδαπὰς φύσεις φαρμάκων κατακρύψαι, ἑαυτῆς δὲ τὰς μὲν τρίχας δυνάμεσί τισι χρίσασαν ποιῆσαι πολιάς, τὸ δὲ πρόςωπον καὶ τὸ σῶμα ῥυτίδων πλήρες, ὥςτε τοὺς ἰδόντας δοκεῖν εἶναί τινα παντελῶς πρεσβῦτιν· τὸ δὲ τελευταῖον ἀναλαβοῦσαν τὴν θεὸν διεσκευασμένην καταπληκτικῶς εἰς ὄχλων δεισιδαιμονίαν εἰς τὴν πόλιν εἰςβαλεῖν ἅμ' ἡμέρᾳ. ἐνθεαζούσης δ' αὐτῆς, καὶ τοῦ πλήθους κατὰ τὰς ὁδοὺς συντρέχοντος, παραγγέλλειν πᾶσι δέχεσθαι τὴν θεὸν εὐσεβῶς· παρεῖναι γὰρ αὐτὴν ἐξ Ὑπερβορέων ἐπ' ἀγαθῷ δαίμονι τῇ τε πόλει πάσῃ καὶ τῷ βασιλεῖ. πάντων δὲ προςκυνούντων καὶ τιμώντων τὴν θεὸν θυσίαις, καὶ τὸ σύνολον τῆς πόλεως ἁπάσης συνθεαζούσης, εἰςβαλεῖν τὴν Μήδειαν εἰς τὰ βασίλεια, καὶ τόν τε Πελίαν εἰς δεισιδαίμονα διάθεσιν ἐμβαλεῖν καὶ τὰς θυγατέρας αὐτοῦ διὰ τῆς τερατείας εἰς τοιαύτην κατάπληξιν ἀγαγεῖν ὥςτε πιστεῦσαι διότι πάρεστιν ἡ θεὸς εὐδαίμονα ποιήσουσα τὸν οἶκον τοῦ βασιλέως. ἀπεφαίνετο γὰρ ἐπὶ δρακόντων ὀχουμένην τὴν Ἄρτεμιν δι' ἀέρος ὑπερπετασθῆναι πολλὰ μέρη τῆς οἰκουμένης, καὶ πρὸς καθίδρυσιν ἑαυτῆς καὶ τιμὰς αἰωνίους ἐκλελέχθαι τὸν εὐσεβέστατον ἁπάντων τῶν βασιλέων· προςτεταχέναι δ' αὐτῇ καὶ τὸ γῆρας ἀφελοῦσαν τοῦ Πελίου διά τινων δυνάμεων νέον παντελῶς ποιῆσαι τὸ σῶμα καὶ πολλὰ ἕτερα πρὸς μακάριον καὶ θεοφιλῆ βίον δωρήσασθαι. ἐκπληττομένου δὲ τοῦ βασιλέως τὸ παράδοξον τῶν λόγων, ἐπαγγείλασθαι τὴν Μήδειαν παραχρῆμα ἐπὶ τοῦ σώματος ἑαυτῆς τὰς τούτων πίστεις παρέξεσθαι. εἰποῦσαν γὰρ μιᾷ τῶν Πελίου θυγατέρων καθαρὸν ἐνεγκεῖν ὕδωρ, καὶ τῆς παρθένου τὸ ῥηθὲν εὐθὺς ἐπὶ τέλος ἀγαγούσης, φασὶν εἰς οἰκίσκον τινὰ συγκλείσασαν ἑαυτὴν καὶ περινιψαμένην τὸ σῶμα πᾶν ἀποκλύσασθαι τὰς τῶν φαρμάκων δυνάμεις· ἀποκατασταθεῖσαν δ' εἰς τὴν προϋπάρχουσαν διάθεσιν καὶ φανεῖσαν τῷ βασιλεῖ καταπλήξασθαι τοὺς ὁρῶντας, καὶ δόξαι τινὶ θεῶν προνοίᾳ μετηλλαχέναι τὸ γῆρας εἰς παρθένου νεό-

7. παντοδαπὰς] παντοδαπῶν FG, ni fallor    9. χρίσασαν] χρήσασαν D, sed corrigitur    13. εἰςβαλεῖν] ἐμβαλεῖν D, ἐμβάλλειν A    ἅμ' D, caeteri ἅμα    14. ἐνθεαζούσης] ἐνθειαζούσης A    23. διότι πάρεστιν ἡ θεὸς εὐδαίμονα ποιήσουσα] μόνα ποιήσουσα D, μόνην εὖ ποιήσουσαν A    25. ὀχουμένην] ὠχουμένην C    28. προςτεταχέναι] προςτεταχθέναι A    29. ἀφελοῦσαν Stephanus: libri ἀφελόντα    τοῦ] τὸ D    34. τὰς τούτων ABD, caeteri τὰς    35. μιᾷ E, caeteri μίαν    39. ἀποκλύσασθαι AC(D)E, ἀπολύσασθαι F, caeteri ἀποκλείσασθαι    40. προϋπάρχουσαν BD, ὑπάρχουσαν CFGMQ, caeteri οἰκείαν

τητα καὶ κάλλος περίβλεπτον. ποιῆσαι δ' αὐτὴν καὶ διά τινων φαρμάκων εἴδωλα φαντασθῆναι δρακόντων, ἐφ' ὧν ἀποφαίνεσθαι τὴν θεὸν κομισθεῖσαν δι' ἀέρος ἐξ Ὑπερβορέων ἐπιξενωθῆναι τῷ Πελίᾳ. τῶν δὲ ἐνεργημά- 295
των ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν φανέντων, καὶ τοῦ βασιλέως μεγάλης ἀποδοχῆς ἀξιοῦντος τὴν Μήδειαν, καὶ τὸ σύνολον πιστεύσαντος ἀληθῆ λέγειν, φασὶν αὐτὴν κατὰ μόνας ἐντυχοῦσαν τῷ Πελίᾳ παρακαλέσαι ταῖς θυγατράσι διακελεύσασθαι συνεργεῖν καὶ πράττειν ἅπερ ἂν αὐταῖς προστάττῃ· προςήκειν γὰρ τῷ τοῦ βασιλέως σώματι μὴ δουλικαῖς χερσὶν ἀλλὰ ταῖς τῶν τέκνων θεραπευθέντα τυχεῖν τῆς παρὰ θεῶν εὐεργεσίας. διόπερ τοῦ Πελίου ταῖς θυγατράσι διαῤῥήδην εἰπόντος πάντα πράττειν ὅσα ἂν ἡ Μήδεια προστάττῃ περὶ τὸ σῶμα τοῦ πατρός, τὰς μὲν παρθένους ἑτοίμους οὔσας τὸ κελευόμε-
52 νον ἐπιτελεῖν, τὴν δὲ Μήδειαν νυκτὸς ἐπιγενομένης καὶ τοῦ Πελίου πρὸς ὕπνον τραπέντος λέγειν ὡς ἀναγκαῖον ἐν λέβητι καθεψῆσαι τὸ σῶμα τοῦ Πελίου. προςηνῶς δὲ τῶν παρθένων δεξαμένων τὸν λόγον, ἑτέραν αὐτὴν ἐπινοῆσαι πίστιν τῶν ὑπ' αὐτῆς λεγομένων. τρεφομένου γὰρ κριοῦ πολυέτους κατὰ τὴν οἰκίαν, ἐπαγγείλασθαι ταῖς κόραις τοῦτον πρότερον καθεψήσειν καὶ ποιήσειν ἀπ' ἀρχῆς ἄρνα. συγκαταθεμένων δ' αὐτῶν, μυθολογοῦσι τὴν Μήδειαν κατὰ μέλη διελοῦσαν τὸ σῶμα τοῦ κριοῦ καθεψῆσαι, καὶ διά τινων φαρμάκων παρακρουσαμένην ἐξελεῖν ἐκ τοῦ λέβητος ἀρνὸς εἴδωλον. ἐνταῦθα τῶν παρθένων καταπλαγεισῶν, καὶ πίστεις τῆς ἐπαγγελίας ἡγησαμένων ἐνδεχομένας ἔχειν, ὑπουργῆσαι τοῖς προστάγμασι. καὶ τὰς μὲν ἄλλας ἁπάσας τὸν πατέρα τυπτούσας ἀποκτεῖναι, μόνην δ' Ἄλκηστιν δι' εὐσέβειαν ὑπερ-

45. δρακόντων] τῶν δρακόντων D ἐφ'] ἀφ' ABD

295. 47. ἐνεργημάτων AB(D)EF, caeteri εὐεργετημάτων 48. ἀποδοχῆς AB(D), caeteri ὑπεροχῆς 50. αὐτὴν — ἐντυχοῦσαν τῷ Πελίᾳ παρακαλέσαι ταῖς θυγ. διακελεύσασθαι συνεργεῖν AB(D), caeteri αὐτὸν — ἐντυχεῖν τὸν πατέρα (τ. π. omittunt FM, asterisco notavit Stephanus) ταῖς θ. καὶ παρακαλέσαι συνεργεῖν 52. αὐταῖς] αὐτοῖς D προστάττῃ ACF, προστάττοι B, προστάττειν D, caeteri προστάξῃ 54. θεραπευθέντα ABCD, caeteri θεραπείαις 56. διαῤῥήδην εἰπόντος πάντα πράττειν] διακελεύσαντος πάντα A 58. οὔσας] immo εἶναι 62. προςηνῶς] οὐ προςηνῶς Iacobsius Add. ad Athen. p. 393., ego malim quod est p. 657. 57. προςάντως δὲ AC(D)F, caeteri subiiciunt καὶ εὐκόλως (καὶ εὐκόλως καὶ ἀνεξετάστως V), quae asterisco notavit Stephanus 65. πολυέτους] scribebatur πολυετοῦς 68. καὶ — 69. παρακρουσ. om. A 71. ἐπαγγελίας AD, caeteri πράξεως ἡγησαμένων — 72. καὶ om. A



βολὴν ἀποσχέσθαι τοῦ γεννήσαντος. μετὰ δὲ ταῦτα τὴν Μήδειάν φασι τοῦ μὲν τὸ σῶμα κατακόπτειν ἢ καθέψειν ἀποστῆναι, προςποιησαμένην δὲ δεῖν πρότερον εὐχὰς ποιήσασθαι τῇ σελήνῃ, τὰς μὲν παρθένους ἀναβιβάσαι μετὰ λαμπάδων ἐπὶ τὸ μετεωρότατον τέγος τῶν βασιλείων, αὐτὴν δὲ τῇ Κολχίδι διαλέκτῳ κατευχήν τινα μακρὰν διερχομένην ἐγχρονίζειν, ἀναστροφὴν διδοῦσαν τοῖς μέλλουσι ποιεῖσθαι τὴν ἐπίθεσιν. διὸ καὶ τοὺς Ἀργοναύτας ἀπὸ τῆς σκοπῆς καταμαθόντας τὸ πῦρ, καὶ νομίσαντας συντετελέσθαι τὴν ἀναίρεσιν τοῦ βασιλέως, ὁρμῆσαι δρόμῳ πρὸς τὴν πόλιν. παρειςελθόντας δ' ἐντὸς τοῦ τείχους ἐσπασμένοις τοῖς ξίφεσιν εἰς τὰ βασίλεια καταντῆσαι καὶ τοὺς ἐναντιουμένους τῶν φυλάκων ἀνελεῖν, τὰς δὲ τοῦ Πελίου θυγατέρας ἄρτι καταβεβηκυίας ἀπὸ τοῦ τέγους πρὸς τὴν καθέψησιν, καὶ παραδόξως ἐν τοῖς βα-
296 σιλείοις ἰδούσας τόν τε Ἰάσονα καὶ τοὺς ἀριστεῖς, περιαλγεῖς ἐπὶ τῇ συμφορᾷ γενέσθαι· οὔτε γὰρ ἀμύνασθαι τὴν Μήδειαν ἔχειν ἐξουσίαν οὔτε τὸ πραχθὲν αὐταῖς μύσος δι' ἀπάτην διορθώσασθαι. διόπερ ταύτας μὲν ὁρμῆσαι λέγεται στερίσκειν αὐτὰς τοῦ ζῆν, τὸν δὲ Ἰάσονα κατελεήσαντα τὰ πάθη παρακατασχεῖν αὐτάς, καὶ θαῤῥεῖν παρακαλέσαντα δεικνύειν ὡς ἐκ κακίας μὲν οὐδὲν ἥμαρτον, ἀκουσίως δὲ δι' ἀπάτην ἠτύχησαν. καθόλου δὲ 53
πᾶσι τοῖς συγγενέσιν ἐπαγγειλάμενον ἐπιεικῶς καὶ μεγαλοψύχως προςενεχθήσεσθαι συναγαγεῖν εἰς ἐκκλησίαν τὰ πλήθη. ἀπολογησάμενον δὲ περὶ τῶν πεπραγμένων, καὶ διδάξαντα διότι τοὺς προαδικήσαντας ἠμύνατο, τιμωρίαν ἐλάττονα λαβὼν ὧν αὐτὸς πέπονθεν, Ἀκάστῳ μὲν τῷ Πελίου τὴν πατρῴαν βασιλείαν παραδοῦναι, τῶν δὲ τοῦ βασιλέως θυγατέρων ἀξιῶσαι αὐτὸν φροντίδα ποιήσασθαι. καὶ πέρας συντελέσαι τὴν ὑπόσχεσιν αὐτόν φασι μετά τινα χρόνον συνοικίσαντα πάσας τοῖς ἐπιφανεστάτοις· Ἄλκηστιν μὲν γὰρ τὴν πρεσβυτάτην ἐκδοῦναι πρὸς

74. ἀποσχέσθαι] ἀπέχεσθαι A 76. καθέψειν Poppo: libri καθεψεῖν 77. ἀποστῆναι] ἀποστῆσαι B Poggius προςποιησαμένην] ποιησαμένην ABD 81. ἀναστροφὴν] ἀναστραφὴν A 83. καταμαθόντας] μαθόντας E 84. συντετελέσθαι] συντελέσθαι ABF 87. καταντῆσαι καὶ servarunt AB(D) Poggius

296. 92. ἔχειν] εἶχον ABD 95. κατελεήσαντα ABC(D)EGQ, caeteri ἐλεήσαντα 99. ἐπαγγειλάμενον AB(D), caeteri ἐπαγγειλάμενος 100. μεγαλοψύχως ABD, caeteri μεγαλοπρεπῶς 2. διδάξαντα] δείξαντα AD 3. τιμωρίαν] διὰ τιμωρίαν ABD 4. πέπονθεν BC(D), caeteri πέπονθε Ἀκάστῳ] Ἑκάστῳ DF 6. ἀξιῶσαι αὐτὸν ed. Wessel. (D), ἀξιῶσαι αὐτὸν AB, caeteri ἀξίως ἑαυτὸν 8. συνοικίσ.] συνοικήσ. AD 9. Ἄλκηστιν μὲν γὰρ] τὴν μὲν γὰρ Ἄλκηστιν A

γάμον Ἀδμήτῳ τῷ Φέρητος Θετταλῷ, Ἀμφινόμην δὲ Ἀνδραίμονι Λεοντέως ἀδελφῷ, Εὐάδνην δὲ Κάνῃ τῷ Κεφάλου, Φυλακέων τότε βασιλεύοντι. ταῦτα μὲν ὕστερον αὐτὸν πρᾶξαι, τότε δὲ μετὰ τῶν ἀριστέων εἰς Ἰσθμὸν τὸν ἐν Πελοποννήσῳ πλεύσαντα θυσίαν ἐπιτελέσαι τῷ Ποσειδῶνι καὶ καθιερῶσαι τὴν Ἀργὼ τῷ θεῷ. ἀποδοχῆς δὲ μεγάλης τυγχάνοντα παρὰ τῷ βασιλεῖ τῶν Κορινθίων Κρέοντι μετασχεῖν τῆς πολιτείας καὶ τὸν λοιπὸν χρόνον ἐν τῇ Κορίνθῳ κατοικῆσαι. μελλόντων δὲ τῶν Ἀργοναυτῶν εἰς τὰς πατρίδας διαχωρίζεσθαί φασι τὸν Ἡρακλέα συμβουλεῦσαι τοῖς ἀριστεῦσι πρὸς τὰ παράδοξα τῆς τύχης ἀλλήλοις ὅρκους δοῦναι συμμαχήσειν, ἐάν τις βοηθείας προςδεηθῇ· ἐκλέξασθαι δὲ καὶ τῆς Ἑλλάδος τὸν ἐπιφανέστατον τόπον εἰς ἀγώνων θέσιν καὶ πανήγυριν κοινήν, καὶ καθιερῶσαι τὸν ἀγῶνα τῷ μεγίστῳ τῶν θεῶν Διὶ Ὀλυμπίῳ. συνομοσάντων δὲ τῶν ἀριστέων περὶ τῆς συμμαχίας, καὶ τὴν διάταξιν τῶν ἀγώνων ἐπιτρεψάντων Ἡρακλεῖ, φασὶ τοῦτον τὸν τόπον προκρῖναι πρὸς τὴν πανήγυριν τῆς τῶν Ἠλείων χώρας τὸν παρὰ τὸν Ἀλφειόν. διὸ καὶ τὴν παραποταμίαν καθιερώσαντα τῷ μεγίστῳ τῶν θεῶν Ὀλυμπίαν ἀπ' ἐκείνου προςαγορεῦσαι. 297 ὑποστησάμενον δ' ἱππικὸν ἀγῶνα καὶ γυμνικὸν τά τε περὶ τῶν ἄθλων διατάξαι καὶ θεωροὺς ἀποστεῖλαι τοὺς ταῖς πόλεσι προεροῦντας τὴν θέαν τῶν ἀγώνων. διὰ δὲ τὴν παρὰ τοῖς Ἀργοναύταις γενομένην ἀποδοχὴν αὐτοῦ κατὰ τὴν στρατείαν οὐ μετρίως δοξασθέντος, προςγενέσθαι τὴν ἐκ τῆς Ὀλυμπιακῆς πανηγύρεως δόξαν, ὥςτε πάντων τῶν Ἑλλήνων ἐπιφανέστατον ὑπάρχειν καὶ παρὰ ταῖς πλείσταις πόλεσι γνωσθέντα πολλοὺς ἔχειν ἐπιθυμητὰς τῆς φιλίας, οὓς προθύμους εἶναι μετασχεῖν παντὸς κινδύνου. ταχὺ δ' ἐπ' ἀνδρείᾳ καὶ στρατηγίᾳ θαυμασθέντα στρατόπεδόν τε κράτιστον συστήσασθαι, καὶ πᾶσαν ἐπελθεῖν τὴν οἰκουμένην εὐεργετοῦντα τὸ γένος

10. Ἀμφινόμην] Ἀμφιόμην F 11. Ἀνδραίμονι] *Arobremoni* Poggius 12. Κάνῃ τῷ Κεφάλου] Κενεῖ τῷ Κεφάλου A, Καὶ νιτω Κεφάλου D, *Oeneo Cephali* Poggius, Καπατώνει Κεφάλου C, Καπάτῳ νει Κεφάλου E et margo G: Καπανεῖ τῷ Κεφάλου Wesselingius 12. Φυλακέων AB, caeteri Φωκέων 13. ὕστερον αὐτὸν] invertit D 14. ἐν] ἐπὶ BD 23. βοηθείας] συνηθείας F καὶ om. F, asterisco notavit Stephanus 30. τὸν παρὰ AB(D), caeteri τὴν παρὰ

297. 32. Ὀλυμπίαν] Ὀλύμπια F 35. προεροῦντας] προςεροῦντας A 37. στρατείαν] στρατιὰν D 38. Ὀλυμπιακῆς E, caeteri Ὀλυμπικῆς 40. ὑπάρχειν ABD, caeteri ὑπάρξαι 42. μετασχεῖν ABD, caeteri μετέχειν 45. ἐπελθεῖν] ἐπελθόντα F



τῶν ἀνθρώπων· ἀνθ' ὧν τυχεῖν αὐτὸν συμφωνουμένης ἀθανασίας. τοὺς δὲ ποιητὰς διὰ τὴν συνήθη τερατολογίαν μυθολογῆσαι μόνον τὸν Ἡρακλέα καὶ γυμνὸν ὅπλων τελέσαι τοὺς τεθρυλημένους ἄθλους.

54 Ἀλλὰ περὶ μὲν τοῦ θεοῦ τούτου τὰ μυθολογούμενα πάντα διήλθομεν, νυνὶ δὲ προςθετέον ἡμῖν ὑπὲρ Ἰάσονος τὸν ὑπολειπόμενον λόγον. φασὶ γὰρ αὐτὸν ἐν Κορίνθῳ κατοικοῦντα καὶ συμβιώσαντα δεκαέτη χρόνον Μηδείᾳ γεννῆσαι παῖδας ἐξ αὐτῆς τοὺς μὲν πρεσβυτάτους δύο διδύμους Θετταλόν τε καὶ Ἀλκιμένην, τὸν δὲ τρίτον πολὺ νεώτερον τούτων Τίσανδρον. τοῦτον μὲν οὖν τὸν χρόνον ἱστοροῦσιν ἀποδοχῆς ἀξιωθῆναι τὴν Μήδειαν ὑπὸ τοῦ ἀνδρὸς διὰ τὸ μὴ μόνον κάλλει διαφέρειν αὐτήν, ἀλλὰ καὶ σωφροσύνῃ καὶ ταῖς ἄλλαις ἀρεταῖς κεκοσμῆσθαι· μετὰ δὲ ταῦτα ἀεὶ μᾶλλον τοῦ χρόνου τὴν φυσικὴν εὐπρέπειαν ἀφαιρουμένου, λέγεται τὸν Ἰάσονα Γλαύκης ἐρασθέντα τῆς Κρέοντος θυγατρὸς μνηστεῦσαι τὴν παρθένον. συγκαταθεμένου δὲ τοῦ πατρὸς καὶ τάξαντος ἡμέραν τοῖς γάμοις, τὸ μὲν πρῶτον ἐπιβαλέσθαι φασὶν αὐτὸν πείθειν τὴν Μήδειαν ἑκουσίως παραχωρῆσαι τῆς συμβιώσεως· βούλεσθαι γὰρ αὐτὴν γαμεῖν οὐκ ἀποδοκιμάσαντα τὴν πρὸς αὐτὴν ὁμιλίαν, ἀλλὰ [καὶ] τοῖς τέκνοις σπεύδοντα συγγενῆ τὸν τοῦ βασιλέως οἶκον ποιήσασθαι. ἀγανακτούσης δὲ τῆς γυναικὸς καὶ τοὺς θεοὺς μαρτυρομένης τοὺς ἐπόπτας γενομένους τῶν ὅρ-298κων, φασὶ τὸν Ἰάσονα καταφρονήσαντα τῶν ὅρκων γῆμαι τὴν τοῦ βασιλέως θυγατέρα. τὴν δὲ Μήδειαν ἐξελαυνομένην ἐκ τῆς πόλεως, καὶ μίαν ἡμέραν παρὰ τοῦ Κρέοντος λαβοῦσαν εἰς τὴν τῆς φυγῆς παρασκευήν, εἰς μὲν τὰ βασίλεια νυκτὸς εἰςελθεῖν ἀλλοιώσασαν τοῖς φαρμάκοις τὴν αὑτῆς ὄψιν, καὶ τὴν οἰκίαν ὑφάψαι, ῥίζιόν τι προςθεῖσαν, εὑρημένον μὲν ὑπὸ Κίρκης τῆς ἀδελφῆς,

48. μυθολογῆσαι] μυθολογεῖσθαι F 49. τεθρυλημένους] τεθρυλλημένους omnes 51. ὑπὲρ] καὶ ὑπὲρ AD, περὶ E 52. ὑπολειπόμενον AB(D), caeteri ἀπολειπόμενον 53. δεκαέτη] δεκαετῆ omnes 54. αὐτῆς] αὐτοῦ F 55. Θετταλόν] Θεσσαλόν ABD Ἀλκιμένην] Ἀρχιμένην B 58. ὑπὸ] ἀπὸ F 61. ἀεὶ] αἰεὶ AD 63. μνηστεῦσαι] μνηστεύσασθαι BD 67. αὐτὴν] immo ἄλλην ἀποδοκιμάσαντα ABD, caeteri ἀποδοκιμάζοντα 68. καὶ delendum 69. τοῦ βασιλέως D, caeteri βασιλέως ποιήσασθαι] ποιῆσαι BCD 70. τοὺς om. CDF 71. μαρτυρομένης D, caeteri μαρτυρουμένης

298. 72. καταφρονήσαντα τῶν ὅρκων D, caeteri καταφρονήσαντα 74. παρὰ ABD, caeteri ἀπὸ 76. ἀλλοιώσασαν τοῖς φαρμάκοις] φαρμακεύσασαν A 77. προςθεῖσαν] προςτιθεῖσαν FM

δύναμιν δ' ἔχον, ἐπὰν ἐξαφθῇ, δυσκατάσβεστον. ἄφνω δὲ φλεγομένων τῶν βασιλείων, τὸν μὲν Ἰάσονα ταχέως ἐκπηδῆσαι, τὴν δὲ Γλαύκην καὶ τὸν Κρέοντα τοῦ πυρὸς περικαταλαβόντος διαφθαρῆναι. τινὲς δὲ τῶν συγγραφέων φασὶ τοὺς μὲν υἱοὺς τῆς Μηδείας δῶρα κομίσαι τῇ νύμφῃ φαρμάκοις κεχρισμένα, τὴν δὲ Γλαύκην δεξαμένην καὶ τῷ σώματι περιθεμένην αὐτήν τε συμφορᾷ περιπεσεῖν καὶ τὸν πατέρα βοηθοῦντα καὶ τοῦ σώματος ἁψάμενον τελευτῆσαι. τὴν δὲ Μήδειαν ἀποτυχοῦσαν τοῖς πρώτοις ἐγχειρήμασιν οὐκ ἀποστῆναι τῆς Ἰάσονος τιμωρίας. ἐπὶ τοσοῦτο γὰρ προελθεῖν αὐτὴν ὀργῆς ἅμα καὶ ζηλοτυπίας ἔτι δ' ὠμότητος, ὥστ' ἐπεὶ διέφυγε τὸν μετὰ τῆς νύμφης κίνδυνον, τῇ σφαγῇ τῶν κοινῶν τέκνων ἐμβαλεῖν αὐτὸν εἰς τὰς μεγίστας συμφοράς· πλὴν γὰρ ἑνὸς τοῦ διαφυγόντος τοὺς ἄλλους υἱοὺς ἀποσφάξαι, καὶ τὰ σώματα τούτων ἐν τῷ τῆς Ἥρας τεμένει θάψαι, καὶ μετὰ τῶν πιστοτάτων θεραπαινίδων ἔτι πολλῆς νυκτὸς οὔσης φυγεῖν ἐκ τῆς Κορίνθου, καὶ διεκπεσεῖν εἰς Θήβας πρὸς Ἡρακλέα· τοῦτον γὰρ μεσίτην γεγονότα τῶν ὁμολογιῶν ἐν Κόλχοις ἐπηγγέλθαι βοηθήσειν αὐτῇ παρασπονδουμένῃ.

55 Ἐν τοσούτῳ δὲ τὸν μὲν Ἰάσονα στερηθέντα τέκνων καὶ γυναικὸς δόξαι πᾶσι δίκαια πεπονθέναι· διὸ καὶ μὴ δυνάμενον ἐνεγκεῖν τὸ μέγεθος τῆς συμφορᾶς ἐκ τοῦ ζῆν ἑαυτὸν μεταστῆσαι. τοὺς δὲ Κορινθίους ἐκπεπλῆχθαι μὲν τὴν δεινότητα τῆς περιπετείας, μάλιστα δ' ἀπορεῖν περὶ τῆς ταφῆς τῶν παίδων. διόπερ ἀποστειλάντων αὐτῶν Πυθῶδε τοὺς ἐπερωτήσοντας τὸν θεὸν ὅπως χρηστέον ἐστὶ τοῖς σώμασι τῶν παίδων, προστάξαι τὴν Πυθίαν ἐν τῷ τεμένει τῆς Ἥρας αὐτοὺς θάψαι καὶ τιμῶν ἡρωικῶν αὐτοὺς ἀξιοῦν. ποιησάντων δὲ τῶν Κορινθίων τὸ προσταχθέν, φασὶ Θετταλὸν μὲν τὸν διαφυγόντα τὸν ἀπὸ τῆς μητρὸς φόνον ἐν Κορίνθῳ τραφέντα μετὰ ταῦτα ἐπανελθεῖν εἰς Ἰωλκόν, οὖσαν Ἰάσονος πατρίδα· 299

79. δυσκατάσβεστον AC(D)E, caeteri subiiciunt εἶναι, quod asterisco notavit Stephanus 81. περικαταλαβόντος] περιλαβόντος AB 85. συμφορᾷ] συμφοραῖς FQ 87. ἀποτυχοῦσαν] ἐπιτυχοῦσαν omnes: *his haudquaquam acquiescens* Poggius 89. τοσοῦτο] τοσοῦτον ABG 91. διέφυγε ABD, caeteri ἐξέφυγε 96. πολλῆς νυκτὸς οὔσης] νυκτὸς μέσης AD 99. ἐπηγγέλθαι] ἐπηγγέλεσθαι A 6. ἐπερωτήσοντας] ἐπερωτήσαντας A ὅπως χρηστέον ἐστὶ (ἐπὶ AB) ABD et E, qui tamen nescio an πῶς servet, caeteri πῶς χρηστέον 10. Θετταλὸν AC(D), caeteri τὸν Θετταλὸν

299. 12. Ἰωλκόν] τὸν Ἰωλκόν F



ἐν ᾗ καταλαβόντα προσφάτως Ἄκαστον τὸν Πελίου τετελευτηκότα παραλαβεῖν κατὰ γένος προσήκουσαν τὴν βασιλείαν, καὶ τοὺς ὑφ' ἑαυτὸν τεταγμένους ἀφ' ἑαυτοῦ προσαγορεῦσαι Θετταλούς. οὐκ ἀγνοῶ δὲ διότι περὶ τῆς τῶν Θετταλῶν προσηγορίας οὐ ταύτην μόνην τὴν ἱστορίαν ἀλλὰ καὶ διαφώνους ἑτέρας παραδεδόσθαι συμβέβηκε· περὶ ὧν ἐν οἰκειοτέροις μνησθησόμεθα καιροῖς. τὴν δ' οὖν Μήδειαν ἐν Θήβαις φασὶ καταλαβοῦσαν Ἡρακλέα μανικῷ πάθει συνεχόμενον καὶ τοὺς υἱοὺς ἀπεκταγκότα, φαρμάκοις αὐτὸν ἰάσασθαι. τοῦ δ' Εὐρυσθέως ἐπικειμένου τοῖς προστάγμασιν, ἀπογνοῦσαν τὴν κατὰ τὸ παρὸν ἐκ τούτου βοήθειαν καταφυγεῖν εἰς Ἀθήνας πρὸς Αἰγέα τὸν Πανδίονος. ἐνταῦθα δ' οἱ μὲν φασιν αὐτὴν Αἰγεῖ συνοικήσασαν γεννῆσαι Μῆδον τὸν ὕστερον Μηδίας βασιλεύσαντα, τινὲς δ' ἱστοροῦσιν ὑφ' Ἱππότου τοῦ Κρέοντος ἐξαιτουμένην κρίσεως τυχεῖν, καὶ τῶν ἐγκλημάτων ἀπολυθῆναι. μετὰ δὲ ταῦτα Θησέως ἐπανελθόντος ἐκ Τροιζῆνος εἰς τὰς Ἀθήνας ἐγκληθεῖσαν ἐπὶ φαρμακείᾳ φυγεῖν ἐκ τῆς πόλεως· δόντος δ' Αἰγέως τοὺς παραπέμψοντας εἰς ἣν βούλοιτο χώραν εἰς τὴν Φοινίκην κομισθῆναι. ἐντεῦθεν δ' εἰς τοὺς ἄνω τόπους τῆς Ἀσίας ἀναβᾶσαν συνοικῆσαί τινι τῶν ἐπιφανῶν βασιλέων, ἐξ οὗ γεννῆσαι παῖδα Μῆδον· καὶ τὸν μὲν παῖδα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν διαδεξάμενον τὴν βασιλείαν θαυμασθῆναί τε κατὰ τὴν ἀνδρείαν καὶ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Μήδους ὀνομάσαι.

Καθόλου δὲ διὰ τὴν τῶν τραγῳδῶν τερατείαν ποικίλη τις καὶ διάφορος ἱστορία περὶ Μηδείας ἐξενήνεκται. 56
καί τινες χαρίζεσθαι βουλόμενοι τοῖς Ἀθηναίοις φασὶν αὐτὴν ἀναλαβοῦσαν τὸν ἐξ Αἰγέως Μῆδον εἰς Κόλχους διασωθῆναι· κατὰ δὲ τοῦτον τὸν χρόνον Αἰήτην ἐκ τῆς βασιλείας ὑπὸ τἀδελφοῦ Πέρσου βιαίως ἐκπεπτωκότα

13. Ἄκαστον] αικαστον D, ἕκαστον B 15. ἑαυτὸν] ἑαυτοῦ C 18. παραδεδόσθαι] παραγενέσθαι ABD 19. καιροῖς] θεοῖς G 20. φασὶ om. F 21. ἀπεκταγκότα A, ἀπεκγαγκότα B, ἀπεκτεγκότα D, ἀπεκτακότα CE, caeteri ἀπεκτονότα 23. ἀπογνοῦσαν BC(D)E, *auxilii spe amissa* Poggius, caeteri ἀγνοοῦσαν 27. Μηδίας] Μηδείας C 28. Ἱππότου] Ἱππέτου FGQV Poggius κρίσεως τυχεῖν] invertit D 29. ἀπολυθῆναι] ἀναλυθῆναι G 31. φαρμακείᾳ] φαρμακίᾳ D 32. δ' servavit D: *verum pollicente Aegeo* Poggius παραπέμψοντας] παραπέμψαντας C βούλοιτο] βούλοιντο D 38. λαοὺς] *populos* Poggius, caeteri ἄλλους: monuit Wesselingius neglecto Poggio 40. τις] τις διάθεσις BD ἐξενήνεκται] ἐξενηνέχθαι G 44. τἀδελφοῦ] τ' ἀδελφοῦ D, τῆς ἀδελφοῦ FG, caeteri τοῦ ἀδελφοῦ

τὴν ἀρχὴν ἀνακτήσασθαι, Μήδου τοῦ Μηδείας ἀνελόντος τὸν Πέρσην· μετὰ δὲ ταῦτα δυνάμεως ἐγκρατῆ γενόμενον τὸν Μῆδον πολλὴν ἐπελθεῖν τῆς ὑπὲρ τὸν Πόντον Ἀσίας, καὶ κατασχεῖν τὴν ἀπ᾽ ἐκείνου προσαγορευθεῖσαν Μηδίαν. ἀλλὰ γὰρ τὸ πάσας τὰς ἀποφάσεις τῶν περὶ τῆς Μηδείας μυθολογησάντων ἀναγράφειν οὐκ ἀναγκαῖον ἅμα καὶ μακρὸν εἶναι κρίνοντες τὰ καταλειπόμενα τῆς 300 περὶ τῶν Ἀργοναυτῶν ἱστορίας προσθήσομεν. οὐκ ὀλίγοι γὰρ τῶν τε ἀρχαίων συγγραφέων καὶ τῶν μεταγενεστέρων, ὧν ἐστι καὶ Τίμαιος, φασὶ τοὺς Ἀργοναύτας μετὰ τὴν τοῦ δέρους ἁρπαγὴν πυθομένους ὑπ᾽ Αἰήτου προκατειλῆφθαι ναυσὶ τὸ στόμα τοῦ Πόντου, πρᾶξιν ἐπιτελέσασθαι παράδοξον καὶ μνήμης ἀξίαν. ἀναπλεύσαντας γὰρ αὐτοὺς διὰ τοῦ Τανάϊδος ποταμοῦ ἐπὶ τὰς πηγάς, καὶ κατὰ τόπον τινὰ τὴν ναῦν διελκύσαντας, καθ᾽ ἑτέρου πάλιν ποταμοῦ τὴν ῥύσιν ἔχοντος εἰς τὸν Ὠκεανὸν καταπλεῦσαι πρὸς τὴν θάλατταν· ἀπὸ δὲ τῶν ἄρκτων ἐπὶ τὴν δύσιν κομισθῆναι τὴν γῆν ἔχοντας ἐξ εὐωνύμων, καὶ πλησίον γενομένους Γαδείρων εἰς τὴν καθ᾽ ἡμᾶς θάλατταν εἰσπλεῦσαι. ἀποδείξεις δὲ τούτων φέρουσι, δεικνύντες τοὺς παρὰ τὸν Ὠκεανὸν κατοικοῦντας Κελτοὺς σεβομένους μάλιστα τῶν θεῶν τοὺς Διοσκούρους· παραδόσιμον γὰρ ἔχειν αὐτοὺς ἐκ παλαιῶν χρόνων τὴν τούτων τῶν θεῶν παρουσίαν ἐκ τοῦ Ὠκεανοῦ γεγενημένην. εἶναι δὲ καὶ τὴν παρὰ τὸν Ὠκεανὸν χώραν οὐκ ὀλίγας ἔχουσαν προσηγορίας ἀπό τε τῶν Ἀργοναυτῶν καὶ τῶν Διοσκούρων. παραπλησίως δὲ καὶ τὴν ἐντὸς Γαδείρων ἤπειρον ἔχειν ἐμφανῆ σημεῖα τῆς τούτων ἀνακομιδῆς. περὶ μὲν γὰρ τὴν Τυῤῥηνίαν καταπλεύσαντας αὐτοὺς εἰς νῆσον τὴν ὀνομαζομένην Αἰθαλίαν τὸν ἐν αὐτῇ λιμένα, κάλλιστον ὄντα τῶν ἐν ἐκείνοις τοῖς τόποις, Ἀργῷον ἀπὸ τῆς νεὼς προσαγορεῦσαι, καὶ μέχρι τῶνδε τῶν χρόνων διαμένειν αὐτοῦ τὴν προσηγορίαν. παραπλησίως δὲ

47. ἐπελθεῖν] ὑπελθεῖν F    48. τῆς — Ἀσίας] τὴν — Ἀσίαν C    51. ἅμα BD, caeteri ἀλλὰ

300. 52. εἶναι κρίνοντες] εἶναι ἢ κρίνοντες D, διόπερ ἐάσαντες ταῦτα A, „quod si quis malit, maiore distinctione a praecedentibus distinguat" Wessel.    τῆς περὶ] περὶ τῆς D    53. προσθήσομεν] προσθεῖναι E    55. δέρους D, δέῤῥους A, δέρως B, caeteri δέρατος    60. καὶ κατὰ AB(D), caeteri καὶ    καθ᾽ ἑτέρου] καταίρουσι B, ἐφ᾽ ἑτέρου A    62. θάλατταν D, caeteri θάλασσαν    63. ἔχοντας] ἔχοντα D    65. θάλατταν] θάλασσαν omnes    68. ἔχειν αὐτοὺς] invertit D    70. παρὰ] περὶ C    75. Αἰθαλίαν] Αἰθωλίαν FGM: verius Αἰθάλειαν    76. τοῖς om. D    Ἀργῷον ed. Wessel. tacente D, Ἀργώιον C, caeteri Ἀργῶον    79. δὲ om. A



τοῖς εἰρημένοις κατὰ μὲν τὴν Τυῤῥηνίαν ἀπὸ σταδίων ὀκτακοσίων τῆς Ῥώμης ὀνομάσαι λιμένα Τελαμῶνα· κατὰ δὲ Φορμίας τῆς Ἰταλίας Αἰήτην τὸν νῦν Καιήτην προσαγορευόμενον. πρὸς δὲ τούτοις ὑπ᾽ ἀνέμων αὐτοὺς ἐκριφέντας εἰς τὰς σύρτεις, καὶ μαθόντας παρὰ Τρίτωνος τοῦ τότε βασιλεύοντος τῆς Λιβύης τὴν ἰδιότητα τῆς θαλάττης καὶ τὸν κίνδυνον ἐκφυγόντας, δωρήσασθαι χαλκοῦν τρίποδα τὸν ἀρχαίοις μὲν κεχαραγμένον γράμμασι, μέχρι δὲ τῶν νεωτέρων χρόνων διαμείναντα παρὰ τοῖς Εὐεσπερίταις. οὐ παραλειπτέον δ᾽ ἡμῖν ἀνεξέλεγκτον τὴν ἱστορίαν τῶν ἀποφηναμένων τοὺς Ἀργοναύτας ἀνὰ τὸν Ἴστρον πλεύσαντας μέχρι τῶν πηγῶν κατενεχθῆναι διὰ τῆς ἀντιπροσώπου ῥύσεως πρὸς τὸν Ἀδριατικὸν κόλ- 301 πον. τούτους γὰρ ὁ χρόνος ἤλεγξεν ὑπολαβόντας τὸν ἐν τῷ Πόντῳ πλείοσι στόμασιν ἐξερευγόμενον Ἴστρον καὶ τὸν εἰς τὸν Ἀδρίαν ἐκβάλλοντα τὴν ῥύσιν ἔχειν ἀπὸ τῶν αὐτῶν τόπων. Ῥωμαίων γὰρ καταπολεμησάντων τὸ τῶν Ἴστρων ἔθνος, εὑρέθη τὰς πηγὰς ἔχων ὁ ποταμὸς ἀπὸ τετταράκοντα σταδίων τῆς θαλάττης. ἀλλὰ γὰρ τοῖς συγγραφεῦσιν αἰτίαν τῆς πλάνης φασὶ γενέσθαι τὴν ὁμωνυμίαν τῶν ποταμῶν.

57 Ἡμῖν δ᾽ ἀρκούντως ἐξειργασμένοις τὴν περὶ τῶν Ἀργοναυτῶν ἱστορίαν καὶ τὰ ὑφ᾽ Ἡρακλέους πραχθέντα οἰκεῖον ἂν εἴη κατὰ τὴν γενομένην ἐπαγγελίαν ἀναγράψαι τὰς τῶν υἱῶν αὐτοῦ πράξεις. μετὰ τὴν Ἡρακλέους τοίνυν ἀποθέωσιν οἱ παῖδες αὐτοῦ κατῴκουν ἐν Τραχῖνι παρὰ Κήϋκι τῷ βασιλεῖ. μετὰ δὲ ταῦτα Ὕλλου καί τινων ἑτέρων ἀνδρωθέντων, Εὐρυσθεὺς φοβηθεὶς μὴ πάντων ἐνηλίκων γενομένων ἐκπέσῃ τῆς ἐν Μυκήναις βασιλείας, ἔγνω τοὺς Ἡρακλείδας ἐξ ὅλης τῆς Ἑλλάδος φυγαδεῦσαι. διὸ Κήϋκι μὲν τῷ βασιλεῖ προηγόρευσε τούς τε Ἡρακλείδας καὶ τοὺς Λικυμνίου παῖδας ἐκβαλεῖν, ἔτι δὲ Ἰόλαον καὶ τὸ σύστημα τῶν Ἀρκάδων τῶν Ἡρακλεῖ συνεστρατευκότων, ἢ ταῦτα μὴ ποιοῦντα πόλεμον ἀναδέξασθαι. οἱ δ᾽ Ἡρακλεῖδαι καὶ οἱ μετ᾽ αὐτῶν θεωροῦντες αὐτοὺς οὐκ ἀξιομάχους ὄντας Εὐρυσθεῖ πολε-

80. λιμένα om. F    82. Καιήτην] Καήτην AD    85. καὶ] κατὰ BD    88. Εὐεσπερίταις AB(D), ἐν Ἑσπερίταις CE, caeteri Ἑσπερίταις    92. ῥύσεως G, caeteri φύσεως    Ἀδριατικὸν] Ἀδριαντικὸν D, Ἀνδριατικὸν A

301. 96. ἔθνος] γένος GQ    98. θαλάττης] θαλάσσης D    99. αἰτίαν — φασὶ τοῖς συγγραφεῦσιν] τῷ συγγραφεῖ F    om. D, cum τοῖς συγγραφεῦσιν A    3. κατὰ] om. F    ἐπαγγ.] ἀπαγγ. A    4. υἱῶν αὐτοῦ ABD, caeteri υἱῶν    μετὰ] μετὰ δὲ D    11. Λικυμνίου ACD, caeteri τοῦ Λικυμνίου

μεῖν, ἔγνωσαν ἑκουσίως φεύγειν ἐκ τῆς Τραχῖνος· ἐπιόντες δὲ τῶν ἄλλων πόλεων τὰς ἀξιολογωτάτας ἐδέοντο παραδέξασθαι σφᾶς αὐτοὺς συνοίκους. μηδεμιᾶς δὲ τολμώσης ὑποδέξασθαι, μόνοι τῶν ἄλλων Ἀθηναῖοι διὰ τὴν ἔμφυτον αὐτοῖς ἐπιείκειαν προσεδέξαντο τοὺς Ἡρακλείδας· κατῴκισαν δὲ αὐτοὺς μετὰ τῶν συμφυγόντων εἰς Τρικόρυθον πόλιν, ἥτις ἐστὶ μία τῆς ὀνομαζομένης τετραπόλεως. μετὰ δέ τινα χρόνον ἁπάντων τῶν Ἡρακλέους παίδων ἠνδρωμένων, καὶ φρονήματος ἐμφυομένου τοῖς νεανίσκοις διὰ τὴν ἀφ' Ἡρακλέους δόξαν, ὑφορώμενος αὐτῶν τὴν αὔξησιν Εὐρυσθεὺς ἐστράτευσεν ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως. οἱ δ' Ἡρακλεῖδαι, βοηθούντων αὐτοῖς τῶν Ἀθηναίων, προστησάμενοι τὸν Ἡρακλέους ἀδελφιδοῦν Ἰόλαον, καὶ τούτῳ τε καὶ Θησεῖ καὶ Ὕλλῳ τὴν στρατηγίαν παραδόντες, ἐνίκησαν παρατάξει τὸν Εὐρυσθέα. κατὰ δὲ τὴν μάχην πλεῖστοι μὲν τῶν μετ' Εὐρυσθέως κατεκόπησαν, αὐτὸς δ' Εὐρυσθεὺς τοῦ ἅρματος κατὰ τὴν φυγὴν συντριβέντος ὑπὸ Ὕλλου τοῦ 302
Ἡρακλέους ἀνῃρέθη· ὁμοίως δὲ καὶ οἱ υἱοὶ τοῦ Εὐρυ-
58 σθέως πάντες κατὰ τὴν μάχην ἐτελεύτησαν. μετὰ δὲ ταῦτα οἱ μὲν Ἡρακλεῖδαι πάντες περιβοήτῳ μάχῃ νενικηκότες τὸν Εὐρυσθέα, καὶ διὰ τὴν εὐημερίαν συμμάχων εὐπορήσαντες, ἐστράτευσαν ἐπὶ τὴν Πελοπόννησον Ὕλλου στρατηγοῦντος. Ἀτρεὺς δὲ μετὰ τὴν Εὐρυσθέως τελευτὴν καταλαβόμενος τὴν ἐν Μυκήναις βασιλείαν, καὶ προςλαβόμενος συμμάχους Τεγεάτας καί τινας ἄλλους, ἀπήντησε τοῖς Ἡρακλείδαις. κατὰ δὲ τὸν Ἰσθμὸν τῶν στρατοπέδων ἀθροισθέντων, Ὕλλος μὲν ὁ Ἡρακλέους εἰς μονομαχίαν προεκαλέσατο τῶν πολεμίων τὸν βουλόμενον, ὁμολογίας θέμενος τοιαύτας, εἰ μὲν Ὕλλος νικήσει τὸν ἀντιταχθέντα, παραλαβεῖν Ἡρακλείδας τὴν Εὐρυσθέως βασιλείαν, εἰ δὲ Ὕλλος λειφθείη, μὴ κατιέναι τοὺς Ἡρακλείδας εἰς Πελοπόννησον ἐντὸς ἐτῶν πεντήκοντα. καταβάντος δ' εἰς τὴν πρόκλησιν Ἐχέμου τοῦ βασιλέως τῶν Τεγεατῶν, καὶ τῆς μονομαχίας γενομένης, ὁ μὲν Ὕλλος ἀνῃρέθη, οἱ δὲ Ἡρακλεῖδαι κατὰ τὰς ὁμολογίας ἀπέστησαν τῆς καθόδου

18. ἀξιολογωτάτας] ἀξιολογωτάτους AB  παραδέξασθαι] δέξασθαι BDFM  20. αὐτοῖς] παρ' αὐτοῖς ABCDF  22. Τρικύρινθον AB Poggius, Τρικοροῦντος G, Τρικόρινθον D, caeteri Τρικόρυνθον et hic et postea  πόλιν servarunt BDE Poggius  30. Ὕλλῳ] Ὕλλου F

302. 40. Ὕλλου] Ἰολάου FG Poggius  42. προςλαβόμενος] προςλαβόμενον A  46. προεκαλέσατο] προςεκαλέσατο C  47. νικήσει] aptior est optativus aoristi  49. λειφθείη] ληφθείη AD  50. ἐτῶν] τῶν FG



καὶ τὴν εἰς Τρικόρυθον ἐπάνοδον ἐποιήσαντο. μετὰ δέ τινας χρόνους Λικύμνιος μὲν μετὰ τῶν παίδων καὶ Τληπολέμου τοῦ Ἡρακλέους, ἑκουσίως τῶν Ἀργείων αὐτοὺς προςδεξαμένων, ἐν Ἄργει κατῴκησαν. οἱ δ' ἄλλοι πάντες ἐν Τρικορύθῳ κατοικήσαντες, ὡς ὁ πεντηκονταέτης χρόνος διῆλθε, κατῆλθον εἰς Πελοπόννησον· ὧν τὰς πράξεις ἀναγράψομεν, ὅταν εἰς ἐκείνους τοὺς χρόνους παραγενηθῶμεν. Ἀλκμήνη δ' εἰς Θήβας καταντήσασα, καὶ μετὰ ταῦτα ἄφαντος γενομένη, τιμῶν ἰσοθέων ἔτυχε παρὰ τοῖς Θηβαίοις. τοὺς δ' ἄλλους Ἡρακλείδας φασὶν ἐλθόντας παρ' Αἰγίμιον τὸν Δώρου τὴν πατρῴαν τῆς χώρας παρακαταθήκην ἀπαιτήσαντας μετὰ Δωριέων κατοικῆσαι. Τληπόλεμον δὲ τὸν Ἡρακλέους ἐν Ἄργει κατοικοῦντα λέγουσιν ἀνελεῖν Λικύμνιον τὸν Ἠλεκτρύωνος ἐρίσαντα περί τινων, διὰ δὲ τὸν φόνον τοῦτον ἐξ Ἄργους φυγόντα εἰς Ῥόδον κατοικῆσαι· τὴν δὲ νῆσον ταύτην τότε κατῴκουν Ἕλληνες οἱ ὑπὸ Τριόπα τοῦ Φόρβαντος κατοικισθέντες. τὸν δ' οὖν Τληπόλεμον κοινῇ μετὰ τῶν ἐγχωρίων τριμερῆ ποιῆσαι τὴν Ῥόδον,
303 καὶ τρεῖς ἐν αὐτῇ καταστῆσαι πόλεις, Λίνδον, Ἰήλυσον, Κάμειρον· βασιλεῦσαι δ' αὐτὸν πάντων τῶν Ῥοδίων διὰ τὴν τοῦ πατρὸς Ἡρακλέους δόξαν, καὶ κατὰ τοὺς ὕστερον χρόνους μετ' Ἀγαμέμνονος ἐπὶ τὴν Τροίαν στρατεῦσαι.

Ἐπεὶ δὲ περὶ Ἡρακλέους καὶ τῶν ἀπογόνων αὐτοῦ 59
διήλθομεν, οἰκεῖον ἂν εἴη περὶ Θησέως εἰπεῖν διὰ τὸ τοῦτον ζηλωτὴν γενέσθαι τῶν Ἡρακλέους ἄθλων. Θησεὺς τοίνυν γεγονὼς Αἴθρας τῆς Πιτθέως καὶ Ποσειδῶνος, τραφεὶς ἐν Τροιζῆνι παρὰ Πιτθεῖ τῷ μητροπάτορι, καὶ τὰ μυθολογούμενα σύμβολα ἀνῃρημένος τὰ ὑπὸ Αἰγέως ὑπό τινι πέτρᾳ τεθειμένα, κατήντησεν εἰς τὰς Ἀθήνας. διεξιὼν δ', ὥς φασι, τὴν παραθαλάττιον, καὶ ζηλωτὴς ὢν τῆς Ἡρακλέους ἀρετῆς, ἐπεβάλετο τελεῖν ἄθλους περιέχοντας ἀποδοχήν τε καὶ δόξαν. πρῶτον μὲν οὖν ἀνεῖλε τὸν ὀνομαζόμενον Κορυνήτην, χρώμενον τῇ προςα-

54. Τρικόρυθον] „Τρικύρ. AB semper" Wess.  57. ἑκουσίως] ἑκουσίων F  59. κατοικήσαντες] κατῴκησαν ABD  πεντηκονταέτης] πεντηκονταετὴς omnes  61. ἀναγράψομεν] αναγράψωμεν D  64. ἄλλους] ὅλους FG  66. ἀπαιτήσαντας] ἀπαιτήσοντας E  69. Ἠλεκτρυόνος] Ἠλεκτρυῶνος D, Ἠλεκτρίωνος EQ  71. οἱ om. F  72. κατοικισθ.] κατοικησθ. F
303. 75. Ἰήλυσον] Ἠλυσόν A, Ἠίλυσόν D, Ilisum Poggius  Κάμειρον] Κάμιρον omnes  80. διήλθομεν ABCDQ, caeteri ἐμνήσθημεν  83. τραφεὶς] καὶ τραφεὶς A  84. καὶ] κατὰ GM nescio an omisso τὰ  σύμβολα — 85. τεθειμένα om. FM  85. τινι] τῇ ABD

γορευομένῃ κορύνῃ, ὅπερ ἦν ὅπλον ἀμυντήριον, καὶ τοὺς παριόντας ἀποκτείνοντα, δεύτερον δὲ τὸν ἐν Ἰσθμῷ κατοικοῦντα Σίνιν. οὗτος γὰρ δύο πίτυς κάμπτων, καὶ πρὸς ἑκατέραν τὸν ἕνα βραχίονα προςδεσμεύων, ἄφνω τὰς πίτυς ἠφίει· διόπερ τῶν σωμάτων διὰ τὴν βίαν ἀποσπωμένων, συνέβαινε τοὺς ἀτυχοῦντας μετὰ μεγάλης τιμωρίας τελευτᾶν. τρίτον δὲ τὴν ἐν Κρομμυῶνι ὑπάρχουσαν ὗν ἀγρίαν, διαφέρουσαν ἀλκῇ τε καὶ μεγέθει καὶ πολλοὺς ἀνθρώπους ἀναιροῦσαν, ἀπέκτεινεν. ἐκόλασε δὲ καὶ Σκείρωνα τὸν οἰκοῦντα τῆς Μεγαρίδος τὰς ὀνομαζομένας [ἀπ' ἐκείνου Σκειρωνίδας πέτρας. οὗτος γὰρ εἰώθει τοὺς παριόντας ἀναγκάζειν ἀπονίπτειν ἑαυτὸν ἐπί τινος ἀποκρήμνου τόπου· λακτίσματι δὲ ἄφνω τύπτων περιεκύλιε κατὰ τῶν κρημνῶν εἰς θάλατταν κατὰ τὴν ὀνομαζομένην χελώνην. ἀνεῖλε δὲ καὶ περὶ τὴν Ἐλευσῖνα Κερκύονα τὸν διαπαλαίοντα τοῖς παριοῦσι καὶ τὸν ἡττηθέντα διαφθείροντα. μετὰ δὲ ταῦτα τὸν ὀνομαζόμενον Προκρούστην ἀπέκτεινε τὸν οἰκοῦντα ἐν τῷ λεγομένῳ Κορυδάλλῳ τῆς Ἀττικῆς. οὗτος δὲ τοὺς παριόντας ὁδοιπόρους ἠνάγκαζεν ἐπί τινος κλίνης ἀναπίπτειν, καὶ τῶν μὲν μακροτέρων τὰ προέχοντα μέρη τοῦ σώματος ἀπέκοπτε, τῶν δ' ἐλαττόνων τοὺς πόδας προέκρουεν· ἀφ' οὗπερ Προκρούστης ὠνομάσθη. κατορθώσας δὲ τὰ προειρημένα κατήντησεν εἰς τὰς Ἀθήνας, καὶ τὸν Αἰγέα διὰ τῶν συμβόλων ἀνεγνώρισε. μετὰ δὲ ταῦτα τὸν ἐν Μαρα- 304
θῶνι ταῦρον, ὃν Ἡρακλῆς τελῶν ἆθλον ἐκ Κρήτης ἀπήγαγεν εἰς Πελοπόννησον, συμπλακεὶς καὶ κρατήσας τοῦ ζῴου, ἀπήγαγεν εἰς τὰς Ἀθήνας· τοῦτον δ' Αἰγεὺς παραλαβὼν ἔθυσεν Ἀπόλλωνι.

60 Λείπεται δ' ἡμῖν εἰπεῖν περὶ Μινωταύρου τοῦ ἀναιρεθέντος ὑπὸ Θησέως, ἵνα συντελέσωμεν τὰς τοῦ Θη-

90. κορύνῃ] ἤτοι ῥάβδῳ παχείᾳ καὶ στρογγύλην ἐχούσῃ κεφαλὴν ξυλίνην gl. EV  ὅπερ ἦν ABCDQ Poggius, caeteri ἥτις ἦν αὐτῷ  92. Σίνιν CGQ, caeteri Σίννιν: *Schinon* Poggius  95. ἠφίει] ἀφίει ABD  97. τρίτον ABC(D)EFQ, caeteri τρίτην  Κρομμυῶνι] Κρομυῶνι F  ὑπ. — διαφ.] ὗν ὑπ. ἀ. καὶ διαφ. D  99. ἀπέκτεινεν] ἀποκτείνειν A  100. Σκίρωνα] Σκείρωνα A  1. ἀπ' ἐκείνου servarunt BD Poggius  Σκιρωνίδας] Σκειρωνιτίδας B, Σκιρωνίτιδας D  γὰρ ABD, caeteri δ'  2. παριόντας] παρόντας E  ἀπονίπτειν] ἀποῤῥίπτειν AB Poggius, ἀπορίπτειν D ab secunda manu  3. ἐπί] ἀπό D  4. θάλατταν] θάλασσαν omnes  6. Κερκύονα] Κύονα C  9. λεγομένῳ om. EV, asterisco notavit Stephanus  Κορυδάλλῳ] Κορυδαλλῷ D, *Curdalus* Poggius  11. προέχοντα] ὑπερέχοντα AB, *supereminente* Poggius  12. τοῦ σώματος om. F, asterisco notavit Stephanus  15. τὰς Ἀ. ABC(D)E, caeteri Ἀ.

304. 19. ἀπήγαγεν AD, ἐκ Κρήτης ἀπήγαγεν B, caeteri κατήγαγεν  23. ἵνα συντελέσωμεν τὰς τοῦ Θησέως πράξεις servarunt ABD Poggius



σέως πράξεις. ἀναγκαῖον δ' ἐστὶ προςαναδραμόντας τοῖς χρόνοις τὰ συμπεπλεγμένα τούτοις διελθεῖν, ἵνα γένηται σαφὴς ἡ σύμπασα διήγησις. Τέκταμος ὁ Δώρου τοῦ Ἕλληνος τοῦ Δευκαλίωνος εἰς Κρήτην πλεύσας μετὰ Αἰολέων καὶ Πελασγῶν ἐβασίλευσε τῆς νήσου· γήμας δὲ τὴν Κρηθέως θυγατέρα ἐγέννησεν Ἀστέριον. οὗ βασιλεύοντος ἐν τῇ Κρήτῃ Ζεύς, ὥς φασιν, Εὐρώπην ἁρπάσας ἐκ Φοινίκης καὶ διακομίσας εἰς Κρήτην ἐπὶ ταύρου, μιγεὶς αὐτῇ τρεῖς υἱοὺς ἐγέννησε, Μίνω καὶ Ῥαδάμανθυν καὶ Σαρπηδόνα. μετὰ δὲ ταῦτα τὴν Εὐρώπην Ἀστέριος ὁ βασιλεὺς τῆς Κρήτης ἔγημεν· ἄπαις δὲ ὤν, τοὺς τοῦ Διὸς παῖδας υἱοποιησάμενος διαδόχους τῆς βασιλείας ἀπέλιπε. τούτων δὲ Ῥαδάμανθυς μὲν τοῖς Κρησὶν ἐνομοθέτησε, Μίνως δὲ διαδεξάμενος τὴν βασιλείαν, καὶ γήμας Ἰτώνην τὴν Λυκτίου, Λύκαστον ἐγέννησεν. ὃς διαδεξάμενος τὴν ἀρχήν, καὶ γήμας Ἴδην τὴν Κορύβαντος, ἐγέννησε Μίνωα τὸν δεύτερον, ὅν τινες Διὸς υἱὸν ἀναγράφουσιν. οὗτος πρῶτος Ἑλλήνων ναυτικὴν δύναμιν ἀξιόλογον συστησάμενος ἐθαλαττοκράτησε. γήμας δὲ Πασιφάην τὴν Ἡλίου καὶ Κρήτης ἐγέννησε Δευκαλίωνα καὶ Κατρέα καὶ Ἀνδρόγεων καὶ Ἀριάδνην, καὶ ἕτερα τέκνα ἔσχε πλείονα νόθα. τῶν δὲ Μίνωος υἱῶν Ἀνδρόγεως μὲν εἰς τὰς Ἀθήνας κατήντησε Παναθηναίων συντελουμένων Αἰγέως βασιλεύοντος· ἐν δὲ τοῖς ἀγῶσι νικήσας τοὺς ἀθλητὰς ἅπαντας συνήθης ἐγένετο τοῖς Πάλλαντος παισίν. ἐνταῦθ' ὁ μὲν Αἰγεὺς ὑποπτεύσας τὴν Ἀνδρόγεω φιλίαν, μήποθ' ὁ Μίνως βοηθήσας τοῖς υἱοῖς τοῦ Πάλλαντος ἀφέληται τὴν ἀρχήν, ἐπεβούλευσε τῷ Ἀνδρόγεῳ. βαδίζοντος οὖν αὐτοῦ εἰς τὰς Θήβας ἐπί τινα θεωρίαν ἐδολοφόνησεν αὐτὸν διά
τινων ἐγχωρίων περὶ Οἰνόην τῆς Ἀττικῆς. Μίνως δὲ 61
πυθόμενος τὴν κατὰ τὸν υἱὸν συμφοράν, ἧκεν εἰς τὰς Ἀθήνας δίκας αἰτῶν τοῦ Ἀνδρόγεω φόνου. οὐδενὸς δ' αὐτῷ προςέχοντος, πρὸς μὲν Ἀθηναίους συνεστήσατο

24. γένηται post σύμπασα ponunt CDE  Τέκταμος] Τεύταμος FGQ  27. Κρηθέως] Κριθέως G, Κρητὸς R. Rochettus (*histoire de l'établissement des colonies Grecques* vol. II. p. 73.): *sumpta Crete in uxorem filium Asterium creavit* Poggius  28. ἐν τῇ] ἐν CDE  29. καὶ om. A  διακομίσας] αὐτὴν addit A  35. ἐνομοθέτησε] ἐνομοθέτη F  41. ἐθαλαττοκράτησε] ἐθαλασσοκράτησε omnes  42. Κατρέα ABC(D)EGQ, *Cratcum* Poggius, caeteri Ἀστρέα  44. νόθα servarunt ABD Poggius  45. συντελουμένων] τελουμένων A  49. μή ποθ' ABD, *ne quando* Poggius, caeteri μήπως  50. τῷ Ἀνδρόγεῳ] τὸν Ἀνδρόγεων A  51. βαδίζ.] καὶ βαδίζ. D  55. δίκας αἰτῶν — φόνου] δικάσαι τὸν — φόνον CE  57. συνεστ. πόλεμον] invertit D

πόλεμον, ἀρὰς δὲ ἐποιήσατο τῷ Διὶ γενέσθαι κατὰ τὴν πόλιν τῶν Ἀθηναίων αὐχμὸν καὶ λιμόν. ταχὺ δὲ περὶ τὴν Ἀττικὴν καὶ τὴν Ἑλλάδα γενομένων αὐχμῶν, καὶ 305 φθαρέντων τῶν καρπῶν, συνελθόντες οἱ τῶν πόλεων ἡγεμόνες ἐπηρώτησαν τὸν θεὸν πῶς ἂν δύναιντο τῶν κακῶν ἀπαλλαγῆναι. ὁ δ' ἔχρησεν ἐλθεῖν αὐτοὺς πρὸς Αἰακὸν τὸν Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ θυγατρός, καὶ κελεύειν ὑπὲρ αὐτῶν εὐχὰς ποιήσασθαι. ὧν πραξάντων τὸ προςταχθέν, ὁ μὲν Αἰακὸς ἐπετέλεσε τὰς εὐχάς, καὶ ὁ αὐχμὸς παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν ἐπαύσατο, παρὰ δὲ τοῖς Ἀθηναίοις μόνοις διέμεινεν· οὗ δὴ χάριν ἠναγκάσθησαν οἱ Ἀθηναῖοι τὸν θεὸν ἐπερωτῆσαι περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς. εἶθ' ὁ μὲν θεὸς ἔχρησεν, ἐὰν τοῦ Ἀνδρόγεω φόνου τῷ Μίνῳ δίκας δῶσιν ἃς ἂν ἐκεῖνος δικάσῃ· ὑπακουσάντων δὲ τῷ θεῷ τῶν Ἀθηναίων, προςέταξεν αὐτοῖς ὁ Μίνως διδόναι κόρους ἑπτὰ καὶ τὰς ἴσας κόρας δι' ἐτῶν ἐννέα βορὰν τῷ Μινωταύρῳ ὅσον ἂν χρόνον ζῇ τὸ τέρας. δόντων δ' αὐτῶν, ἀπηλλάγησαν τῶν κακῶν οἱ κατὰ τὴν Ἀττικήν, καὶ ὁ Μίνως πολεμῶν ἐπαύσατο τὰς Ἀθήνας. διελθόντων δὲ ἐτῶν ἐννέα πάλιν ὁ Μίνως ἦλθεν εἰς τὴν Ἀττικὴν μετὰ μεγάλου στόλου, καὶ τοὺς δὶς ἑπτὰ κόρους ἀπαιτήσας ἔλαβε. μελλόντων δ' ἐκπλεῖν τῶν περὶ τὸν Θησέα ὁ Αἰγεὺς συνέθετο πρὸς τὸν κυβερνήτην καὶ προςέταξεν αὐτῷ, ἐὰν μὲν ὁ Θησεὺς νικήσῃ τὸν Μινώταυρον, καταπλεῖν αὐτοὺς λευκοῖς ἱστίοις, ἐὰν δὲ ἀπόληται, μέλασι, καθάπερ καὶ πρότερον ποιεῖν εἰώθεισαν. καταπλευσάντων δὲ αὐτῶν εἰς Κρήτην Ἀριάδνη μὲν ἡ θυγάτηρ τοῦ Μίνωος ἠράσθη τοῦ Θησέως εὐπρεπείᾳ διαφέροντος· Θησεὺς δ' εἰς λόγους ἐλθὼν αὐτῇ, καὶ ταύτην συνεργὸν λαβών, τόν τε Μινώταυρον ἀπέκτεινε καὶ τὴν ἔξοδον τὴν τοῦ

58. λιμὸν] λιμὴν F 59. Ἀττικὴν καὶ τὴν om. F, asterisco notavit Stephanus
305. 60. πόλεων] πολεμίων AB 61. δύναιντο ABC(D)EQ, caeteri δύνωνται 62. τῶν κακῶν Reiskius: libri κακῶν: *haec mala* Poggius αὐτοὺς] αὐτὸν A 64. εὐχὰς] εὐχὴν FG 65. ἐπετέλεσε] ἐτέλεσε A, ἐκτελέσαι B 67. διέμεινεν] διέμενεν D 70. Μίνῳ AD, caeteri Μίνωι 73. κόρους ABQV, caeteri κούρους ἐννέα A(D), caeteri ἑπτά: *singulis annis* Poggius 74. Μινωταύρῳ] Μινοταύρῳ D ὅσον AD, caeteri εἰς ὅσον 77. ἐτῶν ἐννέα A(D), τῶν ἐννέα B, caeteri ἐτῶν ἑπτὰ vel ζ' 78. δὶς ἑπτὰ om. FGM 79. κόρους ABEG, caeteri κούρους 81. καὶ προςέταξεν αὐτῷ et Schaefero et mihi suspecta sunt 82. Μινώταυρον] Μινόταυρον D αὐτοὺς λευκοῖς ἱστίοις] αὐτῶν λευκῶν ἱστίων FG 83. ἀπόληται] ἀπόλλοιτο B, ἀπόλλυται D, φθαρῇ A 84. εἰώθεισαν] εἰς Ἰωνίαν A Poggius 87. ἐλθὼν] ἐλθεῖν F et correctus in marg. G



λαβυρίνθου παρ' αὐτῆς μαθὼν διεσώθη. ἀνακομιζόμενος δ' εἰς τὴν πατρίδα καὶ κλέψας τὴν Ἀριάδνην ἔλαθεν ἐκπλεύσας νυκτός, καὶ κατῆρεν εἰς νῆσον τὴν ποτὲ μὲν Δίαν νῦν δὲ Νάξον προςαγορευομένην. καθ' ὃν δὴ χρόνον μυθολογοῦσι Διόνυσον ἐπιφανέντα, καὶ διὰ τὸ κάλλος τῆς Ἀριάδνης ἀφελόμενον τοῦ Θησέως τὴν παρθένον, ἔχειν αὐτὴν ὡς γυναῖκα γαμετὴν ἀγαπωμένην διαφερόντως. μετὰ γοῦν τὴν τελευτὴν αὐτῆς διὰ τὴν φιλοστοργίαν ἀθανάτων καταξιῶσαι τιμῶν, καταστερίσαντα τὸν ἐν οὐρανῷ στέφανον Ἀριάδνης. τοὺς δὲ περὶ τὸν Θησέα φασὶ διὰ τὴν ἁρπαγὴν τῆς κόρης δυςφοροῦντας ἰσχυρῶς, καὶ διὰ τὴν λύπην ἐπιλαθομένους τῆς Αἰγέως παραγγελίας, τοῖς μέλασιν ἱστίοις καταπλεῖν εἰς 306 τὴν Ἀττικήν. Αἰγέα δὲ θεασάμενον τὸν κατάπλουν, καὶ δόξαντα τεθνηκέναι τὸν υἱόν, ἡρωικὴν ἅμα πρᾶξιν καὶ συμφορὰν ἐπιτελέσασθαι· ἀναβάντα γὰρ εἰς τὴν ἀκρόπολιν, καὶ διὰ τὴν ὑπερβολὴν τῆς λύπης προςκόψαντα τῷ ζῆν, ἑαυτὸν κατακρημνίσαι. μετὰ δὲ τὴν Αἰγέως τελευτὴν Θησεὺς διαδεξάμενος τὴν βασιλείαν ἦρχε τοῦ πλήθους νομίμως καὶ πολλὰ πρὸς αὔξησιν τῆς πατρίδος ἔπραξεν. ἐπιφανέστατον δὲ συνετελέσθη τὸ τοὺς δήμους, ὄντας μικροὺς μὲν τοῖς μεγέθεσι πολλοὺς δὲ τὸν ἀριθμόν, μεταγαγεῖν εἰς τὰς Ἀθήνας. ἀπὸ γὰρ τούτων τῶν χρόνων Ἀθηναῖοι διὰ τὸ βάρος τῆς πόλεως φρονήματος ἐνεπίμπλαντο καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ὠρέχθησαν. ἡμεῖς δὲ περὶ τούτων ἀρκούντως διεληλυθότες τὰ λειπόμενα τῶν περὶ Θησέα γενομένων ἀναγράψομεν.

Δευκαλίων ὁ πρεσβύτατος τῶν Μίνωος παίδων δυ- 62
ναστεύων τῆς Κρήτης, καὶ ποιησάμενος πρὸς Ἀθηναίους συμμαχίαν, συνῴκισε τὴν ἰδίαν ἀδελφὴν Φαίδραν Θησεῖ. ὃς μετὰ τὸν γάμον Ἱππόλυτον μὲν τὸν ἐκ τῆς Ἀμαζονίδος γενόμενον υἱὸν ἔπεμψεν εἰς Τροιζῆνα τρέφεσθαι παρὰ τοῖς Αἴθρας ἀδελφοῖς, ἐκ δὲ Φαίδρας Ἀκάμαντα καὶ Δημοφῶντα ἐγέννησε. μικρὸν δ' ὕστερον Ἱππολύτου ἐπανελθόντος εἰς τὰς Ἀθήνας πρὸς τὰ μυστήρια, Φαίδρα διὰ τὸ κάλλος ἐρασθεῖσα αὐτοῦ τότε μὲν ἀπελθόντος εἰς Τροιζῆνα ἱδρύσατο ἱερὸν Ἀφροδίτης παρὰ τὴν

95. ἔχειν] ἔσχεν FG 98. καταστερίσαντα] καταστορίσαντα C 1. τῆς] τὰς A
306. 3. δόξαντα] δόξαν B 13. ἐνεπίμπλαντο] ἐνεπίπλατο A, ἐνεπίμπλανται F 20. ὃς μετὰ] μετὰ δὲ AD ἐκ om. D 21. υἱὸν om. F, asterisco notavit Stephanus Τροιζῆνα] Τροίζηνα D 22. τοῖς — ἀδελφοῖς AC(D)E, caeteri τῆς — ἀδελφῆς 26. ἀπελθόντος εἰς Τροιζῆνα (Τροίζηνα D) ABD, caeteri ἀπελθόντος

ἀκρόπολιν, ὅθεν ἦν καθορᾶν τὴν Τροιζῆνα, ὕστερον δὲ παρὰ τῷ Πιτθεῖ μετὰ Θησέως καταλύσασα ἠξίου τὸν Ἱππόλυτον μιγῆναι αὐτῇ. ἀντειπόντος δ' ἐκείνου φασὶ τὴν Φαίδραν ἀγανακτῆσαι, καὶ ἐπανελθοῦσαν εἰς τὰς Ἀθήνας εἰπεῖν τῷ Θησεῖ διότι ἐπεβάλετο Ἱππόλυτος αὐτῇ μιγῆναι. Θησέως δὲ διστάζοντος περὶ τῆς διαβολῆς, καὶ τὸν Ἱππόλυτον μεταπεμπομένου πρὸς τὸν ἔλεγχον, Φαίδρα μὲν φοβηθεῖσα τὸν ἐξετασμὸν ἀνεκρέμασεν ἑαυτήν, Ἱππόλυτος δὲ ἁρματηλατῶν, ὡς ἤκουσε τὰ περὶ τῆς διαβολῆς, συνεχύθη τὴν ψυχήν, καὶ διὰ τοῦτο τῶν ἵππων ταραχθέντων καὶ ἐπισπασαμένων αὐτὸν ταῖς ἡνίαις, συνέβη τὸν μὲν δίφρον συντριβῆναι, τὸ δὲ μειράκιον ἐμπλακὲν τοῖς ἱμᾶσιν ἑλκυσθῆναι καὶ τελευτῆσαι. Ἱππόλυτος μὲν οὖν διὰ σωφροσύνην τὸν βίον καταστρέψας, παρὰ τοῖς Τροιζηνίοις ἔτυχεν ἰσοθέων τιμῶν, Θησεὺς δὲ μετὰ ταῦτα καταστασιασθεὶς καὶ φυγὼν ἐκ τῆς πατρίδος ἐπὶ τῆς ξένης ἐτελεύτησεν. οἱ δὲ Ἀθηναῖοι μεταμεληθέντες τά τε ὀστᾶ μετήνεγκαν καὶ τιμαῖς ἰσοθέοις ἐτίμησαν αὐτόν, καὶ τέμενος ἄσυλον ἐποίησαν ἐν ταῖς Ἀθήναις τὸ προσαγορευόμενον ἀπ' ἐκείνου Θησεῖον.

63 Ἡμεῖς δ' ἐπεὶ τὸν περὶ Θησέως λόγον ἀποδεδώκαμεν, 307 ἐν μέρει διέξιμεν περί τε τῆς κατὰ τὴν Ἑλένην ἁρπαγῆς καὶ τῆς μνηστείας Περσεφόνης ὑπὸ Πειρίθου· αὗται γὰρ αἱ πράξεις συμπεπλεγμέναι ταῖς Θησέως εἰσί. Πειρίθους γὰρ ὁ Ἰξίονος, ἀποθανούσης αὐτοῦ τῆς γυναικὸς Ἱπποδαμείας καὶ καταλιπούσης υἱὸν Πολυποίτην, παρῆλθεν εἰς τὰς Ἀθήνας πρὸς Θησέα. καταλαβὼν δὲ τετελευτηκυῖαν τὴν γυναῖκα τοῦ Θησέως Φαίδραν ἔπεισεν αὐτὸν ἁρπάσαι τὴν Λήδας καὶ Διὸς Ἑλένην, δεκαέτη μὲν τὴν ἡλικίαν ἔχουσαν, εὐπρεπείᾳ δὲ πασῶν διαφέρουσαν. παραγενόμενοι δ' εἰς Λακεδαίμονα μετὰ πλειόνων, καὶ καιρὸν εὔθετον λαβόντες, ἥρπασαν τὴν Ἑλένην κοινῇ καὶ ἀπήγαγον εἰς τὰς Ἀθήνας. ἔπειτα πρὸς ἀλλήλους ὁμολογίας ἔθεντο διακληρώσασθαι, καὶ τὸν μὲν λαχόντα γῆμαι τὴν Ἑλένην, τῷ δ' ἑτέρῳ συμπρᾶξαι περὶ ἑτέρας

28. Θησέως] τοῦ Θησέως AD 34. Φαίδρα (Φαῖδρα D) — φοβηθεῖσα — ἀνεκρέμασεν] Φαίδραν — φοβηθεῖσαν — ἀνακρεμάσαι G 37. συνεχύθη] συνεχύθει F 38. ἐπισπασαμένων] ἐπισπαμένων A 40. ἐμπλακὲν] ἐμπλεκὲν D 42. τοῖς om. AD 45. ὀστᾶ] ὀστέα ABD 49. τὸν περὶ] περὶ τὸν D ἀποδεδώκαμεν] ἀπεδώκαμεν AB

307. 50. διέξιμεν] διέξειμεν D 51. Περσεφόνης] Φερσεφόνης et hic et postea D Πειρίθου] Perithoum constanter ponit Poggius 52. ταῖς om. F 54. καταλιπ.] καταλειπ. C 58. δεκαέτη] δεκαετῆ omnes 64. τῷ δ' ἑτέρῳ Reiskius et vertit Poggius: libri τὸν δ' ἕτερον (ὕστερον AB)



γυναικὸς ὑπομένοντα πάντα κίνδυνον. περὶ δὲ τούτων δόντες ἀλλήλοις ὅρκους ἔλαχον, καὶ συνέβη τῷ κλήρῳ λαχεῖν Θησέα. οὗτος μὲν οὖν κύριος κατέστη τῆς παρθένου τὸν τρόπον τοῦτον· τῶν δ' Ἀθηναίων ἀγανακτούντων ἐπὶ τῷ γεγονότι, φοβηθεὶς ὁ Θησεὺς ὑπεξέθετο τὴν Ἑλένην εἰς Ἄφιδναν, μίαν τῶν Ἀττικῶν πόλεων. παρακατέστησε δ' αὐτῇ τὴν μητέρα Αἴθραν καὶ τῶν ἄλλων φίλων τοὺς ἀρίστους, φύλακας τῆς παρθένου. Πειρίθου δὲ κρίναντος μνηστεῦσαι Περσεφόνην καὶ παρακαλοῦντος συναποδημῆσαι, τὸ μὲν πρῶτον ὁ Θησεὺς μετέπειθεν αὐτὸν ἀποτρέπων τῆς πράξεως διὰ τὴν ἀσέβειαν· τοῦ δὲ Πειρίθου βιαζομένου συνηναγκάσθη διὰ τοὺς ὅρκους ὁ Θησεὺς μετασχεῖν τῆς πράξεως. καὶ πέρας καταβάντων αὐτῶν εἰς τοὺς καθ' Ἅιδου τόπους, συνέβη διὰ τὴν ἀσέβειαν ἀμφοτέρους δεθῆναι, καὶ Θησέα μὲν ὕστερον διὰ τὴν Ἡρακλέους χάριν ἀπολυθῆναι, Πειρίθουν δὲ διὰ τὴν ἀσέβειαν ἐν Ἅιδου διατελεῖν τιμωρίας αἰωνίου τυγχάνοντα· ἔνιοι δὲ τῶν μυθογράφων φασὶν ἀμφοτέρους μὴ τυχεῖν τοῦ νόστου. καθ' ὃν δὴ χρόνον λέγουσι τοὺς ἀδελφοὺς τῆς Ἑλένης Διοσκούρους στρατεύσαντας ἐπὶ τὴν Ἄφιδναν καὶ τὴν πόλιν ἑλόντας ταύτην μὲν κατασκάψαι, τὴν δ' Ἑλένην ἀπαγαγεῖν εἰς Λακεδαίμονα παρθένον οὖσαν, καὶ μετ' αὐτῆς δούλην τὴν μητέρα Θησέως Αἴθραν.

64 Ἡμεῖς δὲ περὶ τούτων ἀρκούντως εἰρηκότες τὰ περὶ τῶν ἑπτὰ ἐπὶ Θήβας ἱστορήσομεν, ἀναλαβόντες τὰς ἐξ ἀρχῆς αἰτίας τοῦ πολέμου. Λάϊος ὁ Θηβῶν βασιλεὺς γήμας Ἰοκάστην τὴν Κρέοντος, καὶ χρόνον ἱκανὸν ἄπαις ὤν, ἐπηρώτησε τὸν θεὸν περὶ τέκνων γενέσεως. τῆς δὲ Πυθίας δούσης χρησμὸν αὐτῷ μὴ συμφέρειν γενέσθαι τέκνα· τὸν γὰρ ἐξ αὐτοῦ τεκνωθέντα παῖδα πατροκτό- 308 νον ἔσεσθαι καὶ πᾶσαν τὴν οἰκίαν πληρώσειν μεγάλων ἀτυχημάτων· ἐπιλαθόμενος τοῦ χρησμοῦ καὶ γεννήσας

66. ἀλλήλοις] ἀλλήλους F 67. οὗτος ABD, caeteri αὐτὸς 68. δ' C(D)E, caeteri δ' οὖν 70. Ἄφιδναν] ἀφιδναν D, Ἀφίδραν G correctus in marg., Aphidriam Poggius, caeteri Ἀφίδναν 71. Αἴθραν] Αἶθραν D: φύλακα τῆς παρθένου addit A 72. ἀρίστους om. F φύλακας BC(D)EMQ, caeteri σωματοφύλακας, quod cum sequenti τῆς παρθένου omisit A 75. αὐτὸν post πράξεως ponit D ἀποτρέπων] ἀποτρέπειν F 78. καταβάντων] καταλαβόντων FG Ἅιδου] Ἅιδην ABD 83. ἀμφ. μὴ τυχεῖν ACDE, caeteri μὴ τυχεῖν ἀμφ.: ambos redisse Poggius

85. Ἄφιδναν D, caeteri Ἀφίδναν 87. μετ' αὐτῆς AD, caeteri μετὰ ταύτης 88. μητέρα om. AD Αἴθραν] Αἶθραν D 89. εἰρηκότες — 90. Θήβας om. A

308. 98. καὶ γεννήσας υἱὸν ABC(D)EQ, caeteri ἐγέννησεν υἱὸν καὶ

υἱόν, ἐξέθηκε τὸ βρέφος διαπερονήσας αὐτοῦ τὰ σφυρὰ
100 σιδήρῳ· δι' ἣν αἰτίαν Οἰδίπους ὕστερον ὠνομάσθη. οἱ δ' οἰκέται λαβόντες τὸ παιδίον ἐκθεῖναι μὲν οὐκ ἠθέλησαν, ἐδωρήσαντο δὲ τῇ Πολύβου γυναικί, οὐ δυναμένῃ γεννῆσαι παῖδας. μετὰ δὲ ταῦτα ἀνδρωθέντος τοῦ παιδός, ὁ μὲν Λάϊος ἔκρινεν ἐπερωτῆσαι τὸν θεὸν περὶ τοῦ βρέφους τοῦ ἐκτεθέντος, ὁ δὲ Οἰδίπους μαθὼν παρά τινος τὴν καθ' ἑαυτὸν ὑποβολήν, ἐπεχείρησεν ἐπερωτῆσαι τὴν Πυθίαν περὶ τῶν κατ' ἀλήθειαν γονέων. κατὰ δὲ τὴν Φωκίδα τούτων ἀλλήλοις ἀπαντησάντων, ὁ μὲν Λάϊος ὑπερηφάνως ἐκχωρεῖν τῆς ὁδοῦ προςέταττεν, ὁ δ' Οἰδίπους ὀργισθεὶς ἀπέκτεινε τὸν Λάϊον, ἀγνοῶν ὅτι πατὴρ ἦν αὐτοῦ. καθ' ὃν δὴ χρόνον μυθολογοῦσι σφίγγα, δίμορφον θηρίον, παραγενομένην εἰς τὰς Θήβας αἴνιγμα προτιθέναι τῷ δυναμένῳ λῦσαι, καὶ πολλοὺς ὑπ' αὐτῆς δι' ἀπορίαν ἀναιρεῖσθαι. προτιθεμένου δὲ ἐπάθλου φιλανθρώπου τῷ λύσαντι γαμεῖν τὴν Ἰοκάστην καὶ βασιλεύειν τῶν Θηβῶν, ἄλλον μὲν μηδένα δύνασθαι γνῶναι τὸ προτεθειμένον, μόνον δὲ Οἰδίπουν λῦσαι τὸ αἴνιγμα. ἦν δὲ τὸ προτεθὲν ὑπὸ τῆς σφιγγός, τί ἐστι τὸ αὐτὸ δίπουν τρίπουν καὶ τετράπουν. ἀπορουμένων δὲ τῶν ἄλλων ὁ Οἰδίπους ἀπεφήνατο ἄνθρωπον εἶναι τὸ προβληθέν· νήπιον μὲν γὰρ αὐτὸν ὑπάρχοντα τετράπουν εἶναι, αὐξήσαντα δὲ δίπουν, γηράσαντα δὲ τρίπουν, βακτηρίᾳ χρώμενον διὰ τὴν ἀσθένειαν. ἐνταῦθα τὴν μὲν σφίγγα κατὰ τὸν μυθολογούμενον χρησμὸν ἑαυτὴν κατακρημνίσαι, τὸν δὲ Οἰδίπουν γήμαντα τὴν ἀγνοουμένην ὑφ' ἑαυτοῦ μητέρα γεννῆσαι δύο μὲν υἱοὺς Ἐτεοκλέα καὶ Πολυνείκην, δύο δὲ θυγατέρας Ἀντιγόνην καὶ Ἰσμήνην.

65 τῶν δ' υἱῶν ἀνδρωθέντων, καὶ τῶν περὶ τὴν οἰκίαν ἀσεβημάτων γνωσθέντων, τὸν μὲν Οἰδίπουν ὑπὸ τῶν υἱῶν ἔνδον μένειν ἀναγκασθῆναι διὰ τὴν αἰσχύνην, τοὺς δὲ νεανίσκους παραλαβόντας τὴν ἀρχὴν ὁμολογίας θέσθαι πρὸς ἀλλήλους παρ' ἐνιαυτὸν ἄρχειν. πρεσβυτέρου δ' ὄντος Ἐτεοκλέους, τοῦτον πρῶτον ἄρξαι, καὶ διελθόντος τοῦ χρόνου μὴ βούλεσθαι παραδιδόναι τὴν βασιλείαν. τὸν δὲ Πολυνείκην κατὰ τὰς ὁμολογίας ἀπαι-

2. οὐ AD, caeteri μὴ 4. ἐπερωτῆσαι] ἐρωτῆσαι A 6. ἑαυτὸν ὑποβολὴν AB(D)E Poggius, ἑαυτοῦ ὑποβολὴν C, caeteri ἑαυτοῦ ἐπιβουλὴν 13. προτιθέναι] προςτιθέναι A 14. ἀναιρεῖσθαι] ἀναιρέσαι F ἐπάθλου omisit D 15. φιλανθρώπου] φιλανθρώπως A 17. προτεθειμένον E, προτεθειμένον — 18. ἦν δὲ om. D, — ἦν δὲ τὸ A, caeteri προτεθέμενον 26. δύο μὲν] μὲν δύο D 27. Πολυνείκην] Πολυνίκην semper C, aliquoties D



τεῖν τὴν ἀρχήν· τοῦ δὲ ἀδελφοῦ μὴ ὑπακούοντος φυγεῖν εἰς Ἄργος πρὸς Ἄδραστον τὸν βασιλέα. καθ' ὃν δὴ χρόνον φασὶ Τυδέα τὸν Οἰνέως ἐν Καλυδῶνι τοὺς ἀνεψιοὺς
309 ἀνελόντα Ἀλκάθουν καὶ Λυκωπέα φυγεῖν ἐκ τῆς Αἰτωλίας εἰς Ἄργος. Ἄδραστον δὲ ἀμφοτέρους φιλοφρόνως ὑποδεξάμενον κατά τι λόγιον συνοικίσαι τὰς θυγατέρας αὐτοῖς, Ἀργείαν μὲν Πολυνείκει, Δηιπύλην δὲ Τυδεῖ. εὐδοκιμούντων δὲ τῶν νεανίσκων καὶ μεγάλης ἀποδοχῆς ὑπὸ τοῦ βασιλέως τυγχανόντων, φασὶ τὸν Ἄδραστον χαριζόμενον αὐτοῖς ἐπαγγείλασθαι κατάξειν ἀμφοτέρους εἰς τὰς πατρίδας. κρίναντος δ' αὐτοῦ πρῶτον καταγαγεῖν τὸν Πολυνείκην, ἄγγελον εἰς τὰς Θήβας ἀποστεῖλαι Τυδέα πρὸς Ἐτεοκλέα περὶ τῆς καθόδου. ἐνταῦθά φασι τὸν μὲν Τυδέα ἐνεδρευθέντα κατὰ τὴν ὁδὸν ὑπὸ τοῦ Ἐτεοκλέους πεντήκοντα ἀνδράσιν ἅπαντας ἀνελεῖν, καὶ παραδόξως εἰς τὸ Ἄργος διασωθῆναι, τὸν δὲ Ἄδραστον πυθόμενον τὰ συμβάντα παρασκευάσασθαι τὰ πρὸς τὴν στρατείαν, πείσαντα μετασχεῖν τοῦ πολέμου Καπανέα τε καὶ Ἱππομέδοντα καὶ Παρθενοπαῖον τὸν Ἀταλάντης τῆς Σχοινέως. τοὺς δὲ περὶ τὸν Πολυνείκην ἐπιβαλέσθαι πείθειν Ἀμφιάραον τὸν μάντιν συστρατεύειν αὐτοῖς ἐπὶ τὰς Θήβας· τοῦ δὲ προγινώσκοντος διὰ τῆς μαντικῆς ὡς ἀπολεῖται συστρατεύσας αὐτοῖς, καὶ διὰ τοῦτο μὴ συγχωροῦντος, Πολυνείκην φασὶ τὸν χρυσοῦν ὅρμον, ὃν Ἀφροδίτην μυθολογοῦσιν Ἁρμονίᾳ δωρήσασθαι, δοῦναι τῇ γυναικὶ τοῦ Ἀμφιαράου, ὅπως τὸν ἄνδρα πείσῃ συμμαχῆσαι. καθ' ὃν δὴ χρόνον Ἀμφιαράου πρὸς Ἄδραστον στασιάζοντος περὶ τῆς βασιλείας, ὁμολογίας θέσθαι πρὸς ἀλλήλους, καθ' ἃς ἐπέτρεπον κρῖναι περὶ τῶν ἀμφισβητουμένων Ἐριφύλην, γυναῖκα μὲν οὖσαν Ἀμφιαράου, ἀδελφὴν δὲ Ἀδράστου. τῆς δὲ τὸ νίκημα περιθείσης Ἀδράστῳ, καὶ περὶ τῆς ἐπὶ Θήβας στρατείας ἀποφηναμένης δεῖν στρατεύειν, ὁ μὲν Ἀμφιάραος δόξας ὑπὸ τῆς γυ-

38. τὸν om. A 40. Ἀλκάθουν] Ἀλκάσουν FG, Ἀλκάνθουν B Λυκωπέα] Λυκωθέα FG Poggius, Λυκωτέα MQ

309. 41. ἀμφοτέρους om. F, asterisco notavit Stephanus 42. φιλ. ὑποδεξ.] invertit D συνοικίσαι] συνοικῆσαι AD 44. Δηιπύλην] Diiphylem Poggius 45. ὑπὸ E, ἀπὸ ABD, caeteri παρὰ 47. κατάξειν] κατάγειν D 49. εἰς τὰς Θήβας servarunt ABD 50. περὶ τῆς καθ. om. EV, asterisco notavit Stephanus 51. τοῦ om. ACD Ἐτεοκλέους] Ἰτεοκλέους D 52. ἅπαντας] ἄνδρας B et omisso ἀνδράσιν D 58. αὐτοῖς — 60. αὐτοῖς om. A 59. διὰ τῆς μ. om. D 62. Ἀφροδίτην AB(D), caeteri Ἀθηνᾶν Ἁρμονίᾳ] τῇ Ἁρμονίᾳ E, Ἑρμιόνῃ margo B Poggius 63. τοῦ] τῇ D, om. F 68. ἀδ. δὲ] δὲ om. A 70. στρατεύειν] στρατεύεσθαι G correctus in marg.

ναικὸς προδεδόσθαι συστρατεῦσαι μὲν ὡμολόγησεν, ἐντολὰς δὲ ἔδωκεν Ἀλκμαίωνι τῷ υἱῷ μετὰ τὴν ἑαυτοῦ τελευτὴν τὴν Ἐριφύλην ἀνελεῖν. οὗτος μὲν οὖν ὕστερον κατὰ τὰς τοῦ πατρὸς ἐντολὰς ἀνεῖλε τὴν μητέρα, καὶ διὰ τὴν συνείδησιν τοῦ μύσους εἰς μανίαν περιέστη. οἱ δὲ περὶ τὸν Ἄδραστον καὶ Πολυνείκην καὶ Τυδέα προσλαβόμενοι τέτταρας ἡγεμόνας, Ἀμφιάραον καὶ Καπανέα καὶ Ἱππομέδοντα ἔτι δὲ Παρθενοπαῖον τὸν Ἀταλάντης τῆς Σχοινέως, ἐστράτευσαν ἐπὶ τὰς Θήβας, ἔχοντες δύναμιν ἀξιόλογον. μετὰ δὲ ταῦτα Ἐτεοκλῆς μὲν καὶ Πολυνείκης ἀλλήλους ἀνεῖλον, Καπανεὺς δὲ βιαζόμενος καὶ διὰ κλίμακος ἐπὶ τὸ τεῖχος ἀναβαίνων ἐτελεύτησεν, Ἀμφιάραος δὲ χανούσης τῆς γῆς ἐμπεσὼν εἰς τὸ χάσμα 310
μετὰ τοῦ ἅρματος ἄφαντος ἐγένετο. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἡγεμόνων ἀπολομένων πλὴν Ἀδράστου, καὶ πολλῶν στρατιωτῶν πεσόντων, οἱ μὲν Θηβαῖοι τὴν ἀναίρεσιν τῶν νεκρῶν οὐ συνεχώρησαν, ὁ δὲ Ἄδραστος καταλιπὼν ἀτάφους τοὺς τετελευτηκότας ἐπανῆλθεν εἰς Ἄργος. ἀτάφων δὲ μενόντων τῶν ὑπὸ τὴν Καδμείαν πεπτωκότων σωμάτων, καὶ μηδενὸς τολμῶντος θάπτειν, Ἀθηναῖοι διαφέροντες τῶν ἄλλων χρηστότητι πάντας τοὺς ὑπὸ τῇ Καδμείᾳ πεπτωκότας ἔθαψαν.

66 Οἱ μὲν οὖν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτον τῆς στρατείας τὸ πέρας ἔσχον. οἱ δὲ τούτων παῖδες, ἐπίγονοι ὀνομασθέντες, τὸν τῶν πατέρων θάνατον ἐπεξιόντες ἔγνωσαν στρατεύειν κοινῇ ἐπὶ τὰς Θήβας· ἔλαβον δὲ χρησμὸν παρ' Ἀπόλλωνος πολεμεῖν τὴν προειρημένην πόλιν στρατηγὸν ἔχοντας Ἀλκμαίωνα τὸν Ἀμφιαράου. ὁ δ' Ἀλκμαίων αἱρεθεὶς ὑπ' αὐτῶν στρατηγὸς ἐπηρώτησε τὸν θεὸν περὶ τῆς ἐπὶ τὰς Θήβας στρατείας καὶ περὶ τῆς Ἐριφύλης τῆς μητρὸς κολάσεως. τοῦ δὲ Ἀπόλλωνος χρήσαντος ἀμφότερα τὰ προειρημένα πρᾶξαι διὰ τὸ μὴ μόνον τὸν χρυσοῦν ὅρμον δέξασθαι κατὰ τῆς ἀπωλείας τοῦ πατρός, ἀλλὰ καὶ πέπλον λαβεῖν αὐτὴν κατὰ τῆς τοῦ υἱοῦ τελευτῆς· Ἀφροδίτης γάρ, ὥς φασι, τὸ παλαιὸν δωρησαμένης Ἁρμονίᾳ τῇ Κάδμου τόν τε ὅρμον καὶ πέπλον, ἀμφότερα ταῦτα προςδέξασθαι τὴν Ἐριφύλην, τὸν μὲν ὅρμον παρὰ Πολυνείκους λαβοῦσαν, τὸν δὲ πέπλον παρὰ τοῦ υἱοῦ τοῦ Πολυνείκους Θερσάνδρου, ὅπως πείσῃ τὸν υἱὸν στρατεύειν ἐπὶ τὰς Θήβας· ὁ δ' οὖν Ἀλκμαίων οὐ μόνον ἀθροίσας ἐξ Ἄργους στρατιώτας ἀλλὰ καὶ ἐκ τῶν πλησίων πόλεων, ἀξιολόγῳ δυνάμει ἐστράτευσεν ἐπὶ τὰς Θήβας. ἀντιταχθέντων δὲ τῶν Θηβαίων ἐγένετο μάχη καρτερά, καθ' ἣν ἐνίκησαν οἱ περὶ τὸν Ἀλκμαίωνα· οἱ δὲ Θηβαῖοι λειφθέντες τῇ μάχῃ καὶ πολλοὺς τῶν πολιτῶν ἀποβαλόντες συνετρίβησαν ταῖς ἐλπίσιν. οὐκ ὄντες δ' ἀξιόμαχοι, σύμβουλον ἔλαβον Τειρεσίαν τὸν μάντιν, ὃς ἐκέλευσε φυγεῖν ἐκ τῆς πόλεως· μόνως γὰρ οὕτω σωθήσεσθαι. οἱ μὲν οὖν Καδμεῖοι κατὰ τὴν τοῦ μάντεως ὑποθήκην ἐξέλιπον τὴν πόλιν,
311 καὶ νυκτὸς συνέφυγον εἴς τι χωρίον τῆς Βοιωτίας ὀνομαζόμενον Τιλφωσσαῖον. ἔπειθ' οἱ μὲν ἐπίγονοι τὴν πόλιν ἑλόντες διήρπασαν, καὶ τῆς Τειρεσίου θυγατρὸς Δάφνης ἐγκρατεῖς γενόμενοι ταύτην μὲν ἀνέθεσαν εἰς Δελφοὺς κατά τινα εὐχὴν ἀκροθίνιον τῷ θεῷ. αὕτη δὲ τὴν μαντικὴν οὐχ ἧττον τοῦ πατρὸς εἰδυῖα, πολὺ μᾶλλον ἐν τοῖς Δελφοῖς διατρίψασα τὴν τέχνην ἐπηύξησε. φύσει δὲ θαυμαστῇ κεχορηγημένη χρησμοὺς ἔγραψε παντοδαποὺς, διαφόρους ταῖς κατασκευαῖς· παρ' ἧς φασι καὶ τὸν ποιητὴν Ὅμηρον πολλὰ τῶν ἐπῶν σφετερισάμενον κοσμῆσαι τὴν ἰδίαν ποίησιν. ἐνθεαζούσης δ' αὐτῆς πολλάκις καὶ χρησμοὺς ἀποφαινομένης, φασὶν ἐπικληθῆναι Σίβυλλαν· 67
τὸ γὰρ ἐνθεάζειν κατὰ γλῶτταν ὑπάρχειν σιβυλλαίνειν. οἱ δ' ἐπίγονοι τὴν στρατείαν ἐπιφανῆ πεποιημένοι μετὰ πολλῶν λαφύρων ἀνέκαμψαν εἰς τὰς πατρίδας. τῶν δὲ Κα-

73. Ἀλκμαίωνι] Ἀλκμεόνι C, i. e. Ἀλκμέωνι  τὴν Ἐ. ἀνελεῖν] ἀνελεῖν τὴν Ἐ. D  78. καὶ Καπανέα C, τε καὶ Καπανέα D, caeteri Καπανέα  82. διὰ ACD, caeteri διὰ τῆς  83. ἐπὶ τὸ τ. ἀναβαίνων] ἀναβ-ίνων ἐπὶ τὸ τ. D

310. 85. ἄφαντος] ἀφανὴς FQ  87. πεσόντων AB(D), caeteri καταπεσόντων  89. καταλιπὼν ABD, caeteri ἀπολιπὼν  91. Καδμείαν] Καδμέαν AB, Καδμίαν D  93. τῇ Καδμείᾳ] τὴν Καδμίαν D  95. τῆς στρατείας om. D, τῆς στρατείας τὸ A  96. ἐπίγονοι] ἐπίγονοι δὲ vel δ' CDE  98. ἔλαβον] λαβόντες ABD  99. παρ'] παρὰ D

14. ἐξ Ἄργους] ἀξιολόγους F et G in marg. correctus  15. πλησίων] πλησίον D, quod malim  ἀξιολόγῳ δυνάμει BC(D)EQ, caeteri ἀξιολόγους δυνάμεις  ἐστράτευσεν] στρατεύειν FG  20. ἔλαβον] τῇ μάχῃ post hoc repetunt ABD  22. μόνως] „haec om. A“ Wess.  οὕτω] οὕτως omnes  24. νυκτὸς] οὔσης addunt ABD  συνέφυγον] ἔφυγον D  τι om. A

311. 25. Τιλφωσσαῖον A semper, (D), Τιλφωσὸν FG, caeteri Τιλφωσαῖον  26. ἑλόντες om. AD  27. μὲν om. E  29. οὐχ (οὐκ ABG) ἧττον τοῦ πατρὸς ABDG, τοῦ πατρὸς οὐκ ἧττον CF, caeteri τοῦ πατρὸς οὐδὲν ἧττον  30. διατρίψασα om. AD  32. χρησμοὺς] καὶ χρησμοὺς D  διαφόρους τ. κ.] διαφόρως τ. κ. ἔχοντας E  35. ἐνθεαζούσης] ἐνθειαζούσης A  36. Σίβυλλαν] Σιβύλλαν omnes  37. ἐνθεάζειν] ἐνθειάζειν A  γλῶτταν D, caeteri γλῶσσαν  ὑπάρχειν] ὑπάρχει BD  σιβυλλαίνειν] σιβύλλαν εἶναι CEGQ Poggius  39. πεποιημένοι] ποιησάμενοι E  40. τὰς om. F

δμείων τῶν συμφυγόντων εἰς τὸ Τιλφωσσαῖον, Τειρεσίας μὲν ἐτελεύτησεν, ὃν θάψαντες λαμπρῶς οἱ Καδμεῖοι τιμαῖς ἰσοθέοις ἐτίμησαν· αὐτοὶ δὲ μεταναστάντες ἐκ τῆς πόλεως ἐπὶ Δωριεῖς ἐστράτευσαν, καὶ μάχῃ νικήσαντες τοὺς ἐγχωρίους ἐκείνους μὲν ἐξέβαλον ἐκ τῶν πατρίδων, αὐτοὶ δ' ἐπί τινας χρόνους κατοικήσαντες, οἱ μὲν ἐν αὐτῇ κατέμειναν, οἱ δ' ἐπανῆλθον εἰς τὰς Θήβας Κρέοντος τοῦ Μενοικέως βασιλεύοντος. οἱ δ' ἐκ τῶν πατρίδων ἐξελαθέντες ὕστερόν τισι χρόνοις κατῆλθον εἰς τὴν Δωρίδα καὶ κατῴκησαν ἐν Ἐρινεῷ καὶ Κυτινίῳ καὶ Βοίῳ.

Πρὸ δὲ τούτων τῶν χρόνων Βοιωτὸς ὁ Ἄρνης καὶ Ποσειδῶνος καταντήσας εἰς τὴν τότε μὲν Αἰολίδα νῦν δὲ Θετταλίαν καλουμένην τοὺς μεθ' ἑαυτοῦ Βοιωτοὺς ὠνόμασε. περὶ δὲ τῶν Αἰολέων τούτων ἀναγκαῖον προςαναδραμόντας τοῖς χρόνοις τὰ κατὰ μέρος ἐκθέσθαι. ἐν τοῖς ἔμπροσθεν χρόνοις τῶν Αἰόλου τοῦ Ἕλληνος τοῦ Δευκαλίωνος υἱῶν οἱ μὲν ἄλλοι κατῴκησαν ἐν τοῖς προειρημένοις τόποις, Μίμας δὲ μείνας ἐβασίλευσε τῆς Αἰολίδος. Μίμαντος δὲ Ἱππότης γενόμενος ἐκ Μελανίππης ἐτέκνωσεν Αἴολον· τούτου δὲ Ἄρνη θυγάτηρ γενομένη Ποσειδῶνι μιγεῖσα ἔγκυος ἐγένετο. Αἴολος δ' ἀπιστῶν εἰ τῷ Ποσειδῶνι ἐμίγη καὶ τῇ φθορᾷ μεμφόμενος, παρέδωκε τὴν Ἄρνην Μεταποντίῳ ξένῳ κατὰ τύχην παρεπιδημοῦντι, [312] προστάξας ἀπάγειν εἰς Μεταπόντιον. τούτου δὲ πράξαντος τὸ προςταχθὲν ἡ Ἄρνη τρεφομένη ἐν Μεταποντίῳ ἐγέννησεν Αἴολον καὶ Βοιωτόν, οὓς ὁ Μεταπόντιος, ἄπαις ὤν, κατά τινα χρησμὸν υἱοποιήσατο. οὗτοι δὲ ἀνδρωθέντες στάσεως γενομένης ἐν τῷ Μεταποντίῳ βίᾳ κατέσχον τὴν βασιλείαν. ὕστερον δὲ τῆς Ἄρνης διενεχθείσης πρὸς Αὐτολύτην τὴν γυναῖκα τοῦ Μεταποντίου, βοηθοῦντες τῇ μητρὶ τὴν Αὐτολύτην ἀνεῖλον. δεινῶς δὲ φέροντος τοῦ Μεταποντίου τὸ συμβεβηκός, πλοῖα παρασκευασάμενοι καὶ τὴν Ἄρνην ἀναλαβόντες ἐξέπλευσαν μετὰ πολλῶν φίλων. Αἴολος μὲν οὖν τὰς ἐν τῷ Τυῤῥηνικῷ πελάγει καλουμένας ἀπ' αὐτοῦ Αἰολίδας νήσους κατέσχε, καὶ πόλιν ἔκτισε τὴν ὀνομαζομένην ἀπ' αὐτοῦ Λιπάραν. Βοιωτὸς δὲ πλεύσας πρὸς Αἴολον τὸν τῆς Ἄρνης πατέρα, καὶ τεκνωθεὶς ὑπ' αὐτοῦ, παρέλαβε τῆς Αἰολίδος τὴν βασιλείαν· καὶ τὴν μὲν χώραν ἀπὸ τῆς μητρὸς Ἄρνην, τοὺς δὲ λαοὺς ἀφ' ἑαυτοῦ Βοιωτοὺς ὠνόμασε. Βοιωτοῦ δὲ Ἴτωνος γενόμενος ἐτέκνωσεν υἱοὺς τέτταρας, Ἱππάλκιμον καὶ Ἠλεκτρύωνα ἔτι δὲ Ἀρχίλυκον καὶ Ἀλεγήνορα. τούτων δ' Ἱππάλκιμος μὲν ἐγέννησε Πηνέλεων, Ἠλεκτρύων δὲ Λήιτον, Ἀλεγήνωρ δὲ Κλονίον, Ἀρχίλυκος δὲ Προθοήνορα καὶ Ἀρκεσίλαον, τοὺς ἐπὶ Τροίαν στρατευσαμένους ἡγεμόνας τῶν ἁπάντων Βοιωτῶν.



68 Τούτων δ' ἡμῖν διευκρινημένων πειρασόμεθα διελθεῖν περὶ Σαλμωνέως καὶ Τυροῦς καὶ τῶν ἀπογόνων ἕως Νέστορος τοῦ στρατεύσαντος ἐπὶ τὴν Τροίαν. Σαλμωνεὺς ἦν υἱὸς Αἰόλου τοῦ Ἕλληνος τοῦ Δευκαλίωνος· οὗτος δ' ἐκ τῆς Αἰολίδος ὁρμηθεὶς μετὰ πλειόνων Αἰολέων ᾤκησε τῆς Ἠλείας παρὰ τὸν Ἀλφειὸν ποταμόν, καὶ πόλιν ἔκτισεν ἀφ' ἑαυτοῦ Σαλμωνίαν. γήμας δὲ Ἀλκιδίκην τὴν Ἀλέου ἐγέννησε θυγατέρα τὴν προςαγορευθεῖσαν Τυρώ, κάλλει διαφέρουσαν. τῆς δὲ γυναικὸς Ἀλκι-

41. Τιλφωσσαῖον] Τιλφώσιον B semper, Poggius, Τιλφώσσιον D, caeteri Τιλφωσαῖον 44. Δωριεῖς] τοὺς Ὀριεῖς A 48. ἐπανῆλθον] παρῆλθον FG τὰς om. M Θήβας] Ἀθήνας B Poggius 49. ἐξελαθέντες] ἐξελασθέντες ABD 51. Ἐρινεῷ] Ἐρινέῳ D Κυτινίῳ καὶ Βοίῳ AB(D), Τινείῳ καὶ Εὐβοίᾳ FGM Poggius (*Timeo*), Κυτινίῳ καὶ Βοιωτοῖς CEQ, Κυτινίῳ καὶ Εὐβοίᾳ caeteri πρὸ ABC(D)EQ, caeteri ἐπὶ 57. τῶν Αἰόλου τοῦ] τῶναιωτοῦ D, τῷ Ναιωτοῦ B, τῷ Δώρῳ τοῦ A 58. υἱῶν] υἱῷ ὢν B, υἱεῖ ὢν D, υἱεῖ πλεῖστοι παῖδες ἐγένοντο A 60. Μίμαντος δὲ] Μίμας δὲ B, ἐκ δὲ Μίμαντος A Μελανίππης] Menalippe Poggio 61. θυγάτηρ γενομένη] invertit D 62. Ποσειδῶνι μιγεῖσα ἔγκυος ἐγένετο καὶ τῇ A, et sic fere Poggius *huius Arnem filiam Neptunus cognovit. Qua de re indignatus pater Metapontio advenae etc.*, unde correxi quod legebatur Βοιωτὸν ἐκ Ποσειδῶνος ἐγέννησεν. Αἴολος δ' ἀπιστῶν εἰ τῷ Ποσειδῶνι ἐμίγη καὶ τῇ 63. τῷ om. D

312. 65. ἀπάγειν ABD, caeteri ἀπαγαγεῖν 67. ἡ Ἄρνη omisit V, asterisco notavit Stephanus ἐν om. A 69. υἱοποιήσατο] υἱοὺς ἐποιήσατο ABD

70. βίᾳ om. F, asterisco notavit Stephanus 72. Αὐτολύτην] Αὐτολίτην FG semper, *Autolipen* Poggius βοηθοῦντες — 74. συμβεβηκὸς om. AD 78. καὶ πόλιν ἔκτισε] deesse hic quae narrantur l. V. c. 7., ante Aeolum eas insulas occupasse ex Italia profectum Liparum, vidit Reinesius 80. τεκνωθεὶς ὑπ' αὐτοῦ ABD, *a quo loco filii nutritus est* Poggius, τεκνώσας G, τεκνῶσαι F, caeteri τεκνωθεὶς 83. τέτταρας D, caeteri τέσσαρας 84. Ἱππάλκιμον] Ἵππαλκμον GQ, Ἱππόδαμον ABD Poggius καὶ Ἠλεκτρύωνα (— νῶνα D) ἔτι δὲ ABCDE, caeteri solum Ἠλεκτρύονα 85. Ἀλεγήνορα] Ἀλεγήρονα EQ, Ἀλλεγήρονα C δ' D, caeteri δὲ Ἱππάλκιμος] Ἵππαλκμος Q et puto G, Ἱππόδαμος ABD Poggius 86. Πηνέλεων] Πηνέλεω D, *Eleum* Poggius Ἀλεγήνωρ] Ἀλεγήρων Q et puto E 87. Κλονίον Wesselingius: libri Κλόνιον Προθοήνορα] Προθήνορα D ex rasura 88. στρατευσαμένους ABCDE, caeteri στρατεύσαντας 92. τὴν Τροίαν] Τροίαν D 93. ἦν] γὰρ ἦν D Αἰόλου τοῦ Ἕλληνος ACD, Αἰόλου F Poggius, caeteri τοῦ Ἕλληνος Αἰόλου 95. ᾤκησε] ᾤκισε AD 96. Σαλμωνίαν] Ἀλμωνίαν AD 98. Τυρὼ] Τυρῶ D

δίκης ἀποθανούσης ἐπέγημε τὴν ὀνομαζομένην Σιδηρώ· αὕτη δὲ χαλεπῶς διετέθη πρὸς τὴν Τυρώ, ὡς ἂν μητρυιά. 313 μετὰ δὲ ταῦτα Σαλμωνεύς, ὑβριστὴς ὢν καὶ ἀσεβής, ὑπὸ μὲν τῶν ὑποτεταγμένων ἐμισήθη, ὑπὸ δὲ Διὸς διὰ τὴν ἀσέβειαν ἐκεραυνώθη. τῇ δὲ Τυροῖ, παρθένῳ κατ' ἐκείνους τοὺς χρόνους οὔσῃ, μιγεὶς Ποσειδῶν παῖδας ἐγέννησε Πελίαν καὶ Νηλέα. ἡ δὲ Τυρὼ συνοικήσασα Κρηθεῖ ἐτέκνωσεν Ἀμυθάονα καὶ Φέρητα καὶ Αἴσονα. Κρηθέως δὲ τελευτήσαντος ἐστασίασαν περὶ τῆς βασιλείας Πελίας τε καὶ Νηλεύς· τούτων δὲ Πελίας μὲν Ἰωλκοῦ καὶ τῶν πλησιοχώρων ἐβασίλευσε, παραλαβὼν δὲ Νηλεὺς Μελάμποδα καὶ Βίαντα τοὺς Ἀμυθάονος καὶ Ἀγλαΐας υἱοὺς καί τινας ἄλλους τῶν Ἀχαιῶν καὶ Φθιωτῶν καὶ τῶν Αἰολέων ἐστράτευσεν εἰς Πελοπόννησον. καὶ Μελάμπους μὲν μάντις ὢν τὰς Ἀργείας γυναῖκας μανείσας διὰ τὴν Διονύσου μῆνιν ἐθεράπευσεν· ἀντὶ δὲ ταύτης τῆς εὐεργεσίας χάριν ἔλαβε παρὰ τοῦ βασιλέως τῶν Ἀργείων Ἀναξαγόρου τοῦ Μεγαπένθους τὰ δύο μέρη τῆς βασιλείας· κατοικήσας δὲ ἐν Ἄργει κοινὴν ἐποιήσατο τὴν βασιλείαν Βίαντι τῷ ἀδελφῷ. γήμας δὲ Ἰφιάνειραν τὴν Μεγαπένθους ἐτέκνωσεν Ἀντιφάτην καὶ Μαντὼ ἔτι δὲ Βίαντα καὶ Προνόην· Ἀντιφάτου δὲ καὶ Ζευξίππης τῆς Ἱπποκόωντος Οἰκλῆς καὶ Ἀμφάλκης ὑπῆρξαν· Οἰκλέους δὲ καὶ Ὑπερμνήστρας τῆς Θεσπίου Ἰφιάνειρα καὶ Πολύβοια καὶ Ἀμφιάραος ἐγένοντο. Μελάμπους μὲν οὖν καὶ Βίας καὶ οἱ ἀπ' ἐκείνων οὕτω τῆς ἐν Ἄργει βασιλείας μετέσχον. Νηλεὺς δὲ μετὰ τῶν συνακολουθησάντων παραγενόμενος εἰς Μεσσήνην πόλιν ἔκτισε Πύλον, δόντων αὐτῷ τῶν ἐγχωρίων. ταύτης δὲ βασιλεύων, καὶ γήμας Χλῶριν τὴν Ἀμφίονος τοῦ Θηβαίου, παῖδας ἐγέννησε δώδεκα, ὧν ἦν πρεσβύτατος μὲν Περι-

100. Σιδηρώ BD, Ἀδηρᾶ FGMQ, caeteri Σιδηροῦν
313. 5. Ποσειδῶν servarunt ABC, D Wesselingii, E Poggius, ante μιγεὶς positum D Bipontinorum  παῖδας ἐγέννησε ABD, caeteri ἐγέννησε  6. ἐτέκνωσεν] ἐτέμνωσεν FG  Ἀμυθάονα] Παμμυθάονα FG  9. πλησιοχώρων EQV, πλησίον χωρίων D, caeteri πλησίον χωρῶν  10. Νηλεὺς servavit A  11. Ἀγλαΐας] Ἀγλαΐας F, caeteri Ἀγλαΐης  12. Φθιωτῶν] οἳ τὴν χώραν τὴν περὶ Λάρισσαν νῦν οἰκοῦσι gl. E  13. Ἀργείας ABD, Argivas Poggius, caeteri ἐν Ἄργει  14. ἐθεράπευσεν] ἐστράτευσεν FG  17. 19. Μεγαπένθους] Μεγαπενθέως FGQ  20. ἐτέκνωσεν ABD, ἐτέκωσαν C, caeteri ἐγέννησεν  Βίαντα] Ἄβαντα Palmerius  22. Οἰκλῆς] Ἰοκλῆς ABDEQ Poggius, caeteri Ὀϊκλῆς  Ἀμφάλκης] Ἀμαλκῆς ABD, Ἀμφιαλκῆς E  Οἰκλέους] Ἰοκλέους ABDEQ, caeteri Ὀϊκλέως  23. Ὑπερμνήστρας] Ὑπερμήστρας Q Poggius  25. τῆς — βασιλείας μετέσχον ABC (D)EQ, caeteri τὴν — βασιλείαν κατέσχον



κλύμενος, νεώτατος δὲ Νέστωρ ὁ ἐπὶ Τροίαν στρατεύσας. περὶ μὲν οὖν τῶν Νέστορος προγόνων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι στοχαζόμενοι τῆς συμμετρίας.

69 Περὶ δὲ τῶν Λαπιθῶν καὶ Κενταύρων ἐν μέρει διέξιμεν. Ὠκεανοῦ καὶ Τηθύος κατὰ τοὺς μύθους παῖδες ἐγένοντο πλείους ποταμῶν ἐπώνυμοι, ἐν οἷς καὶ 314 Πηνειός, ἀφ' οὗ συνέβη τὸν ἐν Θετταλίᾳ Πηνειὸν ὀνομασθῆναι. οὗτος δὲ μιγεὶς νύμφῃ τῇ προσαγορευομένῃ Κρεούσῃ παῖδας ἐγέννησεν Ὑψέα καὶ Στίλβην, ᾗ μιγεὶς Ἀπόλλων Λαπίθην καὶ Κένταυρον ἐγέννησε. καὶ τούτων Λαπίθης μὲν κατοικῶν περὶ τὸν Πηνειὸν ποταμὸν ἐβασίλευσε τῶν τόπων τούτων· γήμας δὲ Ὀρσινόμην τὴν Εὐρυνόμου ἐγέννησεν υἱοὺς δύο, Φόρβαντα καὶ Περίφαντα. οὗτοι μὲν οὖν ἐνταῦθα ἐβασίλευσαν, οἱ δὲ σύμπαντες λαοὶ ἀπὸ Λαπίθου Λαπίθαι προσηγορεύθησαν. τῶν υἱῶν δὲ τῶν Λαπίθου Φόρβας μὲν εἰς Ὤλενον παρῆλθεν, ἐξ ἧς μεταπεμψάμενος αὐτὸν Ἀλέκτωρ ὁ τῆς Ἠλείας βασιλεὺς βοηθόν, φοβούμενος τὴν Πέλοπος δυναστείαν, τῆς ἐν Ἤλιδι βασιλείας μετέδωκεν. ἐκ δὲ Φόρβαντος ὑπῆρξαν υἱοὶ δύο, Αἰγεὺς καὶ Ἄκτωρ, οἱ τὴν Ἠλείων βασιλείαν παραλαβόντες. ὁ δ' ἕτερος τῶν Λαπίθου παίδων Περίφας γήμας Ἀστυάγειαν τὴν Ὑψέως ἐγέννησεν ὀκτὼ παῖδας, ὧν ἦν πρεσβύτατος Ἀντίων, ὃς μιγεὶς Περιμήλᾳ τῇ Ἀμυθάονος ἐγέννησεν Ἰξίονα. οὗτος δ', ὥς φασιν, ὑποσχόμενος ἕδνα πολλὰ δώσειν Ἠϊονεῖ ἔγημε τὴν Ἠϊονέως θυγατέρα Δίαν, ἐξ ἧς ἐγέννησε Πειρίθουν. ἔπειθ' ὁ μὲν Ἰξίων οὐκ ἀπέδωκε τὰ ἕδνα τῇ γυναικί, ὁ δ' Ἠϊονεὺς τὰς ἵππους ἀντὶ τούτων ἠνεχύρασεν. ὁ δ' Ἰξίων τὸν Ἠϊονέα μετεπέμψατο ἐπαγγελλόμενος πάντα ὑπακούσεσθαι, καὶ τὸν Ἠϊονέα παραγενόμενον ἔβαλεν εἰς βόθρον πυρὸς μεστόν. διὰ δὲ τὸ μέ-

34. τῶν om. DM  διέξιμεν] διέξειμεν D
314. 37. ὀνομασθῆναι BD, ὀνομάσαι F, caeteri ὠνομάσθαι  39. Στίλβην] Στιλβύην FGQ Poggius  40. καὶ τούτων om. FGM  42. Ὀρσινόμην τὴν Εὐρυνόμου] Εὐρυνόην τὴν Ἀρσινόου ABD Poggius  47. ὁ om. F: *accersitus ab Alectore Boeotiorum rege* Poggius, cuius liber hic eodem vitio inquinatus erat quod in Βοιωτίαν pro βοήθειαν sustuli p. 569. 28.  48. τὴν] δὲ G  50. Αἰγεὺς] aliis Αὐγέας, monente Siebelisio ad Hellen. p. 275.  52. Ἀστυάγειαν] Ἀστυάγυιαν AD, Ἀστοάγυιαν E  55. Ἰξίονα] Ἠξίονα F  56. Ἠϊονεῖ] Ἠσιονεῖ (Ἴσιον — semper A) libri et hic et postea, nisi quod mox Ἰσιονέως ed. Steph. pro Ἠσιονέως, quod est in ed. Wess. tacente D: correxit Meziriacus ad Ovidium vol. I. p. 151. et alii  57. Δίαν] Δεῖαν D, *eliam* Poggius  59. τὰς] τοὺς EQ  ἠνεχύρασεν A, ἐνεχύρασεν BD, caeteri ἠνεχύρωσε  60. ἐπαγγ. πάντα om. AD  ὑπακούσεσθαι] ἐπακούσεσθαι D

γεθος τῆς παρανομίας μηδένα βούλεσθαι καθᾶραι τὸν φόνον. τέλος δὲ ὑπὸ τοῦ Διὸς κατὰ τοὺς μύθους ἁγνισθείς, ἠράσθη μὲν τῆς Ἥρας καὶ κατετόλμησεν ὑπὲρ συνουσίας λόγους ποιεῖσθαι. ἔπειτα τὸν μὲν Δία εἴδωλον ποιήσαντα τῆς Ἥρας νεφέλην ἐξαποστεῖλαι, τὸν δὲ Ἰξίονα τῇ νεφέλῃ μιγέντα γεννῆσαι τοὺς ὀνομαζομένους Κενταύρους ἀνθρωποφυεῖς. τέλος δὲ μυθολογοῦσι τὸν Ἰξίονα διὰ τὸ μέγεθος τῶν ἡμαρτημένων ὑπὸ Διὸς εἰς τροχὸν ἐνδεθῆναι, καὶ τελευτήσαντα τὴν τιμωρίαν ἔχειν αἰώνιον.

70 τοὺς δὲ Κενταύρους τινὲς μέν φασιν ἐν τῷ Πηλίῳ τραφῆναι ὑπὸ νυμφῶν, ἀνδρωθέντας δὲ καὶ μιγέντας ἵπποις θηλείαις γεννῆσαι τοὺς ὀνομαζομένους διφυεῖς Ἱπποκενταύρους· τινὲς δὲ λέγουσι τοὺς ἐκ Νεφέλης καὶ Ἰξίονος γεννηθέντας Κενταύρους πρώτους ἱππεύειν ἐπιχειρήσαντας Ἱπποκενταύρους ὠνομάσθαι καὶ εἰς πλάσμα μύθου καταταχθῆναι ὡς διφυεῖς ὄντας. φασὶ δὲ τούτους ὡς συγγενεῖς ὑπάρχοντας ἀπαιτῆσαι τὸν Πειρίθουν τὸ μέρος τῆς πατρῴας ἀρχῆς· οὐκ ἀποδιδόντος δὲ τοῦ Πειρίθου [315] πόλεμον ἐξενεγκεῖν πρὸς αὐτόν τε καὶ τοὺς Λαπίθας. ὕστερον δὲ διαλυθέντων αὐτῶν Πειρίθους μὲν γήμας Ἱπποδάμειαν τὴν Βούτου, καὶ καλέσαντος εἰς τοὺς γάμους τόν τε Θησέα καὶ τοὺς Κενταύρους, φασὶ μεθυσθέντας ἐπιβαλέσθαι ταῖς κεκλημέναις γυναιξὶ καὶ βίᾳ μίσγεσθαι· διὰ δὲ τὴν παρανομίαν τόν τε Θησέα καὶ τοὺς Λαπίθας παροξυνθέντας οὐκ ὀλίγους μὲν ἀνελεῖν, τοὺς δὲ λοιποὺς ἐκβαλεῖν ἐκ τῆς πόλεως. διὰ δὲ ταύτην τὴν αἰτίαν τῶν Κενταύρων πανδημεὶ στρατευσάντων ἐπὶ τοὺς Λαπίθας καὶ πολλοὺς ἀνελόντων, τοὺς ὑπολειφθέντας φυγεῖν εἰς Φενεὸν τῆς Ἀρκαδίας, τινὰς δὲ εἰς Μαλέαν ἐκπεσόντας ἐνταῦθα κατοικῆσαι. τοὺς δὲ Κενταύρους μετεωρισθέντας τοῖς προτερήμασι, καὶ ὁρμωμένους ἐκ τῆς Φολόης, λῄζεσθαι τοὺς παριόντας τῶν Ἑλλήνων καὶ πολλοὺς τῶν περιοίκων ἀναιρεῖν.

71 Τούτων δὲ ἡμῖν διευκρινημένων πειρασόμεθα διελ-

63. βούλεσθαι BDFG Poggius, caeteri δύνασθαι    65. τῆς om. F    68. Κενταύρους] ἱπποκενταύρους A    73. ἀνδρωθέντας — μιγέντας] ἀνδρωθέντος — μιγέντος F    74. ὀνομαζομένους] ὀνομασθέντας MQ    78. καταταχθῆναι ABD, caeteri καταχθῆναι
315. 82. Λαπίθας] Λαπίθους F    83. τὴν D, caeteri τοῦ    Βούτου Palmerius: libri Βύστου, omisit Poggius    86. κεκλημ.] κεκλιμ. F    καὶ recte praeteriit Poggius    89. ἐκ servarunt AB(D)E Poggius    90. στρατευσάντων] συστρατευσάντων Q    92. Φενεὸν Eichstadius, Φολόην Ἐνεὸν G, caeteri Φολόην    τινὰς AB(D), caeteri τινὲς    93. ἐκπεσόντας ἐνταῦθα κατοικῆσαι AB(D), caeteri ἐκπεσόντες ἐκεῖ (ἐνταῦθα E) κατῴκησαν    96. περιοίκων] παροίκων E



θεῖν περὶ Ἀσκληπιοῦ καὶ τῶν ἀπογόνων αὐτοῦ. μυθολογοῦσι τοίνυν Ἀσκληπιὸν Ἀπόλλωνος υἱὸν ὑπάρχειν καὶ Κορωνίδος· φύσει δὲ καὶ ἀγχινοίᾳ διενεγκόντα ζηλῶσαι τὴν ἰατρικὴν ἐπιστήμην, καὶ πολλὰ τῶν συντεινόντων πρὸς ὑγίειαν ἀνθρώπων ἐξευρεῖν. ἐπὶ τοσοῦτο δὲ προβῆναι τῇ δόξῃ ὥστε πολλοὺς τῶν ἀπεγνωσμένων ἀῤῥώστων παραδόξως θεραπεύειν, καὶ διὰ τοῦτο πολλοὺς δοκεῖν τῶν τετελευτηκότων ποιεῖν πάλιν ζῶντας. διὸ καὶ τὸν μὲν Ἅιδην μυθολογοῦσιν ἐγκαλοῦντα τῷ Ἀσκληπιῷ κατηγορίαν αὐτοῦ ποιήσασθαι πρὸς τὸν Δία ὡς τῆς ἐπαρχίας αὐτοῦ ταπεινουμένης· ἐλάττους γὰρ ἀεὶ γίνεσθαι τοὺς τετελευτηκότας, θεραπευομένους ὑπὸ τοῦ Ἀσκληπιοῦ. καὶ τὸν μὲν Δία παροξυνθέντα κεραυνῶσαι τὸν Ἀσκληπιὸν καὶ διαφθεῖραι, τὸν δὲ Ἀπόλλωνα διὰ τὴν ἀναίρεσιν τούτου παροξυνθέντα φονεῦσαι τοὺς τὸν κεραυνὸν τῷ Διὶ κατασκευάζοντας Κύκλωπας· ἐπὶ δὲ τῇ τούτων τελευτῇ παροξυνθέντα τὸν Δία προστάξαι τῷ Ἀπόλλωνι θητεῦσαι παρ' ἀνθρώπῳ, καὶ ταύτην τὴν τιμωρίαν λαβεῖν παρ' αὐτοῦ τῶν ἐγκλημάτων. Ἀσκληπιοῦ δέ φασι γενομένους υἱοὺς Μαχάονα καὶ Ποδαλείριον, καὶ τὴν τέχνην ἐκπονήσαντας, ἐπὶ Τροίαν συστρατεῦσαι τοῖς περὶ τὸν Ἀγαμέμνονα· κατὰ δὲ τὸν πόλεμον μεγάλας χρείας αὐτοὺς παρασχέσθαι τοῖς Ἕλλησι θεραπεύοντας ἐμπειρότατα τοὺς τιτρωσκομένους, καὶ διὰ τὰς εὐεργεσίας ταύτας ὑπὸ τῶν Ἑλλήνων μεγάλης τυχεῖν δόξης· [316] ἀτελεῖς δ' αὐτοὺς ἀφεῖναι τῶν κατὰ τὰς μάχας κινδύνων καὶ τῶν ἄλλων λειτουργιῶν διὰ τὴν ὑπερβολὴν τῆς ἐν τῷ θεραπεύειν εὐχρηστίας. περὶ μὲν οὖν Ἀσκληπιοῦ καὶ τῶν υἱῶν αὐτοῦ τοῖς ῥηθεῖσιν ἀρκεσθησόμεθα.

72 Περὶ δὲ τῶν Ἀσωποῦ θυγατέρων καὶ τῶν Αἰακῷ γενομένων υἱῶν νῦν διέξιμεν. Ὠκεανοῦ καὶ Τηθύος κατὰ τοὺς μύθους ἐγένοντο παῖδες ἄλλοι τε πλείους ἐπώνυμοι ποταμῶν, ἐν οἷς ὑπάρξαι Πηνειὸν καὶ Ἀσωπόν. Πηνειὸς μὲν οὖν κατοικήσας περὶ τὴν νῦν οὖσαν Θεττα-

100. Κορωνίδος] Φορωνίδος Eusebius P. E. p. 57.    διενεγκόντα ABD, caeteri διενέγκαντα    2. τοσοῦτο] τοσοῦτον Eusebius    6. Ἅιδην] Ἅδην D, caeteri Ἀΐδην    8. ἀεὶ om. D    9. τοῦ om. D
10. κεραυνῶσαι τὸν Ἀ. καὶ EGQV, caeteri καὶ κεραυνώσαντα τὸν Ἀ.    12. ἀναίρεσιν] αἵρεσιν B    τούτου BCDE, caeteri αὐτοῦ    13. κατασκευάζοντας] κατασκευάσαντας BDE Poggius Eusebius    Κύκλωπας] Κύκλοπας D    16. τὴν τιμωρίαν] aptius τιμωρίαν    20. παρασχέσθαι] παρέχεσθαι BD    21. θεραπεύοντας] θεραπεύοντες B
316. 24. λειτουργιῶν] λειτουργειῶν AF    29. διέξιμεν] διέξειμεν D    30. μύθους om. F    ἄλλοι τε praeteriit Poggius nec fuit p. 313. 35. loco simili

λίαν ἐπώνυμον ἑαυτοῦ τὸν προειρημένον ποταμὸν ἐποίησεν. Ἀσωπὸς δὲ ἐν Φλιοῦντι κατοικήσας ἔγημε Μετώπην τὴν Λάδωνος, ἐξ ἧς ἐγένοντο δύο μὲν υἱοί, Πελασγὸς καὶ Ἰσμηνός, θυγατέρες δὲ δώδεκα, Κόρκυρα καὶ Σαλαμὶς ἔτι δ' Αἴγινα καὶ Πειρήνη καὶ Κλεώνη, πρὸς δὲ ταύταις Θήβη τε καὶ Τάναγρα καὶ Θέσπια καὶ Ἀσωπὶς ἔτι δὲ Σινώπη, πρὸς δὲ ταύταις Οἴνια καὶ Χαλκίς. τούτων δ' Ἰσμηνὸς μὲν εἰς Βοιωτίαν ἐλθὼν κατῴκησε περὶ τὸν ποταμὸν τὸν ἀπ' ἐκείνου τὴν ὁμωνυμίαν λαβόντα. τῶν δὲ θυγατέρων Σινώπη μὲν ὑπὸ Ἀπόλλωνος ἁρπαγεῖσα ἀπηνέχθη πρὸς τοῦτον τὸν τόπον οὗ νῦν ἐστιν ἡ ἀπ' ἐκείνης ὀνομασθεῖσα πόλις Σινώπη· ἐκ δὲ ταύτης καὶ Ἀπόλλωνος γενόμενος υἱὸς Σύρος ἐβασίλευσε τῶν ἀπ' ἐκείνου Σύρων ὀνομασθέντων. Κόρκυρα δὲ ὑπὸ Ποσειδῶνος ἀπηνέχθη εἰς νῆσον τὴν ἀπ' ἐκείνης Κόρκυραν ὀνομασθεῖσαν· ἐκ ταύτης δὲ καὶ Ποσειδῶνος ἐγένετο Φαίαξ, ἀφ' οὗ τοὺς Φαίακας συνέβη τυχεῖν ταύτης τῆς προσηγορίας. Φαίακος δ' ἐγένετο Ἀλκίνοος ὁ τὸν Ὀδυσσέα καταγαγὼν εἰς τὴν Ἰθάκην. Σαλαμὶς δὲ ὑπὸ Ποσειδῶνος ἁρπαγεῖσα ἐκομίσθη εἰς τὴν ἀπ' αὐτῆς νῆσον Σαλαμῖνα προσαγορευθεῖσαν· αὕτη δὲ μιγεῖσα Ποσειδῶνι Κυχρέα ἐγέννησεν, ὃς βασιλεύσας τῆς νήσου ταύτης καὶ γενόμενος ἐπιφανὴς ἀπέκτεινεν ὄφιν ὑπερφυῆ τὸ μέγεθος καὶ λυμαινόμενον τοὺς ἐγχωρίους. Αἴγινα δὲ ἐκ Φλιοῦντος ὑπὸ Διὸς ἁρπαγεῖσα εἰς νῆσον ἀπεκομίσθη τὴν ἀπ' ἐκείνης Αἴγιναν ὀνομασθεῖσαν· ἐν ταύτῃ δὲ Διὶ μιγεῖσα ἐτέκνωσεν Αἰακόν, ὃς ἐβασίλευσε τῆς νήσου. τούτου δ' ἐγένοντο υἱοὶ Πηλεὺς καὶ Τελαμών. τούτων δὲ Πηλεὺς δίσκῳ βαλὼν ἀπέκτεινεν ἀκουσίως Φῶκον ὁμοπάτριον ἀδελφόν, ἐξ ἄλλης δὲ μητρὸς γεγενημένον. διὰ δὲ τὸν φόνον Πηλεὺς ὑπὸ τοῦ πατρὸς φυγαδευθεὶς ἔφυγε τῆς νῦν Θετταλίας καλουμένης εἰς

34. Φλιοῦντι] Φιλοῦντι A  Μετώπην AB(D)FG Poggius, caeteri Μεθώνην  35. ἐγένοντο — 36. θυγατέρες] ἐγέννησεν υἱοὺς δύο Πελασγὸν καὶ Ἰσμηνήν, θυγατέρας FM et excepto Ἰσμηνὴν Poggius  36. Ἰσμηνὸς] Ἰσμῆνος D  Κόρκυρα D, Κορκύρα ACG, — 40. Χαλκὶς om. F Poggius, caeteri Κέρκυρα  Σαλαμὶς] Σαλαμὶν D  37. Πειρήνη] Πειρίνη AD  38. Τάναγρα] Τέναγρα D, Τενάγρα AB, caeteri Τανάγρα  Θέσπια] immo Θέσπεια  39. Ἀσωπὶς D, caeteri Ἄσωπις  Οἴνια] Ὀρνία ABD  43. ἁρπαγεῖσα] ἁρπαχθεῖσα A  πρὸς] εἰς AD  τόπον] πόντον B, ποταμὸν EQV  45. υἱὸς Σύρος ABD, caeteri Σύρος  47. Κόρκυρα D, Κορκύρα AC, et mox iterum, cum Poggio, caeteri Κέρκυρα  48. ὀνομασθεῖσαν] ὀνομαζομένην BD  54. δὲ om. D  Κυχρέα] Κεγχρέα libri: v. ad p. 317. 71.  58. Φλιοῦντος] Φαινοῦντος FG  63. ἐξ — 64. διὰ δὲ] ὃν διὰ AD Poggius



Φθίαν, καὶ καθαρθεὶς ὑπὸ Ἄκτορος τοῦ βασιλέως διε-
317 δέξατο τὴν βασιλείαν, ἄπαιδος ὄντος τοῦ Ἄκτορος. ἐκ δὲ Πηλέως καὶ Θέτιδος γενόμενος Ἀχιλλεὺς ἐστράτευσε μετ' Ἀγαμέμνονος εἰς Τροίαν. Τελαμὼν δὲ φυγὼν ἐξ Αἰγίνης κατήντησεν εἰς Σαλαμῖνα, καὶ γήμας Κυχρέως τοῦ βασιλέως τῶν Σαλαμινίων θυγατέρα Γλαύκην ἐβασίλευσε τῆς νήσου. τῆς δὲ γυναικὸς Γλαύκης ἀποθανούσης ἔγημεν ἐξ Ἀθηνῶν Ἐρίβοιαν τὴν Ἀλκάθου, ἐξ ἧς ἐγέννησεν Αἴαντα τὸν ἐπὶ Τροίαν στρατεύσαντα.

73 Τούτων δ' ἡμῖν διευκρινημένων πειρασόμεθα διελθεῖν περὶ Πέλοπος καὶ Ταντάλου καὶ Οἰνομάου· ἀναγκαῖον δὲ τοῖς χρόνοις προσαναδραμόντας ἡμᾶς ἀπ' ἀρχῆς ἐν κεφαλαίοις ἅπαντα διελθεῖν. κατὰ γὰρ τὴν Πελοπόννησον ἐν πόλει Πίσῃ Ἄρης Ἁρπίνῃ τῇ Ἀσωποῦ θυγατρὶ μιγεὶς ἐγέννησεν Οἰνόμαον. οὗτος δὲ θυγατέρα μονογενῆ γεννήσας ὠνόμασεν Ἱπποδάμειαν. χρηστηριαζομένῳ δὲ αὐτῷ περὶ τῆς τελευτῆς ἔχρησεν ὁ θεὸς τότε τελευτήσειν αὐτὸν ὅταν ἡ θυγάτηρ Ἱπποδάμεια συνοικήσῃ. εὐλαβούμενον οὖν αὐτὸν περὶ τοῦ γάμου τῆς θυγατρὸς κρῖναι ταύτην παρθένον διαφυλάττειν, ὑπολαμβάνοντα μόνως οὕτως ἐκφεύξεσθαι τὸν κίνδυνον. διόπερ πολλῶν μνηστευομένων τὴν κόρην ἆθλον προετίθει τοῖς βουλομένοις αὐτὴν γῆμαι τοιοῦτον· ἔδει τὸν μὲν ἡττηθέντα τελευτῆσαι, τὸν δ' ἐπιτυχόντα γαμεῖν τὴν κόρην. ὑπεστήσατο δὲ ἱπποδρομίαν ἀπὸ τῆς Πίσης μέχρι τοῦ κατὰ Κόρινθον Ἰσθμοῦ πρὸς τὸν βωμὸν τοῦ Ποσειδῶνος· τὴν δ' ἄφεσιν τῶν ἵππων ἐποίησε τοιαύτην· ὁ μὲν Οἰνόμαος ἔθυε κριὸν τῷ Διί, ὁ δὲ μνηστευόμενος ἐξώρμα τέθριππον ἐλαύνων ἅρμα. ἁγισθέντων δὲ τῶν ἱερῶν, τότε ἄρχεσθαι τοῦ δρόμου τὸν Οἰνόμαον, καὶ διώκειν τὸν μνηστῆρα, ἔχοντα δόρυ καὶ ἡνίοχον τὸν Μυρτίλον· εἰ δ' ἐφίκοιτο καταλαβεῖν τὸ διωκόμενον ἅρμα, τύπτειν τῷ δόρατι καὶ διαφθείρειν τὸν μνηστῆρα. τούτῳ δὲ τῷ τρόπῳ τοὺς ἀεὶ μνηστευομένους καταλαμβάνων διὰ τὴν ὀξύτητα τῶν ἵππων πολλοὺς ἀνῄρει. Πέλοψ δὲ ὁ Ταντάλου καταντήσας εἰς Πῖσαν, καὶ θεασάμενος τὴν Ἱππο-

66. καὶ omisit F

317. 71. Κυχρέως] Cychrei Poggius, qui codici suo, ut videtur, usque morigerus v. 54. Cenchreus servarat: libri Κεγχρέως  78. τοῖς χρόνοις] τῶν χρόνων FG  80. Πίσῃ] Πείσῃ D, Πίσει A, Πείσσῃ semper F  Ἁρπίνῃ] Ἀργίνῃ ABD Poggius  87. ὑπολαμβάνοντα ABD, caeteri ὑπολαβόντα  91. ἱπποδρομίαν B(D) EV Poggius, ἵππων δρόμον M, caeteri Ἱπποδάμειαν  Πίσης] Πείσης D  95. ἁγισθέντων] καὶ θυθέντων (sic) addit V  97. Μυρτίλον] libri Μυρτῖλον semper  100. ἀεὶ] αἰεὶ D  2. Πῖσαν] Πεῖσαν D, caeteri Πίσαν

δάμειαν, ἐπεθύμησε τοῦ γάμου· φθείρας δὲ τὸν ἡνίοχον τοῦ Οἰνομάου Μυρτίλον, καὶ λαβὼν συνεργὸν πρὸς τὴν νίκην, ἔφθασε παραγενόμενος ἐπὶ τὸν Ἰσθμὸν πρὸς τὸν τοῦ Ποσειδῶνος βωμόν. ὁ δ' Οἰνόμαος τὸ λόγιον τετελέσθαι νομίζων, καὶ διὰ τὴν λύπην ἀθυμήσας, αὐτὸν ἐκ τοῦ ζῆν μετέστησε. τούτῳ δὲ τῷ τρόπῳ Πέλοψ γήμας τὴν Ἱπποδάμειαν παρέλαβε τὴν ἐν Πίσῃ βασιλείαν, καὶ διὰ τὴν ἀνδρείαν καὶ σύνεσιν ἀεὶ μᾶλλον αὐξόμενος τοὺς πλείστους τῶν κατὰ τὴν Πελοπόννησον οἰκούντων προς- 318 ηγάγετο, καὶ τὴν χώραν ἀφ' ἑαυτοῦ Πελοπόννησον προςηγόρευσεν.

74 Ἐπειδὴ δὲ Πέλοπος ἐμνήσθημεν, ἀναγκαῖόν ἐστι καὶ περὶ τοῦ πατρὸς αὐτοῦ Ταντάλου διελθεῖν, ἵνα μηδὲν τῶν ἀκοῆς ἀξίων παραλείπωμεν. Τάνταλος Διὸς μὲν ἦν υἱός, πλούτῳ δὲ καὶ δόξῃ διαφέρων κατῴκει τῆς Ἀσίας περὶ τὴν νῦν ὀνομαζομένην Παφλαγονίαν. διὰ δὲ τὴν ἀπὸ τοῦ πατρὸς Διὸς εὐγένειαν, ὥς φασι, φίλος ἐγένετο τῶν θεῶν ἐπὶ πλεῖον. ὕστερον δὲ τὴν εὐτυχίαν οὐ φέρων ἀνθρωπίνως, καὶ μετασχὼν κοινῆς τραπέζης καὶ πάσης παῤῥησίας, ἀπήγγελλε τοῖς ἀνθρώποις τὰ παρὰ τοῖς ἀθανάτοις ἀπόῤῥητα. δι' ἣν αἰτίαν καὶ ζῶν ἐκολάσθη καὶ τελευτήσας αἰωνίου κατὰ τοὺς μύθους τιμωρίας ἠξιώθη, καταχθεὶς εἰς τοὺς ἀσεβεῖς. τούτου δ' ἐγένετο Πέλοψ υἱὸς καὶ Νιόβη θυγάτηρ· αὕτη δ' ἐγέννησεν υἱοὺς ἑπτὰ καὶ θυγατέρας τὰς ἴσας, εὐπρεπείᾳ διαφερούσας. ἐπὶ δὲ τῷ πλήθει τῶν τέκνων μέγα φρυαττομένη πλεονάκις ἐκαυχᾶτο, καὶ τῆς Λητοῦς ἑαυτὴν εὐτεκνοτέραν ἀπεφαίνετο, εἶθ' ἡ μὲν Λητὼ κατὰ τοὺς μύθους χολωσαμένη προςέταξε τῷ μὲν Ἀπόλλωνι κατατοξεῦσαι τοὺς υἱοὺς τῆς Νιόβης, τῇ δ' Ἀρτέμιδι τὰς θυγατέρας. τούτων δ' ὑπακουσάντων τῇ μητρὶ καὶ κατὰ τὸν αὐτὸν καιρὸν κατατοξευσάντων τὰ τέκνα τῆς Νιόβης, συνέβη τὴν προειρημένην ὑφ' ἕνα καιρὸν ὀξέως ἅμα εὔτεκνον καὶ ἄτεκνον γενέσθαι. ἐπεὶ δὲ ὁ Τάνταλος μισηθεὶς ὑπὸ τῶν θεῶν ἐξέπεσεν ἐκ τῆς Παφλαγονίας ὑπὸ

6. ἐπὶ] πρὸς ABD πρὸς] ἐπὶ ABD 10. καὶ διὰ τὴν ἀνδρείαν om. D σύνεσιν] συνέσει A 11. ἀεὶ] αἰεὶ D, om. A αὐξόμενος ABDE, caeteri αὐξανόμενος

318. 14. ἐπειδὴ] ἐπεὶ A 16. Διὸς μὲν] libri μὲν Διὸς 18. περὶ om. E, asterisco notavit Stephanus 25. καταχθεὶς] malim κατακταχθεὶς 26. Πέλοψ] Πέλωψ D Νιόβη θυγάτηρ] invertit D 28. εὐπρεπείᾳ διαφερούσας om. AD 29. μέγα] μεγάλα BD 30. εὐτεκνοτέραν] εὐτεκνωτέραν C 34. κατὰ τὸν αὐτὸν καιρὸν om. AD 38. ἐξέπεσεν ἐκ] ἐξέπεσε μὲν ἀπὸ AB, (-σεν) D τῆς Παφλ. ABD, caeteri Παφλ.



Ἴλου τοῦ Τρωός, ἀναγκαῖόν ἐστι καὶ τὰ περὶ τὸν Ἴλον καὶ τοὺς προγόνους αὐτοῦ διελθεῖν.

75 Τῆς Τρῳάδος χώρας πρῶτος ἐβασίλευσε Τεῦκρος, υἱὸς ὢν Σκαμάνδρου τοῦ ποταμοῦ καὶ Ἰδαίας νύμφης, ἀνὴρ ἐπιφανής. καὶ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Τεύκρους προςηγόρευσε. Τεύκρου δ' ἐγένετο θυγάτηρ Βάτεια· ταύτην δὲ Δάρδανος ὁ Διὸς γήμας, καὶ τὴν βασιλείαν διαδεξάμενος, τοὺς μὲν λαοὺς ἀφ' ἑαυτοῦ ὠνόμασε Δαρδάνους, πόλιν δὲ οἰκίσας ἐπὶ θαλάττης ὠνόμασεν ἀφ' ἑαυτοῦ Δάρδανον. τούτου δ' Ἐριχθόνιος υἱὸς γενόμενος εὐδαιμονίᾳ καὶ πλούτῳ πολὺ διήνεγκε· περὶ οὗ καὶ ὁ ποιητὴς Ὅμηρός φησι

ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τριςχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο.

Ἐριχθονίου δ' υἱὸς γενόμενος Τρὼς τοὺς λαοὺς ὠνόμασεν ἀφ' ἑαυτοῦ Τρῶας. τούτου δ' ἐγένοντο τρεῖς υἱοί, Ἶλος, Ἀσσάρακος, Γανυμήδης. Ἶλος μὲν οὖν ᾤκισεν
319 ἐν πεδίῳ πόλιν ἐπιφανεστάτην τῶν ἐν τῇ Τρῳάδι, Ἴλιον ἀφ' ἑαυτοῦ θέμενος τὴν προςηγορίαν. Ἴλου δὲ γενόμενος υἱὸς Λαομέδων Τιθωνὸν καὶ Πρίαμον ἐγέννησεν· ὧν Τιθωνὸς μὲν στρατεύσας εἰς τὰ πρὸς ἕω μέρη τῆς Ἀσίας καὶ διατείνας ἕως Αἰθιοπίας, ἐμυθολογήθη μὲν ἐξ Ἠοῦς τεκνῶσαι Μέμνονα τὸν τοῖς Τρωσὶ βοηθήσαντα καὶ ὑπὸ Ἀχιλλέως ἀναιρεθέντα· Πρίαμος δ' Ἑκάβην γήμας σὺν ἄλλοις πλείοσιν υἱοῖς ἐγέννησεν Ἕκτορα τὸν ἐπισημότατον γενόμενον ἐν τῷ Τρωικῷ πολέμῳ. Ἀσσάρακος δὲ Δαρδάνων βασιλεύσας Κάπυν ἐγέννησεν· ἐξ οὗ τεκνωθεὶς Ἀγχίσης ἐξ Ἀφροδίτης Αἰνείαν ἐγέννησε τὸν ἐπιφανέστατον τῶν Τρώων. Γανυμήδης δὲ τῶν ἁπάντων εὐπρεπείᾳ διαφέρων ὑπὸ τῶν θεῶν ἀνηρπάγη τῷ Διὶ οἰνοχοεῖν.

Τούτων δ' ἡμῖν διευκρινημένων πειρασόμεθα διεξιέναι περὶ Δαιδάλου καὶ Μινωταύρου καὶ τῆς Μίνωος

Ἴλου C(D)E Poggius, Ἰλίου B, caeteri Ὕλλου 39. τὸν Ἴλον καὶ τοὺς προγόνους ABDE, et qui Ὕλλον GQ, τοῦ Ἴλου καὶ τοὺς προγόνους C, caeteri τοῦ Ὕλλου καὶ τῶν προγόνων 43. λαοὺς] ἄλλους C 44. Βάτεια] libri Βατεία 47. οἰκίσας] οἰκήσας AF, ᾠκίσας D θαλάττης D, caeteri θαλάσσης 49. γενόμενος ABC(D)E, caeteri γεγονὼς 52. βουκολέοντο] βουκολέοντε FG 55. ᾤκισεν] ᾤκησεν A

319. 57. τὴν προςηγορίαν] ταύτην προςαγορεύουσιν GM 59. εἰς ABC(D)E, caeteri ἐπὶ 60. ἕως] ἕως τῆς D: mox inutile est μὲν 61. Ἠοῦς] τῆς A, υἱοὺς F, Ida Poggius 64. γενόμενον om. EV, asterisco notavit Stephanus 65. βασιλεύσας BDQ Poggius, caeteri βασιλεὺς 67. Αἰνείαν] Αἰνίαν D ἐγέννησε] ἐτέκνωσε D

76 στρατείας εἰς Σικελίαν ἐπὶ Κώκαλον τὸν βασιλέα. Δαίδαλος ἦν τὸ μὲν γένος Ἀθηναῖος, εἷς τῶν Ἐρεχθειδῶν ὀνομαζόμενος· ἦν γὰρ υἱὸς Μητίονος τοῦ Εὐπαλάμου τοῦ Ἐρεχθέως· φύσει δὲ πολὺ τοὺς ἄλλους ἅπαντας ὑπεραίρων ἐζήλωσε τά τε περὶ τὴν τεκτονικὴν τέχνην καὶ τὴν τῶν ἀγαλμάτων κατασκευὴν καὶ λιθουργίαν. εὑρετὴς δὲ γενόμενος πολλῶν τῶν συνεργούντων εἰς τὴν τέχνην κατεσκεύασεν ἔργα θαυμαζόμενα κατὰ πολλοὺς τόπους τῆς οἰκουμένης. κατὰ δὲ τὴν τῶν ἀγαλμάτων κατασκευὴν τοσοῦτο τῶν ἁπάντων ἀνθρώπων διήνεγκεν ὥςτε τοὺς μεταγενεστέρους μυθολογῆσαι περὶ αὐτοῦ διότι τὰ κατασκευαζόμενα τῶν ἀγαλμάτων ὁμοιότατα τοῖς ἐμψύχοις ὑπάρχειν· βλέπειν τε γὰρ αὐτὰ καὶ περιπατεῖν, καὶ καθόλου τηρεῖν τὴν τοῦ ὅλου σώματος διάθεσιν, ὥςτε δοκεῖν εἶναι τὸ κατασκευασθὲν ἔμψυχον ζῷον. πρῶτος δὲ ὀμματώσας καὶ διαβεβηκότα τὰ σκέλη ποιήσας, ἔτι δὲ τὰς χεῖρας διατεταμένας ποιῶν, εἰκότως ἐθαυμάζετο παρὰ τοῖς ἀνθρώποις· οἱ γὰρ πρὸ τούτου τεχνῖται κατεσκεύαζον τὰ ἀγάλματα τοῖς μὲν ὄμμασι μεμυκότα, τὰς δὲ χεῖρας ἔχοντα καθειμένας καὶ ταῖς πλευραῖς κεκολλημένας. ὁ δ' οὖν Δαίδαλος κατὰ τὴν φιλοτεχνίαν θαυμαζόμενος, ἔφυγεν ἐκ τῆς πατρίδος καταδικασθεὶς ἐπὶ φόνῳ διὰ τοιαύτας αἰτίας. τῆς ἀδελφῆς τοῦ Δαιδάλου γενόμενος υἱὸς Τάλως ἐπαιδεύετο παρὰ Δαιδάλῳ, παῖς ὢν τὴν ἡλικίαν. εὐφυέστερος δ' ὢν τοῦ διδασκάλου τόν τε κεραμευτικὸν τροχὸν εὗρε καὶ σιαγόνι περιτυχὼν ὄφεως, καὶ ταύτῃ ξυλήφιον μικρὸν διαπρίσας, ἐμιμήσατο 320 τὴν τραχύτητα τῶν ὀδόντων. διόπερ κατασκευασάμενος ἐκ σιδήρου πρίονα, καὶ διὰ τούτου πρίζων τὴν ἐν τοῖς ἔργοις ξυλίνην ὕλην, ἔδοξεν εὔχρηστον εὑρηκέναι μέγα πρὸς τὴν τεκτονικὴν τέχνην. ὁμοίως δὲ καὶ τὸν τόρνου

73. ἦν om. AD    Ἐρεχθειδῶν] Ἐρεχθιδῶν D    74. ὀνομαζόμενος] *unus ex his qui Erechthidae dicuntur* (ὀνομαζομένων) Poggius    ἦν γὰρ om. FM    Μητίονος CD, Μητίωνος EQ, Μήτλονος AB, caeteri Ὑμητίωνος    75. Εὐπαλάμου C(D)E, caeteri addunt τοῦ Ἀθηναίου, quae asterisco notavit Stephanus    πολὺ om. FM, asterisco notavit Stephanus    76. ὑπεραίρων AB (D)EGQ, caeteri ὑπερβαίνων    81. τοσοῦτο D, τοσοῦτον A, caeteri τοσούτῳ    τῶν ἀ. om. M    84. ὑπάρχειν] ὑπάρχει BD    90. τεχνῖται] τεχνῆται A    92. καθειμένας] καθημένας ADF    95. καταδικασθεὶς ἐπὶ φόνῳ om. F    τοιαύτας] τοιαύτης B    96. τοῦ] τῆς CE    Τάλως] Ταλὼς D    99. τροχὸν] ὃν ἔχουσιν οἱ ὀστρακοποροὶ (— ποιοὶ Wessel.) gl. E    εὗρε] εὑρεῖν ABD

320. 100. ξυλήφιον AD, caeteri ξυλίφιον    μικρὸν om. EV, asterisco notavit Stephanus, servat etiam Tzetzes Chil. I. 496.    2. πρίζων — 3. ἔδοξεν om. A    3. ξυλίνην] ξυλίνοις FGQ



εὑρὼν καὶ ἕτερά τινα φιλοτεχνήματα, δόξαν ἀπηνέγκατο μεγάλην. ὁ δὲ Δαίδαλος φθονήσας τῷ παιδί, καὶ νομίζων αὐτὸν πολὺ τῇ δόξῃ προέξειν τοῦ διδασκάλου, τὸν παῖδα ἐδολοφόνησε. θάπτων δ' αὐτὸν καὶ περικατάληπτος γενόμενος, ἐπηρωτήθη τίνα θάπτει. καὶ ἔφησεν ὄφιν καταχωννύειν. θαυμάσαι δ' ἄν τις τὸ παράδοξον, ὅτι διὰ τὸ ζῷον ἐξ οὗ τοῦ πρίονος ἐνεθυμήθη τὴν κατασκευήν, διὰ τούτου καὶ τοῦ φόνου τὴν ἐπίγνωσιν συνέβη γενέσθαι. κατηγορηθεὶς δὲ καὶ καταδικασθεὶς ὑπὸ τῶν Ἀρεοπαγιτῶν φόνου, τὸ μὲν πρῶτον ἔφυγεν εἰς ἕνα τῶν κατὰ τὴν Ἀττικὴν δήμων, ἐν ᾧ τοὺς κατοικοῦντας ἀπ' ἐκείνου Δαιδαλίδας ὀνομασθῆναι. μετὰ δὲ ταῦτα δια- 77 δρὰς εἰς τὴν Κρήτην, καὶ διὰ τὴν ἐν τῇ τέχνῃ δόξαν θαυμαζόμενος, φίλος ἐγένετο Μίνωος τοῦ βασιλέως. κατὰ δὲ τὸν παραδεδομένον μῦθον Πασιφάης τῆς Μίνωος γυναικὸς ἐρασθείσης τοῦ ταύρου, μηχάνημα ποιήσας ὡμοιωμένον βοῒ συνήργησε τῇ Πασιφάῃ πρὸς τὴν ἐπιθυμίαν. μυθολογοῦσι γὰρ πρὸ τούτων τῶν χρόνων Μίνωα κατ' ἐνιαυτὸν συνήθως καθιεροῦν τὸν κάλλιστον τῶν γινομένων ταύρων τῷ Ποσειδῶνι, καὶ θύειν τοῦτον τῷ θεῷ. γενομένου δὲ τότε ταύρου κάλλει διαφέροντος, ἕτερον τῶν ἡττόνων ταύρων θῦσαι· τὸν δὲ Ποσειδῶνα μηνίσαντα τῷ Μίνῳ ποιῆσαι τὴν γυναῖκα αὐτοῦ Πασιφάην ἐρασθῆναι τοῦ ταύρου. διὰ δὲ τῆς τούτου φιλοτεχνίας τὴν Πασιφάην μιγεῖσαν τῷ ταύρῳ γεννῆσαι τὸν μυθολογούμενον Μινώταυρον. τοῦτον δέ φασι διφυῆ γεγονέναι, καὶ τὰ μὲν ἀνώτερα μέρη τοῦ σώματος ἄχρι τῶν ὤμων ἔχειν ταύρου, τὰ δὲ λοιπὰ ἀνθρώπου. τῷ δὲ τέρατι τούτῳ πρὸς διατροφὴν λέγεται κατασκευάσαι Δαίδαλον λαβύρινθον, τὰς διεξόδους σκολιὰς ἔχοντα καὶ τοῖς ἀπείροις δυςευρέτους, ἐν ᾧ τρεφόμενον τὸν Μινώταυρον τοὺς ἐξ Ἀθηνῶν ἀποστελλομένους ἑπτὰ κόρους καὶ κόρας ἑπτὰ κατεσθίειν, περὶ ὧν προειρήκαμεν. τὸν οὖν Δαίδαλον πυθόμενον τὴν ἀπειλὴν τοῦ Μίνω διὰ τὴν κατασκευὴν τῆς βοός φασι φοβηθέντα τὴν ὀργὴν τοῦ βασιλέως ἐκ τῆς Κρήτης ἐκπλεῦσαι, συνεργούσης τῆς Πασιφάης καὶ πλοῖον δούσης πρὸς τὸν ἐκ-

7. νομίζων ABDE, caeteri νομίσας    9. ἐπηρωτήθη AB(D)E, caeteri ἐπερωτήθη    11. διὰ om. F: διὰ τοῦ ζῴου Eichstadius    13. κατηγορηθεὶς δὲ καὶ καταδικασθεὶς] καταδικασθεὶς δὲ GQ    15. ἕνα ABD, caeteri τινα    16. ὀνομασθῆναι ABCDE, caeteri προςαγορευθῆναι    18. τὴν Κρήτην] Κρήτην D    22. συνήργησε] συνήργει FM    27. θῦσαι] τότε θῦσαι ABD    28. Μίνῳ FG, caeteri Μίνωι    38. κόρους] κούρους omnes    κόρας ἑπτὰ] κόρας ABCDE    39. προειρήκαμεν] πρῶτον εἰρήκαμεν D    40. Μίνω] Μίνωος BD    τῆς βοὸς] τοῦ Διός A

πλουν. μετὰ δὲ τούτου τὸν υἱὸν Ἴκαρον φυγόντα κατενεχθῆναι πρός τινα νῆσον πελαγίαν, πρὸς ἣν τὸν Ἴκαρον παραβόλως ἀποβαίνοντα πεσεῖν εἰς θάλατταν καὶ τελευτῆσαι, ἀφ᾽ οὗ καὶ τὸ πέλαγος Ἰκάριον ὀνομασθῆναι καὶ τὴν νῆσον Ἰκαρίαν κληθῆναι. τὸν δὲ Δαίδαλον 321 ἐκ τῆς νήσου ταύτης ἐκπλεύσαντα κατενεχθῆναι τῆς Σικελίας πρὸς χώραν ἧς βασιλεύοντα Κώκαλον ἀναλαβεῖν τὸν Δαίδαλον, καὶ διὰ τὴν εὐφυΐαν καὶ δόξαν ποιήσασθαι φίλον ἐπὶ πλεῖον. τινὲς δὲ μυθολογοῦσι, κατὰ τὴν Κρήτην ἔτι Δαιδάλου διατρίβοντος καὶ ὑπὸ τῆς Πασιφάης κρυπτομένου, Μίνωα μὲν τὸν βασιλέα βουλόμενον τιμωρίας ἀξιῶσαι τὸν Δαίδαλον, καὶ μὴ δυνάμενον εὑρεῖν, τά τε πλοῖα πάντα τὰ κατὰ τὴν νῆσον ἐρευνᾶν καὶ χρημάτων πλῆθος ἐπαγγέλλεσθαι δώσειν τῷ τὸν Δαίδαλον ἀνευρόντι. ἐνταῦθα τὸν Δαίδαλον ἀπογνόντα τὸν διὰ τῶν πλοίων δρασμὸν κατασκευάσαι παραδόξως πτέρυγας πεφιλοτεχνημένας καὶ διὰ κηροῦ θαυμαστῶς ἠσκημένας· ἐπιθέντα δὲ ταύτας τῷ τε τοῦ υἱοῦ σώματι καὶ τῷ ἑαυτοῦ, παραδόξως ἐκπετασθῆναι καὶ διαδρᾶναι τὸ πλησίον τῆς Κρήτης νήσου πέλαγος. καὶ τὸν μὲν Ἴκαρον διὰ τὴν νεότητα μετέωρον τὴν πτῆσιν ποιούμενον πεσεῖν εἰς τὸ πέλαγος, τακέντος διὰ τὸν ἥλιον τοῦ συνέχοντος τὰς πτέρυγας κηροῦ· αὐτὸν δὲ παρὰ τὴν θάλατταν πετόμενον καὶ παρ᾽ ἕκαστον τέγγοντα τὰς πτέρυγας διασωθῆναι παραδόξως εἰς τὴν Σικελίαν. ἀλλὰ περὶ μὲν τούτων εἰ καὶ παράδοξός ἐστιν ὁ μῦθος, ὅμως ἐκρίναμεν μὴ παραλιπεῖν αὐτόν.

78 Δαίδαλος δὲ παρὰ τῷ Κωκάλῳ καὶ τοῖς Σικανοῖς διέτριψε πλείω χρόνον, θαυμαζόμενος ἐν τῇ κατὰ τὴν τέχνην ὑπερβολῇ. κατεσκεύασε δ᾽ ἐν τῇ νήσῳ ταύτῃ τινὰ τῶν ἔργων ἃ μέχρι τοῦ νῦν διαμένει. πλησίον μὲν γὰρ τῆς Μεγαρίδος φιλοτέχνως ἐποίησε τὴν ὀνομαζομένην κολυμβήθραν, ἐξ ἧς μέγας ποταμὸς εἰς τὴν πλησίον θάλατταν ἐξερεύγεται καλούμενος Ἀλαβών. κατὰ δὲ τὴν

45. ἣν] ᾗ ABEG  παραβόλως ἀποβαίνοντα] παραβαίνοντα ABD  46. θάλατταν D, caeteri θάλασσαν

321. 49. τῆς Σικελίας om. F  51. πλεῖον] πλέον D  53. κρυπτομένου ABD, caeteri κρυπταζομένου  54. τιμωρίας ἀξιῶσαι ABD, caeteri τιμωρῆσαι  57. ἀνευρόντι] εὑρόντι BD  58. διὰ om. A  59. δρασμὸν] δρασμῶν D  62. διαδρᾶναι] legebatur διαδρᾶσαι  63. τῆς Κρήτης νήσου BD, τῆς Κρήτης νέσσου A, caeteri τῆς Κρήτης  66. θάλατταν] θάλασσαν omnes  67. πετόμενον D, ποτώμενον CE, caeteri πετώμενον  71. παρὰ] παρά τε A(D)  73. νήσῳ] τέχνῃ D  74. διαμένει] διαμένειν BD



νῦν Ἀκραγαντίνην ἐν τῷ Καμικῷ καλουμένῳ πόλιν ἐπὶ πέτρας οὖσαν πασῶν ὀχυρωτάτην κατεσκεύασε καὶ παντελῶς ἐκ βίας ἀνάλωτον· στενὴν γὰρ καὶ σκολιὰν τὴν ἀνάβασιν αὐτῆς φιλοτεχνήσας ἐποίησε δύνασθαι διὰ τριῶν ἢ τεττάρων ἀνθρώπων φυλάττεσθαι. διόπερ ὁ Κώκαλος ἐν ταύτῃ ποιήσας τὰ βασίλεια καὶ τὰ χρήματα κατατιθέμενος ἀνάλωτον ἔσχεν αὐτὴν διὰ τὴν ἐπίνοιαν τοῦ τεχνίτου. τρίτον δὲ σπήλαιον κατὰ τὴν Σελινουντίαν χώραν κατεσκεύασεν, ἐν ᾧ τὴν ἀτμίδα τοῦ κατ᾽ αὐτὴν πυρὸς οὕτως εὐστόχως ἐξέλαβεν ὥστε διὰ τὴν μαλακότητα τῆς θερμασίας ἐξιδροῦν λεληθότως, καὶ κατὰ μικρὸν τοὺς ἐνδιατρίβοντας μετὰ τέρψεως θεραπεύειν τὰ σώματα μηδὲν παρενοχλουμένους ὑπὸ τῆς θερμότητος. κατὰ δὲ τὸν Ἔρυκα πέτρας οὔσης ἀποτομάδος εἰς ὕψος ἐξαίσιον, καὶ τῆς κατὰ τὸ ἱερὸν τῆς Ἀφροδίτης στενο- 322 χωρίας ἀναγκαζούσης ἐπὶ τὸ τῆς πέτρας ἀπόκρημνον ποιήσασθαι τὴν οἰκοδομίαν, κατεσκεύασεν ἐπ᾽ αὐτοῦ τοῦ κρημνοῦ τοῖχον, προβιβάσας παραδόξως τὸ ὑπερκείμενον τοῦ κρημνοῦ. χρυσοῦν τε κηρίον τῇ Ἀφροδίτῃ τῇ Ἐρυκίνῃ φασὶν αὐτὸν φιλοτεχνῆσαι περιττῶς εἰργασμένον καὶ τῷ κατ᾽ ἀλήθειαν κηρίῳ ἀπαρεγχειρήτως ὡμοιωμένον. ἄλλα τε πολλά φασιν αὐτὸν φιλοτεχνῆσαι κατὰ τὴν Σικελίαν, ἃ διὰ τὸ πλῆθος τοῦ χρόνου διέφθαρται.

79 Μίνως δὲ ὁ τῶν Κρητῶν βασιλεὺς θαλαττοκρατῶν κατ᾽ ἐκείνους τοὺς χρόνους, καὶ πυθόμενος τὴν Δαιδάλου φυγὴν εἰς τὴν Σικελίαν, ἔγνω στρατεύειν ἐπ᾽ αὐτήν. παρασκευασάμενος δὲ δύναμιν ναυτικὴν ἀξιόλογον, ἐξέπλευσεν ἐκ τῆς Κρήτης, καὶ κατῆρε τῆς Ἀκραγαντίνης εἰς τὴν ἀπ᾽ ἐκείνου Μινῴαν καλουμένην. ἀποβιβάσας δὲ τὴν δύναμιν καὶ πέμψας ἀγγέλους πρὸς Κώκαλον τὸν βασιλέα ἐξῄτει τὸν Δαίδαλον εἰς τιμωρίαν. ὁ δὲ Κώκα-

79. καλουμένῳ D Poggius, caeteri καλουμένην, quod post πόλιν ponit B  81. φιλοτεχνήσας] φιλοτέχνως F  82. τεττάρων editio Wesselingii (D): δ ed. Steph.  85. τὴν ἐπίνοιαν] τῆς ἐπινοίας AD  86. Σελινουντίαν ABCDGQ Poggius, caeteri Σελινουντίων  88. ἐξέλαβεν] ἐξέβαλεν B, ἐξέλασεν C  91. θερμότητος] ἀλλὰ μᾶλλον ἐνηδόνως βιοῦντας addit E  93. ὕψος] ὕψον A

322. 95. ποιήσασθαι ABD, caeteri ποιῆσαι  96. προβιβάσας] προσβιβάσας BD  97. κηρίον] κριὸν AB et ex rasura D, χρ. τεκμήριον FG: Poggius arietem — posuit ea ingenii arte sculptum ut vivus extimaretur  98. τῇ Ἐρυκίνῃ] καὶ τῇ Ἐρυκίνῃ D, et Erici Poggius  99. κηρίῳ] κριῷ AB et a pr. manu D  100. ἀλλὰ — 2. διέφθαρται ante 97. χρυσοῦν ponit Poggius  3. ὁ om. F  5. τὴν om. D  αὐτήν] αὐτόν ABCDEGMQ  7. ἐκ om. AD  8. Μινῴαν] Μίνωαν omnes  10. ἐξῄτει Wesselingius: libri ἐζήτει: tradi sibi poposcit Poggius

λος εἰς σύλλογον προςκαλεσάμενος καὶ πάντα ποιήσειν ἐπαγγειλάμενος ἐπὶ τὰ ξένια παρέλαβε τὸν Μίνω. λουομένου δ' αὐτοῦ Κώκαλος μὲν παρακατασχὼν πλείονα χρόνον ἐν τῷ θερμῷ τὸν Μίνωα διέφθειρε, καὶ τὸ σῶμα ἀπέδωκε τοῖς Κρησί, πρόφασιν ἐνεγκὼν τοῦ θανάτου διότι κατὰ τὸν λουτρῶνα ὠλίσθηκε καὶ πεσὼν εἰς τὸ θερμὸν ὕδωρ ἐτελεύτησε. μετὰ δὲ ταῦτα οἱ μὲν συνεστρατευμένοι τὸ σῶμα τοῦ βασιλέως ἔθαψαν μεγαλοπρεπῶς, καὶ διπλοῦν τάφον οἰκοδομήσαντες κατὰ μὲν τὸν κεκρυμμένον τόπον ἔθεσαν τα ὀστᾶ, κατὰ δὲ τὸν ἀνεῳγμένον ἐποίησαν Ἀφροδίτης νεών. οὗτος δ' ἐπὶ γενεὰς πλείους ἐτιμᾶτο, θυόντων τῶν ἐγχωρίων ὡς Ἀφροδίτης ὄντος τοῦ νεώ· κατὰ δὲ τοὺς νεωτέρους καιροὺς κτισθείσης μὲν τῆς τῶν Ἀκραγαντίνων πόλεως, γνωσθείσης δὲ τῆς τῶν ὀστῶν θέσεως, συνέβη τὸν μὲν τάφον καθαιρεθῆναι, τὰ δ' ὀστᾶ τοῖς Κρησὶν ἀποδοθῆναι, Θήρωνος δυναστεύοντος τῶν Ἀκραγαντίνων. οὐ μὴν ἀλλ' οἱ κατὰ τὴν Σικελίαν Κρῆτες μετὰ τὴν Μίνωος τελευτὴν ἐστασίασαν διὰ τὴν ἀναρχίαν· τῶν δὲ νεῶν ὑπὸ τῶν περὶ τὸν Κώκαλον Σικανῶν ἐμπυρισθεισῶν, τὴν μὲν εἰς τὰς πατρίδας ἐπάνοδον ἀπέγνωσαν, κρίναντες δ' ἐν τῇ Σικελίᾳ κατοικεῖν, οἱ μὲν ἐνταῦθα πόλιν ᾤκισαν, ἣν ἀπὸ τοῦ βασιλέως αὐτῶν Μινῴαν ὠνόμασαν, οἱ δὲ διὰ τῆς μεσογείου πλανηθέντες καὶ καταλαβόμενοι χωρίον ὀχυρὸν 323 ἔκτισαν πόλιν ἣν ἀπὸ τῆς ἐν τῇ πόλει ῥεούσης πηγῆς ὠνόμασαν Ἔγγυον. ὕστερον δὲ μετὰ τὴν τῆς Τροίας ἅλωσιν Μηριόνου τοῦ Κρητὸς προςενεχθέντος τῇ Σικελίᾳ, προςεδέξαντο τοὺς καταπλεύσαντας Κρῆτας διὰ τὴν συγγένειαν καὶ τῆς πολιτείας μετέδοσαν· ὁρμώμενοι δ' ἐξ ὀχυρᾶς πόλεως καὶ καταπολεμήσαντές τινας τῶν περιοίκων ἱκανὴν κατεκτήσαντο χώραν. ἀεὶ δὲ μᾶλλον αὐξανόμενοι, καὶ κατασκευάσαντες ἱερὸν τῶν Μητέρων, διαφόρως ἐτίμων τὰς θεάς, ἀναθήμασι πολλοῖς

11. προςκαλ.] προκαλ. BD 12. ἐπαγγειλάμενος] ἐπαγγελόμενος BE, ἐπαγγελλόμενος D 13. Μίνω ABD, caeteri Μίνωα 14. πλείονα ABCDE, caeteri πλείω 16. ὠλίσθηκε (-εν D) ABD, caeteri ὀλισθήσας 18. συνεστρατευμένοι] συστρατευόμενοι CEGQ 22. γενεὰς πλείους] γενεῶν πλειόνων FG 24. κτισθείσης] κτίσεις F 27. ἀποδοθῆναι] παραδοθῆναι FGQ 30. Σικανῶν] ἱκανῶν FG 33. ᾤκισαν] ᾤκησαν AD 34. Μινῴαν] Μίνωαν (D) Wesselingius, Minoë Poggius, caeteri Μίνωα

323. 36. ῥεούσης] διαῤῥεούσης BD 37. μετὰ Eichstadius et Schaeferus: post captam Troiam Poggius, libri κατὰ 40. μετέδοσαν ABDF, caeteri μετέδωκαν 41. τινας B(D), caeteri τινα 42. κατεκτήσαντο] κατεστήσαντο CE ἀεὶ] αἰεὶ D



κοσμοῦντες τὸ ἱερὸν αὐτῶν. ταύτας δὲ ἀφιδρυθῆναί φασιν ἐκ τῆς Κρήτης, διὰ τὸ καὶ παρὰ τοῖς Κρησὶ τιμᾶσθαι τὰς θεὰς ταύτας διαφερόντως. μυθολογοῦσι δ' 80 αὐτὰς τὸ παλαιὸν θρέψαι τὸν Δία λάθρᾳ τοῦ πατρὸς Κρόνου· ἀνθ' ὧν αὐτὰς εἰς τὸν οὐρανὸν ἀναβιβασθῆναι καὶ καταστερισθείσας ἄρκτους προςαγορευθῆναι· περὶ ὧν καὶ τὸν Ἄρατον συμφωνοῦντα τούτοις τεθεικέναι κατὰ τὴν τῶν ἄστρων ποίησιν,

ἔμπαλιν εἰς ὤμους τετραμμέναι· εἰ ἐτεόν γε
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
οὐρανὸν εἰςανέβησαν, ὅ μιν τότε κουρίζοντα
[Δίκτῳ ἐν εὐώδει ὄρεος σχεδὸν Ἰδαίοιο
ἄντρῳ ἐγκατέθεντο καὶ ἔτρεφον εἰς ἐνιαυτὸν]
Δικταῖοι Κούρητες, ὅτε Κρόνον ἐψεύσαντο.

οὐκ ἄξιον δὲ παραλιπεῖν τὴν περὶ τὰς θεὰς ἁγνείαν τε καὶ τὴν κατ' ἀνθρώπους ἐπιφάνειαν. τιμῶσι δ' αὐτὰς οὐ μόνον οἱ ταύτην τὴν πόλιν οἰκοῦντες, ἀλλὰ καί τινες τῶν ἄλλων περιοίκων θυσίαις τε μεγαλοπρεπέσι καὶ ταῖς ἄλλαις τιμαῖς ἀποσεμνύνουσι τὰς θεάς. ἐνίαις δὲ πόλεσι καὶ πυθόχρηστοι χρησμοὶ προςέταξαν τιμᾶν τὰς θεάς· ἔσεσθαι γὰρ τοῖς τοιούτοις τούς τε τῶν ἰδιωτῶν βίους εὐδαίμονας καὶ τὰς πόλεις εὐθηνήσειν. τέλος δὲ προβαινούσης ἐπὶ πολὺ τῆς κατὰ τὰς θεὰς ἐπιφανείας, οἱ μὲν ἐγχώριοι πολλοῖς ἀναθήμασι χρυσοῖς καὶ ἀργυροῖς διετέλεσαν τιμῶντες ἄχρι τῶνδε τῶν ἱστοριῶν γραφομένων. νεὼν μὲν γὰρ αὐταῖς κατεσκεύασαν οὐ μόνον τῷ μεγέθει διάφορον, ἀλλὰ καὶ τῇ πολυτελείᾳ τῇ κατὰ τὴν οἰκοδομίαν θαυμαζόμενον· οὐκ ἔχοντες γὰρ κατὰ τὴν ἰδίαν χώραν λίθον ἀξιόλογον παρὰ τῶν ἀστυγειτόνων 324 Ἀγυριναίων ἦγαγον, τῶν μὲν πόλεων διεστηκυιῶν ὡς ἑκατὸν σταδίους, τῆς δὲ ὁδοῦ δι' ἧς ἀνάγκη κομίζεσθαι τοὺς λίθους ὑπαρχούσης τραχείας καὶ παντελῶς δυςπορεύτου· δι' ἣν αἰτίαν κατασκευάσαντες ἁμάξας τετρακύκλους ἑκα-

50. καταστερ.] καταστηρ. D 52. ἄστρων] ἀστέρων BD 53. ἔμπαλιν] ἔμπαλι δ' G 55. ἰότητι] υἱότητι A 56. hunc qui sequuntur versus ambo desunt libris: inserendos monuit Wesselingius 59. ἁγνείαν] ἁγνίαν D 64. πυθόχρηστοι] Πύθονος M: ἤγουν ἀπὸ τοῦ Πυθίου ἤτοι τοῦ Ἀπόλλωνος μεμαντευμένοι gl. V χρησμοὶ asterisco notavit Stephanus 66. εὐθηνήσειν] εὐθυνήσειν A, εὐθινήσειν D, εὐσθενήσειν E, ἰσθενήσειν C 69. χρυσοῖς καὶ ἀργυροῖς] ἀργυροῖς καὶ χρυσοῖς D τιμῶντες] τὰς θεὰς addit A 70. ἱστοριῶν γραφομένων] ἱστοριογραφουμένων EQ, ἱστοριογραφομένων ABDG κατεσκεύασαν ABD, caeteri ᾠκοδόμησαν 74. Ἀγυριναίων] Ἀγυριαίων ABD

324. 75. σταδίους ABD, caeteri στάδια 76. ὑπαρχούσης om. AD

τὸν ζεύγεσι βοῶν ἐκόμισαν τὸν λίθον. διὰ γὰρ τὸ πλῆθος τῶν ἱερῶν χρημάτων εὐπορούμενοι, τῇ δαψιλείᾳ τῆς εὐπορίας ὑπερεῖχον τῶν ἀναλωμάτων· βραχὺ γὰρ πρὸ ἡμῶν εἶχον αἱ θεαὶ βοῦς μὲν ἱερὰς τριςχιλίας, χώρας δὲ πλῆθος ὥςτε λαμβάνειν μεγάλας προςόδους.

81 Ἡμεῖς δὲ περὶ τούτων ἀρκούντως διεληλυθότες περὶ Ἀρισταίου γράφειν ἐγχειρήσομεν. Ἀρισταῖος γὰρ ἦν υἱὸς μὲν Ἀπόλλωνος καὶ Κυρήνης τῆς Ὑψέως θυγατρὸς τοῦ Πηνειοῦ· περὶ δὲ τῆς γενέσεως αὐτοῦ μυθολογοῦσί τινες οὕτως. Ἀπόλλωνα, περὶ τὸ Πήλιον τρεφομένης κόρης ὄνομα Κυρήνης διαφερούσης κάλλει, ἐρασθῆναι τῆς παρθένου, καὶ μετενεγκεῖν αὐτὴν τῆς Λιβύης εἰς ταύτην τὴν χώραν, ἐν ᾗ κατὰ τοὺς ὕστερον χρόνους τινὰ κτίσαντα πόλιν ἀπ᾽ ἐκείνης ὀνομάσαι Κυρήνην. τὸν δ᾽ οὖν Ἀπόλλω κατὰ ταύτην τὴν χώραν ἐκ Κυρήνης γεννήσαντα υἱὸν Ἀρισταῖον τοῦτον μὲν νήπιον ὄντα παραδοῦναι ταῖς νύμφαις τρέφειν· ταύτας δὲ τῷ παιδὶ τρεῖς ὀνομασίας προςάψαι· καλεῖν γὰρ αὐτὸν Νόμιον, Ἀρισταῖον, Ἀγρέα. τοῦτον δὲ παρὰ τῶν νυμφῶν μαθόντα τήν τε τοῦ γάλακτος πῆξιν καὶ τὴν κατασκευὴν τῶν σμηνῶν ἔτι δὲ τῶν ἐλαιῶν τὴν κατεργασίαν, διδάξαι πρῶτον τοὺς ἀνθρώπους. διὰ δὲ τὴν εὐχρηστίαν τὴν ἐκ τούτων τῶν εὑρημάτων τοὺς εὐεργετηθέντας ἀνθρώπους τιμῆσαι τὸν Ἀρισταῖον ἰσοθέοις τιμαῖς, καθὰ καὶ τὸν Διόνυσον. μετὰ δὲ ταῦτά φασιν αὐτὸν εἰς τὴν Βοιωτίαν καταντήσαντα γῆμαι τῶν Κάδμου θυγατέρων Αὐτονόην, ἐξ ἧς φασιν Ἀκτέωνα γενέσθαι τὸν κατὰ τοὺς μύθους ὑπὸ τῶν ἰδίων κυνῶν διασπασθέντα. τὴν δ᾽ αἰτίαν ἀποδιδόασι τῆς ἀτυχίας οἱ μὲν ὅτι κατὰ τὸ τῆς Ἀρτέμιδος ἱερὸν διὰ τῶν ἀνατιθεμένων ἀκρωτηρίων ἐκ τῶν κυνηγεσίων προῃρεῖτο τὸν γάμον κατεργάσασθαι τῆς Ἀρτέμιδος, οἱ δ᾽, ὅτι τῆς Ἀρτέμιδος αὐτὸν πρωτεύειν ταῖς κυνηγεσίαις ἀπεφήνατο. οὐκ ἀπίθανον δὲ ἐπ᾽ ἀμφοτέροις τούτοις μηνῖσαι τὴν θεόν· εἴτε γὰρ τοῖς ἁλισκομένοις

81. ὑπερεῖχον] ὑπερεῖδον AB, ὑπερίδον D 82. ἱερὰς AB(D)EGQV, caeteri ἱεροὺς τριςχιλίας AB(D)EGV, caeteri τριςχιλίους 83. χ. δὲ (D) Stephanus, caeteri χ. τε 87. τοῦ Πηνειοῦ om. Poggius 89. Πήλιον] Σπήλαιον A, Πήλειον C Poggius διαφ. κάλλει] invertit D 93. Ἀπόλλω ABCD, caeteri Ἀπόλλωνα κατὰ ταύτην] κατ᾽ αὐτὴν DFG, κατὰ A 94. υἱὸν ABD Poggius, caeteri τὸν 2. Ἀρισταῖον] Ἀριστέα A 3. καθὰ καὶ] κατὰ FG 4. τὴν om. D 5. Ἀκτέωνα A, Ἀκταίωνα (D)E, caeteri Ἀκταίονα 8. ἀνατιθ.] ἀντιθ. A 9. ἀκρωτηρίων] ἀκροθινίων B, ἀκροθηνίων D προῃρεῖτο] πρόκριτον A, omisso fortasse τὸν 10. τῆς Ἀρτέμιδος prius servarunt ABD αὐτὸν] libri αὐτόν 11. ἀπεφήνατο Poggius, Wesselingius: libri ἀπεφήναντο 12. δὲ] γὰρ D ἐπ᾽] ἐν AD



πρὸς τὴν ἀκοινώνητον τοῖς γάμοις κατεχρῆτο πρὸς τὸ συντελέσαι τὴν ἰδίαν ἐπιθυμίαν, εἴτε καὶ ταύτης ἐτόλμησεν εἰπεῖν αἱρετώτερον αὐτὸν εἶναι κυνηγόν, ᾗ καὶ θεοὶ 325 παρακεχωρήκασι τῆς ἐν τούτοις ἁμίλλης, ὁμολογουμένην καὶ δικαίαν ὀργὴν ἔσχε πρὸς αὐτὸν ἡ θεός· καθόλου δὲ πιθανῶς εἰς τὴν τῶν ἁλισκομένων θηρίων μεταμορφωθεὶς ἰδέαν ὑπὸ τῶν καὶ τἄλλα θηρία χειρουμένων κυνῶν διεφθάρη.

82 τὸν δὲ Ἀρισταῖόν φασι μετὰ τὴν Ἀκτέωνος τελευτὴν ἐλθεῖν εἰς τὸ χρηστήριον τοῦ πατρός, καὶ τὸν Ἀπόλλω προειπεῖν αὐτῷ τὴν εἰς Κέω νῆσον μετάβασιν ἐσομένην αὐτοῦ καὶ τὰς ἐσομένας παρὰ τοῖς Κείοις τιμάς. τὸν δὲ πλεῦσαι μὲν εἰς τὴν νῆσον ταύτην, λοιμοῦ δὲ τὴν Ἑλλάδα κατασχόντος ποιήσασθαι τὴν θυσίαν ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων. γενομένης δὲ τῆς θυσίας κατὰ τὴν τοῦ σειρίου ἄστρου ἐπιτολήν, καθ᾽ ἣν συνέβαινε πνεῖν τοὺς ἐτησίας, λῆξαι τὰς λοιμικὰς νόσους. τοῦτο δ᾽ ἄν τις συλλογιζόμενος εἰκότως θαυμάσαι τὸ τῆς περιπετείας ἴδιον· ὁ γὰρ ὑπὸ τῶν κυνῶν ἰδὼν τὸν υἱὸν τετελευτηκότα, οὗτος τῶν κατ᾽ οὐρανὸν ἄστρων τὸ τὴν αὐτὴν ἔχον προςηγορίαν καὶ φθείρειν νομιζόμενον τοὺς ἀνθρώπους ἔπαυσε, καὶ τοῖς ἄλλοις αἴτιος ἐγένετο τῆς σωτηρίας. λέγουσι δὲ τὸν Ἀρισταῖον ἐκγόνους ἐν τῇ Κέῳ καταλιπόντα, καὶ μετὰ ταῦτα εἰς τὴν Λιβύην ἐπανελθόντα, ὑπὸ τῆς μητρὸς νύμφης τὴν ἀναγωγὴν ποιησάμενον εἰς τὴν Σαρδὼ νῆσον καταπλεῦσαι. ἐν δὲ ταύτῃ κατοικήσαντα, καὶ τὴν νῆσον διὰ τὸ κάλλος στέρξαντα, φυτεῦσαί τε αὐτὴν καὶ τὸ πρότερον ἐξηγριωμένην ἡμερῶσαι. γεννῆσαι δ᾽ ἐν αὐτῇ δύο παῖδας, Χάρμον καὶ Καλλίκαρπον. μετὰ δὲ ταῦτα ἄλλας τε νήσους ἐπελθεῖν καὶ κατὰ τὴν Σικελίαν διατρῖψαί τινα χρόνον, διά τε τὴν ἀφθονίαν τῶν ἐν τῇ νήσῳ καρπῶν καὶ τὸ πλῆθος τῶν ἐν αὐτῇ βοσκομένων κτηνῶν φιλοτιμηθῆναι τοῖς

14. κατεχρῆτο] κατεκεχρῆτο B

325. 20. τἄλλα θηρία ABCDEQ, caeteri τἄλλα 21. Ἀκτέωνος AD, Ἀκταίωνος E, caeteri Ἀκταίονος 22. Ἀπόλλω ABD, caeteri Ἀπόλλωνα 23. προειπεῖν] προςειπεῖν AD Κέω A(D), Κείω CEG, Κέων B, caeteri Κῶ 24. τοῖς Κείοις] τοῖς οἰκείοις ABD, τῶν Κείων GQ 26. κατασχόντος ABD, caeteri κατέχοντος 28. τοῦ om. A σειρίου] σείριος CE 29. τὰς λοιμικὰς] τῶν λοιμικῶν G 32. κατ᾽] κατὰ τὸν D 33. ἔχον] ἔχοντα F 35. ἐκγόνους D, caeteri ἐγγόνους 36. Κέῳ AB(D), Κειῷ CE, Κειὼ G, caeteri Κῷ 37. ἐπανελθόντα] ἐπανελθὼν AD μητρὸς] πατρὸς F: sed totius membri sententia laborat: *in Libyam ad matrem nympham rediit. Ac deinde in insulam Sardorum profectus* Poggius 42. Χάρμον] *Charimum* Poggius Καλλίκαρπον AB(D) Poggius, Καλαίκαρπον caeteri

ἐγχωρίοις ἐνδείξασθαι τὰς ἰδίας εὐεργεσίας. διὸ καὶ παρὰ τοῖς τὴν Σικελίαν οἰκοῦσι διαφερόντως φασὶ τιμηθῆναι τὸν Ἀρισταῖον ὡς θεόν, καὶ μάλιστα ὑπὸ τῶν συγκομιζόντων τὸν τῆς ἐλαίας καρπόν. τὸ δὲ τελευταῖον μυθολογοῦσιν αὐτὸν εἰς Θρᾴκην παραβαλόντα πρὸς Διόνυσον μετασχεῖν τῶν ὀργίων, καὶ συνδιατρίψαντα τῷ θεῷ πολλὰ μαθεῖν παρ' αὐτοῦ τῶν χρησίμων· περὶ δὲ τὸ ὄρος τὸ καλούμενον Αἷμον οἰκήσαντά τινα χρόνον ἄφαντον γενέσθαι, καὶ τυχεῖν ἀθανάτων τιμῶν οὐ μόνον ἐνταῦθα παρὰ τοῖς βαρβάροις ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησι. καὶ ταῦτα μὲν περὶ Ἀρισταίου τοῖς ῥηθεῖσιν ἀρκεσθησόμεθα.

83 Περὶ δὲ Δάφνιδος καὶ Ἔρυκος πειρασόμεθα διελθεῖν. 326 Ἔρυκά φασιν υἱὸν μὲν γενέσθαι Ἀφροδίτης καὶ Βούτα, βασιλέως τινὸς ἐγχωρίου δόξῃ διαφέροντος· τοῦτον δὲ διὰ τὴν ἀπὸ τῆς μητρὸς εὐγένειαν θαυμασθῆναί τε ὑπὸ τῶν ἐγχωρίων καὶ βασιλεῦσαι μέρους τῆς νήσου. κτίσαι δὲ καὶ πόλιν ἀξιόλογον ὁμώνυμον αὑτῷ, κειμένην ἐπί τινος ὑψηλοῦ τόπου· κατὰ δὲ τὴν ἄκραν τὴν ἐν τῇ πόλει τῆς μητρὸς ἱερὸν ἱδρύσασθαι, καὶ κοσμῆσαι τῇ τε κατασκευῇ τοῦ νεὼ καὶ τῷ πλήθει τῶν ἀναθημάτων. τὴν δὲ θεὸν διὰ τὴν ἀπὸ τῶν ἐγχωρίων εὐσέβειαν καὶ διὰ τὴν ἀπὸ τοῦ τεκνωθέντος υἱοῦ τιμὴν ἀγαπῆσαι περιττότερον τὴν πόλιν· διόπερ αὐτὴν Ἀφροδίτην Ἐρυκίνην ὀνομασθῆναι. θαυμάσαι δ' ἄν τις εἰκότως ἀναλογισάμενος τὴν περὶ τὸ ἱερὸν τοῦτο γενομένην δόξαν. τὰ μὲν γὰρ ἄλλα τεμένη ἀνθήσαντα ταῖς δόξαις πολλάκις διὰ περιστάσεις τινὰς τεταπείνωται, μόνον δὲ τοῦτο τῶν ἐξ αἰῶνος ἀρχὴν λαβὸν οὐδέποτε διέλιπε τιμώμενον, ἀλλὰ καὶ τοὐναντίον ἀεὶ διετέλεσε πολλῆς τυγχάνον αὐξήσεως. μετὰ γὰρ τὰς προειρημένας ὑπὸ Ἔρυκος τιμὰς ὕστερον Αἰνείας ὁ Ἀφροδίτης πλέων εἰς Ἰταλίαν καὶ προσορμισθεὶς τῇ νήσῳ πολλοῖς ἀναθήμασι τὸ ἱερόν, ὡς ἂν ἰδίας μητρὸς ὑπάρχον, ἐκόσμησε· μετὰ δὲ τοῦτον ἐπὶ πολλὰς γενεὰς τιμῶντες οἱ Σικανοὶ τὴν θεὸν θυσίαις

47. ἰδίας om. A 51. παραβαλόντα] ἀλαβόντα F, ἀβαλόντα G 57. ταῦτα μὲν περὶ] immo περὶ μὲν

326. 60. Βούτα] Βοῦτα D, caeteri Βουτᾶ 62. ἀπὸ om. ADF, asterisco notavit Stephanus 63. μέρους] μέρος A 66. τὴν] τῶν A τῆς μητρὸς] τῇ μητρὶ B 68. διὰ] διά τε D 71. ὀνομασθῆναι AB(D), caeteri ὀνομάσαι 73. ἀνθήσαντα AB D, caeteri αὐξήσαντα 74. περιστάσεις τινὰς] περιστάσεώς τινος FGM 75. τῶν Wetstenius ad N. T. I. 906.: libri τὴν λαβὸν] λαβεῖν F 76. ἀεὶ] αἰεὶ D 79. ὁ Ἀφροδίτης om. FM 81. πολλὰς γενεὰς] πολλαῖς γενεαῖς A 82. τὴν] τὸν B



τε μεγαλοπρεπέσι συνεχῶς καὶ ἀναθήμασιν ἐκόσμουν· μετὰ δὲ ταῦτα Καρχηδόνιοι μέρους τῆς Σικελίας κυριεύσαντες οὐ διέλιπον τιμῶντες τὴν θεὸν διαφερόντως. τὸ δὲ τελευταῖον Ῥωμαῖοι πάσης Σικελίας κρατήσαντες ὑπερεβάλοντο πάντας τοὺς πρὸ αὐτῶν ταῖς εἰς ταύτην τιμαῖς. καὶ τοῦτο εἰκότως ἐποίουν· τὸ γὰρ γένος εἰς ταύτην ἀναπέμποντες, καὶ διὰ τοῦτο ἐν ταῖς πράξεσιν ἐπιτυχεῖς ὄντες, τὴν αἰτίαν τῆς αὐξήσεως ἠμείβοντο ταῖς προσηκούσαις χάρισι καὶ τιμαῖς. οἱ μὲν γὰρ καταντῶντες εἰς τὴν νῆσον ὕπατοι καὶ στρατηγοὶ καὶ πάντες οἱ μετά τινος ἐξουσίας ἐπιδημοῦντες ἐπειδὰν εἰς τὸν Ἔρυκα παραβάλωσι, μεγαλοπρεπέσι θυσίαις καὶ τιμαῖς κοσμοῦσι τὸ τέμενος, καὶ τὸ σκυθρωπὸν τῆς ἐξουσίας ἀποθέμενοι μεταβάλλουσιν εἰς παιδιὰς καὶ γυναικῶν ὁμιλίας μετὰ πολλῆς ἱλαρότητος, μόνως οὕτω νομίζοντες κεχαρισμένην τῇ θεῷ ποιήσειν τὴν ἑαυτῶν παρουσίαν· ἥ τε σύγκλητος τῶν Ῥωμαίων εἰς τὰς τῆς θεοῦ τιμὰς φιλοτιμηθεῖσα τὰς μὲν πιστοτάτας τῶν κατὰ τὴν Σικελίαν πόλεων οὔσας ἑπτακαίδεκα χρυσοφορεῖν ἐδογμάτισε τῇ Ἀφροδίτῃ καὶ στρατιώτας διακοσίους τηρεῖν τὸ ἱερόν. 327 καὶ περὶ μὲν Ἔρυκος, εἰ καὶ πεπλεονάκαμεν, ἀλλ' οὖν οἰκείαν πεποιήμεθα τὴν περὶ τῆς θεᾶς ἀπαγγελίαν.

84 Νυνὶ δὲ περὶ Δάφνιδος πειρασόμεθα διελθεῖν τὰ μυθολογούμενα. Ἡραῖα γὰρ ὄρη κατὰ τὴν Σικελίαν ἐστίν, ἅ φασι κάλλει τε καὶ φύσει καὶ τόπων ἰδιότητι πρὸς θερινὴν ἄνεσιν καὶ ἀπόλαυσιν εὖ πεφυκέναι. πολλάς τε γὰρ πηγὰς ἔχειν τῇ γλυκύτητι τῶν ὑδάτων διαφόρους καὶ δένδρεσι παντοίοις πεπληρῶσθαι. εἶναι δὲ καὶ δρυῶν μεγάλων πλῆθος, φερουσῶν καρπὸν τῷ μεγέθει διαλλάττοντα, διπλασιάζοντα τῶν ἐν ταῖς ἄλλαις χώραις φυομένων. ἔχειν δὲ καὶ τῶν ἡμέρων καρπῶν αὐτομάτων, ἀμπέλου τε πολλῆς φυομένης καὶ μήλων ἀμυθήτου πλήθους. διὸ καὶ στρατόπεδόν ποτε Καρχηδονίων ὑπὸ λιμοῦ πιεζόμενον

83. συνεχῶς omisit A 84. Καρχηδόνιοι] Atheniensibus Poggius 87. ταύτην] αὐτὴν DE 88. ἐποίουν] ἐποιοῦντο ABD 90. ἐπιτυχεῖς ὄντες] ἐπιτυχήσαντες G 96. παιδιὰς] παῖδας A 98. οὕτω] οὕτως C 1. οὔσας] οὐσῶν ABD 3. διακοσίους om. CE, asterisco notavit Stephanus τηρεῖν] διατηρεῖν A

327. 5. ἀπαγγ. C(D), caeteri ἐπαγγ. 7. Ἡραῖα ABCEQ, Ἥραια D, caeteri Ἥρια 8. ἰδιότητι] ἰδιότησιν D 10. γλυκύτητι τῶν ὑδάτων διαφόρους AC(D)EGQ, caeteri γλυκύτητι διαφερούσας τῶν ἄλλων ὑδάτων 12. φερουσῶν] φερόντων BD 13. διπλασιάζοντα praeteriit Poggius 15. ἀμπέλου τε πολλῆς φυομένης ABC(D)EGQ, caeteri ἀμπέλους τε πολλὰς φυομένας 16. ἀμυθήτου πλήθους ABCDEGQ, caeteri ἀμύθητον πλῆθος 17. λιμοῦ] πολέμου A πιεζόμενον] πιεζούμενον D

διαθρέψαι, παρεχομένων τῶν ὀρῶν πολλαῖς μυριάσι χορηγίαν εἰς τροφὴν ἀνέκλειπτον. ἐν ταύτῃ δὲ τῇ χώρᾳ συναγκείας δένδρων οὔσης θεοπρεποῦς καὶ νύμφαις ἄλσους ἀνειμένου, μυθολογοῦσι γεννηθῆναι τὸν ὀνομαζόμενον Δάφνιν, Ἑρμοῦ μὲν καὶ νύμφης υἱόν, ἀπὸ δὲ τοῦ πλήθους καὶ τῆς πυκνότητος τῆς φυομένης δάφνης ὠνομάσθαι Δάφνιν. τοῦτον δ' ὑπὸ νυμφῶν τραφέντα, καὶ βοῶν ἀγέλας παμπληθεῖς κεκτημένον, τούτων ποιεῖσθαι πολλὴν ἐπιμέλειαν· ἀφ' ἧς αἰτίας βουκόλον αὐτὸν ὀνομασθῆναι. φύσει δὲ διαφόρῳ πρὸς εὐμέλειαν κεχορηγημένον ἐξευρεῖν τὸ βουκολικὸν ποίημα καὶ μέλος, ὃ μέχρι τοῦ νῦν κατὰ τὴν Σικελίαν τυγχάνει διαμένον ἐν ἀποδοχῇ. μυθολογοῦσι δὲ τὸν Δάφνιν μετὰ τῆς Ἀρτέμιδος κυνηγετεῖν ὑπηρετοῦντα τῇ θεῷ κεχαρισμένως, καὶ διὰ τῆς σύριγγος καὶ βουκολικῆς μελῳδίας τέρπειν αὐτὴν διαφερόντως. λέγουσι δὲ αὐτοῦ μίαν τῶν νυμφῶν ἐρασθεῖσαν προειπεῖν, ἐὰν ἄλλῃ τινὶ πλησιάσῃ, στερήσεσθαι τῆς ὁράσεως· κἀκεῖνον ὑπό τινος θυγατρὸς βασιλέως καταμεθυσθέντα, καὶ πλησιάσαντα αὐτῇ, στερηθῆναι τῆς ὁράσεως κατὰ τὴν γεγενημένην ὑπὸ τῆς νύμφης πρόῤῥησιν. καὶ περὶ μὲν Δάφνιδος ἱκανῶς ἡμῖν εἰρήσθω.

85 Περὶ δὲ Ὠρίωνος τὰ μυθολογούμενα νῦν διέξιμεν. λέγεται γὰρ τοῦτον σώματος μεγέθει καὶ ῥώμῃ πολὺ τῶν μνημονευομένων ἡρώων ὑπεράγοντα φιλοκύνηγον γενέσθαι καὶ κατασκευάσαι μεγάλα ἔργα διὰ τὴν ἰσχὺν καὶ φιλοδοξίαν. κατὰ μὲν γὰρ τὴν Σικελίαν κατασκευάσαι Ζάγκλῳ τῷ τότε βασιλεύοντι τῆς τότε μὲν ἀπ' αὐτοῦ Ζάγκλης νῦν δὲ Μεσσήνης ὀνομαζομένης ἄλλα τε καὶ τὸν λιμένα προςχώσαντα τὴν ὀνομαζομένην Ἀκτὴν ποιῆσαι. ἐπεὶ δὲ περὶ τῆς Μεσσήνης ἐμνήσθημεν, οὐκ ἀνοί- 328
κειον προςθεῖναι νομίζομεν τοῖς προκειμένοις τὰς περὶ τὸν πορθμὸν διηγήσεις. φασὶ γὰρ οἱ παλαιοὶ μυθογράφοι τὴν Σικελίαν τὸ πρὸ τοῦ χεῤῥόνησον οὖσαν ὕστερον γενέσθαι νῆσον διὰ τοιαύτας αἰτίας. τὸν ἰσθμὸν κατὰ τὸ στενώτατον ὑπὸ δυοῖν πλευρῶν θαλάττης προςκλυ-

18. χορηγίαν] χορηγίας ABD 19. συναγκείας] συναγκίας D 24. τοῦτον] τούτων D δ' D, caeteri δὲ 28. βουκολικὸν] βουκόλειον FGQ 30. διαμένον] διακείμενον F, notavit Stephanus 34. αὐτοῦ] αὐτὸν AD 35. στερήσεσθαι ABD, caeteri στερηθήσεσθαι 37. καὶ πλησιάσαντα om. F 39. ἡμῖν A, caeteri ἡμῖν πάλιν 40. διέξιμεν] διέξειμεν AD 41. τοῦτον om. D 48. περὶ om. D

328. 49. προκειμένοις ABCDQ, caeteri εἰρημένοις 51. πρὸ τοῦ] πρότερον FG 53. στενώταιον D, caeteri στενότατον δυοῖν] δυεῖν D



ζόμενον ἀναῤῥαγῆναι, καὶ τὸν τόπον ἀπὸ τούτου Ῥήγιον ὀνομασθῆναι, καὶ τὴν ὕστερον πολλοῖς ἔτεσι κτισθεῖσαν πόλιν τυχεῖν τῆς ὁμωνύμου προςηγορίας. ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαῤῥαγῆναι τὸν αὐχένα τῆς ἠπείρου, καὶ γενέσθαι τὸν πορθμὸν διειργούσης τῆς θαλάττης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προςχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον, καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταναστῆναι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης. περὶ οὗ καὶ ὁ ποιητὴς Ὅμηρος ἐν τῇ νεκυίᾳ μιμνησκόμενός φησι

τὸν δὲ μέτ' Ὠρίωνα πελώριον εἰςενόησα
θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα,
οὓς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι,
χερσὶν ἔχων ῥόπαλον παγχάλκεον, αἰὲν ἀαγές.

ὁμοίως δὲ καὶ περὶ τοῦ μεγέθους ἐμφανίζων, καὶ προεκθέμενος τὰ περὶ τοὺς Ἀλωιάδας, ὅτι ἐνναέτεις ἦσαν τὸ μὲν εὖρος πηχῶν ἐννέα, τὸ δὲ μῆκος τῶν ἴσων ὀργυιῶν, ἐπιφέρει

τοὺς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα
καὶ πολὺ καλλίστους μετά γε κλυτὸν Ὠρίωνα.

ἡμεῖς δὲ κατὰ τὴν ἐν ἀρχῇ πρόθεσιν περὶ τῶν ἡρώων καὶ ἡμιθέων ἀρκούντως εἰρηκότες αὐτοῦ περιγράψομεν τήνδε τὴν βίβλον.

54. ἀναῤῥαγῆναι] ἀναῤῥηγνῦναι FM 55. τούτου] τούτων A 62. Πελωρίδα ABD, caeteri Πελωριάδα ἀκρωτ.] ἀκροτ. D 65. μεταναστῆναι] μεταστῆναι BD 70. ἀσφοδελὸν] ἀμφοδελὸν A 71. ἐν] ἐνὶ D 73. ἐμφανίζων — προεκθέμενος AB(D), caeteri ἐμφανίζοντα — προεκθέμενον 74. Ἀλωιάδας] immo Ἀλωάδας ἐνναέτεις] scribebatur ἐνναετεῖς 77. θρέψε] θρέψαι AD ζείδωρος] ζήδωρος D 78. μετά γε κλυτὸν AB(D), μεγακυτὸν FG, caeteri μετ' ἀγάκλυτον 79. πρόθεσιν] προθέμενοι FG περιγράψομεν Wesselingius: libri παραγράψομεν

## ΤΑΔΕ ΕΝΕΣΤΙΝ 329
## ΕΝ ΤΗΙ ΠΕΜΠΤΗΙ ΤΩΝ ΔΙΟΔΩΡΟΥ
## ΒΙΒΛΩΝ.


α'. Περὶ τῶν μυθολογουμένων κατὰ τὴν Σικελίαν καὶ τοῦ σχήματος καὶ μεγέθους τῆς νήσου.

β'. Περὶ Δήμητρος καὶ Κόρης καὶ τῆς εὑρέσεως τοῦ πυρίνου καρποῦ.

γ'. Περὶ Λιπάρας καὶ τῶν ἄλλων τῶν Αἰολίδων καλουμένων νήσων.

δ'. Περὶ Μελίτης καὶ Γαύλου καὶ Κερκίνης.

ε'. Περὶ τῆς Αἰθαλίας καὶ Κύρνου καὶ Σαρδόνος.

ς'. Περὶ Πιτυούσης καὶ τῶν νήσων τῶν Γυμνησίων, ἃς τινες Βαλιαρίδας ὀνομάζουσι.

ζ'. Περὶ τῶν ἐν Ὠκεανῷ νήσων τῶν πρὸς ἑσπέραν κειμένων.

η'. Περὶ τῆς Βρεττανικῆς νήσου καὶ τῆς ὀνομαζομένης Βασιλείας, καθ' ἣν τὸ ἤλεκτρον γίνεται.

θ'. Περὶ Γαλατίας καὶ Κελτιβηρίας ἔτι δ' Ἰβηρίας καὶ Λιγυστικῆς καὶ Τυῤῥηνίας, καὶ τῶν ἐν ταύταις κατοικούντων, τίσι χρῶνται νομίμοις.

ι'. Περὶ τῶν κατὰ τὴν μεσημβρίαν ἐν Ὠκεανῷ νήσων, τῆς τε Ἱερᾶς ὀνομαζομένης καὶ τῆς Παγχαίας, καὶ τῶν ἐν αὐταῖς ἱστορουμένων.

ια'. Περὶ Σαμοθρᾴκης καὶ τῶν ἐν αὐτῇ μυστηρίων.

ιβ'. Περὶ Νάξου καὶ Σύμης καὶ Καλύδνης.


329. inscr. τάδε — βίβλων] πίναξ τῆς πέμπτης τῶν Δ. βίβλων A 5. ἄλλων τῶν] ἄλλων A 7. Γαύλου] Γλαύκου ABD Poggius, Γαύδου G 8. Σαρδόνος AC(D)E, caeteri Σαρδῶνος 9. Πιτυούσης] Πιτυούσσης D Γυμνησίων] Γυμνασίων A τινες] τινας Q 10. Βαλιαρίδας D, Βαλαρίδας A, *Baleares* Poggius, caeteri Βαλλιαρίδας 13. Βρεττανικῆς] Πρεττανικῆς D semper praeter 347. 49. 14. τὸ ἤλεκτρον BC(D)EF, caeteri ἤλεκτρον 17. νομίμοις] νόμοις A Poggius 19. Παγχαίας] Παγχαΐας omnes: *Panthea* Poggius 22. Σύμης] Σύβης B




ιγ'. Περὶ Ῥόδου καὶ τῶν κατ' αὐτὴν μυθολογουμένων.

ιδ'. Περὶ Χεῤῥονήσου τῆς ἀντιπέραν τῆς Ῥοδίας κειμένης.

ιε'. Περὶ Κρήτης καὶ τῶν μυθολογουμένων ἐν αὐτῇ μέχρι τῶν νεωτέρων καιρῶν.

ις'. Περὶ τῆς Λέσβου καὶ τῶν εἰς Χίον καὶ Σάμον καὶ Κῶν καὶ Ῥόδον ἀποικιῶν ὑπὸ Μακαρέως.

ιζ'. Περὶ τῆς Τενέδου καὶ τοῦ κατ' αὐτὴν οἰκισμοῦ καὶ τῶν ὑπὸ Τενεδίων περὶ Τέννου μυθευομένων.

ιη'. Περὶ Κυκλάδων νήσων τῶν ἐλαττόνων καὶ τυχουσῶν οἰκισμοῦ ὑπὸ Μίνωος.


25. μυθ. ἐν αὐτῇ] ἐν αὐτῇ μυθ. D 27. τῆς om. D καὶ τῶν εἰς Χίον καὶ Σάμον καὶ Κῶν καὶ Ῥόδον ἀποικιῶν ὑπὸ Μακαρέως (-άρεως D) ABD, om. usque ad (30.) νήσων CE, caeteri Χίου, Σάμου, Κῶ, καὶ τῆς τῶν Ῥοδίων ἀποικίας 29. τῆς om. D καὶ — μυθευομένων ABD, caeteri καὶ τῶν ἐν αὐτῇ οἰκησάντων: *et habitationibus eius et de eis quae a Thenediis gesta dicuntur* Poggius 30. περὶ] περὶ τῶν D τῶν ἐλαττόνων — Μίνωος servarunt AB et omissis καὶ τυχουσῶν D

## ΔΙΟΔΩΡΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ 330

# ΒΙΒΛΙΟΘΗΚΗΣ ΙΣΤΟΡΙΚΗΣ

### ΒΙΒΛΟΣ ΠΕΜΠΤΗ.

1 Πάντων μὲν τῶν ἐν ταῖς ἀναγραφαῖς χρησίμων προνοητέον τοὺς ἱστορίαν συνταττομένους, μάλιστα δὲ τῆς κατὰ μέρος οἰκονομίας. αὕτη γὰρ οὐ μόνον ἐν τοῖς ἰδιωτικοῖς βίοις πολλὰ συμβάλλεται πρὸς διαμονὴν καὶ αὔξησιν τῆς οὐσίας, ἀλλὰ καὶ κατὰ τὰς ἱστορίας οὐκ ὀλίγα ποιεῖ προτερήματα τοῖς συγγραφεῦσιν. ἔνιοι γὰρ καὶ κατὰ τὴν λέξιν καὶ κατὰ τὴν πολυπειρίαν τῶν ἀναγραφομένων πράξεων ἐπαινούμενοι δικαίως ἐν τῷ κατὰ τὴν οἰκονομίαν χειρισμῷ διήμαρτον, ὥςτε τοὺς μὲν πόνους καὶ τὴν ἐπιμέλειαν αὐτῶν ἀποδοχῆς τυγχάνειν παρὰ τοῖς ἀναγινώσκουσι, τὴν δὲ τάξιν τῶν ἀναγεγραμμένων δικαίας τυγχάνειν ἐπιτιμήσεως. Τίμαιος μὲν οὖν μεγίστην πρόνοιαν πεποιημένος τῆς τῶν χρόνων ἀκριβείας καὶ τῆς πολυπειρίας πεφροντικώς, διὰ τὰς ἀκαίρους καὶ μακρὰς ἐπιτιμήσεις εὐλόγως διαβάλλεται, καὶ διὰ τὴν ὑπερβολὴν τῆς ἐπιτιμήσεως Ἐπιτίμαιος ὑπό τινων ὠνομάσθη. Ἔφορος δὲ τὰς κοινὰς πράξεις ἀναγράφων οὐ μόνον κατὰ τὴν λέξιν ἀλλὰ καὶ κατὰ τὴν οἰκονομίαν ἐπιτέτευχε· τῶν γὰρ βίβλων ἑκάστην πεποίηκε περιέχειν κατὰ γένος τὰς πράξεις.

Διόπερ καὶ ἡμεῖς τοῦτο τὸ γένος τοῦ χειρισμοῦ προκρίναντες, κατὰ τὸ δυνατὸν ἀντεχόμεθα ταύτης τῆς

330. inscr. τοῦ om. N  βιβλ. — πέμπτη] ἱστοριῶν έ N  βίβλος πέμπτη] βιβλίον ε A, πέμπτον FG  2. ἱστορίαν BCDG NQ, caeteri ἱστορίας  6. διαμονὴν] διακόσμησιν FMQ  8. γὰρ] δὲ ABD  λέξιν] ἕξιν FM  9. κατὰ τὴν servarunt BC (D)E(N)  10. χειρισμῷ] καὶ μεταχειρίσει addit N  11. διήμαρτον] διήνεγκαν BDFG  14. Τίμαιος] ἐπεὶ Τιμαῖος N  16. ἀκαίρους] εὐκαίρους FG  21. περιέχειν κατὰ γένος ABDE N, caeteri κατὰ γένος περιέχειν



2

331 προαιρέσεως. καὶ ταύτην τὴν βίβλον ἐπιγράφοντες νησιωτικὴν ἀκολούθως τῇ γραφῇ περὶ πρώτης τῆς Σικελίας ἐροῦμεν, ἐπεὶ καὶ κρατίστη τῶν νήσων ἐστὶ καὶ τῇ παλαιότητι τῶν μυθολογουμένων πεπρώτευκεν. ἡ γὰρ νῆσος τὸ παλαιὸν ἀπὸ μὲν τοῦ σχήματος Τρινακρία κληθεῖσα, ἀπὸ δὲ τῶν κατοικησάντων αὐτὴν Σικανῶν Σικανία προςαγορευθεῖσα, τελευταῖον δὲ ἀπὸ τῶν Σικελῶν τῶν ἐκ τῆς Ἰταλίας πανδημεὶ περαιωθέντων ὠνόμασται Σικελία. ἔστι δ' αὐτῆς ἡ περίμετρος σταδίων ὡς τετρακιςχιλίων τριακοσίων ἑξήκοντα· τῶν γὰρ τριῶν πλευρῶν ἡ μὲν ἀπὸ τῆς Πελωριάδος ἐπὶ τὸ Λιλύβαιον ὑπάρχει σταδίων χιλίων ἑπτακοσίων, ἡ δ' ἀπὸ Λιλυβαίου μέχρι Παχύνου τῆς Συρακοσίας χώρας σταδίων χιλίων καὶ πεντακοσίων, ἡ δ' ἀπολειπομένη σταδίων χιλίων ἑκατὸν ἑξήκοντα. οἱ ταύτην οὖν κατοικοῦντες Σικελιῶται παρειλήφασι παρὰ τῶν προγόνων, ἀεὶ τῆς φήμης ἐξ αἰῶνος παραδεδομένης τοῖς ἐκγόνοις, ἱερὰν ὑπάρχειν τὴν νῆσον Δήμητρος καὶ Κόρης· ἔνιοι δὲ τῶν ποιητῶν μυθολογοῦσι κατὰ τὸν τοῦ Πλούτωνος καὶ Περσεφόνης γάμον ὑπὸ Διὸς ἀνακάλυπτρα τῇ νύμφῃ δεδόσθαι ταύτην τὴν νῆσον. τοὺς δὲ κατοικοῦντας αὐτὴν τὸ παλαιὸν Σικανοὺς αὐτόχθονας εἶναί φασιν οἱ νομιμώτατοι τῶν συγγραφέων, καὶ τάς τε προειρημένας θεὰς ἐν ταύτῃ τῇ νήσῳ πρώτως φανῆναι καὶ τὸν τοῦ σίτου καρπὸν ταύτην πρώτην ἀνεῖναι διὰ τὴν ἀρετὴν τῆς χώρας, περὶ ὧν καὶ τὸν ἐπιφανέστατον τῶν ποιητῶν μαρτυρεῖν λέγοντα

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
πυροὶ καὶ κριθαί, ἠδ' ἄμπελοι, αἵτε φέρουσιν
οἶνον ἐριστάφυλον, καί σφιν Διὸς ὄμβρος ἀέξει.

ἔν τε γὰρ τῷ Λεοντίνῳ πεδίῳ καὶ κατὰ πολλοὺς ἄλλους τόπους τῆς Σικελίας μέχρι τοῦ νῦν φύεσθαι τοὺς ἀγρίους ὀνομαζομένους πυρούς. καθόλου δὲ περὶ τῆς εὑρέσεως

331. 29. μὲν omisit FG  30. κατοικησάντων AB(D)FGQ, caeteri κατοικούντων  31. ἀπὸ τῶν] ἀπὸ D  35. Πελωριάδος] Πελωρίδος FG  τὸ Λιλύβαιον A, Λυβαῖον N, caeteri Λιλύβαιον  36. Λιλυβαίου] Λυβαίου N  37. Συρακοσίας] Συρακουσίας omnes  38. χιλίων] χιλίων (καὶ πεντακοσίων) D  39. ἑξήκοντα A, caeteri τεσσαράκοντα  40. ἀεὶ] αἰεὶ D  41. παραδεδομένης] παραδιδομένης D  ἐκγόνοις ABDFG, ἐγγόνοις EQV, ἐνέργοις C, caeteri ἐγχωρίοις  43. Περσεφόνης] Φερσεφόνης D  44. ἀνακάλυπτρα] ἀνακαλύπτρα D  δεδόσθαι] δίδοσθαι F  48 ταύτῃ τῇ νήσῳ ABD, caeteri ταύτῃ πρώτως] πρώτας M  52. ἀνήροτα] ἀνήρωτα καὶ ἀναροτρίαστα N  53. πυροὶ] πυροὶ καὶ σῖτοι N  54. ἐριστάφυλον] καὶ ἀπὸ μεγάλων σταφύλων γινομένων addit N  ἀέξει] καὶ αὔξει addit N  57. περὶ A, caeteri πρὸ

τοῦ σίτου, ζητουμένου κατὰ ποίαν τῆς οἰκουμένης γῆν πρῶτον ἐφάνησαν οἱ προειρημένοι καρποί, εἰκός ἐστιν ἀποδίδοσθαι τὸ πρωτεῖον τῇ κρατίστῃ χώρᾳ· καὶ τὰς

3 θεὰς δὲ τὰς εὑρούσας ἀκολούθως τοῖς εἰρημένοις ὁρᾶν ἔστι μάλιστα τιμωμένας παρὰ τοῖς Σικελιώταις. καὶ τῆς ἁρπαγῆς τῆς κατὰ τὴν Κόρην ἐν ταύτῃ γενομένης ἀπόδειξιν εἶναι λέγουσι φανερωτάτην ὅτι τὰς διατριβὰς αἱ θεαὶ κατὰ ταύτην τὴν νῆσον ἐποιοῦντο διὰ τὸ στέργεσθαι μάλιστα παρ' αὐταῖς ταύτην. γενέσθαι δὲ μυθολογοῦσι τῆς Κόρης τὴν ἁρπαγὴν ἐν τοῖς λειμῶσι τοῖς κατὰ τὴν Ἔνναν. ἔστι δ' ὁ τόπος οὗτος πλησίον μὲν τῆς πόλεως, ἴοις δὲ καὶ τοῖς ἄλλοις ἄνθεσι παντοδαποῖς εὐπρεπὴς καὶ θέας ἄξιος. διὰ δὲ τὴν ἀπὸ τῶν φυομένων ἀνθῶν εὐωδίαν λέγεται τοὺς κυνηγεῖν εἰωθότας κύνας μὴ δύνασθαι στιβεύειν, ἐμποδιζομένους τὴν φυσικὴν 332 αἴσθησιν. ἔστι δὲ ὁ προειρημένος λειμὼν ἄνωθεν μὲν ὁμαλὸς καὶ παντελῶς εὔυδρος, κύκλῳ δ' ὑψηλὸς καὶ πανταχόθεν κρημνοῖς ἀπότομος. δοκεῖ δ' ἐν μέσῳ κεῖσθαι τῆς ὅλης νήσου, διὸ καὶ Σικελίας ὀμφαλὸς ὑπό τινων προσαγορεύεται. ἔχει δὲ καὶ πλησίον ἄλση καὶ λειμῶνας καὶ περὶ ταῦτα ἕλη, καὶ σπήλαιον εὐμέγεθες, ἔχον χάσμα κατάγειον πρὸς τὴν ἄρκτον νενευκός, δι' οὗ μυθολογοῦσι τὸν Πλούτωνα μεθ' ἅρματος ἐπελθόντα ποιήσασθαι τὴν ἁρπαγὴν τῆς Κόρης. τὰ δὲ ἴα καὶ τῶν ἄλλων ἀνθῶν τὰ παρεχόμενα τὴν εὐωδίαν παραδόξως δι' ὅλου τοῦ ἐνιαυτοῦ παραμένειν θάλλοντα καὶ τὴν ὅλην πρόσοψιν ἀνθηρὰν καὶ ἐπιτερπῆ παρεχόμενα. μυθολογοῦσι δὲ μετὰ τῆς Κόρης τὰς τῆς ὁμοίας παρθενίας ἠξιωμένας Ἀθηνᾶν τε καὶ Ἄρτεμιν συντρεφομένας συνάγειν μετ' αὐτῆς τὰ ἄνθη καὶ κατασκευάζειν κοινῇ τῷ πατρὶ Διὶ τὸν πέπλον. διὰ δὲ τὰς μετ' ἀλλήλων διατριβάς τε καὶ

58. γῆν] γῆς ABD 59. εἰκός] εἰκότως ABD 60. τῇ κρατίστῃ] ταύτῃ τῇ M 61. δὲ τὰς D, caeteri δὲ ταύτας 62. ὁρᾶν ἔστι] ὁρᾶν δὲ FG 66. κατὰ ταύτην] κατ' αὐτὴν F 67. γενέσθαι] γίνεσθαι BDF 68. τῆς K. τὴν ἁρπαγὴν] τὴν ἁρπαγὴν τῆς K. D 69. Ἔνναν] Ἔραν B nescio an F 71. εὐπρεπὴς] ἐκπρεπὴς ADFG θέας] τῆς θέας ACDFG 73. στιβεύειν DG, caeteri στειβεύειν

332. 76. εὔυδρος] ἔνυδρος EGN 77. ἀπότομος] καὶ ἀποκεκομμένος addit N 78. δοκεῖ — νήσου om. A Poggius 79. προσαγορεύεται ABCDNQ, caeteri ὀνομάζεται 80. ἄλση] καὶ καταφύτους τόπους addit N καὶ om. D λειμῶνας AC(D)FGM, caeteri addunt καὶ παραδείσους, quae asterisco notavit Stephanus ἕλη] καὶ καθύγρους τόπους addit N 82. δι' οὗ] διὸ D 83. ἐπελθόντα AB(D), caeteri εἰσελθόντα 84. ἀνθῶν] ἀνθέων ABD 88. τὰς τῆς] ταύτης ABD 90. πατρὶ Διὶ D, caeteri Διὶ πατρὶ



ὁμιλίας ἁπάσας στέρξαι τὴν νῆσον ταύτην μάλιστα, καὶ λαχεῖν ἑκάστην αὐτῶν χώραν, τὴν μὲν Ἀθηνᾶν ἐν τοῖς περὶ τὴν Ἱμέραν μέρεσιν, ἐν οἷς τὰς μὲν νύμφας χαριζομένας Ἀθηνᾷ τὰς τῶν θερμῶν ὑδάτων ἀνεῖναι πηγὰς κατὰ τὴν Ἡρακλέους παρουσίαν, τοὺς δ' ἐγχωρίους πόλιν αὐτῇ καθιερῶσαι καὶ χώραν τὴν ὀνομαζομένην μέχρι τοῦ νῦν Ἀθήναιον· τὴν δ' Ἄρτεμιν τὴν ἐν ταῖς Συρακούσαις νῆσον λαβεῖν παρὰ τῶν θεῶν τὴν ἀπ' ἐκείνης Ὀρτυγίαν ὑπό τε τῶν χρησμῶν καὶ τῶν ἀνθρώπων ὀνομασθεῖσαν. ὁμοίως δὲ καὶ κατὰ τὴν νῆσον ταύτην ἀνεῖναι τὰς νύμφας ταύτας χαριζομένας τῇ Ἀρτέμιδι μεγίστην πηγὴν τὴν ὀνομαζομένην Ἀρέθουσαν. ταύτην δ' οὐ μόνον κατὰ τοὺς ἀρχαίους χρόνους ἔχειν μεγάλους καὶ πολλοὺς ἰχθύας, ἀλλὰ καὶ κατὰ τὴν ἡμετέραν ἡλικίαν συμβαίνει διαμένειν τούτους, ἱεροὺς ὄντας καὶ ἀθίκτους ἀνθρώποις· ἐξ ὧν πολλάκις τινῶν κατὰ τὰς πολεμικὰς περιστάσεις φαγόντων, παραδόξως ἐπεσήμηνε τὸ θεῖον, καὶ μεγάλαις συμφοραῖς περιέβαλε τοὺς τολμήσαντας προσενέγκασθαι· περὶ ὧν ἀκριβῶς ἀναγράψομεν ἐν τοῖς
333 οἰκείοις χρόνοις. ὁμοίως δὲ ταῖς προειρημέναις δυσὶ 4
θεαῖς καὶ τὴν Κόρην λαχεῖν τοὺς περὶ τὴν Ἔνναν λειμῶνας· πηγὴν δὲ μεγάλην αὐτῇ καθιερωθῆναι ἐν τῇ Συρακοσίᾳ τὴν ὀνομαζομένην Κυάνην. τὸν γὰρ Πλούτωνα μυθολογοῦσι τὴν ἁρπαγὴν ποιησάμενον ἀποκομίσαι τὴν Κόρην ἐφ' ἅρματος πλησίον τῶν Συρακουσῶν, καὶ τὴν γῆν ἀναῤῥήξαντα αὐτὸν μὲν μετὰ τῆς ἁρπαγείσης δῦναι καθ' Ἅιδου, πηγὴν δ' ἀνεῖναι τὴν ὀνομαζομένην Κυάνην, πρὸς ᾗ κατ' ἐνιαυτὸν οἱ Συρακόσιοι πανήγυριν ἐπιφανῆ συντελοῦσι, καὶ θύουσιν οἱ μὲν ἰδιῶται τὰ ἐλάττω τῶν ἱερείων, δημοσίᾳ δὲ ταύρους βυθίζουσιν ἐν τῇ λίμνῃ, ταύτην τὴν θυσίαν καταδείξαντος Ἡρακλέους

94. τὴν] τὸν DE Ἱμέραν] πόλεως addunt FG 97. καὶ χώραν om. FM, asterisco notavit Stephanus 98. Συρακούσαις] Συρακοσίαις D 4. ἰχθύας ABD, caeteri ἰχθῦς 5. συμβαίνει διαμένειν] invertit D 7. πολλάκις] πολλὰ καὶ F 8. φαγόντων] φυγόντων AB ἐπεσήμηνε] ἐπεσήμαινε ABD 9. περιέβαλε ABCDN, caeteri περιεβάλετο 10. ἀναγράψομεν] ἀναγράφομεν N: v. Exc. Vat. p. 116. 12.

333. 14. Συρακοσίᾳ D, Συρακούσῃ G, *Syracusis* Poggius, caeteri Συρακουσίᾳ 15. 19. Κυάνην] Κυανῆν ed. Wess. tacentibus DN 16. ἐφ' ἅρματος] ἐφ' ἅρμασι AB, ἐφάρμασι D 17. Συρακουσῶν] Συρακουσσῶν D 18. αὐτὸν μὲν] αὐτὸς γὰρ N τῆς ἁρπαγείσης δῦναι] τῆς ἁρπαγῆς εἰσδῦναι D, τὴν ἁρπαγὴν εἰσδῦναι AB 20. Συρακόσιοι D, caeteri Συρακούσιοι

21. συντελοῦσι] συγκροτοῦσι EGNQV 22 ἱερείων] ἱερέων FG βυθίζουσιν ABC(D)EGQ Poggius, βουθίζουσιν N, caeteri συνθυάζουσιν

καθ' ὃν καιρὸν τὰς Γηρυόνου βοῦς ἐλαύνων περιῆλθε πᾶσαν τὴν Σικελίαν. μετὰ δὲ τὴν τῆς Κόρης ἁρπαγὴν μυθολογοῦσι τὴν Δήμητραν μὴ δυναμένην εὑρεῖν τὴν θυγατέρα λαμπάδας ἐκ τῶν κατὰ τὴν Αἴτνην κρατήρων ἀναψαμένην ἐπελθεῖν ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης· τῶν δ' ἀνθρώπων τοὺς μάλιστα ταύτην προσδεξαμένους εὐεργετῆσαι τὸν τῶν πυρῶν καρπὸν ἀντιδωρησαμένην. φιλανθρωπότατα δὲ τῶν Ἀθηναίων ὑποδεξαμένων τὴν θεόν, πρώτοις τούτοις μετὰ τοὺς Σικελιώτας δωρήσασθαι τὸν τῶν πυρῶν καρπόν· ἀνθ' ὧν ὁ δῆμος οὗτος περιττότερον τῶν ἄλλων ἐτίμησαν τὴν θεὸν θυσίαις τ' ἐπιφανεστάταις καὶ τοῖς ἐν Ἐλευσῖνι μυστηρίοις, ἃ διὰ τὴν ὑπερβολὴν τῆς ἀρχαιότητος καὶ ἁγνείας ἐγένετο πᾶσιν ἀνθρώποις περιβόητα. παρὰ δὲ τῶν Ἀθηναίων πολλοὶ μεταλαβόντες τῆς ἐκ τοῦ σίτου φιλανθρωπίας, καὶ τοῖς πλησιοχώροις μεταδιδόντες τοῦ σπέρματος, ἐπλήρωσαν πᾶσαν τὴν οἰκουμένην. οἱ δὲ κατὰ τὴν Σικελίαν, διὰ τὴν τῆς Δήμητρος καὶ Κόρης πρὸς αὐτοὺς οἰκειότητα πρῶτοι τῆς εὑρέσεως τοῦ σίτου μεταλαβόντες, ἑκατέρᾳ τῶν θεῶν κατέδειξαν θυσίας καὶ πανηγύρεις, ἐπωνύμους αὐταῖς ποιήσαντες καὶ τῷ χρόνῳ διασημήναντες τὰς δοθείσας δωρεάς. τῆς μὲν γὰρ Κόρης τὴν καταγωγὴν ἐποιήσαντο περὶ τὸν καιρὸν ἐν ᾧ τὸν τοῦ σίτου καρπὸν τετελεσιουργῆσθαι συνέβαινε, καὶ ταύτην τὴν θυσίαν καὶ πανήγυριν μετὰ τοσαύτης ἁγνείας καὶ σπουδῆς ἐπιτε-
λοῦσιν ὅσῃ εἰκός ἐστι τοὺς τῇ κρατίστῃ δωρεᾷ προκρι- 334
θέντας τῶν ἄλλων ἀνθρώπων ἀποδιδόναι τὰς χάριτας· τῆς δὲ Δήμητρος τὸν καιρὸν τῆς θυσίας προέκριναν ἐν ᾧ τὴν ἀρχὴν ὁ σπόρος τοῦ σίτου λαμβάνει· ἐπὶ δὲ ἡμέρας δέκα πανήγυριν ἄγουσιν ἐπώνυμον τῆς θεοῦ ταύτης, τῇ τε λαμπρότητι τῆς παρασκευῆς μεγαλοπρεπεστάτην καὶ τῇ διασκευῇ μιμούμενοι τὸν ἀρχαῖον βίον. ἔθος δ' ἐστὶν αὐτοῖς ἐν ταύταις ταῖς ἡμέραις αἰσχρολογεῖν

25. τὴν Σικελίαν A, caeteri Σικελλίαν 26. εὑρεῖν] ἀνευρεῖν BD 27. ἀναψαμένην] ἁψαμένην M 29. ταύτην] αὐτὴν D, quod malim 30. πυρῶν] πυρίνων ABD καρπὸν] καρπῶν N 33. καρπόν] καρπῶν N 34. ἐτίμησαν AB(D), caeteri ἐτίμησε 36. ἁγνείας] ἁγνίας D ἐγένετο ABD, caeteri ἐγένοντο 40. πᾶσαν om. NV, asterisco notavit Stephanus 42. πρῶτοι] πρῶτον A τῆς εὑρέσεως] τὴν εὕρεσιν FG 44. διασημήναντες BCDEN, caeteri διασημάναντες 46. τετελεσιουργῆσθαι] τελεσιουργεῖσθαι ABD 48. ἁγνείας] ἁγνίας D

334. 49. ὅσῃ Wesselingius: libri ὅσην τῇ κρατίστῃ ABD, caeteri τῇ: tanti doni Poggius τῶν ἄλλων ABD, caeteri ἁπάντων τῶν 52. ὁ σπόρος om. ENV, asterisco notavit Stephanus



κατὰ τὰς πρὸς ἀλλήλους ὁμιλίας διὰ τὸ τὴν θεὸν ἐπὶ
τῇ τῆς Κόρης ἁρπαγῇ λυπουμένην γελάσαι διὰ τὴν αἰσχρο- 5
λογίαν. περὶ δὲ τῆς κατὰ τὴν Κόρην ἁρπαγῆς ὅτι γέγονεν ὡς προειρήκαμεν πολλοὶ τῶν ἀρχαίων συγγραφέων καὶ ποιητῶν μεμαρτυρήκασι. Καρκίνος μὲν γὰρ ὁ τῶν τραγῳδιῶν ποιητής, πλεονάκις ἐν ταῖς Συρακούσαις παρεπιδεδημηκὼς καὶ τὴν τῶν ἐγχωρίων τεθεαμένος σπουδὴν περὶ τὰς θυσίας καὶ πανηγύρεις τῆς τε Δήμητρος καὶ Κόρης, κατεχώρισεν ἐν τοῖς ποιήμασι τούσδε τοὺς στίχους·

λέγουσι Δήμητρός ποτ' ἄῤῥητον κόρην
Πλούτωνα κρυφίοις ἁρπάσαι βουλεύμασι,
δῦναί τε γαίας εἰς μελαμφαεῖς μυχούς·
πόθῳ δὲ μητέρ' ἠφανισμένης κόρης
μαστῆρ' ἐπελθεῖν πᾶσαν ἐν κύκλῳ χθόνα.
καὶ τὴν μὲν Αἰτναίοισι Σικελίαν πάγοις
πυρὸς γέμουσαν ῥεύμασιν δυςεμβόλοις
πᾶσαν στενάξαι, πένθεσιν δὲ παρθένου
σίτων ἄμοιρον διοτρεφὲς φθίνειν γένος.
ὅθεν θεὰς τιμῶσιν εἰς τὰ νῦν ἔτι.

οὐκ ἄξιον δὲ παραλιπεῖν τῆς θεοῦ ταύτης τὴν ὑπερβολὴν τῆς εἰς τοὺς ἀνθρώπους εὐεργεσίας. χωρὶς γὰρ τῆς εὑρέσεως τοῦ σίτου τήν τε κατεργασίαν αὐτοῦ τοὺς ἀνθρώπους ἐδίδαξε καὶ νόμους εἰςηγήσατο καθ' οὓς δικαιοπραγεῖν εἰθίσθησαν· δι' ἣν αἰτίαν φασὶν αὐτὴν θεσμοφόρον ἐπονομασθῆναι. τούτων δὲ τῶν εὑρεμάτων οὐκ ἄν τις ἑτέραν εὐεργεσίαν εὕροι μείζονα· καὶ γὰρ τὸ ζῆν καὶ τὸ καλῶς ζῆν περιέχουσι. περὶ μὲν οὖν τῶν μυθολογουμένων παρὰ τοῖς Σικελιώταις ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

Περὶ δὲ τῶν κατοικησάντων ἐν αὐτῇ πρώτων Σικα- 6
νῶν, ἐπειδή τινες τῶν συγγραφέων διαφωνοῦσιν, ἀνα-

57. θεὸν] Δήμητραν addit N 61. πολλοὶ] πολλοὶ μὲν CDF 62. καὶ om. A Καρκίνος] libri Καρκῖνος μὲν] ne omissos mireris alios hac voce promissos, conf. supra p. 258. 56. 63. Συρακούσαις] Συρακούσσαις D 64. παρεπιδεδημηκὼς ABD, caeteri ἐπιδεδημηκὼς τῶν ἐγχωρίων] ἐγχώριον EN 66. κατεχώρισεν] κατεχώρησεν ADN ἐν om. N 68. λέγουσι om. A 69. Πλούτωνα] Πλούτων AB 71. μητέρ'] μητρὸς B 73. Αἰτναίοισι] Αἰτναίοις ABD Σικελίαν Rhodomannus: libri Σικελίας 74. ῥεύμασιν] ῥεύμασι libri, ut mox πένθεσι δυςεμβόλοις] ἤγουν δυςκολεκβάτοις gl. V 75. παρθένου] παρθένους ABD 76. ἄμοιρον διοτρεφὲς] ἀμοίρους διατροφοὺς FG 77. θεὰς] θεᾶς D εἰς ed. Wessel.: libri ἐς ἔτι] ἔτη N 81. νόμους] νομὰς A 82. φασὶν om. N θεσμοφόρον] ἤτοι δικαιοφόρον addit N 83. εὑρεμάτων] εὑρημάτων ed. Wess. tacentibus DN

γκαῖόν ἐστι συντόμως εἰπεῖν. Φίλιστος μὲν γάρ φησιν ἐξ Ἰβηρίας αὐτοὺς ἀποικισθέντας κατοικῆσαι τὴν νῆσον, ἀπό τινος Σικανοῦ ποταμοῦ κατ' Ἰβηρίαν ὄντος τετευ- [335] χότας ταύτης τῆς προσηγορίας· Τίμαιος δὲ τὴν ἄγνοιαν τούτου τοῦ συγγραφέως ἐλέγξας ἀκριβῶς ἀποφαίνεται τούτους αὐτόχθονας εἶναι· πολλὰς δὲ αὐτοῦ φέροντος ἀποδείξεις τῆς τούτων ἀρχαιότητος, οὐκ ἀναγκαῖον ἡγούμεθα περὶ τούτων διεξιέναι. οἱ δ' οὖν Σικανοὶ τὸ παλαιὸν κωμηδὸν ᾤκουν, ἐπὶ τῶν ὀχυρωτάτων λόφων τὰς πόλεις κατασκευάζοντες διὰ τοὺς λῃστάς· οὐ γὰρ ἦσαν ὑπὸ μίαν ἡγεμονίαν βασιλέως τεταγμένοι, κατὰ πόλιν δὲ ἑκάστην εἷς ἦν ὁ δυναστεύων. καὶ τὸ μὲν πρῶτον ἅπασαν τὴν νῆσον κατῴκουν, καὶ τὴν χώραν ἐργαζόμενοι τὰς τροφὰς εἶχον· ὕστερον δὲ τῆς Αἴτνης ἐν πλείοσι τόποις ἀναφυσήματα πυρὸς ἀνιείσης, καὶ πολλοῦ κατὰ τὴν χώραν ῥύακος ἐκχυθέντος, συνέβη φθαρῆναι τῆς γῆς ἐπὶ πολὺν τόπον. ἐπ' ἔτη δὲ πλείω τοῦ πυρὸς ἐπινεμομένου πολλὴν χώραν, φοβηθέντες τὰ μὲν πρὸς ἕω κεκλιμένα τῆς Σικελίας ἐξέλιπον, εἰς δὲ τὰ πρὸς δυσμὰς νεύοντα μετῴκησαν. τὸ δὲ τελευταῖον πολλαῖς γενεαῖς ὕστερον ἐκ τῆς Ἰταλίας τὸ τῶν Σικελῶν ἔθνος πανδημεὶ περαιωθὲν εἰς τὴν Σικελίαν τὴν ὑπὸ τῶν Σικανῶν ἐκλειφθεῖσαν χώραν κατῴκησαν. ἀεὶ δὲ τῇ πλεονεξίᾳ προβαινόντων τῶν Σικελῶν, καὶ τὴν ὅμορον πορθούντων, ἐγένοντο πόλεμοι πλεονάκις αὐτοῖς πρὸς τοὺς Σικανούς, ἕως συνθήκας ποιησάμενοι συμφώνους ὅρους ἔθεντο τῆς χώρας· περὶ ὧν τὰ κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν. ὕσταται δ' ἀποικίαι τῶν Ἑλλήνων ἐγένοντο κατὰ τὴν Σικελίαν ἀξιόλογοι καὶ πόλεις παρὰ θάλατταν ἐκτίσθησαν. ἀναμιγνύμενοι δ' ἀλλήλοις καὶ διὰ τὸ πλῆθος τῶν καταπλεόντων Ἑλλήνων τήν τε διάλεκτον αὐτῶν ἔμαθον καὶ ταῖς ἀγωγαῖς συντραφέντες τὸ τελευταῖον τὴν βάρβαρον διάλεκτον ἅμα καὶ τὴν προσηγορίαν ἠλλάξαντο, Σικελιῶται προσαγορευθέντες.

90. συντόμως] πάντως FGM  φησιν om. AD

335. 93. τετευχότας] τετευχότος N, τετευχόματος FG  97. οὐκ om. F, asterisco notavit Stephanus  4. ἐν om. D  5. ἀνιείσης] καὶ ἀναδιδούσης addit N  πολλοῦ] πολλοὺς FGMQ  ῥύακος ἐκχυθέντος ABC(D), ῥύακας ἐκχυθέντας FGMQ, caeteri ῥυέντος πυρὸς  6. φθαρῆναι ABC(D)E(N), caeteri διαφθαρῆναι  τῆς γῆς ABC(D)EG(N), caeteri τὴν γῆν  9. νεύοντα] ῥέοντα F  11. Ἰταλίας] Σικελίας FG  14. προβαινόντων] προσβαινόντων B  15. πόλεμοι] πολέμιοι N  20. θάλατταν D, caeteri θάλασσαν  ἀλλήλοις] ἀλλήλους N  21. τὸ πλῆθος DN, caeteri πλῆθος  22. ἔμαθον] nonne μαθόντες?  24. ἅμα] ἀλλὰ CEGNQ



7 Ἡμεῖς δὲ περὶ τούτων ἀρκούντως εἰρηκότες μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὰς νήσους τὰς ὀνομαζομένας Αἰολίδας. αὗται δ' εἰσὶ τὸν μὲν ἀριθμὸν ἑπτά, προσηγορίας δ' ἔχουσι ταύτας, Στρογγύλη καὶ Εὐώνυμος ἔτι δὲ Διδύμη καὶ Φοινικώδης καὶ Ἐρικώδης, πρὸς δὲ τούτοις Ἱερὰ Ἡφαίστου καὶ Λιπάρα, καθ' ἣν ὁμώνυμος πόλις καθίδρυται. κεῖνται δ' αὗται μεταξὺ Σικελίας καὶ Ἰταλίας ἐπ' εὐθείας ἀπὸ πορθμοῦ καὶ τῆς πρὸς ἕω πρὸς τὴν δύσιν. ἀπέχουσι δὲ τῆς Σικελίας ὡς ἑκατὸν πεντήκοντα σταδίους, καὶ τὸ μέγεθός εἰσιν ἀλλήλαις παρα- [336] πλήσιαι· ἡ δὲ μεγίστη αὐτῶν ἐστι τὴν περίμετρον σταδίων ὡς ἑκατὸν πεντήκοντα. αὗται δὲ πᾶσαι πυρὸς ἐσχήκασιν ἀναφυσήματα μεγάλα, ὧν κρατῆρες οἱ γεγενημένοι καὶ τὰ στόμια μέχρι τοῦ νῦν εἰσι φανερά. ἐν δὲ τῇ Στρογγύλῃ καὶ τῇ Ἱερᾷ μέχρι τοῦ νῦν ἐκ τῶν χασμάτων ἐκπίπτει πνεύματος μέγεθος καὶ βρόμος ἐξαίσιος· ἐκφυσᾶται δὲ καὶ ἄμμος καὶ λίθων διαπύρων πλῆθος, καθάπερ ἔστιν ὁρᾶν καὶ περὶ τὴν Αἴτνην γινόμενον. λέγουσι γάρ τινες ἐκ τούτων τῶν νήσων ὑπονόμους εἶναι κατὰ γῆς μέχρι τῆς Αἴτνης καὶ τοῖς ἐπ' ἀμφότερα στομίοις συνημμένους· διὸ καὶ κατὰ τὸ πλεῖστον ἐναλλὰξ καίεσθαι τοὺς ἐν ταύταις ταῖς νήσοις κρατῆρας τῶν κατὰ τὴν Αἴτνην. φασὶ δὲ τὰς Αἰόλου νήσους τὸ μὲν παλαιὸν ἐρήμους γεγονέναι, μετὰ δὲ ταῦτα τὸν ὀνομαζόμενον Λίπαρον, Αὔσονος ὄντα τοῦ βασιλέως υἱόν, ὑπὸ τῶν ἀδελφῶν καταστασιασθῆναι. κυριεύσαντα δὲ νεῶν μακρῶν καὶ στρατιωτῶν ἐκ τῆς Ἰταλίας φυγεῖν εἰς τὴν ἀπὸ τούτου Λιπάραν ὀνομασθεῖσαν· ἐν ταύτῃ δὲ τὴν ἐπώνυμον αὐτοῦ πόλιν κτίσαι, καὶ τὰς ἄλλας νήσους τὰς προειρημένας γεωργῆσαι. τούτου δὲ γεγηρακότος Αἴολον τὸν Ἱππότου μετά τινων παραβαλόντα εἰς τὴν Λιπάραν τὴν τοῦ Λιπάρου γῆμαι θυγατέρα Κυάνην·

26. μεταβιβάσομεν C(D)EG(N)Q, caeteri μεταβιβάσωμεν  29. καὶ et ἔτι δὲ et 30. καὶ om. AG, asteriscis notavit Stephanus  30. καὶ Ἐρ. om. AFGM Poggius, asterisco notavit Stephanus  Ἐρικώδης C(DN), caeteri Ἐρυκώδης  33 ἐπ' εὐθείας om. FGM, asterisco notavit Stephanus  34. πρὸς τὴν] πρὸς D

336. 37. σταδίων ὡς ἑκατὸν πεντήκοντα] ἑκατὸν πεντήκοντα σταδίων D  πυρὸς ἐσχήκασιν] προσεσχήκασιν CN  39. γεγενημένοι] ἐγένοντο GM  τοῦ] τῆς FG  41. ἐκπίπτει] ἐκπίπτειν D  βρόμος] καὶ ἦχος addit N  43. διαπύρων] διαπόρων A  50. Λίπαρον semper D, caeteris est ὀξύτονον  51. καταστασιασθῆναι] καταναγκασθῆναι A  52. κυριεύσαντα] κυριεῦσαι F  53. φυγεῖν] καὶ φυγεῖν FG  57. παραβαλόντα] παραβάλλοντα D  τὴν Λ.] τήν τε Λ. D  γῆμαι θ.] θ. γῆμαι D

καὶ τοὺς λαοὺς κοινῇ μετὰ τῶν ἐγχωρίων πολιτεύεσθαι ποιήσας ἐβασίλευσε τῆς νήσου. τῷ δὲ Λιπάρῳ τῆς Ἰταλίας ἐπιθυμοῦντι συγκατεσκεύασεν αὐτῷ τοὺς περὶ τὸ Σύῤῥεντον τόπους, ὅπου βασιλεύσας καὶ μεγάλης ἀποδοχῆς τυχὼν ἐτελεύτησε· ταφεὶς δὲ μεγαλοπρεπῶς τιμῶν ἔτυχεν ἡρωικῶν παρὰ τοῖς ἐγχωρίοις. ὁ δ᾽ Αἴολος οὗτός ἐστι πρὸς ὃν μυθολογοῦσι τὸν Ὀδυσσέα κατὰ τὴν πλάνην ἀφικέσθαι. γενέσθαι δ᾽ αὐτόν φασιν εὐσεβῆ καὶ δίκαιον ἔτι δὲ καὶ πρὸς τοὺς ξένους φιλάνθρωπον· πρὸς δὲ τούτοις τὴν τῶν ἱστίων χρείαν τοῖς ναυτικοῖς εἰσηγήσασθαι, καὶ ἀπὸ τῆς τοῦ πυρὸς προσημασίας παρατετηρηκότα προλέγειν τοῖς ἐγχωρίοις ἀνέμους εὐστόχως· ἐξ οὗ ταμίαν αὐτὸν εἶναι τῶν ἀνέμων ὁ μῦθος ἀνέδειξε· διὰ δὲ τὴν ὑπερβολὴν τῆς εὐσεβείας φίλον τῶν θεῶν ὀνομασθῆναι.

8 Τοῦ δ᾽ Αἰόλου υἱοὺς γενέσθαι τὸν ἀριθμὸν ἕξ, Ἀστύοχον καὶ Ξοῦθον καὶ Ἀνδροκλέα, πρὸς δὲ τούτοις Φεραίμονα καὶ Ἰόκαστον καὶ Ἀγάθυρνον· πάντας δὲ τούτους διά τε τὴν τοῦ πατρὸς δόξαν καὶ διὰ τὰς ἀρετὰς μεγάλης ἀποδοχῆς τυχεῖν. τούτων δ᾽ Ἰόκαστος μὲν τῆς Ἰταλίας ἀντεχόμενος ἐβασίλευσε τῆς παραλίας μέχρι τῶν κατὰ τὸ Ῥήγιον τόπων. Φεραίμων δὲ καὶ Ἀνδροκλῆς ἐδυνάστευσαν τῆς Σικελίας ἀπὸ τοῦ πορθμοῦ μέχρι τῶν 337 κατὰ τὸ Λιλύβαιον τόπων. ταύτης δὲ τῆς χώρας τὰ μὲν πρὸς ἕω κεκλιμένα μέρη κατῴκουν Σικελοί, τὰ δὲ πρὸς δυσμὰς Σικανοί. ταῦτα δὲ τὰ ἔθνη πρὸς ἄλληλα διεφέροντο· τοῖς δ᾽ Αἰόλου παισὶ τοῖς προειρημένοις ἑκουσίως ὑπήκουον διά τε τὴν τοῦ πατρὸς Αἰόλου διαβεβοημένην εὐσέβειαν καὶ διὰ τὴν αὐτῶν ἐκείνων ἐπιείκειαν. ἐβασίλευσε δὲ καὶ Ξοῦθος τῆς περὶ τοὺς Λεοντίνους χώρας, ἥτις ἀπ᾽ ἐκείνου μέχρι τοῦ νῦν χρόνου Ξουθία προσαγορεύεται. Ἀγάθυρνος δὲ βασιλεύσας τῆς

58. λαοὺς B(D), caeteri ἄλλους 61. Σύῤῥεντον] Σύρεντον D Poggius 70. τοῖς ἐγχωρίοις A(N), caeteri τοὺς ἐγχωρίους 72. ὀνομασθῆναι] ὠνομάσθαι E 74. Ἀστύοχον] Ἄστυχον GMQ 75. Φεραίμονα] Φερήμονα ABD, Φεράμονα CEGNQ 76. καὶ Ἰόκαστον] καὶ Ἰοκάστην DN, Ἰόκαστον FG, caeteri Ἰοκάστην 76. Ἀγάθυρνον] Agathyrsus Poggius semper 77. διὰ alterum om. AD 78. μεγάλης ἀ.] ἀ. μεγάλης D δ᾽ D, caeteri δὲ Ἰόκαστος FG(N), caeteri Ἰοκάστης 79. ἀντεχόμενος om. AM τῆς παραλίας om. FGM Poggius, asterisco notavit Stephanus 80. Φεραίμων] Φερήμων AB, Φερέμων D, Φεράμων CEGNQ 81. ἀπὸ τοῦ] ἀπὸ D 337. 82. Λιλύβαιον] Λυμβαῖον N 86. ὑπήκουον AB(D), ὑπήκουσε FG, caeteri ὑπήκουε 87. διαβεβοημένην om. M 88. ἐπιείκειαν] ἐπιμέλειαν FGQ Poggius 90. χρόνου om. M Ξουθία] Ζουθία M



νῦν ὀνομαζομένης Ἀγαθυρνίτιδος χώρας ἔκτισε πόλιν τὴν ἀπ᾽ αὐτοῦ κληθεῖσαν Ἀγάθυρνον. Ἀστύοχος δὲ τῆς Λιπάρας ἔσχε τὴν ἡγεμονίαν. πάντες δὲ οὗτοι μιμησάμενοι τὴν τοῦ πατρὸς εὐσέβειάν τε καὶ δικαιοσύνην μεγάλης ἐτύγχανον ἀποδοχῆς. ἐπὶ πολλὰς δὲ γενεὰς τῶν ἐγγόνων διαδεχομένων τὰς δυναστείας, τὸ τελευταῖον οἱ ἀπ᾽ Αἰόλου γεγονότες βασιλεῖς κατὰ τὴν Σικελίαν διελύθησαν.

9 Μετὰ δὲ ταῦτα οἱ μὲν Σικελοὶ τοῖς ἀρίστοις τῶν ἀνδρῶν τὰς ἡγεμονίας ἐνεχείριζον, οἱ δὲ Σικανοὶ περὶ τῆς δυναστείας διαφερόμενοι πρὸς ἀλλήλους ἐπολέμουν ἐπὶ πολλοὺς χρόνους. μετὰ δὲ ταῦτα πολλοῖς ἔτεσιν ὕστερον, πάλιν τῶν νήσων ἐξερημουμένων ἀεὶ καὶ μᾶλλον, Κνίδιοί τινες καὶ Ῥόδιοι δυςαρεστήσαντες τῇ βαρύτητι τῶν κατὰ τὴν Ἀσίαν βασιλέων ἔγνωσαν ἀποικίαν ἐκπέμπειν. διόπερ προστησάμενοι σφῶν αὐτῶν ἡγεμόνα Πένταθλον τὸν Κνίδιον, ὃς ἦν ἀναφέρων τὸ γένος εἰς Ἱππότην τὸν ἀφ᾽ Ἡρακλέους γεγονότα, κατὰ τὴν Ὀλυμπιάδα τὴν πεντηκοστήν, ἣν ἐνίκα στάδιον Ἐπιτελίδας ὁ Λάκων, οἱ δ᾽ οὖν περὶ τὸν Πένταθλον πλεύσαντες τῆς Σικελίας εἰς τοὺς κατὰ τὸ Λιλύβαιον τόπους κατέλαβον Ἐγεσταίους καὶ Σελινουντίους διαπολεμοῦντας πρὸς ἀλλήλους. πεισθέντες δὲ τοῖς Σελινουντίοις συμμαχεῖν πολλοὺς ἀπέβαλον κατὰ τὴν μάχην, ἐν οἷς ἦν καὶ αὐτὸς ὁ Πένταθλος. διόπερ οἱ περιλειφθέντες, ἐπειδὴ κατεπολεμήθησαν οἱ Σελινούντιοι, διέγνωσαν ἀπιέναι πάλιν ἐπ᾽ οἴκου· ἑλόμενοι δ᾽ ἡγεμόνας τοὺς οἰκείους τοῦ Πεντάθλου Γόργον καὶ Θέστορα καὶ Ἐπιθερσίδην ἀπέπλεον διὰ τοῦ Τυῤῥηνικοῦ πελάγους. προςπλευσάντων δ᾽ αὐτῶν τῇ Λιπάρᾳ καὶ φιλοφρόνως ἀποδοχῆς τυχόντων, ἐπείσθησαν κοινῇ μετὰ τῶν ἐγχωρίων κατοικῆσαι τὴν Λιπάραν, ὄντων τῶν ἀπ᾽ Αἰόλου περιλελειμμένων ὡς πεντακοσίων. ὕστερον δὲ τῶν Τυῤῥηνῶν λῃστευόντων κατὰ θάλατταν πολεμούμενοι, κατεσκευάσαντο ναυ-

91. Ἀγαθυρνίτιδος] Ἀγαθυρνήτιδος D 93. Ἀγάθυρνον] Ἀγάθυρναν BD Ἀστύοχος] Ἄστυχος FGMQ 97. τὰς δυναστείας ABC(D)FG, caeteri τὴν δυναστείαν Αἰόλου] Αἰολοῦ D 3. καὶ μᾶλλον om. A 4. Κνίδιοί τινες καὶ Ῥόδιοι δυςαρεστήσαντες] Κνιδίους (-οις D) τινας καὶ Ῥοδίους (-οις D) δυςαρεστήσαντας DFG 5. ἔγνωσαν] γνῶναι FG 9. τὴν Ὀλυμπιάδα τὴν πεντηκοστήν ABCD, caeteri τὴν πεντηκοστὴν Ὀλυμπιάδα 10. ὁ om. D 12. Ἐγεσταίους AC(DN), caeteri Αἰγεσταίους 15. μάχην] ἀρχὴν FG 18. Γόργον ABC(D)E(N)Q, Γόργωννα FG, caeteri Γόργωνα 24. κατὰ] τὰ κατὰ AD θάλατταν D, caeteri θάλασσαν 25. κατεσκευάσαντο Poppo: libri κατεσκεύασαν τὸ

τικόν, καὶ διελόμενοι σφᾶς αὐτοὺς οἱ μὲν ἐγεώργουν τὰς νήσους κοινὰς ποιήσαντες, οἱ δὲ πρὸς τοὺς λῃστὰς ἀντετάττοντο· καὶ τὰς οὐσίας δὲ κοινὰς ποιησάμενοι καὶ 338 ζῶντες κατὰ συσσίτια, διετέλεσαν ἐπί τινας χρόνους κοινωνικῶς βιοῦντες. ὕστερον δὲ τὴν μὲν Λιπάραν, καθ' ἣν καὶ ἡ πόλις ἦν, διενείμαντο, τὰς δὲ ἄλλας ἐγεώργουν κοινῇ. τὸ δὲ τελευταῖον πάσας τὰς νήσους εἰς εἴκοσι ἔτη διελόμενοι, πάλιν κληρουχοῦσιν, ὅταν ὁ χρόνος οὗτος διέλθῃ. μετὰ δὲ ταῦτα πολλαῖς ναυμαχίαις ἐνίκησαν τοὺς Τυῤῥηνούς, καὶ ἀπὸ τῶν λαφύρων πλεονάκις ἀξιολόγους δεκάτας ἀνέθεσαν εἰς Δελφούς.

10 Λείπεται δ' ἡμῖν περὶ τῆς τῶν Λιπαραίων πόλεως τὰς αἰτίας ἀποδοῦναι, δι' ἃς ἐν τοῖς ὕστερον χρόνοις ἔλαβεν αὔξησιν οὐ μόνον πρὸς εὐδαιμονίαν ἀλλὰ καὶ πρὸς δόξαν. αὕτη γὰρ λιμέσι τε καλοῖς ὑπὸ τῆς φύσεως κεκόσμηται καὶ θερμοῖς ὕδασι τοῖς διαβεβοημένοις. οὐ μόνον γὰρ πρὸς ὑγίειαν τῶν νοσούντων τὰ κατ' αὐτὴν λουτρὰ πολλὰ συμβάλλεται, ἀλλὰ καὶ κατὰ τὴν τῶν θερμῶν ὑδάτων ἰδιότητα παρέχεται τέρψιν καὶ ἀπόλαυσιν οὐ τὴν τυχοῦσαν. διόπερ πολλοὶ τῶν κατὰ τὴν Σικελίαν ὑπὸ νόσων ἰδιοτρόπων ἐνοχλούμενοι καταντῶσιν εἰς αὐτήν, καὶ τοῖς λουτροῖς χρώμενοι παραδόξως ὑγιεῖς καθίστανται. ἔχει δ' ἡ νῆσος αὕτη τὰ διαβεβοημένα μέταλλα τῆς στυπτηρίας, ἐξ ἧς λαμβάνουσιν οἱ Λιπαραῖοι καὶ Ῥωμαῖοι μεγάλας προσόδους. οὐδαμοῦ γὰρ τῆς οἰκουμένης τῆς στυπτηρίας γινομένης, καὶ πολλὴν χρείαν παρεχομένης, εἰκότως μονοπώλιον ἔχοντες καὶ τὰς τιμὰς ἀναβιβάζοντες πλῆθος χρημάτων λαμβάνουσιν ἄπιστον· ἐν μόνῃ γὰρ τῇ νήσῳ Μήλῳ φύεται μικρά τις στυπτηρία, μὴ δυναμένη διαρκεῖν πολλαῖς πόλεσιν. ἔστι δὲ καὶ ἡ νῆσος τῶν Λιπαραίων μικρὰ μὲν τὸ μέγεθος, καρποφόρος δὲ ἱκανῶς καὶ τὰ πρὸς ἀνθρώπων τροφὴν ἔχουσα διαφερόντως. καὶ γὰρ ἰχθύων παντοδαπῶν παρέχεται πλῆθος τοῖς κατοικοῦσι καὶ τῶν ἀκροδρύων τὰ μάλιστα δυνάμενα παρέχεσθαι τὴν ἐκ τῆς ἀπολαύσεως ἡδονήν. καὶ περὶ μὲν Λιπάρας καὶ τῶν ἄλλων τῶν Αἰόλου νήσων καλουμένων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

338. 28. *συσσίτια*] *ἀσυσιτίαν* FG 32. *τελευταῖον*] *τελεῖον* F 35. *τοὺς* om. ACD, delet secunda manus N 38. *ἔλαβεν* BCDE, caeteri *ἔλαβον* 40. *λιμέσι*] *λειμῶσι* vertit Poggius 41. *κεκόσμηται*] *κατεκόσμηται* B, *κατεκόσμητο* A 44. *τῶν* E(N), caeteri *ἐκ τῶν* 46. *ἰδιοτρόπων*] *ἰδιοτρόφων* N *ἐνοχλούμενοι*] *ὀχλούμενοι* N 51. *τῆς στ.*] *στ.* D 56. *πόλεσιν* AB(DN), caeteri *πόλεσι*: *ἐν μόνῃ — πόλεσι* om. Poggius *ἡ* om. D 58. *τροφὴν*] *τρυφὴν* BCDEFGQ



Μετὰ δὲ τὴν Λιπάραν εἰς τὸ πρὸς δυσμὰς μέρος 11 νῆσός ἐστι πελαγία, μικρὰ μὲν τὸ μέγεθος, ἔρημος δὲ καὶ διά τινα περιπέτειαν Ὀστεώδης ὀνομαζομένη. καθ' ὃν γὰρ καιρὸν Καρχηδόνιοι πρὸς Συρακοσίους διαπολεμοῦντες πολλοὺς καὶ μεγάλους πολέμους δυνάμεις εἶχον ἀξιολόγους πεζικάς τε καὶ ναυτικάς, περὶ δὲ τούτους τοὺς καιροὺς μισθοφόρων ὄντων παρ' αὐτοῖς πολλῶν καὶ παντοδαπῶν τοῖς ἔθνεσιν, οὗτοι δὲ ταραχώδεις ὄντες, καὶ πολλὰς καὶ μεγάλας στάσεις εἰωθότες ποιεῖσθαι, καὶ μάλιστα ὅταν τοὺς μισθοὺς εὐκαίρως μὴ λαμβάνωσιν, ἐχρήσαντο καὶ τότε τῇ συνήθει ῥᾳδιουργίᾳ τε καὶ τόλμῃ. 339 ὄντες γὰρ τὸν ἀριθμὸν ὡς ἑξακισχίλιοι, καὶ τοὺς μισθοὺς οὐκ ἀπολαμβάνοντες, τὸ μὲν πρῶτον συντρέχοντες κατεβόων τῶν στρατηγῶν· ἐκείνων δὲ ἀπορουμένων χρημάτων, καὶ πολλάκις ἀναβαλλομένων τὰς ἀποδόσεις, ἠπείλουν τοῖς ὅπλοις ἀμυνεῖσθαι τοὺς Καρχηδονίους, καὶ τὰς χεῖρας προσέφερον τοῖς ἡγεμόσι. τῆς δὲ γερουσίας ἐγκαλούσης, καὶ τῆς διαφορᾶς ἀεὶ μᾶλλον ἐκκαιομένης, ἡ μὲν γερουσία τοῖς στρατηγοῖς ἐν ἀποῤῥήτοις προσέταξεν ἀφανίσαι πάντας τοὺς ἐγκαλουμένους· οἱ δὲ λαβόντες τὰς ἐντολάς, καὶ τοὺς μισθοφόρους ἐμβιβάσαντες εἰς τὰς ναῦς, ἐξέπλευσαν ὡς ἐπί τινα πολεμικὴν χρείαν. προσπλεύσαντες δὲ τῇ προειρημένῃ νήσῳ, καὶ πάντας τοὺς μισθοφόρους ἀποβιβάσαντες εἰς αὐτήν, ἀπέπλευσαν καταλιπόντες ἐν αὐτῇ τοὺς ἐγκαλουμένους. οἱ δὲ μισθοφόροι περιαλγεῖς ὄντες τῇ περιστάσει καὶ μὴ δυνάμενοι τοὺς Καρχηδονίους ἀμύνασθαι, λιμῷ διεφθάρησαν. ἐν νήσῳ δὲ μικρᾷ τοσούτων αἰχμαλώτων τελευτησάντων συνέβη τὸν τόπον ὀλίγον ὄντα πληρωθῆναι τῶν ὀστῶν· ἀφ' ἧς αἰτίας ἡ νῆσος ἔτυχε ταύτης τῆς προσηγορίας. οἱ μὲν οὖν μισθοφόροι τοῦτον τὸν τρόπον παρανομηθέντες τῆς μεγίστης συμφορᾶς ἔτυχον, ἐνδείᾳ τροφῆς διαφθαρέντες.

Ἡμεῖς δ' ἐπεὶ τὰ περὶ τὰς Αἰολίδας νήσους διήλθο- 12

67. *Συρακοσίους*] *Συρακουσίους* omnes 72. *ποιεῖσθαι* ABDEN, caeteri *ποιῆσαι* 73. *εὐκαίρως*] *εὐκαίρους* AB 75. *ὡς* om. ENV, asterisco notavit Stephanus *ἑξακισχίλιοι*] *ἑξακισχιλίων* N, *milia sexaginta* Poggius

339. 76. *οὐκ ἀπολαμβάνοντες*] *οὐ καταλαμβάνοντες* FG 78. *χρημάτων*] *χρήμασι* ABDFG 79. *ἀποδόσεις*] *δόσεις* C, *δίσεις* N *ἀμυνεῖσθαι*] *ἀμύνεσθαι* D 83. *ἐγκαλουμένους* ABDFG, caeteri *ἐγκαλοῦντας* 87. *ἀποβιβάσαντες*] *ἀπολιπόντες* F 89. *ἐγκαλουμένους* ABDFG, caeteri *ἐγκαλοῦντας* 90. *περιαλγεῖς ὄντες*] *περιαλγήσαντες* FGMQ 92. *αἰχμαλώτων*] *σωμάτων αἰχμαλώτων* B 94. *ταύτης* om. AD 98. *τὰ* om. A

μεν, ἐν μέρει τὰς ἐκ θατέρου μέρους κειμένας νήσους ἀναγραφῆς ἀξιώσομεν. τῆς γὰρ Σικελίας ἐκ τοῦ κατὰ μεσημβρίαν μέρους νῆσοι τρεῖς πρόκεινται πελάγιοι, καὶ τούτων ἑκάστη πόλιν ἔχει καὶ λιμένας δυναμένους τοῖς χειμαζομένοις σκάφεσι παρέχεσθαι τὴν ἀσφάλειαν. καὶ πρώτη μέν ἐστιν ἡ προςαγορευομένη Μελίτη, τῶν Συρακουσῶν ἀπέχουσα σταδίους ὡς ὀκτακοσίους, καὶ λιμένας ἔχει πολλοὺς καὶ διαφόρους ταῖς εὐχρηστίαις, τοὺς δὲ κατοικοῦντας ταῖς οὐσίαις εὐδαίμονας. τεχνίτας τε γὰρ ἔχει παντοδαποὺς ταῖς ἐργασίαις, κρατίστους δὲ τοὺς ὀθόνια ποιοῦντας τῇ τε λεπτότητι καὶ τῇ μαλακότητι διαπρεπῆ· τάς τε οἰκήσεις ἀξιολόγους καὶ κατεσκευασμένας φιλοτίμως γείσοις καὶ κονιάμασι περιττότερον. ἔστι δὲ ἡ νῆσος αὕτη Φοινίκων ἄποικος, οἳ ταῖς ἐμπορίαις διατείνοντες μέχρι τοῦ κατὰ τὴν δύσιν Ὠκεανοῦ καταφυγὴν εἶχον ταύτην, εὐλίμενον οὖσαν καὶ κειμένην πελαγίαν· δι᾽ ἣν αἰτίαν οἱ κατοικοῦντες αὐτὴν εὐχρηστούμενοι κατὰ πολλὰ διὰ τοὺς ἐμπόρους ταχὺ τοῖς τε βίοις ἀνέδραμον καὶ ταῖς δόξαις ηὐξήθησαν. μετὰ δὲ ταύτην τὴν νῆσόν ἐστιν ἑτέρα τὴν μὲν προςηγορίαν ἔχουσα Γαῦλος, πελαγία δὲ καὶ λιμέσιν εὐκαίροις κεκοσμημένη, Φοινίκων ἄποικος. ἑξῆς δ᾽ ἐστὶ Κέρκινα, πρὸς τὴν Λιβύην νενευκυῖα, πόλιν ἔχουσα σύμμετρον καὶ λιμένας εὐχρηστοτάτους, οὐ μόνον ταῖς ἐμπόροις ἀλλὰ καὶ ταῖς μακραῖς ναυσὶν εὐθετοῦντας. ἐπεὶ δὲ περὶ τῶν κατὰ τὴν 340 μεσημβρίαν νήσων εἰρήκαμεν, ἐπάνιμεν πάλιν ἐπὶ τὰς ἑξῆς τῇ Λιπάρᾳ νήσους τὰς κειμένας κατὰ τὸ Τυῤῥηνικὸν καλούμενον πέλαγος.

13 Τῆς γὰρ Τυῤῥηνίας κατὰ τὴν ὀνομαζομένην πόλιν Ποπλώνιον νῆσός ἐστιν, ἣν ὀνομάζουσιν Αἰθάλειαν. αὕτη δὲ τῆς παραλίας ἀπέχουσα σταδίους ὡς ἑκατὸν

99. κειμένας νήσους] νήσους κειμένας D  100. ἀξιώσομεν] ἀξιώσωμεν D  5. Συρακουσῶν] Συρακοσίων BD  σταδίους CDEN, caeteri στάδια  ὡς ὀκτακοσίους CEN, ὀκτακοσίους D, om. A, caeteri ὡς ὀκτακόσια: octoginta Poggius  6. ἔχει] μὲν ἔχει D  10. οἰκήσεις ABDN, caeteri οἰκίας  11. καὶ om. C  γείσοις] γησοιεσσι D, γυψώμασι A, gypso Poggius, caeteri γείσσοις, cui καὶ θεμελίοις addunt CN  κονιάμασι] καὶ περὶ τὸ πρόςωπον καλλωπίσμασι (καλοπίσμασι N) addunt NV  13. ἐμπορίαις] ἐμπορείαις D  14. εὐλίμενον οὖσαν] εὐκλιμενοῦσαν F  18. ηὐξήθησαν] ηὐξήνθησαν N  19. Γαῦλος] Γάβδος GM, Γαῦδος Γαῦλος margo G, Gaudas Poggius  20. Φοινίκων] Φοινίκων δ᾽ D  21. Κέρκινα] Κερκίνη ABDG, Κερκίρα E  23. ταῖς ἐμπόροις AB, caeteri τοῖς ἐμπόροις

340. 25. ἐπάνιμεν] ἐπάνειμεν AD  τῇ Λιπάρᾳ] τῆς Λιπάρας A  29. Αἰθάλειαν D, caeteri Αἰθαλίαν  30. παραλίας Wesselingius, a continenti Poggius, Λιπάρας ADFG, caeteri Λιπάρας παραλίας, quorum posterius asterisco notavit Stephanus



τὴν μὲν προςηγορίαν εἴληφεν ἀπὸ τοῦ πλήθους τοῦ κατ᾽ αὐτὴν αἰθάλου. πέτραν γὰρ ἔχει πολλὴν σιδηρῖτιν, ἣν τέμνουσιν ἐπὶ τὴν χωνείαν καὶ κατασκευὴν τοῦ σιδήρου, πολλὴν ἔχοντες τοῦ μετάλλου δαψίλειαν. οἱ γὰρ ταῖς ἐργασίαις προςεδρεύοντες κόπτουσι τὴν πέτραν καὶ τοὺς τμηθέντας λίθους καίουσιν ἔν τισι φιλοτέχνοις καμίνοις· ἐν δὲ ταύταις τῷ πλήθει τοῦ πυρὸς τήκοντες τοὺς λίθους καταμερίζουσιν εἰς μεγέθη σύμμετρα, παραπλήσια ταῖς ἰδέαις μεγάλοις σπόγγοις. ταῦτα συναγοράζοντες ἔμποροι καὶ μεταβαλλόμενοι κομίζουσιν εἴς τε Δικαιαρχίαν καὶ εἰς τὰ ἄλλα ἐμπόρια. ταῦτα δὲ τὰ φορτία τινὲς ὠνούμενοι καὶ τεχνιτῶν χαλκέων πλῆθος ἀθροίζοντες κατεργάζονται, καὶ ποιοῦσι σιδήρου πλάσματα παντοδαπά. τούτων δὲ τὰ μὲν εἰς ὀρνέων τύπους χαλκεύουσι, τὰ δὲ πρὸς δικελλῶν καὶ δρεπανῶν καὶ τῶν ἄλλων ἐργαλείων εὐθέτους τύπους φιλοτεχνοῦσιν· ὧν κομιζομένων ὑπὸ τῶν ἐμπόρων εἰς πάντα τόπον, πολλὰ μέρη τῆς οἰκουμένης μεταλαμβάνει τῆς ἐκ τούτων εὐχρηστίας. μετὰ δὲ τὴν Αἰθάλειαν νῆσός ἐστιν ἀπέχουσα μὲν ταύτης ὡς τριακοσίους σταδίους, ὀνομάζεται δὲ ὑπὸ μὲν τῶν Ἑλλήνων Κύρνος, ὑπὸ δὲ Ῥωμαίων καὶ τῶν ἐγχωρίων Κόρσικα. αὕτη δὲ ἡ νῆσος εὐπροςόρμιστος οὖσα κάλλιστον ἔχει λιμένα τὸν ὀνομαζόμενον Συρακόσιον. ὑπάρχουσι δ᾽ ἐν αὐτῇ καὶ πόλεις ἀξιόλογοι δύο, καὶ τούτων ἡ μὲν Κάλαρις, ἡ δὲ Νίκαια προςαγορεύεται. τούτων δὲ τὴν μὲν Κάλαριν Φωκαεῖς ἔκτισαν, καὶ χρόνον τινὰ κατοικήσαντες ὑπὸ Τυῤῥηνῶν ἐξεβλήθησαν ἐκ τῆς νήσου. τὴν δὲ Νίκαιαν ἔκτισαν Τυῤῥηνοὶ θαλαττοκρατοῦντες καὶ τὰς κατὰ τὴν Τυῤῥηνίαν κειμένας νήσους
341 ἰδιοποιούμενοι· ἐπὶ δέ τινας χρόνους τῶν ἐν τῇ Κύρνῳ πόλεων κυριεύοντες ἐλάμβανον παρὰ τῶν ἐγχωρίων φόρους ῥητίνην καὶ κηρὸν καὶ μέλι, φυομένων τούτων δαψιλῶν ἐν τῇ νήσῳ. τὰ δὲ ἀνδράποδα τὰ Κύρνια δια-

32. ἔχει] ἔχειν FG  σιδηρῖτιν] σιδηρίτην D  33. ἐπὶ ABD, caeteri εἰς  χωνείαν] χωνίαν FG  34. ἔχοντες Rhodomannus: libri ἔχοντος  36. τμηθέντας] τμηθησομένους F  37. καμίνοις] καμινίοις D  40. ταῦτα συναγοράζοντες] ταύτας οὖν ἀγοράζοντες ABD, ταῦτα συναῤῥάξαντες EGN  42. ἐμπόρια] ἐμπορεία D  43. τεχνιτῶν] τεχνητῶν A  45. χαλκεύουσι, τὰ AB (DN), caeteri χαλκεύουσιν, ἃ  46. δρεπανῶν] δρεπάνων D  48. τῆς οἰκουμένης om. M  49. μεταλαμβάνει] καταλαμβάνει N, μεταλαμβάνουσι G  50. Αἰθάλειαν D, caeteri Αἰθαλίαν  μὲν ταύτης] αὐτῆς N  52. δὲ] δὲ τῶν D  53. εὐπροςόρμιστος] εὐπροςόρμητος ABD  54. Συρακόσιον G, caeteri Συρακούσιον  56. Κάλαρις] Καλάρης A: sed nullus hic Calaridi locus: v. annotationem  57. Φωκαεῖς CG, caeteri Φωκεῖς

341. 64. τὰ Κύρνια] Κύρνια CEN

φέρειν δοκεῖ τῶν ἄλλων δούλων εἰς τὰς κατὰ τὸν βίον χρείας, φυσικῆς ταύτης τῆς ἰδιότητος παρακολουθούσης. ἡ δ' ὅλη νῆσος εὐμεγέθης οὖσα πολλὴν τῆς χώρας ὀρεινὴν ἔχει, πεπυκασμένην δρυμοῖς συνεχέσι καὶ ποταμοῖς διαῤῥεομένην μικροῖς.

14 οἱ δ' ἐγχώριοι τροφαῖς μὲν χρῶνται γάλακτι καὶ μέλιτι καὶ κρέασι, δαψιλῶς πάντα ταῦτα παρεχομένης τῆς χώρας, τὰ δὲ πρὸς ἀλλήλους βιοῦσιν ἐπιεικῶς καὶ δικαίως παρὰ πάντας σχεδὸν τοὺς ἄλλους βαρβάρους. τά τε γὰρ κατὰ τὴν ὀρεινὴν ἐν τοῖς δένδρεσιν εὑρισκόμενα κηρία τῶν πρώτων εὑρισκόντων ἐστὶ μηδενὸς ἀμφισβητοῦντος, τά τε πρόβατα σημείοις διειλημμένα, κἂν μηδεὶς φυλάττῃ, σώζεται τοῖς κεκτημένοις, ἔν τε ταῖς ἄλλαις ταῖς ἐν τῷ βίῳ κατὰ μέρος οἰκονομίαις θαυμαστῶς προτιμῶσι τὸ δικαιοπραγεῖν. παραδοξότατον δ' ἐστὶ παρ' αὐτοῖς τὸ γινόμενον κατὰ τὰς τῶν τέκνων γενέσεις. ὅταν γὰρ ἡ γυνὴ τέκῃ, ταύτης μὲν οὐδεμία γίνεται περὶ τὴν λοχείαν ἐπιμέλεια, ὁ δ' ἀνὴρ αὐτῆς ἀναπεσὼν ὡς νοσῶν λοχεύεται τακτὰς ἡμέρας, ὡς τοῦ σώματος αὐτῷ κακοπαθοῦντος. φύεται δὲ κατὰ τὴν νῆσον ταύτην καὶ πύξος πλείστη καὶ διάφορος, δι' ἣν καὶ τὸ μέλι τὸ γινόμενον ἐν αὐτῇ παντελῶς γίνεται πικρόν. κατοικοῦσι δ' αὐτὴν βάρβαροι, τὴν διάλεκτον ἔχοντες ἐξηλλαγμένην καὶ δυςκατανόητον· τὸν δὲ ἀριθμὸν ὑπάρχουσιν ὑπὲρ τοὺς τρισμυρίους.

15 Ἐχομένη δὲ ταύτης νῆσός ἐστιν ἡ προσαγορευομένη Σαρδώ, τῷ μὲν μεγέθει παραπλήσιος τῇ Σικελίᾳ, κατοικουμένη δὲ ὑπὸ βαρβάρων τῶν ὀνομαζομένων Ἰολαείων, οὓς νομίζουσιν ἀπογόνους εἶναι τῶν μετ' Ἰολάου καὶ τῶν Θεσπιαδῶν κατοικησάντων. κατὰ γὰρ τοὺς χρόνους ἐν οἷς Ἡρακλῆς τοὺς διαβεβοημένους ἄθλους ἐτέλει, παίδων ὄντων αὐτῷ πολλῶν ἐκ τῶν Θεσπίου θυγατέρων, τούτους Ἡρακλῆς κατά τινα χρησμὸν ἐξαπέστειλεν 342 εἰς Σαρδὼ καὶ μετ' αὐτῶν δύναμιν ἀξιόλογον Ἑλλήνων τε καὶ βαρβάρων ἐπὶ τὴν ἀποικίαν. ταύτης δὲ

66. ὕλη om. GM 67. ὀρεινὴν] ὀρεινῆς G 69. μικροῖς A B(D)FGQ, caeteri μακροῖς: om. Poggius 75. εὑρισκόμενα] συνευρισκόμενα FG εὑρισκόντων om. N 76. τά τε πρόβατα σημείοις om. A 78. τῷ βίῳ D, caeteri βίῳ 80. παρ' αὐτοῖς τὸ] τὸ παρ' αὐτοῖς D κατὰ] περὶ ENQV 82. λοχείαν] λαχίαν A 86. αὐτῇ] ταύτῃ D 88. ἐξηλλαγμένην] ἐνηλλαγμένην Q 90. ἐχομένη] ἐχομένης D νῆσός ἐστιν] ἐστὶν νῆσος D 94. Θεσπιαδῶν] Θεσπιάδων omnes: post id quae addunt libri ὄντων αὐτῶν πολλῶν ἐκ τῶν (Θεσπίων insuper addunt AD, Θεσπίου B, Θεσπιάδων FG) ea tollenda vidit Wesselingius 96. ἐτέλει] διετέλεσε FG
342. 99. αὐτῶν] τούτων EN, tacentes de μετ'



προεστηκὼς Ἰόλαος ὁ ἀδελφιδοῦς Ἡρακλέους καταλαβόμενος ᾤκισεν ἐν αὐτῇ πόλεις ἀξιολόγους, καὶ τὴν χώραν κατακληρουχήσας τοὺς μὲν λαοὺς ἀφ' ἑαυτοῦ προσηγόρευσεν Ἰολαείους, κατεσκεύασε δὲ καὶ γυμνάσια καὶ θεῶν ναοὺς καὶ τἄλλα πάντα τὰ πρὸς βίον ἀνθρώπων εὐδαίμονα, ὧν ὑπομνήματα μέχρι τῶνδε τῶν καιρῶν διαμένει. τὰ μὲν γὰρ κάλλιστα πεδία τὴν προσηγορίαν ἀπ' ἐκείνου λαβόντα Ἰολάεια καλεῖται, τὸ δὲ πλῆθος μέχρι τοῦ νῦν φυλάττει τὴν ἀπὸ Ἰολάου προσηγορίαν. τοῦ δὲ περὶ τῆς ἀποικίας χρησμοῦ περιέχοντος ὅτι τοῖς τῆς ἀποικίας ταύτης κοινωνήσασι διαμενεῖ τὰ τῆς ἐλευθερίας ἅπαντα τὸν αἰῶνα, συνέβη τὸν χρησμὸν παραδόξως μέχρι τοῦ νῦν αὐτονομίαν τοῖς ἐγχωρίοις ἀσάλευτον φυλάξαι. Καρχηδόνιοί τε γὰρ ἐπὶ πλεῖον ἰσχύσαντες καὶ τῆς νήσου κρατήσαντες οὐκ ἠδυνήθησαν τοὺς προκατασχόντας τὴν νῆσον καταδουλώσασθαι, ἀλλ' οἱ μὲν Ἰολάειοι καταφυγόντες εἰς τὴν ὀρεινὴν καὶ καταγείους οἰκήσεις κατασκευάσαντες ἔτρεφον πολλὰς ἀγέλας βοσκημάτων, ὧν παρεχομένων δαψιλεῖς τροφὰς ἠρκοῦντο προσφερόμενοι γάλα καὶ τυρὸν καὶ κρέα· καὶ τῆς μὲν πεδιάδος γῆς ἐκχωρήσαντες τὴν ἐκ τῆς ἐργασίας κακοπάθειαν ἐξέκλιναν τὴν δὲ ὀρεινὴν νεμόμενοι καὶ βίον ἔχοντες ἄμοιρον κακοπαθείας ταῖς προειρημέναις τροφαῖς διετέλεσαν χρώμενοι. τῶν δὲ Καρχηδονίων πολλάκις ἀξιολόγοις δυνάμεσι στρατευσάντων ἐπ' αὐτούς, διὰ τὰς δυςχωρίας καὶ τὴν ἐν τοῖς καταγείοις δυςτραπέλειαν διέμειναν ἀδούλωτοι. τὸ δὲ τελευταῖον Ῥωμαίων ἐπικρατούντων καὶ πολλάκις ἐπ' αὐτοὺς στρατευσάντων, διὰ ταύτας τὰς αἰτίας ἀχείρωτοι πολεμίᾳ δυνάμει διέμειναν. οὐ μὴν ἀλλὰ κατὰ τοὺς ἀρχαίους χρόνους Ἰόλαος μὲν συγκατασκευάσας τὰ κατὰ τὴν ἀποικίαν ἐπανῆλθεν εἰς τὴν Ἑλλάδα, οἱ δὲ Θεσπιάδαι τῆς νήσου προεστῶτες ἐπὶ πολλὰς γενεὰς τὸ τελευταῖον ἐξέπεσον εἰς τὴν Ἰταλίαν, καὶ κατῴκησαν ἐν τοῖς κατὰ Κύμην τόποις, τὸ δὲ ἄλλο

1. ᾤκισεν] ᾤκησεν ADFG 3. ἀφ' ἑαυτοῦ προσηγόρευσεν] προσηγόρευσεν ἀφ' ἑαυτοῦ D 4. Ἰολαείους] Ἰολάους BD, Ἰολαΐους C καὶ θεῶν ναοὺς om. A 5. εὐδαίμονα ὧν A(D), εὐδαίμονα N, εὐδαιμονίαν G, caeteri εὐδαιμόνων 6. ὑπομνήματα A(D) et fortasse G. caeteri addunt ἃ 8. Ἰολάεια] Ἰολάια D 10. αποικίας χρησμοῦ] οἰκίας χρησμοῦ B 11. κοινωνήσασι] κοινωνήμασι B διαμενεῖ Wesselingius: libri διαμένει 17. Ἰολάειοι] Ἰόλαοι ACD 18. ἔτρεφον] ἐτρέφοντο F 20. καὶ κρέα om. AD 24. πολλάκις] πλεονάκις G 25. ἀξιολόγοις δυνάμεσι ABC(D)EG(N)Q, caeteri ἀξιολόγῳ δυνάμει 26. τοῖς] ταῖς B 27. διέμειναν ABD, caeteri ἔμειναν 30. ἀλλὰ] ἀλλὰ καὶ A 34. ἐξέπεσον] ἐξέπεσαν N

πλῆθος ἐκβαρβαρωθὲν καὶ προστησάμενον ἐκ τῶν ἐγχωρίων τοὺς ἀρίστους ἡγεμόνας διεφύλαξε τὴν ἐλευθερίαν μέχρι τῶν καθ' ἡμᾶς χρόνων.

16 Ἡμεῖς δ' ἀρκούντως εἰρηκότες περὶ τῆς Σαρδόνος διέξιμεν περὶ τῶν ἑξῆς κειμένων νήσων. μετὰ γὰρ τὰς 343 προειρημένας νήσους ἐστὶν ὀνομαζομένη μὲν Πιτύουσα, τὴν δὲ προςηγορίαν ἔχουσα ἀπὸ τοῦ πλήθους τῶν κατ' αὐτὴν φυομένων πιτύων. πελαγία δὲ οὖσα διέστηκεν ἀπὸ μὲν Ἡρακλέους στηλῶν πλοῦν ἡμερῶν τριῶν καὶ τῶν ἴσων νυκτῶν, ἀπὸ δὲ Λιβύης ἡμέρας καὶ νυκτός, ἀπὸ δὲ Ἰβηρίας μιᾶς ἡμέρας· κατὰ δὲ τὸ μέγεθος παραπλήσιός ἐστι Κορκύρᾳ. κατὰ δὲ τὴν ἀρετὴν οὖσα μετρία τὴν μὲν ἀμπελόφυτον χώραν ὀλίγην ἔχει, τὰς δ' ἐλαίας ἐμπεφυτευμένας ἐν τοῖς κοτίνοις. τῶν δὲ φυομένων ἐν αὐτῇ καλλιστεύειν φασὶ τὴν μαλακότητα τῶν ἐρίων. διειλημμένη δὲ πεδίοις ἀξιολόγοις καὶ γεωλόφοις πόλιν ἔχει τὴν ὀνομαζομένην Ἔρεσον, ἄποικον Καρχηδονίων. ἔχει δὲ καὶ λιμένας ἀξιολόγους καὶ τειχῶν κατασκευὰς εὐμεγέθεις καὶ οἰκιῶν πλῆθος εὖ κατεσκευασμένων. κατοικοῦσι δ' αὐτὴν βάρβαροι παντοδαποί, πλεῖστοι δὲ Φοίνικες. ὁ δὲ ἀποικισμὸς αὐτῆς γέγονεν ὕστερον ἔτεσιν ἑκατὸν ἑξήκοντα τῆς κατὰ τὴν Καρχηδόνα κτίσεως.

17 Ἄλλαι δ' ὑπάρχουσι νῆσοι καταντικρὺ τῆς Ἰβηρίας, ὑπὸ μὲν τῶν Ἑλλήνων ὀνομαζόμεναι Γυμνήσιαι διὰ τὸ τοὺς ἐνοικοῦντας γυμνοὺς τῆς ἐσθῆτος βιοῦν κατὰ τὴν τοῦ θέρους ὥραν, ὑπὸ δὲ τῶν ἐγχωρίων καὶ τῶν Ῥωμαίων προςαγορεύονται Βαλιαρεῖς ἀπὸ τοῦ βάλλειν ταῖς σφενδόναις λίθους μεγάλους κάλλιστα τῶν ἁπάντων ἀνθρώπων. τούτων δὲ ἡ μείζων μεγίστη πασῶν ἐστι μετὰ τὰς ἑπτὰ νήσους, Σικελίαν, Σαρδώ, Κύπρον, Κρήτην, Εὔβοιαν, Κύρνον, Λέσβον, ἀπέχει δὲ τῆς Ἰβηρίας πλοῦν ἡμερήσιον· ἡ δ' ἐλάττων κέκλιται μὲν πρὸς τὴν ἕω, τρέ-

36. προστησάμενον] προςκτησάμενον A 39. Σαρδόνος AC(DN), Σαρδοῦς B, Σαρδῶνος caeteri διέξιμεν] διέξειμεν D κειμένων] γενομένων ABDN 41. νήσους] νῆσος Wesselingius

343. 42. μὲν om. D Πιτύουσα] Πιτυοῦσσα D Poggius τοῦ πλήθους om. FGM, asterisco notavit Stephanus 43. κατ' αὐτὴν] ἐν αὐτῇ EGNQ 47. Κορκύρᾳ] Κερκύρᾳ B, Κορκούρᾳ CN 50. κοτίνοις] κοττίνοις CN, κυτίνοις FG 52. Ἔρεσον] Ἐρεσὸν D, Ἔβεσον Wesselingius: Enesum Poggius 57. αὐτῆς γ.] invertit D 60. Γυμνήσιαι] Γυμνησίαι D, Γυμνάσιαι B 63. προςαγορεύονται] προςαγορευθῆναι D Βαλιαρεῖς] Βαλιαρίδας A, Βαλεαρίδας D, Βαλιαρίδεις B, Καλλιαρεῖς CG, Καλιάρεις et in marg. Βαλ. N, caeteri Βαλλιαρεῖς: Baleares Poggius 64. ἁπάντων om. D 65. μείζων] μείζω ADN 66. Κύπρον post Κύρνον ponit Poggius 68. ἐλάττων] ἐλάττω ADN



φει δὲ κτήνη πολλὰ καὶ παντοδαπά, μάλιστα δ' ἡμιόνους, μεγάλους μὲν τοῖς ἀναστήμασιν, ὑπεράγοντας δὲ ταῖς ῥώμαις. ἀμφότεραι δ' αἱ νῆσοι χώραν ἔχουσιν ἀγαθὴν καρποφόρον καὶ πλῆθος τῶν κατοικούντων ὑπὲρ τοὺς τριςμυρίους, τῶν δὲ πρὸς τὴν τροφὴν γεννημάτων οἶνον μὲν ὁλοσχερῶς οὐ φέρουσι· διὸ καὶ πάντες εἰσὶν ὑπερβολῇ πρὸς τὸν οἶνον εὐκατάφοροι, διὰ τὸ σπανίζειν παρ' αὐτοῖς· ἐλαίου δὲ παντελῶς σπανίζοντες κατασκευάζουσιν ἐκ τῆς σχίνου, καὶ μιγνύντες ὑείῳ στέατι τὰ σώματα αὐτῶν ἀλείφουσι τούτῳ. μάλιστα δὲ τῶν ἁπάντων ὄντες φιλογύναιοι προτιμῶσιν αὐτὰς ἐπὶ τοσοῦτον ὥςτε ὅταν τινὲς γυναῖκες ὑπὸ τῶν προςπλεόντων λῃστῶν ἁλῶσιν, ἀντὶ μιᾶς γυναικὸς τρεῖς ἢ τέτταρας ἄνδρας διδόντες λυτροῦνται. οἰκοῦσι δὲ ὑπὸ ταῖς κοιλάσι πέτραις, καὶ παρὰ τοὺς κρημνοὺς ὀρύγματα κατασκευάζοντες καὶ καθόλου πολλοὺς τόπους ὑπονόμους ποιοῦντες ἐν τούτοις βιοῦσιν, ἅμα τὴν ἐξ αὐτῶν σκέ-
344 πην καὶ ἀσφάλειαν θηρώμενοι. ἀργυρῷ δὲ καὶ χρυσῷ νομίσματι τὸ παράπαν οὐ χρῶνται, καὶ καθόλου ταῦτα εἰςάγειν εἰς τὴν νῆσον κωλύουσιν· αἰτίαν δὲ ταύτην ἐπιφέρουσιν, ὅτι τὸ παλαιὸν Ἡρακλῆς ἐστράτευσεν ἐπὶ Γηρυόνην, ὄντα Χρυσάορος μὲν υἱόν, πλεῖστον δὲ κεκτημένον ἄργυρόν τε καὶ χρυσόν. ἵνα οὖν ἀνεπιβούλευτον ἔχωσι τὴν κτῆσιν, ἀνεπίμικτον ἑαυτοῖς ἐποιήσαντο τὸν ἐξ ἀργύρου τε καὶ χρυσοῦ πλοῦτον. διόπερ ἀκολούθως ταύτῃ τῇ κρίσει διὰ τὰς γεγενημένας πάλαι ποτὲ στρατείας παρὰ Καρχηδονίοις τοὺς μισθοὺς οὐκ ἀπεκόμιζον εἰς τὰς πατρίδας, ἀλλ' ὠνούμενοι γυναῖκας καὶ οἶνον ἅπαντα τὸν μισθὸν εἰς ταῦτα κατεχώριζον. παράδοξον 18
δέ τι καὶ κατὰ τοὺς γάμους νόμιμον παρ' αὐτοῖς ἐστιν. ἐν γὰρ ταῖς κατὰ τοὺς γάμους εὐωχίαις οἰκείων τε καὶ φίλων κατὰ τὴν ἡλικίαν ὁ πρῶτος ἀεὶ καὶ ὁ δεύτερος καὶ οἱ λοιποὶ κατὰ τὸ ἑξῆς μίσγονται ταῖς νύμφαις ἀνὰ μέρος, ἐσχάτου τοῦ νυμφίου τυγχάνοντος ταύτης τῆς τιμῆς. ἴδιον δέ τι ποιοῦσι καὶ παντελῶς ἐξηλλαγμένον

69. πολλὰ ABCDEGNQ Poggius, caeteri καλὰ 71. ῥώμαις AB (D), caeteri φωναῖς αἱ om. N 72. κατοικούντων B, caeteri κατοίκων 73. τοὺς om. D τροφὴν] ἀνατροφὴν FGQ 74. γεννημάτων] γενημάτων D οὐ φέρουσι (-σιν D) BCDFGM, caeteri οὐκ ἔχουσι 77. σπανίζοντες] σπανίζοντος AB 78. ὑείῳ στέατι] καὶ χοιρείῳ addit N 83. ὑπὸ] ἐπὶ FQ 86. ἅμα] ἅμα καὶ N

344. 87. νομίσματι] νομίσμασι N 88. καθόλου] καθότι AB 93. ἐποιήσαντο] ἐποίησαν BD 95. διὰ] immo κατὰ 97. πατρίδας] στρατείας F ἀλλ' A, caeteri ἀλλὰ 2. μίσγονται] ἐμισγ. (sic notatum) FG

περὶ τῆς τῶν τετελευτηκότων ταφῆς· συγκόψαντες γὰρ ξύλοις τὰ μέλη τοῦ σώματος εἰς ἀγγεῖον ἐμβάλλουσι καὶ λίθους δαψιλεῖς ἐπιτιθέασιν. ὁπλισμὸς δ' ἐστὶν αὐτοῖς τρεῖς σφενδόναι, καὶ τούτων μίαν μὲν περὶ τὴν κεφαλὴν ἔχουσιν, ἄλλην δὲ περὶ τὴν γαστέρα, τρίτην δ' ἐν ταῖς χερσί. κατὰ δὲ τὰς πολεμικὰς χρείας βάλλουσι λίθους πολὺ μείζους τῶν ἄλλων οὕτως εὐτόνως ὥςτε δοκεῖν τὸ βληθὲν ἀπό τινος καταπέλτου φέρεσθαι. διὸ καὶ κατὰ τὰς τειχομαχίας ἐν ταῖς προςβολαῖς τύπτοντες τοὺς ἐπὶ τῶν ἐπάλξεων ἐφεστῶτας κατατραυματίζουσιν, ἐν δὲ ταῖς παρατάξεσι τούς τε θυρεοὺς καὶ τὰ κράνη καὶ πᾶν σκεπαστήριον ὅπλον συντρίβουσι. κατὰ δὲ τὴν εὐστοχίαν οὕτως ἀκριβεῖς εἰσιν ὥςτε κατὰ τὸ πλεῖστον μὴ ἁμαρτάνειν τοῦ προκειμένου σκοποῦ. αἴτιαι δὲ τούτων αἱ συνεχεῖς ἐκ παίδων μελέται, καθ' ἃς ὑπὸ τῶν μητέρων ἀναγκάζονται παῖδες ὄντες συνεχῶς σφενδονᾶν· προκειμένου δὲ σκοποῦ κατά τι ξύλον ἠρτημένου ἄρτου, οὐ πρότερον δίδοται τῷ μελετῶντι φαγεῖν, ἕως ἂν τυχὼν τοῦ ἄρτου συγχωρούμενον λάβῃ παρὰ τῆς μητρὸς καταφαγεῖν τοῦτον.

19 Ἐπεὶ δὲ περὶ τῶν ἐντὸς Ἡρακλείων στηλῶν κειμένων νήσων διεληλύθαμεν, περὶ τῶν κατὰ τὸν Ὠκεανὸν οὐσῶν διέξιμεν. κατὰ γὰρ τὴν Λιβύην κεῖται μὲν πελαγία νῆσος ἀξιόλογος μὲν τῷ μεγέθει, κειμένη δὲ κατὰ τὸν Ὠκεανόν· ἀπέχει δὲ πλοῦν ἀπὸ τῆς Λιβύης ἡμερῶν πλειόνων, κεκλιμένη πρὸς τὴν δύσιν, ἔχει δὲ χώραν καρποφόρον, πολλὴν μὲν ὀρεινήν, οὐκ ὀλίγην δὲ πεδιάδα κάλλει διαφέρουσαν. διαῤῥεομένη γὰρ ποταμοῖς πλωτοῖς ἐκ τούτων ἀρδεύεται, καὶ πολλοὺς μὲν ἔχει παραδείσους καταφύτους παντοίοις δένδρεσι, παμπληθεῖς δὲ κηπείας διειλημμένας ὕδασι γλυκέσιν· ἐπαύλεις τε πολυτελεῖς ταῖς 345 κατασκευαῖς ὑπάρχουσιν ἐν αὐτῇ καὶ κατὰ τὰς κηπείας κατεσκευασμένα κωθωνιστήρια τὴν διάθεσιν ἀνθηρὰν ἔχοντα, ἐν οἷς οἱ κατοικοῦντες κατὰ τὴν θερινὴν ὥραν ἐνδιατρίβουσι, δαψιλῶς τῆς χώρας χορηγούσης τὰ πρὸς

5. τῆς — ταφῆς] nonne τὰς — ταφάς? 6. ξύλοις] τοῖς ξύλοις A 12. ἀπό] ὑπό AB 14. ἐπὶ ABCDFGQ, caeteri πρὸ 16. θυρεοὺς] θυραιοὺς AD 17. εὐστοχίαν] εὐωχίαν N corr. in marg. 18. εἰσιν] εἶναι BD 19. αἴτιαι] αἰτίαι omnes 21. συνεχῶς om. D σφενδονᾶν om. A 22. δὲ] γὰρ D σκοποῦ] καὶ σημαδίου addit N ἠρτημένου ἄρτου] ἠρτημένον ἄρτον FG et ut videtur Poggius 28. διέξιμεν] διέξειμεν D 30. δὲ om. D 33. διαῤῥεομένη] διαῤῥεομένοις AD 35. καταφύτους παντοίοις] καταφύτας παντοίας N



τὴν ἀπόλαυσιν καὶ τρυφήν. ἥ τε ὀρεινὴ δρυμοὺς ἔχει πυκνοὺς καὶ μεγάλους καὶ δένδρα παντοδαπὰ καρποφόρα καὶ πρὸς τὰς ἐν τοῖς ὄρεσι διαίτας ἔχοντα συναγκείας, καὶ πηγὰς πολλάς. καθόλου δὲ ἡ νῆσος αὕτη κατάῤῥυτός ἐστι ναματιαίοις καὶ γλυκέσιν ὕδασι, δι' ὧν οὐ μόνον ἀπόλαυσις ἐπιτερπὴς γίνεται τοῖς ἐμβιοῦσιν ἐν αὐτῇ, ἀλλὰ καὶ πρὸς ὑγίειαν καὶ ῥώμην σωμάτων συμβάλλεται. κυνήγιά τε δαψιλῆ παντοίων ζῴων καὶ θηρίων ὑπάρχει, καὶ τούτων ἐν ταῖς εὐωχίαις εὐποροῦντες οὐδὲν ἐλλιπὲς ἔχουσι τῶν πρὸς τρυφὴν καὶ πολυτέλειαν ἀνηκόντων. καὶ γὰρ ἰχθύων ἔχει πλῆθος ἡ προςκλύζουσα τῇ νήσῳ θάλαττα διὰ τὸ φύσει τὸν Ὠκεανὸν πανταχῇ πληθύειν παντοδαπῶν ἰχθύων. καθόλου δὲ ἡ νῆσος αὕτη τὸν περικείμενον ἀέρα παντελῶς εὔκρατον ἔχουσα τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ φέρει πλῆθος ἀκροδρύων καὶ τῶν ἄλλων τῶν ὡραίων, ὥςτε δοκεῖν αὐτὴν ὡςεὶ θεῶν τινων οὐκ ἀνθρώπων ὑπάρχειν ἐμβιωτήριον διὰ τὴν 20 ὑπερβολὴν τῆς εὐδαιμονίας. κατὰ μὲν οὖν τοὺς παλαιοὺς χρόνους ἀνεύρετος ἦν διὰ τὸν ἀπὸ τῆς ὅλης οἰκουμένης ἐκτοπισμόν, ὕστερον δ' εὑρέθη διὰ τοιαύτας αἰτίας. Φοίνικες ἐκ παλαιῶν χρόνων συνεχῶς πλέοντες κατ' ἐμπορίαν πολλὰς μὲν κατὰ τὴν Λιβύην ἀποικίας ἐποιήσαντο, οὐκ ὀλίγας δὲ καὶ τῆς Εὐρώπης ἐν τοῖς πρὸς δύσιν κεκλιμένοις μέρεσι. τῶν δ' ἐπιβολῶν αὐτοῖς κατὰ νοῦν προχωρουσῶν πλούτους μεγάλους ἤθροισαν, καὶ τὴν ἐκτὸς Ἡρακλείων στηλῶν ἐπεβάλοντο πλεῖν, ἣν Ὠκεανὸν ὀνομάζουσι. καὶ πρῶτον μὲν ἐπ' αὐτοῦ τοῦ κατὰ τὰς στήλας πόρου πόλιν ἔκτισαν ἐπὶ τῆς Εὐρώπης, ἣν οὖσαν χεῤῥόνησον προςηγόρευσαν Γάδειρα, ἐν ᾗ τά τε ἄλλα κατεσκεύασαν οἰκείως τοῖς τόποις καὶ ναὸν Ἡρακλέους πολυτελῆ, καὶ θυσίας κατέδειξαν μεγαλοπρεπεῖς τοῖς τῶν Φοινίκων ἔθεσι διοικουμένας. τὸ δὲ ἱερὸν συνέβη τοῦτο καὶ τότε καὶ κατὰ τοὺς νεωτέρους χρόνους τιμᾶσθαι περιττότερον μέχρι τῆς καθ' ἡμᾶς ἡλικίας. πολλοὶ δὲ καὶ τῶν Ῥωμαίων ἐπιφανεῖς ἄνδρες καὶ μεγάλας πράξεις κατειργασμένοι ἐποιήσαντο μὲν τούτῳ τῷ θεῷ

345. 44. συναγκείας] συναγκίας AD 46. ἐστι ναματιαίοις] ἐστιν ἅμα τιαίοις N 48. καὶ ῥώμην σωμάτων] σωμάτων καὶ ῥώμην ACDE 51. πρὸς ABDE, caeteri πρὸς τὴν τρυφὴν] τροφὴν BFG 53. τῇ νήσῳ om. FG, asterisco notavit Stephanus θάλαττα D, caeteri θάλασσα 54. πανταχῇ BCDEN, caeteri πανταχοῦ 58. αὐτὴν AD, caeteri ταύτην 62. εὑρέθη] εὑρεθῆναι ABD 63. ἐμπορίαν] ἐμπορείαν D 65. μέρεσι A(DN), caeteri μέρεσιν 66. προχωρουσῶν] προχωρούντων BD 69 πρῶτον] πρώτην B 70. χεῤῥόνησον] cheronneso Poggius, χεῤῥόννησον ed. Wessel. tacente D

εὐχάς, συνετέλεσαν δ' αὐτὰς μετὰ τὴν συντέλειαν τῶν κατορθωμάτων. οἱ δ' οὖν Φοίνικες διὰ τὰς προειρημένας αἰτίας ἐρευνῶντες τὴν ἐκτὸς τῶν στηλῶν παραλίαν καὶ παρὰ τὴν Λιβύην πλέοντες ὑπ' ἀνέμων μεγάλων ἀπηνέχθησαν ἐπὶ πολὺν πλοῦν δι' Ὠκεανοῦ. χειμασθέντες δ' ἐπὶ πολλὰς ἡμέρας προσηνέχθησαν τῇ προειρημένῃ νήσῳ, καὶ τὴν εὐδαιμονίαν αὐτῆς καὶ φύσιν κατοπτεύσαντες ἅπασι γνώριμον ἐποίησαν. διὸ καὶ Τυῤῥηνῶν θαλαττοκρατούντων καὶ πέμπειν εἰς αὐτὴν ἀποικίαν 346 ἐπιβαλομένων, διεκώλυσαν αὐτοὺς Καρχηδόνιοι, ἅμα μὲν εὐλαβούμενοι μὴ διὰ τὴν ἀρετὴν τῆς νήσου πολλοὶ τῶν ἐκ τῆς Καρχηδόνος εἰς ἐκείνην μεταστῶσιν, ἅμα δὲ πρὸς τὰ παράβολα τῆς τύχης κατασκευαζόμενοι καταφυγήν, εἴ τι περὶ τὴν Καρχηδόνα ὁλοσχερὲς πταῖσμα συμβαίνοι· δυνήσεσθαι γὰρ αὐτοὺς θαλαττοκρατοῦντας ἀπᾶραι πανοικίους εἰς ἀγνοουμένην ὑπὸ τῶν ὑπερεχόντων νῆσον.

21 Ἐπεὶ δὲ περὶ τοῦ κατὰ τὴν Λιβύην Ὠκεανοῦ καὶ τῶν ἐν αὐτῷ νήσων διήλθομεν, μεταβιβάσομεν τὸν λόγον ἐπὶ τὴν Εὐρώπην. κατὰ γὰρ τὴν Γαλατίαν τὴν παρωκεανῖτιν καταντικρὺ τῶν Ἑρκυνίων ὀνομαζομένων δρυμῶν, οὓς μεγίστους ὑπάρχειν παρειλήφαμεν τῶν κατὰ τὴν Εὐρώπην, νῆσοι πολλαὶ κατὰ τὸν Ὠκεανὸν ὑπάρχουσιν, ὧν ἐστι μεγίστη ἡ Βρεττανικὴ καλουμένη. αὕτη δὲ τὸ μὲν παλαιὸν ἀνεπίμικτος ἐγένετο ξενικαῖς δυνάμεσιν· οὔτε γὰρ Διόνυσον οὔθ' Ἡρακλέα παρειλήφαμεν οὔτε τῶν ἄλλων ἡρώων ἢ δυναστῶν ἐστρατευμένον ἐπ' αὐτήν· καθ' ἡμᾶς δὲ Γάϊος Καῖσαρ ὁ διὰ τὰς πράξεις ἐπονομασθεὶς θεὸς πρῶτος τῶν μνημονευομένων ἐχειρώσατο τὴν νῆσον, καὶ τοὺς Βρεττανοὺς καταπολεμήσας ἠνάγκασε τελεῖν ὡρισμένους φόρους. ἀλλὰ περὶ μὲν τούτων τὰς κατὰ μέρος πράξεις ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν, περὶ δὲ τῆς νήσου καὶ τοῦ φυομένου κατ' αὐτὴν καττιτέρου νῦν διέξιμεν. αὕτη γὰρ τῷ σχήματι τρίγωνος οὖσα παραπλησίως τῇ Σικελίᾳ τὰς πλευρὰς οὐκ ἰσοκώλους ἔχει. παρεκτεινούσης δὲ αὐτῆς παρὰ τὴν Εὐρώπην λοξῆς, τὸ μὲν ἐλάχιστον ἀπὸ τῆς ἠπείρου διεστηκὸς ἀκρωτήριον, ὃ καλοῦσι Κάντιον, φασὶν ἀπέχειν ἀπὸ τῆς γῆς σταδίους ὡς ἑκατόν, καθ' ὃν τόπον ἡ θάλαττα ποιεῖται τὸν ἔκρουν, τὸ δ' ἕτερον ἀκρωτήριον τὸ καλούμενον Βελέριον ἀπέχειν λέγεται τῆς ἠπείρου πλοῦν ἡμερῶν τεττάρων, τὸ δ' ὑπολειπόμενον ἀνήκειν μὲν ἱστοροῦσιν εἰς τὸ πέλαγος, ὀνομάζεσθαι δ' Ὄρκαν. τῶν δὲ πλευρῶν τὴν μὲν ἐλαχίστην εἶναι σταδίων ἑπτακιςχιλίων πεντακοσίων, παρήκουσαν παρὰ τὴν Εὐρώπην, τὴν δὲ δευτέραν τὴν ἀπὸ τοῦ πορθμοῦ πρὸς τὴν κορυφὴν ἀνήκουσαν σταδίων μυρίων πεντακιςχιλίων, τὴν δὲ λοιπὴν σταδίων διςμυρίων, ὥςτε τὴν πᾶσαν εἶναι τῆς νήσου περιφορὰν σταδίων τετρακιςμυρίων διςχιλίων πεντακοσίων. κατοικεῖν δέ φασι τὴν Βρεττανικὴν αὐτόχθονα γένη καὶ τὸν παλαιὸν βίον ταῖς ἀγωγαῖς διατηροῦντα. ἅρμασι μὲν γὰρ κατὰ τοὺς πολέμους χρῶνται, καθάπερ οἱ παλαιοὶ τῶν Ἑλλήνων ἥρωες ἐν τῷ Τρωικῷ πολέμῳ κεχρῆσθαι παραδέδονται, καὶ τὰς οἰκήσεις εὐτελεῖς ἔχουσιν, 347 ἐκ τῶν καλάμων ἢ ξύλων κατὰ τὸ πλεῖστον συγκειμένας· τήν τε συναγωγὴν τῶν σιτικῶν καρπῶν ποιοῦνται τοὺς στάχυς αὐτοὺς ἀποτέμνοντες καὶ θησαυρίζοντες εἰς τὰς καταστέγους οἰκήσεις· ἐκ δὲ τούτων τοὺς παλαιοὺς στάχυς καθ' ἡμέραν τίλλειν, καὶ κατεργαζομένους ἔχειν τὴν τροφήν. τοῖς δ' ἤθεσιν ἁπλοῦς εἶναι καὶ πολὺ κεχωρισμένους τῆς τῶν νῦν ἀνθρώπων ἀγχινοίας καὶ πονηρίας. τάς τε διαίτας εὐτελεῖς ἔχειν καὶ τῆς ἐκ τοῦ πλούτου γεννωμένης τρυφῆς πολὺ διαλλάττοντας. εἶναι δὲ καὶ πολυάνθρωπον τὴν νῆσον, καὶ τὴν τοῦ ἀέρος

346. 87. ἀποικίαν om. ENV, asterisco notavit Stephanus ἐπιβαλομένων] ἐπιβαλλομένων D 90. ἐκείνην AC(D)E(N), caeteri addunt τὴν νῆσον, quae asterisco notavit Stephanus 91. καταφυγήν] καταφυγεῖν D 92. ὁλοσχερὲς om. AD 93. αὐτοὺς] αὑτοὺς omnes πανοικίους] πανοικείως ABD 94. ὑπερεχόντων] περιεχόντων ABD 96. μεταβιβάσομεν C(D)E(N)Q, caeteri μεταβιβάσωμεν 97. παρωκεανῖτιν] παρωκεανόν ἐστι FG 98. Ἑρκυνίων] Ἑρκυονικῶν AB, Ἑρκυονίκων D δρυμῶν, οὓς μεγίστους AB, δρυμῶν. μεγίστους γὰρ D, caeteri δρῶν· μέγιστα (μάλιστα N) γὰρ 100. ἐστι μεγίστη ἡ] ἐστι ἡ μεγίστη D, ἐστι μία καὶ μεγίστη EG(N)QV, caeteri ἐστιν ἡ μεγίστη 1. et seq. Βρεττανικὴ] v. ad p. 329. 13. 2. ξενικαῖς δυνάμεσιν] ξενικῆς δυνάμεως FGQ 4. ἢ δυναστῶν om. EGNQV, asterisco notavit Stephanus, ἢ omisit D ἐστρατευμένον] ἐστρατευμένων DN

11. καττιτέρου] κασσιτήρου B semper, D, caeteri κασσιτέρου 13. ἰσοκώλους] ἰσογώνους ABD 16. διέξιμεν] διέξειμεν D Κάντιον] Κάτιον F φασιν D, caeteri ὅ φασιν ἀπέχειν om. D 17. θάλαττα D, caeteri θάλασσα 18. καλ. Βελέριον] invertit N 19. τεττάρων D, caeteri τεσσάρων 21. ὀνομ.] ὀνομάσθαι N δ' D, caeteri δὲ Ὄρκαν] Ὀρσίκαν ABD 22. σταδίων ἑπτακιςχ. πεντ.] στάδια ἑπτακιςχίλια πεντακόσια FM: πεντακοσίων om. Poggius hic et 27. 23. παρὰ] πᾶσαν GQ 28. αὐτόχθονα] αὐτοχθόνους FG 32. εὐτελεῖς] ἐκτελεῖς G 347. 33. τήν τε] καὶ τήν τε D 35. καταστέγους ABCDEGNQ, *sub tectis* Poggius, caeteri καταγείους 36. τούτων] τούτου N καθ' ἡμέραν] καθημένους F 37. καὶ om. N 38. δ' D, caeteri δὲ ἤθεσιν] ἔθεσιν ABD πολὺ om. AD 40. γεννωμένης CD, γενομένης N, caeteri γινομένης διαλλάττοντας] immo διαλλαττούσας: *cibo — alieno* Poggius

ἔχειν διάθεσιν παντελῶς κατεψυγμένην, ὡς ἂν ὑπ' αὐτὴν τὴν ἄρκτον κειμένην. βασιλεῖς τε καὶ δυνάστας πολλοὺς ἔχειν, καὶ πρὸς ἀλλήλους κατὰ τὸ πλεῖστον εἰρη-
22 νικῶς διακεῖσθαι. ἀλλὰ περὶ μὲν τῶν κατ' αὐτὴν νομίμων καὶ τῶν ἄλλων ἰδιωμάτων τὰ κατὰ μέρος ἀναγράψομεν ὅταν ἐπὶ τὴν Καίσαρος γενομένην στρατείαν εἰς Βρεττανίαν παραγενηθῶμεν, νῦν δὲ περὶ τοῦ κατ' αὐτὴν φυομένου καττιτέρου διέξιμεν. τῆς γὰρ Βρεττανικῆς κατὰ τὸ ἀκρωτήριον τὸ καλούμενον Βελέριον οἱ κατοικοῦντες φιλόξενοί τε διαφερόντως εἰσὶ καὶ διὰ τὴν τῶν ξένων ἐμπόρων ἐπιμιξίαν ἐξημερωμένοι τὰς ἀγωγάς. οὗτοι τὸν καττίτερον κατασκευάζουσι φιλοτέχνως ἐργαζόμενοι τὴν φέρουσαν αὐτὸν γῆν. αὕτη δὲ πετρώδης οὖσα διαφυὰς ἔχει γεώδεις, ἐν αἷς τὸν πόρον κατεργαζόμενοι καὶ τήξαντες καθαίρουσιν. ἀποτυποῦντες δ' εἰς ἀστραγάλων ῥυθμοὺς κομίζουσιν εἴς τινα νῆσον προκειμένην μὲν τῆς Βρεττανικῆς, ὀνομαζομένην δὲ Ἴκτιν· κατὰ γὰρ τὰς ἀμπώτεις ἀναξηραινομένου τοῦ μεταξὺ τόπου ταῖς ἁμάξαις εἰς ταύτην κομίζουσι δαψιλῆ τὸν καττίτερον. ἴδιον δέ τι συμβαίνει περὶ τὰς πλησίον νήσους τὰς μεταξὺ κειμένας τῆς τε Εὐρώπης καὶ τῆς Βρεττανικῆς. κατὰ μὲν γὰρ τὰς πλημμυρίδας τοῦ μεταξὺ πόρου πληρουμένου νῆσοι φαίνονται, κατὰ δὲ τὰς ἀμπώτεις ἀποῤῥεούσης τῆς θαλάττης καὶ πολὺν τόπον ἀναξηραινούσης θεωροῦνται χεῤῥόνησοι. ἐντεῦθεν δ' οἱ ἔμποροι παρὰ τῶν ἐγχωρίων ὠνοῦνται καὶ διακομίζουσιν εἰς τὴν Γαλατίαν· τὸ δὲ τελευταῖον πεζῇ διὰ τῆς Γαλατίας πορευθέντες ἡμέρας ὡς τριάκοντα κατάγουσιν ἐπὶ τῶν ἵππων τὰ φορτία πρὸς τὴν ἐκβολὴν τοῦ Ῥοδανοῦ ποταμοῦ. περὶ μὲν οὖν τοῦ καττιτέρου τοῖς ῥηθεῖσιν ἀρκεσθησόμεθα.

23 Περὶ δὲ τοῦ καλουμένου ἠλέκτρου νῦν διέξιμεν. τῆς Σκυθίας τῆς ὑπὲρ τὴν Γαλατίαν καταντικρὺ νῆσός ἐστι

43. αὐτὴν] αὐτοῦ B 44. βασιλεῖς τε] malim βασιλεῖς· δὲ 45. διακεῖσθαι] διάκειται N 47. κατ' αὐτὴν] κατὰ ταύτην CE 48. τὰ om. D 49. εἰς Βρεττανίαν omisit A 51. καττιτέρου] κασσιτέρου libri διέξιμεν] διέξειμεν D 54. οὗτοι] αὐτοὶ D 55. καττίτερον] κασσίτερον libri 56. διαφυὰς] διαφυάδας A, διαφυγὰς F vel G, διαφυὰς καὶ σχισκὰς N 57. πόρον] πῶρον DEN 58. καὶ τήξαντες] κατατήξαντες B ἀστραγάλων] ἀστραγάλους AB, nescio an omisso ῥυθμοὺς 61. 66. ἀμπώτεις] ἀναπώτεις FG 62. καττίτερον] κασσίτερον libri 67. θαλάττης D, caeteri θαλάσσης 72. Ῥοδανοῦ ABC(D)G(N)Q, caeteri Ἠριδανοῦ 73. καττιτέρου] κασσιτέρου libri 75. διέξιμεν] διέξειμεν D 76. ὑπὲρ] περὶ ABD



πελαγία κατὰ τὸν Ὠκεανὸν ἡ προσαγορευομένη Βασίλεια.
348 εἰς ταύτην ὁ κλύδων ἐκβάλλει δαψιλὲς τὸ καλούμενον ἤλεκτρον, οὐδαμοῦ δὲ τῆς οἰκουμένης φαινόμενον. περὶ δὲ τούτου πολλοὶ τῶν παλαιῶν ἀνέγραψαν μύθους παντελῶς ἀπιστουμένους καὶ διὰ τῶν ἀποτελεσμάτων ἐλεγχομένους. πολλοὶ γὰρ τῶν τε ποιητῶν καὶ τῶν συγγραφέων φασὶ Φαέθοντα τὸν Ἡλίου μὲν υἱόν, παῖδα δὲ τὴν ἡλικίαν ὄντα, πεῖσαι τὸν πατέρα μίαν ἡμέραν παραχωρῆσαι τοῦ τεθρίππου. συγχωρηθέντος δὲ αὐτῷ τούτου τὸν μὲν Φαέθοντα ἐλαύνοντα τὸ τέθριππον μὴ δύνασθαι κρατεῖν τῶν ἡνιῶν, τοὺς δ' ἵππους καταφρονήσαντας τοῦ παιδὸς ἐξενεχθῆναι τοῦ συνήθους δρόμου, καὶ τὸ μὲν πρῶτον κατὰ τὸν οὐρανὸν πλανωμένους ἐκπυρῶσαι τοῦτον, καὶ ποιῆσαι τὸν νῦν γαλαξίαν καλούμενον κύκλον, μετὰ δὲ ταῦτα πολλὴν τῆς οἰκουμένης ἐπιφλέξαντας οὐκ ὀλίγην κατακαίειν χώραν. διὸ καὶ τοῦ Διὸς ἀγανακτήσαντος ἐπὶ τοῖς γεγενημένοις, κεραυνῶσαι μὲν τὸν Φαέθοντα, ἀποκαταστῆσαι δὲ τὸν ἥλιον ἐπὶ τὴν συνήθη πορείαν. τοῦ δὲ Φαέθοντος πεσόντος πρὸς τὰς ἐκβολὰς τοῦ νῦν Πάδου καλουμένου ποταμοῦ, τὸ δὲ παλαιὸν Ἠριδανοῦ προσαγορευομένου, θρηνῆσαι μὲν τὰς ἀδελφὰς αὐτοῦ τὴν τελευτὴν φιλοτιμότατα, διὰ δὲ τὴν ὑπερβολὴν τῆς λύπης ὑπὸ τῆς φύσεως μετασχηματισθῆναι τὴν φύσιν, γενομένας αἰγείρους. ταύτας δὲ κατ' ἐνιαυτὸν κατὰ τὴν αὐτὴν ὥραν δάκρυον ἀφιέναι, καὶ τοῦτο πηγνύμενον ἀποτελεῖν τὸ καλούμενον ἤλεκτρον, λαμπρότητι μὲν τῶν ὁμοφυῶν διαφέρον, ἐπιχωριάζον δ' ἐν ταῖς τῶν νέων τελευταῖς κατὰ τὸ τούτων πένθος. διημαρτηκότων δὲ πάντων τῶν τὸν μῦθον τοῦτον πεπλακότων καὶ διὰ τῶν ἀποτελεσμάτων ἐν τοῖς ὕστερον χρόνοις ἐλεγχομένων, προσεκτέον ταῖς ἀληθιναῖς ἱστορίαις. τὸ γὰρ ἤλεκτρον συνάγεται μὲν ἐν τῇ προειρημένῃ νήσῳ, κομίζεται δὲ ὑπὸ τῶν ἐγχωρίων πρὸς τὴν ἀντιπέραν ἤπειρον, δι' ἧς φέρεται πρὸς τοὺς καθ' ἡμᾶς τόπους, καθότι προείρηται.

Διεληλυθότες δὲ περὶ τῶν νήσων τῶν κειμένων ἐν 24

348. 82. τῶν τε ποιητῶν καὶ τῶν A(DN), caeteri τῶν ποιητῶν καὶ 84. δὲ] δὲ διὰ CN 85. τεθρίππου] τοῦ ἅρματος τοῦ ἐκ τεσσάρων ἵππων συνεσταμένου gl. N 86. τὸ FN, caeteri τὸν τέθριππον] τέτριππον N 92. τοῦ Διὸς ἀγανακτήσαντος ABD, caeteri τὸν Δία ἀγανακτήσαντα 96. Πάδου καλουμένου] καλουμένου Πάδου D 99. ὑπὸ τῆς φύσεως] verba inutilia praeteriit Poggius: exspectes τοῦ Διὸς 100. αἰγείρους] ἐγείρους D 4. κατὰ Stephanus: libri καὶ 6. ἐλεγχομένων AB(D), ἐλεγχομένοις FG, deprehensi Poggius, caeteri ἀποτελουμένων 9. ἀντιπέραν] ἀντιπέρας ABD 11. προείρηται A(D), caeteri προείρηται περὶ τούτων

τοῖς πρὸς δυσμὰς μέρεσιν οὐκ ἀνοίκειον εἶναι νομίζομεν περὶ τῶν πλησίον τῆς Εὐρώπης ἐθνῶν βραχέα διελθεῖν, ἃ παραλελοίπαμεν ἐν ταῖς πρότερον βίβλοις. τῆς Κελτικῆς τοίνυν τὸ παλαιόν, ὥς φασιν, ἐδυνάστευσεν ἐπιφανὴς ἀνήρ, ᾧ θυγάτηρ ἐγένετο τῷ μεγέθει τοῦ σώματος ὑπερφυής, τῇ δ' εὐπρεπείᾳ πολὺ διέχουσα τῶν ἄλλων. αὕτη δὲ διά τε τὴν τοῦ σώματος ῥώμην καὶ τὴν θαυμαζομένην εὐπρέπειαν πεφρονηματισμένη παντὸς τοῦ μνηστεύοντος τὸν γάμον ἀπηρνεῖτο, νομίζουσα μηδένα τούτων ἄξιον ἑαυτῆς εἶναι. κατὰ δὲ τὴν Ἡρακλέους ἐπὶ 349 Γηρυόνην στρατείαν, καταντήσαντος εἰς τὴν Κελτικὴν αὐτοῦ καὶ πόλιν Ἀλησίαν ἐν ταύτῃ κτίσαντος, θεασαμένη τὸν Ἡρακλέα καὶ θαυμάσασα τήν τε ἀρετὴν αὐτοῦ καὶ τὴν τοῦ σώματος ὑπεροχήν, προσεδέξατο τὴν ἐπιπλοκὴν μετὰ πάσης προθυμίας, συγκατανευσάντων καὶ τῶν γονέων. μιχθεῖσα δὲ τῷ Ἡρακλεῖ ἐγέννησεν υἱὸν ὀνόματι Γαλάτην, πολὺ προέχοντα τῶν ὁμοεθνῶν ἀρετῇ τε ψυχῆς καὶ ῥώμῃ σώματος. ἀνδρωθεὶς δὲ τὴν ἡλικίαν καὶ διαδεξάμενος τὴν πατρῴαν βασιλείαν πολλὴν μὲν τῆς προσοριζούσης χώρας κατεκτήσατο, μεγάλας δὲ πράξεις πολεμικὰς συνετέλεσε. περιβόητος δὲ γενόμενος ἐπ' ἀνδρείᾳ τοὺς ὑπ' αὐτὸν τεταγμένους ὠνόμασεν ἀφ' ἑαυτοῦ Γαλάτας· ἀφ' ὧν ἡ σύμπασα Γαλατία προσηγορεύθη.

**25** Ἐπεὶ δὲ περὶ τῆς τῶν Γαλατῶν προσηγορίας διήλθομεν, καὶ περὶ τῆς χώρας αὐτῶν δέον ἐστὶν εἰπεῖν. ἡ τοίνυν Γαλατία κατοικεῖται μὲν ὑπὸ πολλῶν ἐθνῶν διαφόρων τοῖς μεγέθεσι· τὰ μέγιστα γὰρ αὐτῶν σχεδὸν εἴκοσι μυριάδας ἀνδρῶν ἔχει, τὰ δ' ἐλάχιστα πέντε μυριάδας, ὧν ἐστιν ἓν πρὸς Ῥωμαίους ἔχον συγγένειαν παλαιὰν καὶ φιλίαν τὴν μέχρι τῶν καθ' ἡμᾶς χρόνων διαμένουσαν. κειμένη δὲ κατὰ τὸ πλεῖστον ὑπὸ τὰς ἄρκτους χειμέριός ἐστι καὶ ψυχρὰ διαφερόντως. κατὰ γὰρ τὴν χειμερινὴν ὥραν ἐν ταῖς συννεφέσιν ἡμέραις ἀντὶ μὲν τῶν ὄμβρων χιόνι πολλῇ νίφεται, κατὰ δὲ τὰς αἰθρίας κρυστάλλῳ καὶ πάγοις ἐξαισίοις πληθύει, δι' ὧν οἱ ποταμοὶ πηγνύμενοι διὰ τῆς ἰδίας φύσεως γεφυροῦν-

15. ἐν om. N     πρότερον] nonne προτέραις?     17. ἐγένετο om. F     18. διέχουσα ABD, caeteri προέχουσα     21. παντὸς] πάντως F     22. ἑαυτῆς] ἑαυτῇ AB

349. 26. ὑπεροχὴν] ῥώμην F     28. τῶν γονέων AC(D)F, caeteri τῶν αὐτῆς γονέων     μιχθεῖσα] μιγεῖσα BD     29. ὀνόματι ABD, caeteri ὄνομα     35. ὑπ' αὐτὸν] ὑφ' αὐτὸν D     38. διήλθομεν] περιήλθομεν F     42. ἀνδρῶν] αὐτῶν N     43. ἓν om. CDEN     44. φιλίαν] φιλοστοργίαν FG     48. αἰθρίας] αἰθερίας B



ται. οὐ μόνον γὰρ οἱ τυχόντες ὁδῖται κατ' ὀλίγους κατὰ τοῦ κρυστάλλου πορευόμενοι διαβαίνουσιν, ἀλλὰ καὶ στρατοπέδων μυριάδες μετὰ σκευοφόρων καὶ ἁμαξῶν γεμουσῶν ἀσφαλῶς περαιοῦνται. πολλῶν δὲ καὶ μεγάλων ποταμῶν ῥεόντων διὰ τῆς Γαλατίας καὶ τοῖς ῥείθροις ποικίλως τὴν πεδιάδα γῆν τεμνόντων, οἱ μὲν ἐκ λιμνῶν ἀβύσσων ῥέουσιν, οἱ δ' ἐκ τῶν ὀρῶν ἔχουσι τὰς πηγὰς καὶ τὰς ἐπιῤῥοίας· τὴν δ' ἐκβολὴν οἱ μὲν εἰς τὸν Ὠκεανὸν ποιοῦνται, οἱ δ' εἰς τὴν καθ' ἡμᾶς θάλατταν. μέγιστος δ' ἐστὶ τῶν εἰς τὸ καθ' ἡμᾶς πέλαγος ῥεόντων ὁ Ῥοδανός, τὰς μὲν πηγὰς ἔχων ἐν τοῖς Ἀλπείοις ὄρεσι, πέντε δὲ στόμασιν ἐξερευγόμενος εἰς τὴν θάλατταν. τῶν δ' εἰς τὸν Ὠκεανὸν ῥεόντων μέγιστοι δοκοῦσιν ὑπάρχειν ὅ τε Δανούβιος καὶ ὁ Ῥῆνος, ὃν ἐν τοῖς καθ' ἡμᾶς χρό- 350 νοις Καῖσαρ ὁ κληθεὶς θεὸς ἔζευξε παραδόξως, καὶ περαιώσας πεζῇ τὴν δύναμιν ἐχειρώσατο τοὺς πέραν κατοικοῦντας αὐτοῦ Γαλάτας. πολλοὶ δὲ καὶ ἄλλοι πλωτοὶ ποταμοὶ κατὰ τὴν Κελτικήν εἰσι, περὶ ὧν μακρὸν ἂν εἴη γράφειν. πάντες δὲ σχεδὸν ὑπὸ τοῦ πάγου πηγνύμενοι γεφυροῦσι τὰ ῥεῖθρα, καὶ τοῦ κρυστάλλου διὰ τὴν φυσικὴν λειότητα ποιοῦντος τοὺς διαβαίνοντας ὀλισθαίνειν, ἀχύρων ἐπιβαλλομένων ἐπ' αὐτοὺς ἀσφαλῆ τὴν διάβασιν ἔχουσι.

**26** Ἴδιον δέ τι καὶ παράδοξον συμβαίνει κατὰ τὴν πλείστην τῆς Γαλατίας, περὶ οὗ παραλιπεῖν οὐκ ἄξιον ἡγούμεθα. ἀπὸ γὰρ θερινῆς δύσεως καὶ ἄρκτου πνεῖν εἰώθασιν ἄνεμοι τηλικαύτην ἔχοντες σφοδρότητα καὶ δύναμιν ὥστε ἀναρπάζειν ἀπὸ τῆς γῆς λίθους χειροπληθιαίους τοῖς μεγέθεσι καὶ τῶν ψηφίδων ἁδρομερῆ κονιορτόν· καθόλου δὲ καταιγίζοντες λάβρως ἁρπάζουσιν ἀπὸ μὲν τῶν ἀνδρῶν τὰ ὅπλα καὶ τὰς ἐσθῆτας, ἀπὸ δὲ τῶν ἵππων τοὺς ἀναβάτας. διὰ δὲ τὴν ὑπερβολὴν τοῦ ψύχους διαφθειρομένης τῆς κατὰ τὸν ἀέρα κράσεως οὔτε οἶνον οὔτε ἔλαιον φέρει· διόπερ τῶν Γαλατῶν οἱ τούτων τῶν καρπῶν στερισκόμενοι πόμα κατασκευάζουσιν ἐκ τῆς

55. ῥεόντων] ὄντων FG     56. γῆν om. A     59. θάλατταν D, caeteri θάλασσαν     61. Ῥοδανὸς] Ἠριδανὸς FM Poggius     πηγὰς] γονὰς FG     Ἀλπείοις E(N), Ἀλπίοις ABDQ, Ἀλπειοῖον C, caeteri Ἄλπεσιν     62. δὲ om. D     στόμασιν] στόματα FG     τὴν om. D     63. θάλατταν] θάλασσαν omnes

350. 70. πάγου] πάγους FG     71. λειότητα] ἰδιότητα ABD     75. ἴδιον] δι' οὗ F     77. παραλιπεῖν] καταλιπεῖν GM     80. ἁδρομερῆ] ἀνδρομερῆ EV, „quod Ursin., si non fallunt, quod suspicor, excerpta, probavit" Wessel., caeteri ἁδρομερῆ     84. διαφθειρομένης] φθειρομένης A     86. πόμα] τὰ πολλὰ ABD

κριθῆς τὸ προςαγορευόμενον ζῦθος, καὶ τὰ κηρία πλύνοντες τῷ τούτων ἀποπλύματι χρῶνται. κάτοινοι δὲ ὄντες καθ' ὑπερβολὴν τὸν εἰςαγόμενον ὑπὸ τῶν ἐμπόρων οἶνον ἄκρατον ἐμφοροῦνται, καὶ διὰ τὴν ἐπιθυμίαν λάβρῳ χρώμενοι τῷ ποτῷ καὶ μεθυσθέντες εἰς ὕπνον ἢ μανιώδεις διαθέσεις τρέπονται. διὸ καὶ πολλοὶ τῶν Ἰταλικῶν ἐμπόρων διὰ τὴν συνήθη φιλαργυρίαν ἕρμαιον ἡγοῦνται τὴν τῶν Γαλατῶν φιλοινίαν. οὗτοι γὰρ διὰ μὲν τῶν πλωτῶν ποταμῶν πλοίοις, διὰ δὲ τῆς πεδιάδος χώρας ἁμάξαις κομίζοντες τὸν οἶνον, ἀντιλαμβάνουσι τιμῆς πλῆθος ἄπιστον· διδόντες γὰρ οἴνου κεράμιον ἀντιλαμβάνουσι παῖδα, τοῦ πόματος διάκονον ἀμειβόμενοι.

27 κατὰ γοῦν τὴν Γαλατίαν ἄργυρος μὲν τὸ σύνολον οὐ γίνεται, χρυσὸς δὲ πολύς, ὃν τοῖς ἐγχωρίοις ἡ φύσις ἄνευ μεταλλείας καὶ κακοπαθείας ὑπουργεῖ. ἡ γὰρ τῶν ποταμῶν ῥύσις σκολιοὺς τοὺς ἀγκῶνας ἔχουσα, καὶ τοῖς τῶν παρακειμένων ὀρῶν ὄχθαις προςαράττουσα καὶ μεγάλους ἀποῤῥηγνῦσα κολωνούς, πληροῖ χρυσοῦ ψήγματος. τοῦτο δ' οἱ περὶ τὰς ἐργασίας ἀσχολούμενοι συνάγοντες ἀλήθουσιν ἢ συγκόπτουσι τὰς ἐχούσας τὸ ψῆγμα βώ- [351] λους· διὰ δὲ τῶν ὑδάτων τῆς φύσεως τὸ γεῶδες πλύναντες παραδιδόασιν ἐν ταῖς καμίνοις εἰς τὴν χωνείαν. τούτῳ δὲ τῷ τρόπῳ σωρεύοντες χρυσοῦ πλῆθος καταχρῶνται πρὸς κόσμον οὐ μόνον αἱ γυναῖκες ἀλλὰ καὶ οἱ ἄνδρες. περὶ μὲν γὰρ τοὺς καρποὺς καὶ τοὺς βραχίονας ψέλια φοροῦσι, περὶ δὲ τοὺς αὐχένας κρίκους παχεῖς ὁλοχρύσους καὶ δακτυλίους ἀξιολόγους ἔτι δὲ χρυσοῦς θώρακας. ἴδιον δέ τι καὶ παράδοξον παρὰ τοῖς ἄνω Κελτοῖς ἐστι περὶ τὰ τεμένη τῶν θεῶν γινόμενον. ἐν γὰρ τοῖς ἱεροῖς καὶ τεμένεσιν ἐπὶ τῆς χώρας ἀνειμένοις ἔῤῥιπται πολὺς χρυσὸς ἀνατεθειμένος τοῖς θεοῖς· καὶ τῶν ἐγχωρίων οὐδεὶς ἅπτεται τούτου διὰ τὴν δεισιδαιμονίαν, καίπερ ὄντων τῶν Κελτῶν φιλαργύρων καθ' ὑπερβολήν.

87. ζῦθος ABC(D)EG(N)Q, caeteri ζῦθον  92. διαθέσεις] διαθέσεως G  96. χώρας om. ENV, asterisco notat Stephanus  100. γοῦν] immo γὰρ  τὸ σύνολον om. N, post γίνεται ponit D  2. μεταλλείας] μεταλείας D  καὶ κακοπαθείας om. CE N, asterisco notavit Stephanus  ὑπουργεῖ] ὑποῤῥεῖ ABD  3. ῥύσις] φύσις Q  σκολιοὺς τοὺς ἀγκῶνας] τοῦτ' ἐστὶ λοξοειδεῖς τὰς θέσεις τομῶν gl. N  καὶ om. AD  4. καὶ servarunt AC(DN)  5. ἀποῤῥηγνῦσα ABC(DN), caeteri ἀποῤῥήγνυσι  πληροῖ servarunt ABC(D)FG(N)  ψήγματος. τοῦτο] ψήγματα. ταῦτα FG  7. ἀλήθουσιν ἢ συγκόπτουσι] ἀλήθουσι καὶ συγκόπτουσι FG(N)Q: delenda videntur postrema duo

351. 8. βώλους] βόλους D, γιάλους F  9. ταῖς] τοῖς A  10. χωνείαν] χωνίαν D  11. πρὸς] ταῖς πρὸς D  13. ψέλια D, caeteri ψέλλια  14. ὁλοχρύσους] χρυσοῦς E  15. τι AC DFM, caeteri τι συμβαίνει  16. ἄνω om. FGM  Κελτοῖς] Κέλτοις ABCFGM  ἐστι (-ιν D) περὶ ABCDFGM, caeteri περὶ  17. γινόμενον ante 16. καὶ παράδοξον ponit N



28 Οἱ δὲ Γαλάται τοῖς μὲν σώμασίν εἰσιν εὐμήκεις, ταῖς δὲ σαρξὶ κάθυγροι καὶ λευκοί, ταῖς δὲ κόμαις οὐ μόνον ἐκ φύσεως ξανθοί, ἀλλὰ καὶ διὰ τῆς κατασκευῆς ἐπιτηδεύουσιν αὔξειν τὴν φυσικὴν τῆς χρόας ἰδιότητα. τιτάνου γὰρ ἀποπλύματι σμῶντες τὰς τρίχας συνεχῶς καὶ ἀπὸ τῶν μετώπων ἐπὶ τὴν κορυφὴν καὶ τοὺς τένοντας ἀνασπῶσιν, ὥςτε τὴν πρόςοψιν αὐτῶν φαίνεσθαι Σατύροις καὶ Πᾶσιν ἐοικυῖαν· παχύνονται γὰρ αἱ τρίχες ἀπὸ τῆς κατεργασίας, ὥςτε μηδὲν τῆς τῶν ἵππων χαίτης διαφέρειν. τὰ δὲ γένεια τινὲς μὲν ξυρῶνται, τινὲς δὲ μετρίως ὑποτρέφουσιν· οἱ δ' εὐγενεῖς τὰς μὲν παρειὰς ἀπολειαίνουσι, τὰς δ' ὑπήνας ἀνειμένας ἐῶσιν, ὥςτε τὰ στόματα αὐτῶν ἐπικαλύπτεσθαι. διόπερ ἐσθιόντων μὲν αὐτῶν ἐμπλέκονται ταῖς τροφαῖς, πινόντων δὲ καθάπερ διά τινος ἠθμοῦ φέρεται τὸ πόμα. δειπνοῦσι δὲ καθήμενοι πάντες οὐκ ἐπὶ θρόνων ἀλλ' ἐπὶ τῆς γῆς, ὑποστρώμασι χρώμενοι λύκων ἢ κυνῶν δέρμασι. διακονοῦνται δ' ὑπὸ τῶν νεωτάτων παίδων ἐχόντων ἡλικίαν, ἀῤῥένων τε καὶ θηλειῶν. πλησίον δ' αὐτῶν ἐσχάραι κεῖνται γέμουσαι πυρὸς καὶ λέβητας ἔχουσαι καὶ ὀβελοὺς πλήρεις κρεῶν ὁλομερῶν. τοὺς δ' ἀγαθοὺς ἄνδρας ταῖς καλλίσταις τῶν κρεῶν μοίραις γεραίρουσι, καθάπερ καὶ ὁ ποιητὴς τὸν Αἴαντα παρειςάγει τιμώμενον ὑπὸ τῶν ἀριστέων, ὅτε πρὸς Ἕκτορα μονομαχήσας ἐνίκησε,

νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρε.

καλοῦσι δὲ καὶ τοὺς ξένους ἐπὶ τὰς εὐωχίας, καὶ μετὰ τὸ δεῖπνον ἐπερωτῶσι τίνες εἰσὶ καὶ τίνων χρείαν ἔχουσιν. εἰώθασι δὲ καὶ παρὰ τὸ δεῖπνον ἐκ τῶν τυχόντων [352] πρὸς τὴν διὰ τῶν λόγων ἅμιλλαν καταστάντες ἐκ προκλήσεως μονομαχεῖν πρὸς ἀλλήλους, παρ' οὐδὲν τιθέμενοι τὴν τοῦ βίου τελευτήν. ἐνισχύει γὰρ παρ' αὐτοῖς ὁ

24. κατασκευῆς] σκευῆς AB  25. χρόας] χώρας G  26. τιτάνου] καὶ ἀσβέστου addit V  σμῶντες] καθαίροντες FG correcti in marg., MQ, σμῶντες καὶ καθαίροντες N  28. ἀνασπῶσιν AC(D)FM Poggius, caeteri addunt ἵνα διαφανεῖς ὦσιν, quae asterisco notavit Stephanus  29. Πᾶσιν] παισὶν AG Poggius  γὰρ] τε γὰρ D  33. ἀπολειαίνουσι] ἀπολιαίνουσι AD  36. καθάπερ] καθαπερεὶ D  ἠθμοῦ] ἰθμοῦ D, ἰσθμοῦ A, ἰσθμοῦ καὶ σακελίσματος EN  41. ἐσχάραι] ἐσχάρας F  42. ὀβελοὺς DQ, ὀβέλους ABCEGN, caeteri ὀβελίσκους  47. νώτοισι δ' Αἴαντα διηνεκέεσι γέραιρε (-εν D)] νώτοισι δὲ καὶ ῥάχεσι διηνεγκέεσι καὶ συχνοῖς γέραιρε καὶ ἐτίμα N: νώτοισι omnes

352. 51. τῶν λόγων] τῶν ἀλόγων FG, τοῦ λόγου N  53. αὐτοῖς] αὐτῶν AB

Πυθαγόρου λόγος ὅτι τὰς ψυχὰς τῶν ἀνθρώπων ἀθανάτους εἶναι συμβέβηκε καὶ δι' ἐτῶν ὡρισμένων πάλιν βιοῦν, εἰς ἕτερον σῶμα τῆς ψυχῆς εἰςδυομένης. διὸ καὶ κατὰ τὰς ταφὰς τῶν τετελευτηκότων ἐνίους ἐπιστολὰς γεγραμμένας τοῖς οἰκείοις τετελευτηκόσιν ἐμβάλλειν εἰς τὴν πυράν, ὡς τῶν τετελευτηκότων ἀναγνωσομένων ταύτας.

29 ἐν δὲ ταῖς ὁδοιπορίαις καὶ ταῖς μάχαις χρῶνται συνωρίσιν, ἔχοντος τοῦ ἅρματος ἡνίοχον καὶ παραβάτην. ἀπαντῶντες δὲ τοῖς ἐφιππεύουσιν ἐν τοῖς πολέμοις σαυνιάζουσι τοὺς ἐναντίους, καὶ καταβάντες τὴν ἀπὸ τοῦ ξίφους συνίστανται μάχην. ἔνιοι δ' αὐτῶν ἐπὶ τοσοῦτο τοῦ θανάτου καταφρονοῦσιν ὥςτε γυμνοὺς καὶ περιεζωσμένους καταβαίνειν εἰς τὸν κίνδυνον. ἐπάγονται δὲ καὶ θεράποντας ἐλευθέρους ἐκ τῶν πενήτων καταλέγοντες, οἷς ἡνιόχοις καὶ παρασπισταῖς χρῶνται κατὰ τὰς μάχας. κατὰ δὲ τὰς παρατάξεις εἰώθασι προάγειν τῆς παρατάξεως, καὶ προκαλεῖσθαι τῶν ἀντιτεταγμένων τοὺς ἀρίστους εἰς μονομαχίαν, προανασείοντες τὰ ὅπλα καὶ καταπληττόμενοι τοὺς ἐναντίους. ὅταν δέ τις ὑπακούσῃ πρὸς τὴν μάχην, τάς τε τῶν προγόνων ἀνδραγαθίας ἐξυμνοῦσι καὶ τὰς ἑαυτῶν ἀρετὰς προφέρονται, καὶ τὸν ἀντιταττόμενον ἐξονειδίζουσι καὶ ταπεινοῦσι καὶ τὸ σύνολον τὸ θράσος τῆς ψυχῆς τοῖς λόγοις προαφαιροῦνται. τῶν δὲ πεσόντων πολεμίων τὰς κεφαλὰς ἀφαιροῦντες περιάπτουσι τοῖς αὐχέσι τῶν ἵππων· τὰ δὲ σκῦλα τοῖς θεράπουσι παραδόντες ᾑμαγμένα λαφυραγωγοῦσιν ἐπιπαιανίζοντες καὶ ᾄδοντες ὕμνον ἐπινίκιον, καὶ τὰ ἀκροθίνια ταῦτα ταῖς οἰκίαις προςηλοῦσιν ὥςπερ ἐν κυνηγίαις τισὶ κεχειρωμένοι θηρία. τῶν δὲ ἐπιφανεστάτων πολεμίων κεδρώσαντες τὰς κεφαλὰς ἐπιμελῶς τηροῦσιν ἐν 353 λάρνακι, καὶ τοῖς ξένοις ἐπιδεικνύουσι σεμνυνόμενοι

57. ἐνίους] ἐνίας N  58. ἐμβάλλειν] συμβάλλειν N  61. συνωρίσιν] συνορίσι καὶ ἅρμασιν ἐκ δύο ἵππων συγκεκροτημένους (sic) N  64. σαυνιάζουσι] καὶ πετεύουσι διὰ τῶν δοράτων addit N, καὶ πεζεύουσι διὰ τῶν δοράτων τοὺς ἐναντίους V  65. τὴν AD, caeteri εἰς τὴν  66. τοσοῦτο] τοσοῦτον ABDEN 68. δὲ] τε D  θεράποντας] θεραπεύοντας B  69. οἷς ἡνιόχοις] εἰς ἡνιόχους N  76. καὶ τὸν] τὸν N  καὶ ταπεινοῦσι om. CE(N), asterisco notavit Stephanus  77. θράσος] θάρσος AB (DN)Q  79. τοῖς αὐχέσι AB(D)G(N), caeteri τοὺς αὐχένας, quae om. CE, asterisco notavit Stephanus  τῶν ἵππων om. N  81. ἐπιπαιανίζοντες ABDFGQ, caeteri παιανίζοντες  82. ἀκροθίνια] ἀκρωτήρια BDQ  83. ὥςπερ] ὥςπερ οἱ D  κυνηγίαις] κυνηγίοις ABC  κεχειρωμένοι θηρία Wesselingius, κεχειρωμένοι τὰ θηρία ABCDF, κεχειρωμένοι GNQV, caeteri κεχειρωμένα θηρία  84. κεδρώσαντες] καὶ κεδρίνῳ θήκῃ ἐμβάλλοντες addit N



διότι τῆςδε τῆς κεφαλῆς τῶν προγόνων τις ἢ πατὴρ ἢ καὶ αὐτὸς πολλὰ χρήματα διδόμενα οὐκ ἔλαβε. φασὶ δέ τινας αὐτῶν καυχήσασθαι διότι χρυσὸν ἀντίσταθμον τῆς κεφαλῆς οὐκ ἐδέξαντο, βάρβαρόν τινα μεγαλοψυχίαν ἐπιδεικνύμενοι· οὐ γὰρ τὸ μὴ πωλεῖν τὰ σύσσημα τῆς ἀρετῆς εὐγενές, ἀλλὰ τὸ πολεμεῖν τὸ ὁμόφυλον τετελευτηκὸς θηριῶδες.

30 ἐσθῆσι δὲ χρῶνται καταπληκτικαῖς, χιτῶσι μὲν βαπτοῖς χρώμασι παντοδαποῖς διηνθισμένοις καὶ ἀναξυρίσιν, ἃς ἐκεῖνοι βράκας προςαγορεύουσιν· ἐπιπορποῦνται δὲ σάγους ῥαβδωτοὺς ἐν μὲν τοῖς χειμῶσι δασεῖς, κατὰ δὲ τὸ θέρος ψιλούς, πλινθίοις πολυανθέσι καὶ πυκνοῖς διειλημμένους. ὅπλοις δὲ χρῶνται θυρεοῖς μὲν ἀνδρομήκεσι, πεποικιλμένοις ἰδιοτρόπως· τινὲς δὲ καὶ ζῴων χαλκῶν ἐξοχὰς ἔχουσιν, οὐ μόνον πρὸς κόσμον ἀλλὰ καὶ πρὸς ἀσφάλειαν εὖ δεδημιουργημένας. κράνη δὲ χαλκᾶ περιτίθενται μεγάλας ἐξοχὰς ἐξ ἑαυτῶν ἔχοντα καὶ παμμεγέθη φαντασίαν ἐπιφέροντα τοῖς χρωμένοις· τοῖς μὲν γὰρ πρόςκειται συμφυῆ κέρατα, τοῖς δὲ ὀρνέων ἢ τετραπόδων ζῴων ἐκτετυπωμέναι προτομαί. σάλπιγγας δ' ἔχουσιν ἰδιοφυεῖς καὶ βαρβαρικάς· ἐμφυσῶσι γὰρ ταύταις καὶ προβάλλουσιν ἦχον τραχὺν καὶ πολεμικῆς ταραχῆς οἰκεῖον. θώρακας δ' ἔχουσιν οἱ μὲν σιδηροῦς ἁλυσιδωτούς, οἱ δὲ τοῖς ὑπὸ τῆς φύσεως δεδομένοις ἀρκοῦνται, γυμνοὶ μαχόμενοι. ἀντὶ δὲ τοῦ ξίφους σπάθας ἔχουσι μακρὰς σιδηραῖς ἢ χαλκαῖς ἁλύσεσιν ἐξηρτημένας παρὰ τὴν δεξιὰν λαγόνα παρατεταμένας. τινὲς δὲ τοὺς χιτῶνας ἐπιχρύσοις ἢ καταργύροις ζωστῆρσι συνέζωνται. προβάλλονται δὲ λόγχας, ἃς ἐκεῖνοι λαγκίας καλοῦσι,

353. 88. καυχήσασθαι] καυχᾶσθαι BD  89. διότι] ὅτι N  92. τὸ om. D  τὸ ὁμόφυλον τετελευτηκὸς ABCDE, ὁμόφυλον τετελευτηκὸς N, caeteri τῶν ὁμοφύλων τοῖς τετελευτηκόσι  93. post θηριῶδες addit N τοῦτ' ἐστὶ τὸ μετὰ θάνατον ἐγκοτεῖν τῷ τεθνηκότι κακόν  94. χιτῶσι μὲν βαπτοῖς A, caeteri χιτῶνας μὲν βαπτοὺς  95. διηνθισμένοις Stephanus et nescio an A, caeteri διηνθισμένους  97. σάγους] τὰ καλούμενα σάγια addit N  ῥαβδωτοὺς] ταλαρωτὰ ῥοῦχα N  98. πολυανθέσι καὶ πυκνοῖς] πυκνοῖς καὶ πολυάνθεσι D Poggius  1. χαλκῶν] χαλκῶς A, χαλκᾶς Reiskius: *animalium formas aereas* Poggius  μόνον om. AD  2. εὖ δεδημιουργημένας] εὖ δεδημιουργημένους CE, ἐκδεδημιουργημένας Q, δεδημιουργημένα F  3. ἑαυτῶν AD, caeteri αὐτῶν  4. καὶ servarunt A(N)  5. χρωμένοις AB(D), caeteri θεωμένοις  τοῖς μὲν γὰρ] ὧν τοῖς μὲν D  7. προτομαί] εἰκόνας (sic) gl. C  8. ἐμφυσῶσι] ἐκφυσῶσι E  12. δὲ τοῦ om. A  σιδηραῖς AC(D)E, σιδηρὰς N, caeteri σιδηρᾶς σιδηραῖς, quorum prius Stephanus asterisco notavit, alterum om. Poggius  14. παρατεταμένας] παρατεταγμένας B  16. λαγκίας] ἀγκείας CEFGN

πηχυαῖα τῷ μήκει τοῦ σιδήρου καὶ ἔτι μείζω τὰ ἐπιθήματα ἐχούσας, πλάτει δὲ βραχὺ λείποντα διπαλαίστων· τὰ μὲν γὰρ ξίφη τῶν παρ' ἑτέροις σαυνίων εἰσὶν οὐκ 354 ἐλάττω, τὰ δὲ σαυνία τὰς ἀκμὰς ἔχει τῶν ξιφῶν μείζους. τούτων δὲ τὰ μὲν ἐπ' εὐθείας κεχάλκευται, τὰ δὲ ἑλικοειδῆ δι' ὅλων ἀνάκλασιν ἔχει πρὸς τὸ καὶ κατὰ τὴν πληγὴν μὴ μόνον τέμνειν ἀλλὰ καὶ θραύειν τὰς σάρκας καὶ κατὰ τὴν ἀνακομιδὴν τοῦ δόρατος σπαράττειν τὸ

31 τραῦμα. αὐτοὶ δ' εἰσὶ τὴν πρόσοψιν καταπληκτικοὶ καὶ ταῖς φωναῖς βαρυηχεῖς καὶ παντελῶς τραχύφωνοι, κατὰ δὲ τὰς ὁμιλίας βραχυλόγοι καὶ αἰνιγματίαι καὶ τὰ πολλὰ αἰνιττόμενοι συνεκδοχικῶς, πολλὰ δὲ λέγοντες ἐν ὑπερβολαῖς ἐπ' αὐξήσει μὲν ἑαυτῶν, μειώσει δὲ τῶν ἄλλων. ἀπειληταί δὲ καὶ ἀνατατικοὶ καὶ τετραγῳδημένοι ὑπάρχουσι, ταῖς δὲ διανοίαις ὀξεῖς καὶ πρὸς μάθησιν οὐκ ἀφυεῖς. εἰσὶ δὲ παρ' αὐτοῖς καὶ ποιηταὶ μελῶν, οὓς βάρδους ὀνομάζουσιν. οὗτοι δὲ μετ' ὀργάνων ταῖς λύραις ὁμοίων ᾄδοντες οὓς μὲν ὑμνοῦσιν, οὓς δὲ βλασφημοῦσι. φιλόσοφοί τέ τινές εἰσι καὶ θεολόγοι περιττῶς τιμώμενοι, οὓς δρουίδας ὀνομάζουσι. χρῶνται δὲ καὶ μάντεσιν, ἀποδοχῆς μεγάλης ἀξιοῦντες αὐτούς· οὗτοι δὲ διά τε τῆς οἰωνοσκοπίας καὶ διὰ τῆς τῶν ἱερείων θυσίας τὰ μέλλοντα προλέγουσι, καὶ πᾶν τὸ πλῆθος ἔχουσιν ὑπήκοον. μάλιστα δ' ὅταν περί τινων μεγάλων ἐπισκέπτωνται παράδοξον καὶ ἄπιστον ἔχουσι νόμιμον· ἄνθρωπον γὰρ κατασπείσαντες τύπτουσι μαχαίρᾳ κατὰ τὸν ὑπὲρ τὸ διάφραγμα τόπον, καὶ πεσόντος τοῦ πληγέντος

πηχυαῖα Reiskius: libri πηχυαίας 17. τοῦ abesse malim ἔτι] ἐπὶ N μείζω] μείζονα A ἐπιθήματα] ἐπιθύματα A
18. λείποντα Reiskius: libri λειπούσας: Poggius pro his, πηχυαίας — διπαλαίστων: *ferro cubiti aut amplius longitudinis, paulo minus duobus palmis lato*

354. 21. μείζους ABD Poggius, caeteri μείζω 22. ἀνάκλασιν] ἀνάγκασιν AB 23. πληγὴν — 24. τὴν om. F 25. σπαράττειν] πράττειν A 26. δ' D, caeteri δὲ εἰσὶ] εἰς ABDN 27. βαρυηχεῖς ABCEG(N)Q, βαρυήχεις D, caeteri βαρύηχοι 28. βραχυλόγοι] βραχύλογοι D καὶ τὰ] κατὰ AG, qui tamen nescio an servent τὰ, κατὰ δὲ D 29. συνεκδοχικῶς] συνεχικῶς AB 30. ἑαυτῶν] *eorum* Poggius 31. ἀνατατικοὶ] καὶ ἀνατείνοντες τὴν ὀργὴν addit N 33. δὲ AC DEV, caeteri δὲ καί: sed καὶ asterisco notavit Stephanus 35. ὁμοίων] ὅμοιον DEN 36. εἰσι om. E 37. δρουίδας Ortelius, Σαρωνίδας GQ, Σαρουνίδας margo GQ, *Sarronidas* Poggius, caeteri Σαρουίδας 38. δὲ καὶ C(D)E(N), caeteri δὲ 42. ἐπισκέπτωνται] ἐπισκέπτονται D 43. κατασπείσαντες] κατασπίσαντες D, καταπείσαντες FG 44. διάφραγμα τόπον] ἤτοι τὸν λαιμὸν (λαμὸν C) addunt CN



ἐκ τῆς πτώσεως καὶ τοῦ σπαραγμοῦ τῶν μελῶν ἔτι δὲ τῆς τοῦ αἵματος ῥύσεως τὸ μέλλον νοοῦσι, παλαιᾷ τινι καὶ πολυχρονίῳ παρατηρήσει περὶ τούτων πεπιστευκότες. ἔθος δ' αὐτοῖς ἐστι μηδένα θυσίαν ποιεῖν ἄνευ φιλοσόφου· διὰ γὰρ τῶν ἐμπείρων τῆς θείας φύσεως ὡςπερεί τινων ὁμοφώνων τὰ χαριστήρια τοῖς θεοῖς φασι δεῖν προσφέρειν. καὶ διὰ τούτων οἴονται δεῖν τἀγαθὰ αἰτεῖσθαι. οὐ μόνον δ' ἐν ταῖς εἰρηνικαῖς χρείαις ἀλλὰ καὶ κατὰ τοὺς πολέμους τούτοις μάλιστα πείθονται καὶ τοῖς μελῳδοῦσι ποιηταῖς οὐ μόνον οἱ φίλοι ἀλλὰ καὶ οἱ πολέμιοι· πολλάκις δ' ἐν ταῖς παρατάξεσι πλησιαζόντων ἀλλήλοις τῶν στρατοπέδων καὶ τοῖς ξίφεσιν ἀνατεταμένοις καὶ ταῖς λόγχαις προβεβλημέναις εἰς τὸ μέσον οὗτοι προελθόντες παύουσιν αὐτούς, ὥςπερ τινὰ θηρία 355 κατεπᾴσαντες. οὕτω καὶ παρὰ τοῖς ἀγριωτάτοις βαρβάροις ὁ θυμὸς εἴκει τῇ σοφίᾳ καὶ ὁ Ἄρης αἰδεῖται τὰς Μούσας.

Χρήσιμον δ' ἐστὶ διορίσαι τὸ παρὰ πολλοῖς ἀγνοούμενον. 32 τοὺς γὰρ ὑπὲρ Μασσαλίας κατοικοῦντας ἐν τῷ μεσογείῳ καὶ τοὺς παρὰ τὰς Ἄλπεις ἔτι δὲ τοὺς ἐπὶ τάδε τῶν Πυρηναίων ὀρῶν Κελτοὺς ὀνομάζουσι, τοὺς δ' ὑπὲρ ταύτης τῆς Κελτικῆς εἰς τὰ πρὸς νότον νεύοντα μέρη παρά τε τὸν Ὠκεανὸν καὶ τὸ Ἑρκύνιον ὄρος καθιδρυμένους καὶ πάντας τοὺς ἑξῆς μέχρι τῆς Σκυθίας Γαλάτας προσαγορεύουσιν· οἱ δὲ Ῥωμαῖοι [πάλιν] πάντα ταῦτα τὰ ἔθνη συλλήβδην μιᾷ προσηγορίᾳ περιλαμβάνουσιν, ὀνομάζοντες Γαλάτας ἅπαντας. αἱ δὲ γυναῖκες τῶν Γαλατῶν οὐ μόνον τοῖς μεγέθεσι παραπλήσιοι τοῖς ἀνδράσιν εἰσὶν ἀλλὰ καὶ ταῖς ἀλκαῖς ἐνάμιλλοι. τὰ δὲ παιδία παρ' αὐτοῖς ἐκ γενετῆς ὑπάρχει πολιὰ κατὰ τὸ πλεῖστον· προβαίνοντα δὲ ταῖς ἡλικίαις εἰς τὸ τῶν πατέρων χρῶμα ταῖς χρόαις μετασχηματίζεται. ἀγριωτάτων

46. ἔτι] ἐπὶ AD δὲ om. D 47. πολυχρονίῳ] πολυχρονίᾳ B 50. ὡςπερεί τινων] ὡς περί τινων ABDF 51. φασὶ om. N 56. δ' servarunt A(N) 58. καὶ ταῖς λ. πρ. om. A 59. μέσον] μέγεθος CGNQ προελθόντες] προςελθόντες BD 60. κατεπᾴσαντες] καταπαύσαντες BD: καὶ διὰ τῶν ᾠδῶν παύσαντες addit N οὕτω] οὕτως omnes

355. 62 τὰς Μούσας] ταῖς Μούσαις F 63. παρὰ πολλοῖς] παράδοξον ἄλλοις BD 65. παρὰ AB(D), *iuxta* Poggius, caeteri περὶ τὰς] τοὺς N 66. τάδε] τὰ δεξιὰ A 67. ὑπὲρ BD, caeteri ὑπὸ 69. καθιδρυμένους ABD, caeteri καθιδρυμένα 70. πάλιν om. EGNV Poggius, asterisco notavit Stephanus 75. ἐκ γενετῆς om. EGNV, asterisco notavit Stephanus 76. τὸ πλεῖστον] πλεῖστα F, πλεῖστα τὸ πλεῖστον C προβαίνοντα] προβαίνοντες AB

δὲ ὄντων τῶν ὑπὸ τὰς ἄρκτους κατοικούντων καὶ τῶν τῇ Σκυθίᾳ πλησιοχώρων, φασί τινας ἀνθρώπους ἐσθίειν, ὥςπερ καὶ τῶν Βρεττανῶν τοὺς κατοικοῦντας τὴν ὀνομαζομένην Ἶριν. διαβεβοημένης δὲ τῆς τούτων ἀλκῆς καὶ ἀγριότητός φασί τινες ἐν τοῖς παλαιοῖς χρόνοις τοὺς τὴν Ἀσίαν ἅπασαν καταδραμόντας, ὀνομαζομένους δὲ Κιμμερίους, τούτους εἶναι, βραχὺ τοῦ χρόνου τὴν λέξιν φθείραντος ἐν τῇ τῶν καλουμένων Κίμβρων προσηγορίᾳ. ζηλοῦσι γὰρ ἐκ παλαιοῦ λῃστεύειν ἐπὶ τὰς ἀλλοτρίας χώρας ἐπερχόμενοι καὶ καταφρονεῖν ἁπάντων. οὗτοι γάρ εἰσιν οἱ τὴν μὲν Ῥώμην ἑλόντες, τὸ δὲ ἱερὸν τὸ ἐν Δελφοῖς συλήσαντες, καὶ πολλὴν μὲν τῆς Εὐρώπης, οὐκ ὀλίγην δὲ καὶ τῆς Ἀσίας φορολογήσαντες, καὶ τῶν καταπολεμηθέντων τὴν χώραν κατοικήσαντες, οἱ διὰ τὴν πρὸς τοὺς Ἕλληνας ἐπιπλοκὴν Ἑλληνογαλάται κληθέντες, τὸ δὲ τελευταῖον πολλὰ καὶ μεγάλα στρατόπεδα Ῥωμαίων συντρίψαντες. ἀκολούθως δὲ τῇ καθ' αὑτοὺς ἀγριότητι καὶ περὶ τὰς θυσίας ἐκτόπως ἀσεβοῦσι· τοὺς γὰρ κακούργους κατὰ πενταετηρίδα φυλάξαντες ἀνασκολοπίζουσι τοῖς θεοῖς καὶ μετ' ἄλλων πολλῶν ἀπαρχῶν καθαγίζουσι, πυρὰς παμμεγέθεις κατασκευάζοντες. χρῶνται δὲ καὶ τοῖς αἰχμαλώτοις ὡς ἱερείοις πρὸς τὰς τῶν θεῶν τιμάς. τινὲς δὲ αὐτῶν καὶ τὰ κατὰ πόλεμον ληφθέντα ζῷα μετὰ τῶν ἀνθρώπων ἀποκτείνουσιν ἢ κατακαίουσιν ἤ τισιν ἄλλαις τιμωρίαις ἀφανίζουσι. γυναῖκας δ' ἔχοντες 356 εὐειδεῖς ἥκιστα ταύταις προςέχουσιν, ἀλλὰ πρὸς τὰς τῶν ἀῤῥένων ἐπιπλοκὰς ἐκτόπως λυττῶσιν. εἰώθασι δ' ἐπὶ δοραῖς θηρίων χαμαὶ καθεύδοντες ἐξ ἀμφοτέρων τῶν μερῶν παρακοίτοις συγκυλίεσθαι. τὸ δὲ πάντων παραδοξότατον, τῆς ἰδίας εὐσχημοσύνης ἀφροντιστοῦντες τὴν τοῦ σώματος ὥραν εὐκόλως ἑτέροις προΐενται, καὶ τοῦτο αἰσχρὸν οὐχ ἡγοῦνται, ἀλλὰ μᾶλλον ὅταν τις αὐτῶν χαριζομένων μὴ προςδέξηται τὴν διδομένην χάριν ἄτιμον ἡγοῦνται.

33 Ἡμεῖς δ' ἀρκούντως περὶ τῶν Κελτῶν εἰρηκότες μεταβιβάσομεν τὴν ἱστορίαν ἐπὶ τοὺς πλησιοχώρους τούτοις Κελτίβηρας. οὗτοι γὰρ τὸ παλαιὸν περὶ τῆς χώρας ἀλλήλοις διαπολεμήσαντες, οἵ τε Ἴβηρες καὶ οἱ Κελτοί, καὶ μετὰ ταῦτα διαλυθέντες καὶ τὴν χώραν κοινῇ κατοικήσαντες, ἔτι δ' ἐπιγαμίας πρὸς ἀλλήλους συνθέμενοι, διὰ τὴν ἐπιμιξίαν ταύτης ἔτυχον τῆς προςηγορίας. δυοῖν δ' ἐθνῶν ἀλκίμων μιχθέντων καὶ χώρας ὑποκειμένης ἀγαθῆς, συνέβη τοὺς Κελτίβηρας ἐπὶ πολὺ τῇ δόξῃ προελθεῖν, καὶ Ῥωμαίοις πολλοὺς χρόνους ἀντιταξαμένους μόλις καταπολεμηθῆναι. δοκοῦσι δ' οὗτοι κατὰ τοὺς πολέμους οὐ μόνον ἱππεῖς ἀγαθοὺς ἀλλὰ καὶ πεζοὺς παρέχεσθαι διαφόρους ταῖς ἀλκαῖς καὶ ταῖς καρτερίαις. φοροῦσι δ' οὗτοι σάγους μέλανας τραχεῖς καὶ παραπλήσιον ἔχοντας τὸ ἔριον ταῖς αἰγείαις θριξίν. ὁπλίζονται δέ τινες τῶν Κελτιβήρων Γαλατικοῖς θυρεοῖς κούφοις, τινὲς δὲ κυρτίαις κυκλοτερέσιν ἀσπίδων ἐχούσαις τὰ μεγέθη, καὶ περὶ τὰς κνήμας τριχίνας εἱλοῦσι κνημῖδας, περὶ δὲ τὰς κεφαλὰς κράνη χαλκᾶ περιτίθενται φοινικοῖς ἠσκημένα λόφοις. ξίφη δὲ ἀμφίστομα καὶ σιδήρῳ διαφόρῳ κεχαλκευμένα φοροῦσιν, ἔχοντες σπιθαμιαίας παραξιφίδας, αἷς χρῶνται κατὰ τὰς ἐν ταῖς μάχαις συμπλοκάς. ἴδιον δέ τι παρ' αὐτοῖς ἐστι περὶ τὴν τῶν [ὅπλων καὶ] ἀμυντηρίων κατασκευήν. ἐλάσματα γὰρ σιδήρου κατακρύπτουσιν εἰς τὴν γῆν, καὶ ταῦτα ἐῶσι μέχρι ἂν ὅτου διὰ τὸν χρόνον τοῦ ἰοῦ περιφαγόντος τὸ ἀσθενὲς τοῦ σιδήρου καταλειφθῇ τὸ στερεώτατον, ἐξ οὗ κατασκευάζουσι διάφορα ξίφη καὶ τἄλλα τὰ πρὸς πόλεμον ἀνήκοντα. τὸ δ' οὕτω κατασκευασθὲν ὅπλον πᾶν τὸ ὑποπεσὸν διαιρεῖ, ἀφ' οὗπερ οὔτε θυρεὸς οὔτε κράνος οὔτε ὀστοῦν ὑπομένει τὴν πληγὴν διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς τοῦ σιδήρου. διμάχαι δ' ὄντες, ἐπειδὰν ἀπὸ τῶν ἵππων ἀγωνισάμενοι νικήσωσι, καταπη-
357 δῶντες καὶ τὴν τῶν πεζῶν τάξιν μεταλαμβάνοντες θαυ-

84. *Κιμμερίους*] *Κιμμένους* F 87. *τὰς*] *τῆς* AD *ἐπερχόμενοι* ABCDF, caeteri *ἐρχόμενοι* 89. *τὸ* om. A *τὸ* om. D 97. *πενταετηρίδα*] *πεντετηρίδα* E 98. *καθαγίζουσι*] *καθαγιάζουσι* N 100. *ὡς ἱερείοις* post *τιμὰς* ponunt GNQ *τῶν* om. ABCE 1. *τιμάς* ABC(D)EGNQ, caeteri *θυσίας* 2. *ἀποκτείνουσιν*] *ἀποκτέννουσιν* D
356. 4. *εὐειδεῖς*] *ἀειδεῖς* GQ 5. *λυττῶσιν*] *λυσσῶσιν* omnes 8. *τῆς ἰδίας*] *τοῖς ἰδίοις* FG 9. *εὐκόλως* A et qui post *ἑτέροις* ponit D, caeteri *εὐκόπως* 10. *προΐενται*] *προςίενται* B 12. *τὴν διδομένην*] *τῶν διδομένων* AB 13. *τῶν* om. D

17. *κατοικήσαντες*] *οἰκήσαντες* BD 18. *ἐπιμιξίαν* — 20. *μιχθέντων* om. F 19. *ταύτης ἔτυχον* ADEGNQV, caeteri *λέγονται ταύτης τυχεῖν* *δυοῖν*] *δυεῖν* D 22. *Ῥωμαίοις πολλοὺς χρόνους*] *Ῥωμαίων πολλοῖς χρόνοις* F *μόλις*] *μόγις* tantum dixisse videtur Diodorus 27. *αἰγείαις*] *αἰγίαις* D *θριξίν*] *θριξί* D 28. *κυρτίαις*] *καὶ κατὰ τὸ* (hoc om. V) *δίκτυον πεπλεγμέναις* addunt NV *κυκλοτερέσιν*] *κυκλωτερέσιν* D 33. *ἔχοντες* ABC(DN)Q, caeteri *ἔχοντα* *σπιθαμιαίας* ABD, caeteri *σπιθαμαίας* 34. *κατὰ*] *περὶ* N 35. *ὅπλων καὶ*] *πολεμίων ὅπλων καὶ* B, *πολλῶν ὅπλων καὶ* D, delet Eichstadius 37. *μέχρι* D, caeteri *μέχρις* 38. *καταλειφθῇ*] *καταλήφθη* F 39. *στερεώτατον*] *στερώτατον* B 40. *οὕτω*] *οὕτως* CF 42. *οὔτε θυρεὸς* om. N 43. *διμάχαι* A, *δύςμαχοι* B, *διμάχαιροι* caeteri

μαστὰς ποιοῦνται μάχας. ἴδιον δέ τι καὶ παράδοξον νόμιμον παρ' αὐτοῖς ἐστιν. ἐπιμελεῖς γὰρ ὄντες καὶ καθάριοι ταῖς διαίταις ἓν ἔργον ἐπιτηδεύουσι βάναυσον καὶ πολλῆς ἀκαθαρσίας κεκοινωνηκός· παρ' ἕκαστα γὰρ τὸ σῶμα λούουσιν οὔρῳ, καὶ τοὺς ὀδόντας παρατρίβοντες
34 ταύτην ἡγοῦνται θεραπείαν εἶναι τοῦ σώματος. τοῖς δ' ἤθεσι πρὸς μὲν τοὺς κακούργους καὶ πολεμίους ὑπάρχουσιν ὠμοί, πρὸς δὲ τοὺς ξένους ἐπιεικεῖς καὶ φιλάνθρωποι. τοὺς γὰρ ἐπιδημήσαντας ξένους ἅπαντες ἀξιοῦσι παρ' αὐτοῖς ποιεῖσθαι τὰς καταλύσεις καὶ πρὸς ἀλλήλους ἁμιλλῶνται περὶ τῆς φιλοξενίας· οἷς δ' ἂν οἱ ξένοι συνακολουθήσωσι, τούτους ἐπαινοῦσι καὶ θεοφιλεῖς ἡγοῦνται. τροφαῖς δὲ χρῶνται κρέασι παντοδαποῖς καὶ δαψιλέσι καὶ οἰνομέλιτος πόματι, χορηγούσης τῆς χώρας τὸ μὲν μέλι παμπληθές, τὸν δ' οἶνον παρὰ τῶν ἐπιπλεόντων ἐμπόρων ὠνούμενοι. χαριέστατον δὲ τῶν πλησιοχώρων ἐθνῶν αὐτοῖς ἐστι τὸ τῶν Οὐακκαίων ὀνομαζομένων σύστημα. οὗτοι γὰρ καθ' ἕκαστον ἔτος διαιρούμενοι τὴν χώραν γεωργοῦσι, καὶ τοὺς καρποὺς κοινοποιούμενοι μεταδιδόασιν ἑκάστῳ τὸ μέρος, καὶ τοῖς νοσφισαμένοις τι γεωργοῖς θάνατον τὸ πρόστιμον τεθείκασι. τῶν δὲ Ἰβήρων ἀλκιμώτατοι μέν εἰσιν οἱ καλούμενοι Λυσιτανοί, φοροῦσι δ' ἐν τοῖς πολέμοις πέλτας μικρὰς παντελῶς διαπεπλεγμένας νεύροις καὶ δυναμένας σκέπειν τὸ σῶμα περιττότερον διὰ τὴν στερεότητα. ταύτην δ' ἐν ταῖς μάχαις μεταφέροντες εὐλύτως ἄλλοτε ἄλλως ἀπὸ τοῦ σώματος διακρούονται φιλοτέχνως πᾶν τὸ φερόμενον ἐπ' αὐτοὺς βέλος. χρῶνται δὲ καὶ σαυνίοις ὁλοσιδήροις ἀγκιστρώδεσι· φοροῦσι δὲ κράνη καὶ ξίφη παραπλήσια Κελτίβηρσιν. ἀκοντίζουσι δὲ εὐστόχως καὶ μακράν, καὶ καθόλου καρτεροπλῆγες ὑπάρχουσιν. εὐκίνητοι δὲ ὄντες καὶ κοῦφοι ῥᾳδίως καὶ φεύγουσι καὶ διώκουσι· κατὰ δὲ τὰς ἐν ταῖς συστάσεσι τῶν δεινῶν ὑπομονὰς πολὺ λείπονται τῶν Κελτιβήρων. ἐπιτηδεύουσι δὲ κατὰ μὲν τὴν εἰρήνην ὄρχησίν τινα κούφην καὶ περιέχουσαν πολλὴν εὐτονίαν σκελῶν, ἐν δὲ τοῖς πολέμοις πρὸς ῥυθμὸν ἐμβαίνουσι καὶ παιᾶνας ᾄδουσιν ὅταν ἐπίωσι τοῖς ἀντιτεταγμένοις. ἴδιον δέ τι παρὰ τοῖς Ἴβηρσι καὶ μάλιστα παρὰ τοῖς Λυσιτανοῖς ἐπιτηδεύεται· τῶν γὰρ ἀκμαζόντων ταῖς ἡλικίαις οἱ μάλιστα ἀπορώτατοι ταῖς οὐσίαις, ῥώμῃ δὲ σώματος καὶ θράσει διαφέροντες, ἐφοδιάσαντες αὑτοὺς ἀλκῇ καὶ τοῖς ὅπλοις εἰς τὰς ὀρεινὰς δυσχωρίας
358 ἀθροίζονται· συστήματα δὲ ποιήσαντες ἀξιόλογα κατατρέχουσι τὴν Ἰβηρίαν, καὶ λῃστεύοντες πλούτους ἀθροίζουσι, καὶ τοῦτο διατελοῦσι πράττοντες μετὰ πάσης καταφρονήσεως. κούφοις γὰρ χρώμενοι καθοπλισμοῖς καὶ παντελῶς ὄντες εὐκίνητοι καὶ ὀξεῖς δυσχειρότατοι τοῖς ἄλλοις εἰσί. καθόλου δὲ τὰς ἐν τοῖς ὄρεσι δυσχωρίας καὶ τραχύτητας ἡγούμενοι πατρίδας εἶναι, εἰς ταύτας καταφεύγουσι, δυσδιεξόδους οὔσας μεγάλοις καὶ βαρέσι στρατοπέδοις. διὸ καὶ Ῥωμαῖοι πολλάκις ἐπ' αὐτοὺς στρατεύσαντες τῆς μὲν πολλῆς καταφρονήσεως ἀπέστησαν αὐτούς, εἰς τέλος δὲ τὰ λῃστήρια καταλῦσαι πολλάκις φιλοτιμηθέντες οὐκ ἠδυνήθησαν.

Ἐπεὶ δὲ τὰ περὶ τῶν Ἰβήρων διήλθομεν, οὐκ ἀνοι- 35
κεῖον εἶναι διαλαμβάνομεν περὶ τῶν ἐν αὐτῇ μετάλλων ἀργυρείων διελθεῖν. αὕτη γὰρ ἡ χώρα σχεδόν τι πλεῖστον καὶ κάλλιστον ἔχει μεταλλευόμενον ἄργυρον καὶ πολλὰς τοῖς ἐργαζομένοις παρέχεται προσόδους. εἴρηται μὲν οὖν ἡμῖν καὶ ἐν ταῖς πρὸ ταύτης βίβλοις ἐν ταῖς περὶ Ἡρακλέους πράξεσι τὰ κατὰ τὴν Ἰβηρίαν ὄρη τὰ καλούμενα Πυρηναῖα· ταῦτα δὲ καὶ κατὰ τὸ ὕψος καὶ κατὰ τὸ μέγεθος ὑπάρχει διάφορα τῶν ἄλλων· παρήκει γὰρ ἀπὸ τῆς κατὰ τὴν μεσημβρίαν θαλάττης σχεδὸν ἄχρι πρὸς τὸν ὑπὸ τὰς ἄρκτους Ὠκεανὸν, διείργοντα δὲ τὴν Γαλατίαν καὶ τὴν Ἰβηρίαν ἔτι δὲ τὴν Κελτιβηρίαν παρεκτείνει σταδίους ὡς τρισχιλίους. πολλῶν δὲ ὄντων ἐν αὐτοῖς δρυμῶν καὶ πυκνῶν τοῖς δένδρεσι, φασὶν ἐν τοῖς

357. 47. ἐστιν] ἐστι omnes 48. καθάριοι] καθαροὶ D 52. πρὸς μὲν τοὺς κακούργους καὶ πολεμίους] πρώτως μὲν τοῖς κακόργοις καὶ πολεμίοις N 53. τοὺς om. F 54. ἅπαντες] ἅπαντας omnes 56. τῆς φιλοξενίας ABD, caeteri ξενίας 57. ἐπαινοῦσι] ἐποινοῦσι F 60. τὸ μὲν μέλι D, caeteri τὸ μέλι παμπληθές] παμπληθεῖ D 62. αὐτοῖς om. D Οὐακκαίων] Εὐαγγαίων A, Οὐαγκαίων D ὀνομαζομένων (D N) Stephanus, caeteri ὀνομαζόμενον 65. μεταδιδόασιν] μεταδίδωσιν D τὸ μέρος om. FM 66. τι om. FG, asterisco notavit Stephanus 67. Ἰβήρων AB(D), caeteri Κίμβρων 68. φοροῦσι] φέροσι N 71. ἄλλοτε et ἀπὸ om. CN 73. σαυνίοις] καὶ κονταρίοις addit N 74. φοροῦσι] φέρουσι N 76. καρτεροπλῆγες] καρτεροπληγεῖς ABD

82. ἐπίωσι] ἐπιῶσιν D δέ τι] δὲ EGQ παρὰ] συμβαίνει ἐπιτηδεύεσθαι παρὰ, omisso ἐπιτηδεύεται post Λυσιτανοῖς, EGNQV 86. αὐτοὺς (DN) Stephanus, caeteri αὐτοὺς
358. 90. ὀξεῖς om. F δυσχειρότατοι D, δυσχειρώτατοι A BE, caeteri δυσχείρωτοι 100. ἀργυρείων] ἀργυρίων ACD: sed nonne ante μετάλλων ponendum? τι om. F 2. ἄργυρον D, caeteri ἀργύριον 3. βίβλοις] βιβλίοις N 4. Ἡρακλέους] nonne Ἡρακλέα aut sine περί? 5. τὰ om. N Πυρηναῖα] Πυριναῖα C 9. διείργοντα δὲ Eichstadius: libri διείργοντα τὴν Γαλατίαν] Γαλατίαν F 10. παρεκτείνει] παρατείνει ABD 11. αὐτοῖς AB(DN) Poggius, caeteri αὐτῇ

παλαιοῖς χρόνοις ὑπό τινων νομέων ἀφέντων πῦρ κατακαῆναι παντελῶς ἅπασαν τὴν ὀρεινὴν χώραν· διὸ καὶ συχνὰς ἡμέρας συνεχῶς τοῦ πυρὸς ἐπιφλέγοντος καῆναι τὴν ἐπιφάνειαν τῆς γῆς· καὶ τὰ μὲν ὄρη διὰ τὸ συμβεβηκὸς κληθῆναι Πυρηναῖα, τὴν δ' ἐπιφάνειαν τῆς κατακεκαυμένης χώρας ἀργύρῳ ῥυῆναι πολλῷ, καὶ χωνευθείσης τῆς φύσεως, ἐξ ἧς ὁ ἄργυρος κατασκευάζεται, ῥύακας γενέσθαι πολλοὺς ἀργύρου καθαροῦ. τῆς δὲ τούτου χρείας ἀγνοουμένης παρὰ τοῖς ἐγχωρίοις, τοὺς Φοίνικας ἐμπορίαις χρωμένους καὶ τὸ γεγονὸς μαθόντας ἀγοράζειν τὸν ἄργυρον μικρᾶς τινος ἀντιδόσεως ἄλλων φορτίων. διὸ δὴ τοὺς Φοίνικας μετακομίζοντας εἴς τε τὴν Ἑλλάδα καὶ τὴν Ἀσίαν καὶ τἆλλα πάντα ἔθνη μεγάλους περιποιήσασθαι πλούτους. ἐπὶ τοσοῦτο δὲ τοὺς ἐμπόρους διατεῖναι τῆς φιλοκερδίας ὥςτε ἐπειδὰν καταγόμων ὄντων τῶν πλοίων περιττεύῃ πολὺς ἄργυρος, ἐκκόπτειν τὸν ἐν ταῖς ἀγκύραις μόλιβδον, καὶ ἐκ τοῦ ἀργύρου τὴν ἐκ τοῦ μολίβδου χρείαν ἀλλάττεσθαι. διόπερ ἐπὶ πολλοὺς χρόνους οἱ Φοίνικες διὰ τῆς τοιαύτης
ἐμπορίας πολλὴν λαβόντες αὔξησιν ἀποικίας πολλὰς 359
ἀπέστειλαν, τὰς μὲν εἰς Σικελίαν καὶ τὰς σύνεγγυς ταύτῃ νήσους, τὰς δὲ εἰς τὴν Λιβύην καὶ Σαρδόνα καὶ
36 τὴν Ἰβηρίαν. ὕστερον δὲ πολλοῖς χρόνοις οἱ μὲν Ἴβηρες μαθόντες τὰ περὶ τὸν ἄργυρον ἰδιώματα κατεσκεύασαν ἀξιόλογα μέταλλα· διόπερ ἄργυρον κάλλιστον καὶ σχεδόν τι πλεῖστον κατασκευάζοντες μεγάλας ἐλάμβανον προσόδους. ὁ δὲ τρόπος τῆς μεταλλείας καὶ τῶν ἔργων τοιοῦτός τίς ἐστι παρὰ τοῖς Ἴβηρσιν. ὄντων χαλκοῦ καὶ χρυσοῦ καὶ ἀργύρου μετάλλων θαυμαστῶν, οἱ μὲν ἐργαζόμενοι τὰ χαλκουργεῖα τὸ τέταρτον μέρος χαλκοῦ καθαροῦ ἐκ τῆς ὀρυττομένης γῆς λαμβάνουσι, τῶν δ' ἀργυρευόντων τινὲς ἰδιωτῶν ἐν τρισὶν ἡμέραις Εὐβοϊκὸν

14. τοῦ πυρὸς Eichstadius: libri πυρὸς 15. καῆναι] κατακαῆναι A 21. ἐμποβίαις] ἐμπορείαις D 22. γεγονὸς] γένος ABD 25. πάντα] πάντη C περιπ. πλούτους] invertit D 26. τοσοῦτο] τοσοῦτον DEN δὲ] δὴ N ἐμπόρους] ἐμπορίους N 27. τῆς φιλοκερδίας ABC(D)EG(N)Q, caeteri τῇ φιλοκερδίᾳ καταγόμων] καταγώμων A, καταγομένων N 29. μόλιβδον] μόλυβδον semper C 31. ἐμπορίας] ἐμπορείας D

359. 32. πολλὴν λαβόντες Wesselingius: libri ἐπὶ πολὺν λαβόντες χρόνον: Poggius *hoc lucro Phoenices admodum opulenti facti* 34. ταύτῃ] ταύτης BCD 35. τὴν Ἰ.] Ἰ. A 38. διόπερ] δι' ὧνπερ A 39. πλεῖστον] πλῆθος F 40. μεταλλείας] μεταλλίας A 41. ὄντων] δὲ addit nescio quis Wesselingii 45. δ' A, caeteri δὲ ἀργυρευόντων A(N), caeteri ἀργυρευτῶν



ἐξαίρουσι τάλαντον. πᾶσα γὰρ ἡ βῶλός ἐστι ψήγματος συμπεπηγότος καὶ ἀπολάμποντος μεστή. διὸ καὶ θαυμάσαι τις ἂν τήν τε τῆς χώρας φύσιν καὶ τὴν φιλοπονίαν τῶν ἐργαζομένων αὐτὴν ἀνθρώπων. τὸ μὲν οὖν πρῶτον οἱ τυχόντες τῶν ἰδιωτῶν προςεκαρτέρουν τοῖς μετάλλοις, καὶ μεγάλους ἀπεφέροντο πλούτους διὰ τὴν ἑτοιμότητα καὶ δαψίλειαν τῆς ἀργυρίτιδος γῆς· ὕστερον δὲ τῶν Ῥωμαίων κρατησάντων τῆς Ἰβηρίας πλῆθος Ἰταλῶν ἐπεπόλασε τοῖς μετάλλοις, καὶ μεγάλους ἀπεφέροντο πλούτους διὰ τὴν φιλοκερδίαν. ὠνούμενοι γὰρ πλῆθος ἀνδραπόδων παραδιδόασι τοῖς ἐφεστηκόσι ταῖς μεταλλικαῖς ἐργασίαις. οὗτοι δὲ κατὰ πλείονας τόπους ἀνοίξαντες στόμια καὶ κατὰ βάθους ὀρύττοντες τὴν γῆν ἐρευνῶσι τὰς πολυαργύρους καὶ πολυχρύσους πλάκας τῆς γῆς· καταβαίνοντές τε οὐ μόνον εἰς μῆκος, ἀλλὰ καὶ εἰς βάθος παρεκτείνοντες ἐπὶ πολλοὺς σταδίους τὰ ὀρύγματα καὶ πλαγίας καὶ σκολιὰς διαδύσεις ποικίλως μεταλλουργοῦντες, ἀνάγουσιν ἐκ βυθῶν τὴν τὸ κέρδος αὐτοῖς
παρεχομένην βῶλον. μεγάλην δ' ἔχει παραλλαγὴν τὰ μέ- 37
ταλλα ταῦτα συγκρινόμενα τοῖς κατὰ τὴν Ἀττικήν. ἐκεῖνα μὲν γὰρ οἱ μεταλλεύοντες καὶ ταῖς ἐργασίαις μεγάλας προϊέμενοι δαπάνας ἃ μὲν ἤλπισαν ἐνίοτε λαβεῖν οὐκ ἔλαβον, ἃ δ' εἶχον ἀπέβαλον, ὥςτε δοκεῖν αὐτοὺς ὥςπερ αἰνίγματος τρόπον ἀτυχεῖν. οἱ δὲ κατὰ τὴν Σπανίαν μεταλλουργοὶ ταῖς ἐλπίσι μεγάλους σωρεύουσι πλούτους ἐκ τούτων τῶν ἐργασιῶν. τῶν γὰρ πρώτων ἔργων ἐπιτυγχανομένων διὰ τὴν τῆς γῆς εἰς τοῦτο τὸ γένος ἀρετὴν ἀεὶ μᾶλλον εὑρίσκουσι λαμπροτέρας φλέβας, γεμούσας ἀργύρου τε καὶ χρυσοῦ. πᾶσα γὰρ ἡ σύνεγγυς γῆ δια-
360 πέπλεκται πολυμερῶς τοῖς ἑλιγμοῖς τῶν ῥάβδων. ἐνίοτε δὲ καὶ κατὰ βάθους ἐμπίπτουσι ποταμοῖς ῥέουσιν ὑπὸ τὴν γῆν, ὧν τῆς βίας περιγίνονται διακόπτοντες τὰς ῥύσεις αὐτῶν τὰς ἐμπιπτούσας τοῖς ὀρύγμασι πλαγίοις. ταῖς γὰρ ἀδιαψεύστοις τοῦ κέρδους προςδοκίαις πιεζόμενοι πρὸς τὸ τέλος ἄγουσι τὰς ἰδίας ἐπιβολάς, καὶ τὸ πάντων παραδοξότατον, ἀπαρύτουσι γὰρ τὰς ῥύσεις τῶν

46. βῶλος] βόλος D 54. Ἰταλῶν ABD, Ἰταλικῶν CN, caeteri Ἰταλικὸν 56. ὠνούμενοι] αἰνούμενοι F 59. βάθους] βάθος ABF 61. εἰς β. ABD, caeteri ἐπὶ τὸ β. 63. πλαγίας AB, caeteri πλαγίους σκολιὰς] σκολιοὺς ABD 67. τοῖς] τῆς A 68. ταῖς A, caeteri πρὸς ταῖς 70. δ' B, caeteri δὲ εἶχον] ἔχειν B αὐτοὺς] αὐτοῖς A 71. Σπανίαν ABD, caeteri Ἱσπανίαν

360. 78. βάθους] βάθος AB 80. αὐτῶν τὰς] αὐτῶν A 82. πιεζόμενοι] πιεζούμενοι D 83. ἀπαρύτουσι D, ἀπαρύττουσι B, caeteri ἀπορύττουσι 84. γὰρ om. D

ὑδάτων τοῖς Αἰγυπτιακοῖς λεγομένοις κοχλίαις, οὓς Ἀρχιμήδης ὁ Συρακόσιος εὗρεν, ὅτε παρέβαλεν εἰς Αἴγυπτον· διὰ δὲ τούτων συνεχῶς ἐκ διαδοχῆς παραδιδόντες μέχρι τοῦ στομίου τὸν τῶν μετάλλων τόπον ἀναξηραίνουσι καὶ κατασκευάζουσιν εὔθετον πρὸς τὴν τῆς ἐργασίας πραγματείαν. φιλοτέχνου δ' ὄντος τοῦ ὀργάνου καθ' ὑπερβολὴν διὰ τῆς τυχούσης ἐργασίας ἄπλατον ὕδωρ ἀναῤῥιπτεῖται παραδόξως, καὶ πᾶν τὸ ποτάμιον ῥεῦμα ῥαδίως ἐκ βυθοῦ πρὸς τὴν ἐπιφάνειαν ἐκχεῖται. θαυμάσαι δ' ἄν τις εἰκότως τοῦ τεχνίτου τὴν ἐπίνοιαν οὐ μόνον ἐν τούτοις ἀλλὰ καὶ ἐν ἄλλοις πολλοῖς καὶ μείζοσι διαβεβοημένοις κατὰ πᾶσαν τὴν οἰκουμένην, περὶ ὧν τὰ κατὰ μέρος ὅταν ἐπὶ τὴν Ἀρχιμήδους ἡλικίαν ἔλθωμεν ἀκριβῶς διέξιμεν. 38 οἱ δ' οὖν ταῖς ἐργασίαις τῶν μετάλλων ἐνδιατρίβοντες τοῖς μὲν κυρίοις ἀπίστους τοῖς πλήθεσι προσόδους περιποιοῦσιν, αὐτοὶ δὲ κατὰ γῆς ἐν τοῖς ὀρύγμασι καὶ καθ' ἡμέραν καὶ νύκτα καταξαινόμενοι τὰ σώματα πολλοὶ μὲν ἀποθνήσκουσι διὰ τὴν ὑπερβολὴν τῆς κακοπαθείας· ἄνεσις γὰρ ἢ παῦλα τῶν ἔργων οὐκ ἔστιν αὐτοῖς, ἀλλὰ ταῖς τῶν ἐπιστατῶν πληγαῖς ἀναγκαζόντων ὑπομένειν τὴν δεινότητα τῶν κακῶν ἀτυχῶς προΐενται τὸ ζῆν· τινὲς δὲ ταῖς δυνάμεσι τῶν σωμάτων καὶ ταῖς τῶν ψυχῶν καρτερίαις ὑπομένοντες πολὺν χρόνον ἔχουσι τὴν ταλαιπωρίαν· αἱρετώτερος γὰρ αὐτοῖς ὁ θάνατός ἐστι τοῦ ζῆν διὰ τὸ μέγεθος τῆς ταλαιπωρίας. πολλῶν δὲ ὄντων περὶ τὰς εἰρημένας μεταλλείας παραδόξων οὐχ ἥκιστ' ἄν τις θαυμάσειε διότι τῶν μεταλλουργείων οὐδὲν πρόσφατον ἔχει τὴν ἀρχήν, πάντα δὲ ὑπὸ τῆς Καρχηδονίων φιλαργυρίας ἀνεῴχθη καθ' ὃν καιρὸν τῆς Ἰβηρίας ἐπεκράτουν. ἐκ τούτων γὰρ ἔσχον τὴν ἐπὶ πλεῖον αὔξησιν, μισθούμενοι τοὺς κρατίστους στρατιώτας καὶ διὰ τούτων πολλοὺς καὶ μεγάλους πολέμους διαπολεμήσαντες. καθόλου γὰρ ἀεὶ Καρχηδόνιοι διεπολέμουν οὔτε πολιτικοῖς στρατιώταις οὔτε τοῖς ἀπὸ τῶν συμμάχων ἀθροιζομένοις πεποιθότες, ἀλλὰ καὶ Ῥωμαίους καὶ Σικελιώτας καὶ τοὺς κατὰ τὴν Λιβύην

85. Συρακόσιος D, caeteri Συρακούσιος 86. ὅτε] ὅτι F 89. εὔθετον AB(D), εὔτεχνον NQ, caeteri ἔντεχνον πρὸς τὴν τῆς ἐργασίας] τὴν πρὸς τὰς ἐργασίας AB(DN) et omisso ut videtur τὴν CE 91. ἄπλατον ABD, caeteri ἄπλετον 92. τὸ ποτάμιον] τοῦ ποταμοῦ AB 96. τὰ om. ADF 98. διέξιμεν] διέξειμεν D 99. ἐνδιατρίβοντες] διατρίβοντες ABD 1. αὐτοὶ] οὗτοι BD 2. καθ'] immo μεθ' 7. προΐενται] προϊέναι F 11. εἰρημένας] προειρημένας AB 13. μεταλλουργείων] μεταλλουργειῶν D 14. τῆς Καρχηδονίων] Καρχηδόνων C 15. τῆς] καὶ τῆς D



361 οἰκοῦντας εἰς τοὺς μεγίστους ἦγον κινδύνους, καταπλουτομαχοῦντες ἅπαντας διὰ τὴν ἐκ τῶν μετάλλων γινομένην εὐπορίαν. δεινοὶ γάρ, ὡς ἔοικεν, ὑπῆρξαν οἱ Φοίνικες ἐκ παλαιῶν χρόνων εἰς τὸ κέρδος εὑρεῖν, οἱ δ' ἀπὸ τῆς Ἰταλίας εἰς τὸ μηδενὶ τῶν ἄλλων καταλιπεῖν. γίνεται δὲ καὶ καττίτερος ἐν πολλοῖς τόποις τῆς Ἰβηρίας, οὐκ ἐξ ἐπιπολῆς εὑρισκόμενος, ὡς ἐν ταῖς ἱστορίαις τινὲς τεθρυλήκασιν, ἀλλ' ὀρυττόμενος καὶ χωνευόμενος ὁμοίως ἀργύρῳ τε καὶ χρυσῷ. ὑπεράνω γὰρ τῆς τῶν Λυσιτανῶν χώρας ἐστὶ μέταλλα πολλὰ τοῦ καττιτέρου, κατὰ τὰς προκειμένας τῆς Ἰβηρίας ἐν τῷ Ὠκεανῷ νησῖδας τὰς ἀπὸ τοῦ συμβεβηκότος Καττιτερίδας ὠνομασμένας. πολὺς δὲ καὶ ἐκ τῆς Βρεττανικῆς νήσου διακομίζεται πρὸς τὴν καταντικρὺ κειμένην Γαλατίαν, καὶ διὰ τῆς μεσογείου Κελτικῆς ἐφ' ἵππων ὑπὸ τῶν ἐμπόρων ἄγεται παρά τε τοὺς Μασσαλιώτας καὶ εἰς τὴν ὀνομαζομένην πόλιν Ναρβῶνα. αὕτη δ' ἐστὶν ἄποικος μὲν Ῥωμαίων, διὰ δὲ τὴν εὐκαιρίαν καὶ τὴν εὐπορίαν μέγιστον ἐμπόριον ἔχουσα τῶν ἐν ἐκείνοις τοῖς τόποις.

39 Ἡμεῖς δὲ ἐπεὶ τὰ κατὰ τοὺς Γαλάτας καὶ τοὺς Κελτίβηρας ἔτι δ' Ἴβηρας διήλθομεν, ἐπὶ τοὺς Λίγυας μεταβησόμεθα. οὗτοι γὰρ νέμονται μὲν χώραν τραχεῖαν καὶ παντελῶς λυπράν, τοῖς δὲ πόνοις καὶ ταῖς κατὰ τὴν λειτουργίαν συνεχέσι κακοπαθείαις ἐπίπονόν τινα βίον καὶ ἀτυχῆ ζῶσι. καταδένδρου γὰρ τῆς χώρας οὔσης, οἱ μὲν αὐτῶν ὑλοτομοῦσι δι' ὅλης τῆς ἡμέρας σιδηροφοροῦντες ἐνεργοὺς πελέκεις καὶ βαρεῖς, οἱ δὲ τὴν γῆν ἐργαζόμενοι τὸ πλεῖον πέτρας λατομοῦσι διὰ τὴν ὑπερβολὴν τῆς τραχύτητος· οὐδεμίαν γὰρ βῶλον τοῖς ἐργαλείοις ἀνασπῶσιν ἄνευ λίθου· καὶ τοιαύτην ἔχοντες ἐν τοῖς ἔργοις κακοπάθειαν τῇ συνηθείᾳ περιγίνονται τῆς φύσεως, καὶ πολλὰ μοχθήσαντες ὀλίγους καρποὺς καὶ

22. οἰκοῦντας] κατοικοῦντας AB: „omnia haec usque ad τῶν σχεδιῶν εὐτελεστέροις (362. 90.) om. F“ Wessel. τοὺς om. D

361. 24. γινομένην] γενομένων A 26. εὑρεῖν om. CN μηδενὶ] μηδὲν μηδενὶ Reiskius 27. καττίτερος] κασσίτερος omnes 28. τόποις om. A 29. τεθρυλήκασιν] τεθρυλλήκασιν omnes 30. καὶ χωνευόμενος om. CEGN, asterisco notavit Stephanus 32. καττιτέρου] κασσιτήρου B semper, caeteri κασσιτέρου 33. τῆς om. C νησίδας libri 34. Καττιτερίδας] Κασσιτερίδας omnes 35. ἐκ om. A 40. μέγιστον ἐμπόριον] μεγίστην ἐμπορείαν BD 43. ἔτι δ' Ἴβηρας servarunt AB(D)E(N) 44. νέμονται μὲν D, caeteri νέμονται 48. ἐνεργοὺς] ἐνέργως B, ἐνεργῶς D 50. λατομοῦσι ABC(D)EG(N)Q, caeteri λειοτομοῦσι 51. τραχύτητος] θρασύτητος N 53. συνηθείᾳ] συνεχείᾳ BC(D)EG(N)Q

μόλις λαμβάνουσι. διὰ δὲ τὴν συνέχειαν τῶν γυμνασιῶν καὶ τὸ τῆς τροφῆς ἐλλιπὲς τοῖς σώμασιν ὑπάρχουσιν ἰσχνοὶ καὶ εὔτονοι. πρὸς δὲ τὴν κακοπάθειαν ταύτην συνεργοὺς ἔχουσι τὰς γυναῖκας, εἰθισμένας ἐπ' ἴσης τοῖς ἀνδράσιν ἐργάζεσθαι. κυνηγίας δὲ ποιοῦνται συνεχεῖς, ἐν αἷς πολλὰ τῶν θηρίων χειρούμενοι τὴν ἐκ τῶν καρπῶν σπάνιν διορθοῦνται. διόπερ ἐμβιοῦντες ὄρεσι χιονοβολουμένοις καὶ τραχύτητας ἀπίστους ὀρειβατεῖν εἰωθότες εὔτονοι καὶ μυώδεις γίνονται τοῖς σώμασιν. ἔνιοι δὲ διὰ τὴν παρ' αὐτοῖς σπανοκαρπίαν πίνουσι μὲν ὕδωρ, σαρκοφαγοῦσι δὲ τὰς τῶν ἡμέρων τε καὶ ἀγρίων ζῴων σάρκας καὶ τῶν ἀπὸ τῆς χώρας λαχάνων ἐμπίπλανται, τὴν χώραν ἔχοντες ἄβατον τοῖς προσφιλεστάτοις τῶν θεῶν Δήμητρι καὶ Διονύσῳ. νυκτερεύουσι δ' ἐπὶ τῆς χώρας 362 σπανίως μὲν ἔν τισιν εὐτελέσιν ἐπαύλεσιν ἢ καλιαῖς, τὰ δὲ πολλὰ ἐν ταῖς κοίλαις πέτραις καὶ σπηλαίοις αὐτοφυέσι καὶ δυναμένοις σκέπην ἱκανὴν παρέχεσθαι. ἀκολούθως δὲ τούτοις καὶ τἄλλα ποιοῦσι, διαφυλάττοντες τὸν ἀρχαῖον καὶ ἀκατάσκευον βίον. καθόλου δ' ἐν τοῖς τόποις αἱ μὲν γυναῖκες ἀνδρῶν, οἱ δὲ ἄνδρες θηρίων ἔχουσιν εὐτονίαν καὶ ἀλκήν. πολλάκις γοῦν φασιν ἐν ταῖς στρατείαις τὸν μέγιστον τῶν Γαλατῶν ὑπὸ Λίγυος ἰσχνοῦ παντελῶς ἐκ προκλήσεως μονομαχήσαντα ἀνῃρῆσθαι. ὁπλισμὸν δ' ἔχουσιν οἱ Λίγυες ἐλαφρότερον τῶν Ῥωμαίων τῇ κατασκευῇ· σκεπάζει γὰρ αὐτοὺς παραμήκης θυρεὸς εἰς τὸν Γαλατικὸν ῥυθμὸν δεδημιουργημένος καὶ χιτὼν συνειλημμένος ζωστῆρι, καὶ περιτίθενται θηρίων δορὰς καὶ ξίφος σύμμετρον· τινὲς δὲ αὐτῶν διὰ τὴν ἐπιμιξίαν τῆς Ῥωμαίων πολιτείας μετεσχημάτισαν τὸν ὁπλισμόν, ἐξομοιοῦντες ἑαυτοὺς τοῖς ἡγουμένοις. θρασεῖς δ' εἰσὶ καὶ γενναῖοι οὐ μόνον εἰς πόλεμον ἀλλὰ καὶ πρὸς τὰς ἐν τῷ βίῳ περιστάσεις τὰς ἐχούσας δεινότητας. ἐμπορευόμενοι γὰρ πλέουσι τὸ Σαρδόνιον καὶ τὸ Λιβυκὸν πέλαγος, ἑτοίμως ἑαυτοὺς ῥίπτοντες εἰς ἀβοηθήτους κινδύνους. σκάφεσι γὰρ χρώμενοι τῶν σχεδιῶν εὐτελεστέροις καὶ τοῖς ἄλλοις τοῖς κατὰ ναῦν χρησίμοις ἥκιστα κατεσκευασμένοις ὑπομένουσι τὰς ἐκ τῶν χειμώνων φοβερωτάτας περιστάσεις καταπληκτικῶς.

55. λαμβάνουσιν omnes 56. τροφῆς] τρυφῆς B, quod aptius videtur ἐλλιπὲς] ἐλλειπὲς D 59. ἀνδράσιν] ἀνθρώποις ABD 60. χειρούμενοι ABC(D)EG(N)Q, caeteri θηρευόμενοι 62. ὀρειβατεῖν] ὀριβατεῖν D 64. σπανοκαρπίαν] στενοκαρπίαν ABD 66. ἐμπίπλανται] ἐμπίμπλανται C

362. 68. Δήμητρι] Δημήτρᾳ A, Δημῆτρι D 70. σπηλαίοις D, caeteri τοῖς σπηλαίοις 72. τἄλλα] τὰ πολλὰ CEQ 73. τὸν ἀρχαῖον καὶ] τῶν ἀρχαίων N ἀκατάσκευον ABC(D)EGNQ, caeteri ἀπαράσκευον 76. στρατείαις] στρατιαῖς AD 79. τῶν] τῶν ἄλλων N τῇ κατασκευῇ] τῆς κατασκευῆς A 82. περιτίθενται] περιτίθεται B 84. ἑαυτοὺς] αὐτοὺς AD 88. Σαρδόνιον ABD Poggius, caeteri Σαρδῷον ἑτοίμως] ἑτοίμους ABD 89. ῥίπτοντες] ῥιπτοῦντες DE



40 Λείπεται δ' ἡμῖν εἰπεῖν περὶ τῶν Τυῤῥηνῶν. οὗτοι γὰρ τὸ μὲν παλαιὸν ἀνδρείᾳ διενεγκόντες χώραν πολλὴν κατεκτήσαντο καὶ πόλεις ἀξιολόγους καὶ πολλὰς ἔκτισαν. ὁμοίως δὲ καὶ ναυτικαῖς δυνάμεσιν ἰσχύσαντες καὶ πολλοὺς χρόνους θαλαττοκρατήσαντες, τὸ μὲν παρὰ τὴν Ἰταλίαν πέλαγος ἀφ' ἑαυτῶν ἐποίησαν Τυῤῥηνικὸν προςαγορευθῆναι, τὰ δὲ κατὰ τὰς πεζικὰς δυνάμεις ἐκπονήσαντες τήν τε σάλπιγγα λεγομένην ἐξεῦρον, εὐχρηστοτάτην μὲν εἰς τοὺς πολέμους, ἀπ' ἐκείνων δ' ὀνομασθεῖσαν Τυῤῥηνήν, τό τε περὶ τοὺς ἡγουμένους στρατηγοὺς ἀξίωμα κατεσκεύασαν, περιθέντες τοῖς ἡγουμένοις ῥαβδούχους καὶ δίφρον ἐλεφάντινον καὶ περιπόρφυρον τήβενναν, ἔν τε ταῖς οἰκίαις τὰ περίστῳα πρὸς τὰς τῶν θεραπευόντων ὄχλων ταραχὰς ἐξεῦρον εὐχρηστίαν· ὧν τὰ πλεῖστα Ῥωμαῖοι μιμησάμενοι καὶ πρὸς τὸ κάλλιον αὐξήσαντες μετήνεγκαν ἐπὶ τὴν ἰδίαν πολιτείαν. γράμματά τε καὶ φυσιολογίαν καὶ θεολογίαν ἐξεπόνησαν ἐπὶ πλεῖον, καὶ τὰ περὶ τὴν κεραυνοσκοπίαν μάλιστα πάν-
363 των ἀνθρώπων ἐξειργάσαντο. διὸ καὶ μέχρι τῶν νῦν χρόνων οἱ τῆς οἰκουμένης σχεδὸν ὅλης ἡγούμενοι θαυμάζουσί τε τοὺς ἄνδρας καὶ κατὰ τὰς ἐν τοῖς κεραυνοῖς διοσημείας τούτοις ἐξηγηταῖς χρῶνται. χώραν δὲ νεμόμενοι πάμφορον, καὶ ταύτην ἐξεργαζόμενοι, καρπῶν ἀφθονίαν ἔχουσιν οὐ μόνον ἀρκοῦσαν πρὸς τὴν διατροφήν, ἀλλὰ καὶ πρὸς ἀπόλαυσιν δαψιλῆ καὶ τρυφὴν ἀνήκουσαν. παρατίθενται γὰρ δὶς τῆς ἡμέρας τραπέζας πολυτελεῖς καὶ τἄλλα τὰ πρὸς τὴν ὑπερβάλλουσαν τρυφὴν οἰκεῖα, στρωμνὰς μὲν ἀνθεινὰς κατασκευάζοντες, ἐκπωμάτων δ' ἀργυρῶν παντοδαπῶν πλῆθος καὶ τῶν διακο-

91. κατεσκευασμένοις] κατεσκευασμένοι Schaeferus 94. Τυῤῥηνῶν] Τυρηνῶν D 95. τὸ μὲν] περὶ τὸ ABD διενεγκόντες ABD, caeteri διενέγκαντες 100. τὰ] τὸ AC 1. ἐκπονήσαντες om. A 3. ἐκείνων] ἐκείνης D 6. τήβενναν] τίβενναν A, τιβένναν D, τὴν βένναν C οἰκίαις] οἰκείαις A 7. περίστωα D, caeteri περίστοα 9. κάλλιον ABDEN, in melius Poggius, caeteri κάλλιστον 10. πολιτείαν] πολυτελείαν D 11. καὶ θεολογίαν servarunt ABC(D)E(N) Poggius πλεῖον ABC(D)EFG(N), caeteri πλεῖστον

363. 15. διοσημείας] θεοσημείας ENQV 18. ἀρκοῦσαν in libris post πρὸς τὴν positum aut ante hoc aut post διατροφὴν collocandum 21. τρυφὴν] τροφὴν BFG 22. ἀνθεινὰς ACD, caeteri ἀνθινὰς

*νούντων οἰκετῶν οὐκ ὀλίγον ἀριθμὸν ἡτοιμακότες· καὶ τούτων οἱ μὲν εὐπρεπείᾳ διαφέροντές εἰσιν, οἱ δ' ἐσθῆσι πολυτελεστέραις ἢ κατὰ δουλικὴν ἀξίαν κεκόσμηνται. οἰκήσεις τε παντοδαπὰς ἰδιαζούσας ἔχουσι παρ' αὐτοῖς οὐ μόνον οἱ θεράποντες ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ πλείους. καθόλου δὲ τὴν μὲν ἐκ παλαιῶν χρόνων παρ' αὐτοῖς ζηλουμένην ἀλκὴν ἀποβεβλήκασιν, ἐν πότοις δὲ καὶ ῥαθυμίαις ἀνάνδροις βιοῦντες οὐκ ἀλόγως τὴν τῶν πατέρων δόξαν ἐν τοῖς πολέμοις ἀποβεβλήκασι. συνεβάλετο δ' αὐτοῖς πρὸς τὴν τρυφὴν οὐκ ἐλάχιστον καὶ ἡ τῆς χώρας ἀρετή· πάμφορον γὰρ καὶ παντελῶς εὔγειον νεμόμενοι [χώραν] παντὸς καρποῦ πλῆθος ἀποθησαυρίζουσιν. καθόλου γὰρ ἡ Τυῤῥηνία παντελῶς εὔγειος οὖσα πεδίοις ἀναπεπταμένοις ἐγκάθηται καὶ βουνοειδέσιν ἀναστήμασι τόπων διείληπται γεωργησίμοις· ὑγρὰ δὲ μετρίως ἐστὶν οὐ μόνον κατὰ τὴν χειμερινὴν ὥραν ἀλλὰ καὶ κατὰ τὸν τοῦ θέρους καιρόν.*

41 *Ἐπεὶ δὲ περὶ τῆς πρὸς ἑσπέραν κεκλιμένης χώρας καὶ τῆς πρὸς τὰς ἄρκτους νενευκυίας ἔτι δὲ τῶν κατὰ τὸν Ὠκεανὸν νήσων διεξήλθομεν, ἐν μέρει διέξιμεν περὶ τῶν κατὰ τὴν μεσημβρίαν νήσων τῶν ἐν Ὠκεανῷ τῆς Ἀραβίας τῆς πρὸς ἀνατολὴν κεκλιμένης καὶ προσοριζούσης τῇ καλουμένῃ Κεδρωσίᾳ. ἡ μὲν γὰρ χώρα πολλαῖς κώμαις καὶ πόλεσιν ἀξιολόγοις κατοικεῖται, καὶ τούτων αἱ μὲν ἐπὶ χωμάτων ἀξιολόγων κεῖνται, αἱ δ' ἐπὶ γεωλόφων ἢ πεδίων καθίδρυνται· ἔχουσι δ' αὐτῶν αἱ μέγισται βασίλεια κατεσκευασμένα πολυτελῶς πλῆθος οἰκητόρων ἔχοντα καὶ κτήσεις ἱκανάς. πᾶσα δ' αὐτῶν ἡ χώρα γέμει θρεμμάτων παντοδαπῶν, καρποφοροῦσα καὶ νομὰς ἀφθόνους παρεχομένη τοῖς βοσκήμασι. ποταμοί τε πολλοὶ διαῤῥέοντες ἐν αὐτῇ πολλὴν ἀρδεύουσι χώραν, συνεργοῦντες πρὸς τελείαν αὔξησιν τῶν καρπῶν. διὸ καὶ τῆς Ἀραβίας ἡ πρωτεύουσα τῇ ἀρετῇ προσηγορίαν ἔλαβεν οἰκείαν, εὐδαίμων ὀνομασθεῖσα. ταύτης δὲ κατὰ τὰς* 364
*ἐσχατιὰς τῆς παρωκεανίτιδος χώρας καταντικρὺ νῆσοι κεῖνται πλείους, ὧν τρεῖς εἰσιν ἄξιαι τῆς ἱστορικῆς ἀναγραφῆς, μία μὲν ἡ προσαγορευομένη Ἱερά, καθ' ἣν οὐκ ἔξεστι τοὺς τετελευτηκότας θάπτειν, ἑτέρα δὲ πλησίον ταύτης, ἀπέχουσα σταδίους ὡς ἑπτά, εἰς ἣν κομίζουσι τὰ σώματα τῶν ἀποθανόντων ταφῆς ἀξιοῦντες. ἡ δ' οὖν Ἱερὰ τῶν μὲν ἄλλων καρπῶν ἄμοιρός ἐστι, φέρει δὲ λιβανωτοῦ τοσοῦτο πλῆθος ὥστε διαρκεῖν καθ' ὅλην τὴν οἰκουμένην πρὸς τὰς τῶν θεῶν τιμάς· ἔχει δὲ καὶ σμύρνης πλῆθος διάφορον καὶ τῶν ἄλλων θυμιαμάτων παντοδαπὰς φύσεις, παρεχομένας πολλὴν εὐωδίαν. ἡ δὲ φύσις ἐστὶ τοῦ λιβανωτοῦ καὶ ἡ κατασκευὴ τοιάδε· δένδρον ἐστὶ τῷ μὲν μεγέθει μικρόν, τῇ δὲ προσόψει τῇ ἀκάνθῃ τῇ Αἰγυπτίᾳ τῇ λευκῇ παρεμφερές, τὰ δὲ φύλλα τοῦ δένδρου ὅμοια τῇ ὀνομαζομένῃ ἰτέᾳ, καὶ τὸ ἄνθος ἐπ' αὐτῷ φύεται χρυσοειδές. ὁ δὲ λιβανωτὸς γινόμενος ἐξ αὐτοῦ ὀπίζεται ὡς ἂν δάκρυον. τὸ δὲ τῆς σμύρνης δένδρον ὅμοιόν ἐστι τῇ σχίνῳ, τὸ δὲ φύλλον ἔχει λεπτότερον καὶ πυκνότερον, ὀπίζεται δὲ περισκαφείσης τῆς γῆς ἀπὸ τῶν ῥιζῶν, καὶ ὅσα μὲν αὐτῶν ἐν ἀγαθῇ γῇ πέφυκεν, ἐκ τούτων γίνεται δὶς τοῦ ἐνιαυτοῦ, ἔαρος καὶ θέρους· καὶ ὁ μὲν πυῤῥὸς ἐαρινὸς ὑπάρχει διὰ τὰς δρόσους, ὁ δὲ λευκὸς θερινός ἐστι. τοῦ δὲ παλιούρου συλλέγουσι τὸν καρπόν, καὶ χρῶνται βρωτοῖς καὶ ποτοῖς* 42
*καὶ πρὸς τὰς κοιλίας τὰς ῥεούσας φαρμάκῳ. διῄρηται δὲ τοῖς ἐγχωρίοις ἡ χώρα, καὶ ταύτης ὁ βασιλεὺς λαμβάνει τὴν κρατίστην, καὶ τῶν καρπῶν τῶν γινομένων ἐν τῇ νήσῳ δεκάτην λαμβάνει. τὸ δὲ πλάτος τῆς νήσου φασὶν εἶναι σταδίων ὡς διακοσίων. κατοικοῦσι δὲ τὴν νῆσον οἱ καλούμενοι Παγχαῖοι, καὶ τόν τε λιβανωτὸν καὶ τὴν σμύρναν κομίζουσιν εἰς τὸ πέραν καὶ πωλοῦσι τοῖς τῶν Ἀράβων ἐμπόροις, παρ' ὧν ἄλλοι τὰ τοιαῦτα φορτία ὠνούμενοι διακομίζουσιν εἰς τὴν Φοινίκην καὶ κοίλην Συρίαν ἔτι δὲ Αἴγυπτον, τὸ δὲ τελευταῖον ἐκ τούτων τῶν τόπων ἔμποροι διακομίζουσιν εἰς πᾶσαν τὴν οἰκουμένην. ἔστι δὲ καὶ ἄλλη νῆσος μεγάλη, τῆς προειρημένης ἀπέχουσα σταδίους τριάκοντα, εἰς τὸ πρὸς ἕω*

26. *πολυτελεστέραις*] *πολὺ τιμιωτέραις* A 28. *μόνον οἱ*] *μόνοι* BD 30. *ἐν* — 32. *ἀποβεβλήκασι* om. FM *πότοις*] *τόποις* C *πότοις δὲ* Eichstadius, *δὲ πότοις* Reiskius: libri omittunt particulam 32. *πολέμοις*] *πολεμίοις* D et nescio quis Wesselingii *συνεβάλετο* D, caeteri *συνεβάλλετο* 35. *νεμόμενοι χώραν*] *νεμόμενοι* AD 38. *τόπων*] verius fortasse *λόφων* 42. *τὰς* om. A 43. *διέξιμεν*] *διέξειμεν* D 46. *Κεδρωσίᾳ*] *Κερασίᾳ* N *μὲν γὰρ*] *μὲν* AD 49. *ἢ πεδίων*] *ἢ* om. CE, asterisco notavit Stephanus 51. *κτήσεις*] *κτίσεις* A 55. *συνεργοῦντες* ABD, caeteri *συντελοῦντες*



364. 61. *προσαγορευομένη*] *προσαγομένη* N *Ἱερὰ*] *Ἱρὰ* N hic et 65. 62. *δὲ* — 63. *ἑπτὰ* om. ENV, asterisco notavit Stephanus 63. *ὡς* om. AD *κομίζουσι*] *κομίζουσα* N 66. *τοσοῦτο*] *τοσοῦτον* AB 70. *ἐστὶ* post *φύσις* ponunt ABCDEN, post *κατασκευή* caeteri 74. *ἰτέᾳ*] *ἰταίᾳ* A *χρυσοειδές*] colore crocco Poggius 76. *σχίνῳ*] *σχοίνῳ* A 77. *ὀπίζεται*] *καὶ* (om. C) *ὡς γάλα* (*γαλα* C) *σταλάσσεται* gl. CN 81. *θερινός* AB(D)E Poggius, caeteri *χειμερινός* 82. *παλιούρου*] *πελιούρου* D *βρωτοῖς* om. A 84. *φαρμάκῳ*] *φαρμάκων* A 87. *δεκάτην*] *δεκάτας* AB 92. *τοιαῦτα* om. ADE

μέρος τοῦ Ὠκεανοῦ κειμένη, τῷ μήκει πολλῶν τινων σταδίων. ἀπὸ γὰρ τοῦ πρὸς ἀνατολὰς ἀνήκοντος ἀκρωτηρίου φασὶ θεωρεῖσθαι τὴν Ἰνδικὴν ἀέριον διὰ τὸ μέγεθος τοῦ διαστήματος. ἔχει δὲ ἡ Παγχαία καθ' αὐτὴν 365
πολλὰ τῆς ἱστορικῆς ἀναγραφῆς ἄξια. κατοικοῦσι δ' αὐτὴν αὐτόχθονες μὲν οἱ Παγχαῖοι λεγόμενοι, ἐπήλυδες δ' Ὠκεανῖται καὶ Ἰνδοὶ καὶ Σκύθαι καὶ Κρῆτες. πόλις δ' ἐστὶν ἀξιόλογος ἐν αὐτῇ, προσαγορευομένη μὲν Πανάρα, εὐδαιμονίᾳ δὲ διαφέρουσα. οἱ δὲ ταύτην οἰκοῦντες καλοῦνται μὲν ἱκέται τοῦ Διὸς τοῦ Τριφυλίου, μόνοι δ' εἰσὶ τῶν τὴν Παγχαίαν χώραν οἰκούντων αὐτόνομοι καὶ ἀβασίλευτοι. ἄρχοντας δὲ καθιστᾶσι κατ' ἐνιαυτὸν τρεῖς· οὗτοι δὲ θανάτου μὲν οὐκ εἰσὶ κύριοι, τὰ δὲ λοιπὰ πάντα διακρίνουσι· καὶ αὐτοὶ δὲ οὗτοι τὰ μέγιστα ἐπὶ τοὺς ἱερεῖς ἀναφέρουσιν. ἀπὸ δὲ ταύτης τῆς πόλεως ἀπέχει σταδίους ὡς ἑξήκοντα ἱερὸν Διὸς Τριφυλίου, κείμενον μὲν ἐν χώρᾳ πεδιάδι, θαυμαζόμενον δὲ μάλιστα διά τε τὴν ἀρχαιότητα καὶ τὴν πολυτέλειαν τῆς κατασκευῆς
43 καὶ τὴν τῶν τόπων εὐφυΐαν. τὸ μὲν οὖν περὶ τὸ ἱερὸν πεδίον συνηρεφές ἐστι παντοίοις δένδρεσιν, οὐ μόνον καρποφόροις ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς δυναμένοις τέρπειν τὴν ὅρασιν. κυπαρίττων τε γὰρ ἐξαισίων τοῖς μεγέθεσι καὶ πλατάνων καὶ δάφνης καὶ μυρσίνης καταγέμει, πληθύοντος τοῦ τόπου ναματιαίων ὑδάτων. πλησίον γὰρ τοῦ τεμένους ἐκ τῆς γῆς ἐκπίπτει τηλικαύτη τὸ μέγεθος πηγὴ γλυκέος ὕδατος ὥςτε ποταμὸν ἐξ αὐτῆς γίνεσθαι πλωτόν. ἐκ τούτου δ' εἰς πολλὰ μέρη τοῦ ὕδατος διαιρουμένου, καὶ τούτων ἀρδευομένων, κατὰ πάντα τὸν τοῦ πεδίου τόπον συνάγκειαι δένδρων ὑψηλῶν πεφύκασι συνεχεῖς, ἐν αἷς πλῆθος ἀνδρῶν ἐν τοῖς τοῦ θέρους καιροῖς ἐνδιατρίβει, ὀρνέων τε πλῆθος παντοδαπῶν ἐννοττεύεται, ταῖς χρόαις διάφορα καὶ ταῖς μελῳδίαις μεγά-

365. 1. καθ' αὐτὴν] κατ' αὐτὴν BDE, om. CN, asterisco notavit Stephanus 3. Ὠκεανῖται — Κρῆτες] pro his duobus *Cretes Oceano advecti* Poggius 6. ἱκέται] οἰκέται AE Poggius 7. Τριφυλίου] Τριφυλλίου ADE, Poggius constanter 11. τοὺς ἱερεῖς] τοῖς ἱεροῖς A 13. Τριφυλίου] Τριφυλλίου ADE 14. ἐν om. D 15. τῆς A, caeteri τῆς τε 16. τὴν — εὐφυΐαν Reiskius, Poggius: libri τῆς — εὐφυΐας 21. μυρσίνης AE Poggius, μυρσίνης γένεσι B, caeteri μυρσίνης ἔρνεσι καταγέμει] καταγένη N 24. αὐτῆς AEN, caeteri αὐτοῦ γίνεσθαι] γενέσθαι DN 25. τούτου] τούτων ABE 26. κατὰ πάντα ABE, caeteri πάντα 27. συνάγκειαι] συναγκίαι D 28. συνεχεῖς ABC(D)EG(N)Q, caeteri δαψιλεῖς 30. ἐννοττεύεται] ἐννοσεύεται BCD, ἐννεοσσεύεται AEG(N)QV, caeteri νεοσσεύεται



λην παρεχόμενα τέρψιν, κηπεῖαί τε παντοδαπαὶ καὶ λειμῶνες πολλοὶ καὶ διάφοροι ταῖς χλόαις καὶ τοῖς ἄνθεσιν, ὥςτε τῇ θεοπρεπείᾳ τῆς προςόψεως ἄξιον τῶν ἐγχωρίων θεῶν φαίνεσθαι. ἦν δὲ καὶ τῶν φοινίκων στελέχη μεγάλα καὶ καρποφόρα διαφερόντως καὶ καρύαι πολλαὶ ἀκροδρύων δαψιλεστάτην τοῖς ἐγχωρίοις ἀπόλαυσιν παρεχόμεναι. χωρὶς δὲ τούτων ὑπῆρχον ἄμπελοί τε πολλαὶ καὶ παντοδαπαί, αἳ πρὸς ὕψος ἀνηγμέναι καὶ διαπεπλε-
366 γμέναι ποικίλως ἡδεῖαν τὴν πρόςοψιν ἐποίουν καὶ τὴν ἀπόλαυσιν τῆς ὥρας ἑτοιμοτάτην παρείχοντο. ὁ δὲ ναὸς 44
ὑπῆρχεν ἀξιόλογος ἐκ λίθου λευκοῦ, τὸ μῆκος ἔχων δυοῖν πλέθρων, τὸ δὲ πλάτος ἀνάλογον τῷ μήκει· κίοσι δὲ μεγάλοις καὶ παχέσιν ὑπήρειστο καὶ γλυφαῖς φιλοτέχνοις διειλημμένοις. ἀγάλματά τε τῶν θεῶν ἀξιολογώτατα, τῇ τέχνῃ διάφορα καὶ τοῖς βάρεσι θαυμαζόμενα. κύκλῳ δὲ τοῦ ναοῦ τὰς οἰκίας εἶχον οἱ θεραπεύοντες τοὺς θεοὺς ἱερεῖς, δι' ὧν ἅπαντα τὰ περὶ τὸ τέμενος διῳκεῖτο. ἀπὸ δὲ τοῦ ναοῦ δρόμος κατεσκεύαστο, τὸ μὲν μῆκος σταδίων τεττάρων, τὸ δὲ πλάτος πλέθρου. παρὰ δὲ τὴν πλευρὰν ἑκατέραν τοῦ δρόμου χαλκεῖα μεγάλα κεῖται τὰς βάσεις ἔχοντα τετραγώνους· ἐπ' ἐσχάτῳ δὲ τοῦ δρόμου πηγὰς ἔχει λάβρως ἐκχεομένας ὁ προειρημένος ποταμός. ἔστι δὲ τὸ φερόμενον ῥεῦμα τῇ λευκότητι καὶ γλυκύτητι διαφέρον, πρός τε τὴν τοῦ σώματος ὑγίειαν πολλὰ συμβαλλόμενον τοῖς χρωμένοις· ὀνομάζεται δὲ ὁ ποταμὸς οὗτος ἡλίου ὕδωρ. περιέχει δὲ τὴν πηγὴν ὅλην κρηπὶς λιθίνη πολυτελής, διατείνουσα παρ' ἑκατέραν πλευρὰν σταδίους τέτταρας· ἄχρι δὲ τῆς ἐσχάτης κρηπῖδος ὁ τόπος οὐκ ἔστι βάσιμος ἀνθρώπῳ πλὴν τῶν ἱερέων. τὸ δ' ὑποκείμενον πεδίον ἐπὶ σταδίους διακοσίους καθιερωμένον ἐστὶ τοῖς θεοῖς, καὶ τὰς ἐξ αὐτοῦ προςόδους εἰς τὰς θυσίας ἀναλίσκουσι. μετὰ δὲ τὸ προειρημένον πεδίον

33. χλόαις ABC(D)EG(N)Q, *herbis* Poggius, caeteri χρόαις 34. ἄξιον τῶν] ἀξιούντων N 36. καρύαι] καροῖαι AD, κάρυα FQ πολλαὶ] πολλὰ FQ 37. παρεχόμεναι] παρεχόμενα BCDQ 39. αἳ addidit Stephanus 40. ἡδεῖαν τὴν πρόςοψιν] οἰκείαν (οἰκεῖαν D) τὴν πρόςοψιν ABDE, caeteri τὴν πρόςοψιν ἡδεῖαν

366. 41. ὥρας vel ὀπώρας Reiskius: libri χώρας: conf. ad p. 376. 68. 44. δυοῖν] δυεῖν BDE 46. ὑπήρειστο] ὑπερήρειστο D, ὑπερείρητο E, ὑπείρητο N, ὑπερήκει A διειλημμένοις F Poggius, caeteri διειλημμένος 47. ἀξιολογώτατα ABC(D)E, *permagnae* Poggius, caeteri ἀξιόλογα 49. θεραπεύοντες] θεράποντες N 53. μεγάλα om. AE 54. ἐσχάτῳ] ἐσχάτων B, ἐσχάτου E 55. πηγὰς] τὰς πηγὰς D 57. καὶ γλυκύτητι om. ADE Poggius

ὄρος ἐστὶν ὑψηλόν, καθιερωμένον μὲν θεοῖς, ὀνομαζόμενον δὲ Οὐρανοῦ δίφρος καὶ Τριφύλιος Ὄλυμπος. μυθολογοῦσι γὰρ τὸ παλαιὸν Οὐρανὸν βασιλεύοντα τῆς οἰκουμένης προςηνῶς ἐνδιατρίβειν ἐν τῷδε τῷ τόπῳ, καὶ ἀπὸ τοῦ ὕψους ἐφορᾶν τόν τε οὐρανὸν καὶ τὰ κατ' αὐτὸν ἄστρα, ὕστερον δὲ Τριφύλιον Ὄλυμπον κληθῆναι διὰ τὸ τοὺς κατοικοῦντας ἐκ τριῶν ἐθνῶν ὑπάρχειν· ὀνομάζεσθαι γὰρ τοὺς μὲν Παγχαίους, τοὺς δὲ Ὠκεανίτας, τοὺς δὲ Δῴους· οὓς ὕστερον ὑπὸ Ἄμμωνος ἐκβληθῆναι. τὸν γὰρ Ἄμμωνά φασι μὴ μόνον φυγαδεῦσαι τοῦτο τὸ ἔθνος, ἀλλὰ καὶ τὰς πόλεις αὐτῶν ἄρδην ἀνελεῖν, καὶ κατασκάψαι τήν τε Δῴαν καὶ Ἀστερουσίαν. θυσίαν τε κατ' ἐνιαυτὸν ἐν τούτῳ τῷ ὄρει ποιεῖν τοὺς

45 ἱερεῖς μετὰ πολλῆς τῆς ἁγνείας. μετὰ δὲ τὸ ὄρος τοῦτο καὶ κατὰ τὴν ἄλλην Παγχαιῖτιν χώραν ὑπάρχειν φασὶ ζῴων παντοδαπῶν πλῆθος. ἔχειν γὰρ αὐτὴν ἐλέφαντάς τε πολλοὺς καὶ λέοντας καὶ παρδάλεις καὶ δορκάδας καὶ ἄλλα πλείω θηρία διάφορα ταῖς τε προςόψεσι καὶ ταῖς ἀλκαῖς θαυμαστά. ἔχει δὲ ἡ νῆσος αὕτη καὶ πόλεις τρεῖς ἀξιολόγους, Ὑρακίαν καὶ Δαλίδα καὶ Ὠκεανίδα. τὴν δὲ χώραν ὅλην εἶναι καρποφόρον, καὶ μάλιστα οἴνων παντοδαπῶν ἔχειν πλῆθος. εἶναι δὲ τοὺς ἄνδρας πολεμικοὺς 367
καὶ ἅρμασι χρῆσθαι κατὰ τὰς μάχας ἀρχαϊκῶς. τὴν δ' ὅλην πολιτείαν ἔχουσι τριμερῆ, καὶ πρῶτον ὑπάρχει μέρος παρ' αὐτοῖς τὸ τῶν ἱερέων, προςκειμένων αὐτοῖς τῶν τεχνιτῶν, δευτέρα δὲ μερὶς ὑπάρχει τῶν γεωργῶν. τρίτη δὲ τῶν στρατιωτῶν, προςτιθεμένων τῶν νομέων, οἱ μὲν οὖν ἱερεῖς τῶν ἁπάντων ἦσαν ἡγεμόνες, τάς τε τῶν ἀμφισβητήσεων κρίσεις ποιούμενοι καὶ τῶν ἄλλων τῶν δημοσίᾳ πραττομένων κύριοι. οἱ δὲ γεωργοὶ τὴν γῆν ἐργαζόμενοι τοὺς καρποὺς ἀναφέρουσιν εἰς τὸ κοινόν, καὶ ὅςτις ἂν αὐτῶν δοκῇ κάλλιστα γεωργηκέναι,

68. Τριφύλιος] Τριφύλλιος DE  69. βασιλεύοντα] βασιλεύσαντα E  70. ἐν τῷδε τῷ τόπῳ ABDE, omisso ἐν CF, caeteri τούτῳ τῷ τόπῳ  73. ἐκ τριῶν ἐθνῶν ὑπάρχειν] ὑπάρχειν ἐκ τριῶν ἐθνῶν D  74. γὰρ] δὲ AE  Παγχαίους] Ἀρχαίους AE  75. Δῴους] Δώους CGNQ, Δώους ABDE, caeteri Δωίους  78. Δῴαν] Δώαν CGNQ, Δωίαν ABDE Poggius, cui 74. ὀνομ. — 77. ἔθνος deerant, caeteri Δωίαν  79. Ἀστερουσίαν] Asterusam Poggius  80. τῆς ἁγνείας] ἁγνείας AEN, ἁγνίας D  81. Παγχαιῖτιν] Παγχαΐτιν AB, Παγχαινίτην N, Παγχαινίην C  84. καὶ δορκάδας om. N  87. Ὑρακίαν ACGQ, Ὑρακίδαν BDE Poggius, caeteri Θρακίαν

367. 89. ἔχειν] ἔχουσα F  90. ἅρμασι] ἀνδράσι F et correctus in marg. G  93. τεχνιτῶν] τεχνητῶν A  96. κρίσεις] κράσεις F



λαμβάνει γέρας ἐξαίρετον ἐν τῇ διαιρέσει τῶν καρπῶν κριθεὶς ὑπὸ τῶν ἱερέων ὁ πρῶτος καὶ ὁ δεύτερος καὶ οἱ λοιποὶ μέχρι δέκα προτροπῆς ἕνεκα τῶν ἄλλων. παραπλησίως δὲ τούτοις καὶ οἱ νομεῖς τά τε ἱερεῖα καὶ τἄλλα παραδιδόασιν εἰς τὸ δημόσιον, τὰ μὲν ἀριθμῷ τὰ δὲ σταθμῷ, μετὰ πάσης ἀκριβείας. καθόλου γὰρ οὐδὲν ἔξεστιν ἰδίᾳ κτήσασθαι πλὴν οἰκίας καὶ κήπου, πάντα δὲ τὰ γεννήματα καὶ τὰς προςόδους οἱ ἱερεῖς παραλαμβάνοντες τὸ ἐπιβάλλον ἑκάστῳ δικαίως ἀπονέμουσι, τοῖς δὲ ἱερεῦσι μόνοις δίδοται διπλάσιον. χρῶνται δ' ἐσθῆσι μὲν μαλακαῖς διὰ τὸ παρ' αὐτοῖς πρόβατα ὑπάρχειν διαφέροντα τῶν ἄλλων τὴν μαλακότητα. φοροῦσι δὲ καὶ κόσμον χρυσοῦν οὐ μόνον αἱ γυναῖκες ἀλλὰ καὶ οἱ ἄνδρες, περὶ μὲν τοὺς τραχήλους ἔχοντες στρεπτοὺς κύκλους, περὶ δὲ τὰς χεῖρας ψέλια, ἐκ δὲ τῶν ὤτων παραπλησίως τοῖς Πέρσαις ἐξηρτημένους κρίκους. ὑποδέσεσι δὲ κοιναῖς χρῶνται καὶ τοῖς χρώμασι πεποικιλμέναις περιττότερον.

οἱ δὲ στρατιῶται λαμβάνοντες τὰς μεμε- 46
ρισμένας συντάξεις φυλάττουσι τὴν χώραν διειληφότες ὀχυρώμασι καὶ παρεμβολαῖς. ἔστι γάρ τι μέρος τῆς χώρας ἔχον λῃστήρια θρασέων καὶ παρανόμων ἀνθρώπων, οἳ τοὺς γεωργοὺς ἐνεδρεύοντες πολεμοῦσι τούτους. αὐτοὶ δὲ οἱ ἱερεῖς πολὺ τῶν ἄλλων ὑπερέχουσι τρυφῇ καὶ ταῖς ἄλλαις ταῖς ἐν τῷ βίῳ καθαριότησι καὶ πολυτελείαις. στολὰς μὲν γὰρ ἔχουσι λινᾶς τῇ λεπτότητι καὶ μαλακότητι διαφόρους· ποτὲ δὲ καὶ τὰς ἐκ τῶν μαλακωτάτων ἐρίων κατεσκευασμένας ἐσθῆτας φοροῦσι· πρὸς δὲ τούτοις μίτρας ἔχουσι χρυσοϋφεῖς· τὴν δ' ὑπόδεσιν ἔχουσι σανδάλια ποικίλα φιλοτέχνως εἰργασμένα· χρυσοφοροῦσι δ' ὁμοίως ταῖς γυναιξὶ πλὴν τῶν ἐνωτίων. προςεδρεύουσι δὲ μάλιστα ταῖς τῶν θεῶν θεραπείαις καὶ τοῖς περὶ τούτων ὕμνοις τε καὶ ἐγκωμίοις, μετ' ᾠδῆς

3. τῶν] τῶν δ' D  δὲ τούτοις om. AD  4. ἱερεῖα] ἔρια E, ἱερὰ καὶ τὰ θύματα N  τἄλλα] τὰ ἄλλα AE  6. οὐδὲν D, caeteri οὐθὲν  ἔξεστιν] ἐστιν D  7. κήπου] κήπους CN  πάντα] πάντων AB  γεννήματα] γενήματα D  11. ὑπάρχειν] ὑπάρχουσι N  12. τὴν] διὰ τὴν ABCD  15. ψέλια ACD, caeteri ψέλλια  16. ὑποδέσεσι] ὑποδήσεσι V  17. κοιναῖς] καιναῖς vertit Poggius, κοίλαις Wesselingius  19. λαμβάνοντες] συνάγοντες GNQV  21. τι A(D)E(N) Poggius, caeteri τὸ  22. καὶ παρανόμων servarunt AB(D)E  24. πολὺ τῶν] πολιτῶν N  ὑπερέχουσι] διαφέρουσι GNQV  25. τρυφῇ] τρυφαῖς ABDE  καθαριότησι] καθαρότησι AEG  26. στολὰς μὲν] στολισμὸν N  λινᾶς] στολὰς λινὰς N, λινὰς D  λεπτότητι BDEN Poggius, caeteri λευκότητι  30. ποικίλα servarunt AB(D)E Poggius  32. ἐνωτίων] ἐναντίων ABEG

τὰς πράξεις αὐτῶν καὶ τὰς εἰς ἀνθρώπους εὐεργεσίας διαπορευόμενοι. μυθολογοῦσι δ' οἱ ἱερεῖς τὸ γένος αὐτοῖς ἐκ Κρήτης ὑπάρχειν, ὑπὸ Διὸς ἡγμένοις εἰς τὴν 368
Παγχαίαν, ὅτε κατ' ἀνθρώπους ὢν ἐβασίλευε τῆς οἰκουμένης· καὶ τούτων σημεῖα φέρουσι τῆς διαλέκτου, δεικνύντες τὰ πολλὰ διαμένειν παρ' αὐτοῖς Κρητικῶς ὀνομαζόμενα· τήν τε πρὸς αὐτοὺς οἰκειότητα καὶ φιλανθρωπίαν ἐκ προγόνων παρειληφέναι, τῆς φήμης ταύτης τοῖς ἐκγόνοις παραδιδομένης ἀεί. ἐδείκνυον δὲ καὶ ἀναγραφὰς τούτων, ἃς ἔφασαν τὸν Δία πεποιῆσθαι καθ' ὃν καιρὸν ἔτι κατ' ἀνθρώπους ὢν ἱδρύσατο τὸ ἱερόν. ἔχει δ' ἡ χώρα μέταλλα δαψιλῆ χρυσοῦ τε καὶ ἀργύρου καὶ χαλκοῦ καὶ καττιτέρου καὶ σιδήρου· καὶ τούτων οὐδὲν ἔξεστιν ἐξενεγκεῖν ἐκ τῆς νήσου, τοῖς δ' ἱερεῦσιν οὐδ' ἐξελθεῖν τὸ παράπαν ἐκ τῆς καθιερωμένης χώρας· τὸν δ' ἐξελθόντα ἐξουσίαν ἔχει ὁ περιτυχὼν ἀποκτεῖναι. ἀναθήματα δὲ χρυσᾶ καὶ ἀργυρᾶ πολλὰ καὶ μεγάλα τοῖς θεοῖς ἀνάκειται, σεσωρευκότος τοῦ χρόνου τὸ πλῆθος τῶν καθιερωμένων ἀναθημάτων. τά τε θυρώματα τοῦ ναοῦ θαυμαστὰς ἔχει τὰς κατασκευὰς ἐξ ἀργύρου καὶ χρυσοῦ καὶ ἐλέφαντος ἔτι δὲ θύας δεδημιουργημένας. ἡ δὲ κλίνη τοῦ θεοῦ τὸ μὲν μῆκος ὑπάρχει πηχῶν ἕξ, τὸ δὲ πλάτος τεττάρων, χρυσῆ δὲ ὅλη καὶ τῇ κατὰ μέρος ἐργασίᾳ φιλοτέχνως κατεσκευασμένη. παραπλήσιος δὲ καὶ ἡ τράπεζα τοῦ θεοῦ καὶ τῷ μεγέθει καὶ τῇ λοιπῇ πολυτελείᾳ παράκειται πλησίον τῆς κλίνης. κατὰ δὲ μέσην τὴν κλίνην ἕστηκε στήλη χρυσῆ μεγάλη, γράμματα ἔχουσα τὰ παρ' Αἰγυπτίοις ἱερὰ καλούμενα, δι' ὧν ἦσαν αἱ πράξεις Οὐρανοῦ τε καὶ Διὸς ἀναγεγραμμέναι, καὶ μετὰ ταύτας αἱ Ἀρτέμιδος καὶ Ἀπόλλωνος ὑφ' Ἑρμοῦ προσαναγεγραμμέναι. περὶ μὲν οὖν τῶν καταντικρὺ τῆς Ἀραβίας ἐν Ὠκεανῷ νήσων ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

368. 37. ἡγμένοις] ἡγουμένου ABDE, ἡγμένους N 40. αὐτοῖς] αὑτοῖς hic et 36. libri 42. τοῖς] ἐν τοῖς ABE ἐκγόνοις BCDEN, caeteri ἐγγόνοις 45. ὢν om. N 46. δαψιλῆ servarunt AB(D)E Poggius 47. post χαλκοῦ iidem servarunt καὶ κασσιτέρου οὐδὲν AB(D)E, caeteri οὐκ ἔξεστιν C, ἔξεστι N, caeteri ἔστιν 49. ἔχει] ἔχειν D, εἶχεν F 51. ἀργυρᾶ] ἀργυρὰ D πολλὰ] πολιὰ F 55. θύας D, θύρας ABE, θυοῦς C, caeteri θύους, om. Poggius 56. μὲν om. D ἕξ] ἑπτά FGQ 57. τεττάρων D, caeteri τεσσάρων δὲ] δι' F, i. e. δ' 58. παραπλήσιος Eichstadius: libri παραπλησίως 60. κατὰ δὲ μέσην] καταμέσον δὲ D 62. ἱερὰ om. N 63. ἀναγεγραμμέναι B(D)EG(N), caeteri ἀναγραμμέναι 64. μετὰ ταύτας ABCDE, κατὰ ταύτας N, caeteri μετ' αὐτὰς 65. προσαναγεγραμμέναι] προσαναγεγραμμένην F



Περὶ δὲ τῶν κατὰ τὴν Ἑλλάδα καὶ τὸ Αἰγαῖον πέλαγος κειμένων νῦν διέξιμεν, τὴν ἀρχὴν ἀπὸ τῆς Σα- 47
μοθρᾴκης ποιησάμενοι. ταύτην γὰρ τὴν νῆσον ἔνιοι μέν φασι τὸ παλαιὸν Σάμον ὀνομασθῆναι, τῆς δὲ νῦν Σάμου κτισθείσης διὰ τὴν ὁμωνυμίαν ἀπὸ τῆς παρακειμένης τῇ παλαιᾷ Σάμῳ Θρᾴκης Σαμοθρᾴκην ὀνομασθῆναι. ᾤκησαν δ' αὐτὴν αὐτόχθονες ἄνθρωποι· διὸ καὶ περὶ τῶν πρώτων γενομένων παρ' αὐτοῖς ἀνθρώπων καὶ ἡγεμόνων οὐδεὶς παραδέδοται λόγος. ἔνιοι δέ φασι τὸ πα-
369 λαιὸν Σαόννησον καλουμένην διὰ τοὺς ἀποικισθέντας ἔκ τε Σάμου καὶ Θρᾴκης Σαμοθρᾴκην ὀνομασθῆναι. ἐσχήκασι δὲ παλαιὰν ἰδίαν διάλεκτον οἱ αὐτόχθονες, ἧς πολλὰ ἐν ταῖς θυσίαις μέχρι τοῦ νῦν τηρεῖται. οἱ δὲ Σαμόθρακες ἱστοροῦσι πρὸ τῶν παρὰ τοῖς ἄλλοις γενομένων κατακλυσμῶν ἕτερον ἐκεῖ μέγαν γενέσθαι, τὸ μὲν πρῶτον τοῦ περὶ τὰς Κυανέας στόματος ῥαγέντος, μετὰ δὲ ταῦτα τοῦ Ἑλλησπόντου. τὸ γὰρ ἐν τῷ Πόντῳ πέλαγος λίμνης ἔχον τάξιν μέχρι τοσούτου πεπληρῶσθαι διὰ τῶν εἰσρεόντων ποταμῶν μέχρι ὅτου διὰ τὸ πλῆθος παρεκχυθὲν τὸ ῥεῦμα λάβρως ἐξέπεσεν εἰς τὸν Ἑλλήσποντον, καὶ πολλὴν μὲν τῆς Ἀσίας τῆς παρὰ θάλατταν ἐπέκλυσεν, οὐκ ὀλίγην δὲ καὶ τῆς ἐπιπέδου γῆς ἐν τῇ Σαμοθρᾴκῃ θάλατταν ἐποίησε· καὶ διὰ τοῦτο ἐν τοῖς μεταγενεστέροις καιροῖς ἐνίους τῶν ἁλιέων ἀνεσπακέναι τοῖς δικτύοις λίθινα κιονόκρανα, ὡς καὶ πόλεων κατακεκλυσμένων. τοὺς δὲ περιλειφθέντας προσαναδραμεῖν εἰς τοὺς ὑψηλοτέρους τῆς νήσου τόπους· τῆς δὲ θαλάττης ἀναβαινούσης ἀεὶ μᾶλλον εὔξασθαι τοῖς θεοῖς τοὺς ἐγχωρίους, καὶ διασωθέντας κύκλῳ περὶ ὅλην τὴν νῆσον ὅρους θέσθαι τῆς σωτηρίας, καὶ βωμοὺς ἱδρύσασθαι,

69. διέξιμεν] διέξειμεν AD 72. ἀπὸ servarunt AB(D)E(N) 73. τῇ] γῆς τῇ AE παλαιᾷ] πάλαι BD Σάμῳ Θρᾴκης AE(N), Σαμοθρᾴκης D Poggius, Σαμοθρᾴκῃ B, caeteri Σάμῳ Σαμοθρᾴκην 76. λόγος] γάμος AB 77. Σαόννησον C, Σαόννην N, caeteri Σάμον νῆσον

369. 81. Σαμόθρακες] Σαμοθρᾷκες omnes 82. πρὸ] πρὸς F γενομένων] γενομένοις F 83. ἕτερον] ὕστερον NV, „quod se inprobare Vrsinus admonuit“ Wessel. ἐκεῖ om. F, asterisco notavit Stephanus τὸ] τὸν F 84. Κυανέας] Κυαναίας N 86. τοσούτου AB(D)E(N), caeteri τούτου 87. εἰσρεόντων] ἐκρεόντων AB μέχρι D, caeteri μέχρις 90. ἐπέκλυσεν] ἀπέκλυσεν A 91. γῆς] τῆς ADE θάλατταν D, caeteri θάλασσαν 94. κατακεκλυσμένων] κατεκλυσμένων C 95. περιλειφθέντας] περιληφθέντας ADE 96. θαλάττης] θαλάσσης omnes ἀναβαινούσης] διαβενούσης A vel E, διαβαινούσης B 98. περὶ] δι' AB ὅλην τὴν νῆσον] ὅλης τῆς νήσου A

ἐφ' ὧν μέχρι τοῦ νῦν θύειν· ὥςτ' εἶναι φανερὸν ὅτι
48 πρὸ τοῦ κατακλυσμοῦ κατῴκουν τὴν Σαμοθρᾴκην. μετὰ δὲ ταῦτα τῶν κατὰ τὴν νῆσον Σάωνα, γενόμενον, ὡς μέν τινές φασιν, ἐκ Διὸς καὶ νύμφης, ὡς δέ τινες, ἐξ Ἑρμοῦ καὶ Ῥήνης, συναγαγεῖν τοὺς λαοὺς σποράδην οἰκοῦντας, καὶ νόμους θέμενον αὐτὸν μὲν ἀπὸ τῆς νήσου Σάωνα κληθῆναι, τὸ δὲ πλῆθος εἰς πέντε φυλὰς διανείμαντα τῶν ἰδίων υἱῶν ἐπωνύμους αὐτὰς ποιῆσαι. οὕτω δ' αὐτῶν πολιτευομένων λέγουσι παρ' αὐτοῖς ἐκ Διὸς καὶ μιᾶς τῶν Ἀτλαντίδων Ἠλέκτρας γενέσθαι Δάρδανόν τε καὶ Ἰασίωνα καὶ Ἁρμονίαν. ὧν τὸν μὲν Δάρδανον μεγαλεπίβολον γενόμενον, καὶ πρῶτον εἰς τὴν Ἀσίαν ἐπὶ σχεδίας διαπεραιωθέντα, τὸ μὲν πρῶτον κτίσαι πόλιν Δάρδανον καὶ τὸ βασίλειον τὸ περὶ τὴν ὕστερον κληθεῖσαν Τροίαν συστήσασθαι καὶ τοὺς λαοὺς ἀφ' ἑαυτοῦ Δαρδάνους ὀνομάσαι. ἐπάρξαι δὲ αὐτόν φασι καὶ πολλῶν ἐθνῶν κατὰ τὴν Ἀσίαν, καὶ τοὺς ὑπὲρ Θρᾴκης Δαρδάνους κατοικίσαι. τὸν δὲ Δία βουληθέντα καὶ τὸν 370
ἕτερον τῶν υἱῶν τιμῆς τυχεῖν παραδεῖξαι αὐτῷ τὴν τῶν μυστηρίων τελετήν, πάλαι μὲν οὖσαν ἐν τῇ νήσῳ, τότε δέ πως παραδοθεῖσαν, ὧν οὐ θέμις ἀκοῦσαι πλὴν τῶν μεμυημένων. δοκεῖ δ' οὗτος πρῶτος ξένους μυῆσαι καὶ τὴν τελετὴν διὰ τοῦτο ἔνδοξον ποιῆσαι. μετὰ δὲ ταῦτα Κάδμον τὸν Ἀγήνορος κατὰ ζήτησιν τῆς Εὐρώπης ἀφικέσθαι πρὸς αὐτούς, καὶ τῆς τελετῆς μετασχόντα γῆμαι τὴν ἀδελφὴν Ἰασίωνος Ἁρμονίαν, οὐ καθάπερ Ἕλληνες
49 μυθολογοῦσι, τὴν Ἄρεος. τὸν δὲ γάμον τοῦτον πρῶτον δαῖσαι θεούς, καὶ Δήμητραν μὲν Ἰασίωνος ἐρασθεῖσαν τὸν καρπὸν τοῦ σίτου δωρήσασθαι, Ἑρμῆν δὲ λύραν, Ἀθηνᾶν δὲ τὸν διαβεβοημένον ὅρμον καὶ πέπλον καὶ

100. τοῦ A(D)E(N) Poggius, caeteri τοῦ νῦν  2. τῶν AB(D) ENQ, caeteri τὸν  κατὰ AB(D)E, caeteri περὶ  Σάωνα AE, Σάωνον BCDN, caeteri Σάονα  4. Ῥήνης] Κρήνης AE  5. νόμους A vel E. B(D), caeteri νόμον  θέμενον] θέμενοι F  6 Σάωνα (D)E(N), caeteri Σάονα  7. διανείμαντα] διατείναντα N  υἱῶν om. N, asterisco notavit Stephanus  αὐτὰς] ante ἐπωνύμους ponit N, αὐτοὺς ABD  8. οὕτω A, caeteri οὕτως  9. ἐκ AE(N), caeteri τοὺς ἐκ  10. Ἰασίωνα] *Iasium* Poggius constanter  11. μεγαλεπίβολον AC(DN), caeteri μεγαλεπήβολον  13. πόλιν Δ.] Δ. πόλιν D  14. κληθεῖσαν ABC(D)EG(N)Q, caeteri κτισθεῖσαν  16 καὶ πολλῶν A(DN), caeteri πολλῶν  17. κατοικίσαι] κατοικῆσαι AD

370. 20. παραδοθεῖσαν non sanum videtur: an παραλυθεῖσαν? 23. Κάδμον τὸν] Κάδμου τοῦ N  25. μετασχόντα] μετασχὼν F  Ἰασίωνος] Ἰασίου C  26. Ἄρεος] libri Ἄρεως  28. πρῶτον δαῖσαι] πρῶτον δέσαι D, τιμῆσαι AE



αὐλούς, Ἠλέκτραν δὲ τὰ τῆς μεγάλης καλουμένης μητρὸς τῶν θεῶν ἱερὰ μετὰ κυμβάλων καὶ τυμπάνων καὶ τῶν ὀργιαζόντων· καὶ Ἀπόλλωνα μὲν κιθαρίσαι, τὰς δὲ Μούσας αὐλῆσαι, τοὺς δ' ἄλλους θεοὺς εὐφημοῦντας συναυξῆσαι τὸν γάμον. μετὰ δὲ ταῦτα τὸν μὲν Κάδμον κατὰ τὸν παραδεδομένον χρησμὸν κτίσαι Θήβας τὰς ἐν Βοιωτίᾳ, τὸν δ' Ἰασίωνα γήμαντα Κυβέλην γεννῆσαι Κορύβαντα. Ἰασίωνος δὲ εἰς θεοὺς μεταστάντος Δάρδανον καὶ Κυβέλην καὶ Κορύβαντα μετακομίσαι εἰς τὴν Ἀσίαν τὰ τῆς μητρὸς τῶν θεῶν ἱερὰ καὶ συναπᾶραι εἰς Φρυγίαν. καὶ τὴν μὲν Κυβέλην Ὀλύμπῳ τὸ πρῶτον συνοικήσασαν γεννῆσαι Ἀλκήν, καὶ τὴν θεὰν Κυβέλην ἀφ' ἑαυτῆς ὀνομάσαι· τὸν δὲ Κορύβαντα τοὺς ἐπὶ τοῖς τῆς μητρὸς ἱεροῖς ἐνθουσιάσαντας ἀφ' ἑαυτοῦ Κορύβαντας προσαγορεῦσαι, γῆμαι δὲ Θήβην τὴν Κίλικος θυγατέρα. ὁμοίως δὲ τοὺς αὐλοὺς εἰς Φρυγίαν ἐντεῦθεν μετενεχθῆναι, καὶ τὴν λύραν τὴν Ἑρμοῦ εἰς Λυρνησσόν, ἣν Ἀχιλλέα ὕστερον ἐκπορθήσαντα λαβεῖν. ἐξ Ἰασίωνος δὲ καὶ Δήμητρος Πλοῦτον γενέσθαι φασὶν οἱ μῦθοι· τὸ δ' ἀληθές, τὸν τοῦ σίτου πλοῦτον δωρηθῆναι ἐν τῷ τῆς Ἁρμονίας γάμῳ διὰ τὴν συνουσίαν τοῦ Ἰασίωνος. καὶ τὰ μὲν κατὰ μέρος τῆς τελετῆς ἐν ἀποῤῥήτοις τηρούμενα μόνοις παραδίδοται τοῖς μυηθεῖσι· διαβεβόηται δ' ἡ τούτων τῶν θεῶν ἐπιφάνεια καὶ παράδοξος ἐν τοῖς κινδύνοις βοήθεια τοῖς ἐπικαλεσαμένοις τῶν μυηθέντων. γίνεσθαι δέ φασι καὶ εὐσεβεστέρους καὶ δικαιοτέρους καὶ κατὰ πᾶν βελτίονας ἑαυτῶν τοὺς τῶν μυστηρίων κοινωνήσαντας· διὸ καὶ τῶν ἀρχαίων ἡρώων τε καὶ ἡμιθέων τοὺς ἐπιφανεστάτους πεφιλοτιμῆσθαι μεταλαβεῖν τῆς τε-
371 λετῆς. καὶ γὰρ Ἰάσονα καὶ Διοςκούρους ἔτι δ' Ἡρακλέα

32. τῶν θεῶν] θεῶν AD  34. κιθαρίσαι] κιθαρίσθαι FG  35. εὐφημοῦντας συναυξῆσαι ABDE, συνευρηθμοῦντας αὐξῆσαι N, caeteri συνευφημοῦντας αὐξῆσαι  37. τὸν δ' E, φασί· τὸν δὲ D, caeteri φασὶ δὲ τὸν  39. Κορύβαντα AE, *Corybantum* Poggius, caeteri Κορύβαντας  41. Ὀλύμπῳ] Ὀλύντῳ F  42. τὸ πρῶτον AE(N), πρώτην F, πρότην G, τῷ πρώτῳ margo A cum caeteris  44. τοὺς] τούτους G  46. Θήβην] Ἥβην F  αὐλοὺς AB(DN) Poggius, caeteri ἄλλους  47. μετενεχθῆναι] μετακομισθῆναι GNQV  48. τὴν Ἑρμοῦ] τοῦ Ἑρμοῦ A, τοῦ θεοῦ B  49. Πλοῦτον] *Plutonem* Poggius  51. δωρηθῆναι Rhodomannus, δωρηθέντας A, δωρήσαντα N, caeteri δωρηθέντα: *verum constat frumenti copiam — ob Iasii benivolentiam dono datam* Poggius  52. τὰ μὲν (D)E(N), caeteri τὰ  53. τηρούμενα ABCDN Poggius, caeteri τελούμενα  παραδίδοται (D)E(N)QV, caeteri παραδιδόναι  56. γίνεσθαι] γενέσθαι N  57. πᾶν AB C(D)EG(N)Q, caeteri πάντα  58. τοὺς] τούτους G, τούτοις F  60. Ἰάσονα BC(N) Poggius, Ἰάσωνα DE, caeteri Ἰασίωνα

καὶ Ὀρφέα μυηθέντας ἐπιτυχεῖν ἐν πάσαις ταῖς στρατείαις διὰ τὴν τῶν θεῶν τούτων ἐπιφάνειαν.

50 Ἐπεὶ δὲ περὶ τῆς Σαμοθρᾴκης διήλθομεν, ἀκολούθως καὶ περὶ τῆς Νάξου διέξιμεν. αὕτη γὰρ ἡ νῆσος τὸ μὲν πρῶτον προσηγορεύετο Στρογγύλη, ᾤκησαν δὲ αὐτὴν πρῶτοι Θρᾷκες διά τινας τοιαύτας αἰτίας. μυθολογοῦνται Βορέου γενέσθαι παῖδες Βούτης καὶ Λυκοῦργος οὐχ ὁμομήτριοι· τὸν δὲ Βούτην ὄντα νεώτερον ἐπιβουλεῦσαι τἀδελφῷ, καὶ καταφανῆ γενόμενον ἕτερον μὲν μηδὲν παθεῖν ὑπὸ τοῦ Λυκούργου, πρόςταγμα δὲ λαβεῖν ὅπως μετὰ τῶν συνεπιβουλευσάντων λαβὼν πλοῖα ζητῇ χώραν ἑτέραν εἰς κατοίκησιν. διόπερ τὸν Βούτην μετὰ τῶν συνεγκαλουμένων Θρᾳκῶν ἐκπλεύσαντα καὶ διὰ τῶν Κυκλάδων νήσων κομιζόμενον κατασχεῖν τὴν Στρογγύλην νῆσον, καὶ ἐν ταύτῃ κατοικοῦντα λῄζεσθαι πολλοὺς τῶν παραπλεόντων. σπανίζοντας δὲ γυναικῶν περιπλέοντας ἁρπάζειν ἀπὸ τῆς χώρας γυναῖκας. τῶν μὲν οὖν Κυκλάδων νήσων αἱ μὲν ὁλοσχερῶς ἔρημοι ὑπῆρχον, αἱ δ' ὀλίγοις οἰκούμεναι. διόπερ πο῾ῤῥωτέρω πλευσάντων αὐτῶν, καὶ ἀπὸ μὲν τῆς Εὐβοίας ἀποκρουσθέντων, τῇ δὲ Θετταλίᾳ προςενεχθέντων, οἱ περὶ τὸν Βούτην ἀποβάντες ἐπὶ τὴν χώραν περιέτυχον ταῖς Διονύσου τροφοῖς περὶ τὸ καλούμενον Δρίος τῷ θεῷ ὀργιαζούσαις ἐν τῇ Φθιώτιδι Ἀχαΐᾳ. ὁρμησάντων δὲ τῶν περὶ τὸν Βούτην, αἱ μὲν ἄλλαι ῥίψασαι τὰ ἱερεῖα εἰς θάλατταν ἔφυγον, αἱ δ' εἰς ὄρος τὸ καλούμενον Δρίος· Κορωνίδα δ' ἁρπαγεῖσαν συναναγκασθῆναι τῷ Βούτῃ συνοικῆσαι· ἐπὶ δὲ τῇ ἁρπαγῇ καὶ ὕβρει χαλεπῶς φέρουσαν ἐπικαλέσασθαι τὸν Διόνυσον βοηθῆσαι αὐτῇ. τὸν δὲ μανίαν ἐμβαλεῖν τῷ Βούτῃ, καὶ διὰ τοῦτο παρακόψαντα ῥῖψαι ἑαυτὸν εἴς τι φρέαρ καὶ τελευτῆσαι. οἱ δ' ἄλλοι Θρᾷκες ἑτέρας τινὰς γυναῖκας ἥρπασαν, ἐπιφανεστάτας δὲ τήν τε Ἀλωέως γυναῖκα Ἰφιμέδειαν καὶ τὴν θυγατέρα αὐτῆς

371. 61. μυηθέντας] μυηθέντα F 62. πάσαις] ἁπάσαις D 65. διέξιμεν] διέξειμεν D 68. Βούτης] Βούτας B 69. 74. Βούτην] Βούταν B 71. Λυκούργου ABDE Poggius, caeteri πατρός 73. πλοῖα ζητῇ] ποίαν ζήτει FG ζητῇ — κατοίκησιν] χώραν διώκειν ἑτέραν ἧς κατοικίσειν N 74. ἐκπλεύσαντα ABDE, caeteri συνεκπλεύσαντα 77. σπανίζοντας] σπανίζοντες N 82. Εὐβοίας] Εὐοίας C Θετταλίᾳ] Θεσσαλίᾳ omnes 83. 86. Βούτην] Βούταν B 84. τροφοῖς] sacerdotes Poggius 85. ἐν τῇ Φθιώτιδι Ἀχαΐᾳ] Arcadiae Poggius 87. θάλατταν D, caeteri θάλασσαν 88. Δρίος] Φθίος N 89. Βούτῃ A(DN) Poggius, caeteri Βούτᾳ 90. ὕβρει] τῇ ὕβρει D 92. Βούτῃ A(N) Poggius, caeteri Βούτᾳ 94. τινὰς om. AD



Παγκράτιν· λαβόντες δ' αὐτὰς ἀπέπλευσαν εἰς τὴν Στρογγύλην. οἱ δὲ Θρᾷκες ἀντὶ τοῦ Βούτου κατέστησαν βασιλέα τῆς νήσου Ἀγασσαμενόν, καὶ τὴν Ἀλωέως θυγατέρα Παγκράτιν κάλλει διαφέρουσαν συνῴκισαν αὐτῷ. πρὸ γὰρ τῆς τούτου αἱρέσεως οἱ ἐπιφανέστατοι τῶν ἡγεμόνων Σικελὸς καὶ Ἑκήτορος ὑπὲρ τῆς Παγκράτιδος ἐρί-
372 σαντες ἀλλήλους ἀνεῖλον. ὁ δὲ Ἀγασσαμενὸς ὕπαρχον ἕνα τῶν φίλων καταστήσας συνῴκισεν αὐτῷ τὴν Ἰφιμέδειαν. ὁ δ' Ἀλωεὺς ἐπὶ ζήτησιν τῆς τε γυναικὸς καὶ τῆς 51
θυγατρὸς ἐξέπεμψε τοὺς υἱοὺς Ὦτον καὶ Ἐφιάλτην· οἳ πλεύσαντες εἰς τὴν Στρογγύλην μάχῃ τε ἐνίκησαν τοὺς Θρᾷκας καὶ τὴν πόλιν ἐξεπολιόρκησαν. εἶτα ἡ μὲν Παγκράτις ἐτελεύτησεν, οἱ δὲ περὶ τὸν Ὦτον καὶ Ἐφιάλτην ἐπεβάλοντο κατοικεῖν ἐν τῇ νήσῳ καὶ ἄρχειν τῶν Θρᾳκῶν· μετωνόμασαν δὲ καὶ τὴν νῆσον Δίαν. ὕστερον δὲ στασιάσαντες πρὸς ἀλλήλους καὶ μάχην συνάψαντες τῶν τε ἄλλων πολλοὺς ἀπέκτειναν καὶ ἀλλήλους ἀνεῖλον, καὶ ὑπὸ τῶν ἐγχωρίων εἰς τὸν λοιπὸν χρόνον ὡς ἥρωες ἐτιμήθησαν. οἱ μὲν οὖν Θρᾷκες ἐνταῦθα κατοικήσαντες ἔτη πλείω τῶν διακοσίων ἐξέπεσον αὐχμῶν γενομένων ἐκ τῆς νήσου. μετὰ δὲ ταῦτα Κᾶρες ἐκ τῆς νῦν Λαμίας καλουμένης μεταναστάντες ᾤκησαν τὴν νῆσον· ὧν βασιλεύσας Νάξος ὁ Πολέμωνος ἀντὶ Δίας Νάξον ἀφ' ἑαυτοῦ προσηγόρευσεν. ἐγένετο δ' ἀνὴρ ἀγαθὸς καὶ ἐπιφανὴς ὁ Νάξος, καὶ ἀπέλιπεν υἱὸν Λεύκιππον· οὗ γενόμενος υἱὸς Σμέρδιος ἐβασίλευσε τῆς νήσου. ἐπὶ δὲ τούτου Θησεὺς ἐκ Κρήτης ἀποπλέων μετὰ τῆς Ἀριάδνης ἐπεξενώθη τοῖς ἐν τῇ νήσῳ· καὶ κατὰ τὸν ὕπνον ἰδὼν

96. Παγκράτιν] Παγκράτην AF 98. Βούτου AB(DN) Poggius, caeteri Βούτα Ἀγασσαμενόν] Ἀγασσόμενον D Poggius 1. Σικελὸς] verum est Σκέλλις, de quo v. annotationem Ἑκήτορος] Ἑκήτερος Q, Ἑκέτερος V, Caeterus Poggius 2. Παγκράτιδος] πατρίδος Q, πρὸς F

372. 3. Ἀγασσαμενὸς] Ἀγοσόμενος A, Ἀγοσσομενὸς B, Ἀγασσόμενος D Poggius 4. συνῴκισεν] συνῴκησεν AD 6. ἐπὶ ζήτησιν] εἰς ἐπιζήτησιν BD τῆς τε E, caeteri τε τῆς 10. Παγκράτις] Παγκράτη F, Παγκρατὶς D 16. Θρᾷκες] Θρᾷκας B 18. ἐκ τῆς νήσου ABC(D)EG(N)Q, caeteri ἐν τῇ νήσῳ 19. Λαμίας] Λαμείας C, Λαβείας N, Samia Poggius Wesselingii, post καλουμένης ponit D: Λατμίας Palmerius 20. Νάξος (D)E(N) Poggius et fortasse ABC, caeteri Νάξιος 22. Νάξος ABC(D)E(N), om. Poggius, caeteri Νάξιος 23. Σμέρδιος ABC(D)M(N) et fortasse E, Merdeus Poggius, caeteri Σμάρδιος 24. δὲ om. D ἀποπλέων] ἀναπλέων D 26. ὕπνον] ἵππον F

τὸν Διόνυσον ἀπειλοῦντα αὐτῷ, εἰ μὴ ἀπολείψει τὴν Ἀριάδνην αὐτῷ, φοβηθεὶς κατέλιπε καὶ ἐξέπλευσε. Διόνυσος δὲ νυκτὸς ἀπήγαγε τὴν Ἀριάδνην εἰς τὸ ὄρος τὸ καλούμενον Δρίος· καὶ ἐν ἀρχῇ μὲν ἠφανίσθη ὁ θεός, μετὰ δὲ ταῦτα καὶ ἡ Ἀριάδνη ἄφαντος ἐγενήθη.

52 μυθολογοῦσι δὲ Νάξιοι περὶ τοῦ θεοῦ τούτου φάσκοντες παρ' αὐτοῖς τραφῆναι τὸν θεόν, καὶ διὰ τοῦτο τὴν νῆσον αὐτῷ γεγονέναι προσφιλεστάτην καὶ ὑπό τινων Διονυσιάδα καλεῖσθαι. τὸν γὰρ Δία κατὰ τὸν παραδεδομένον μῦθον τότε κεραυνωθείσης Σεμέλης πρὸ τοῦ τεκεῖν τὸ βρέφος λαβόντα καὶ ἐῤῥάψαντα εἰς τὸν μηρόν, ὡς ὁ τέλειος τῆς γενέσεως χρόνος ἦλθε, βουλόμενον λαθεῖν τὴν Ἥραν ἐξελεῖν τὸ βρέφος ἐν τῇ νῦν Νάξῳ, καὶ δοῦναι τρέφειν ταῖς ἐγχωρίοις νύμφαις Φιλίᾳ καὶ Κορωνίδι καὶ Κλείδῃ· κεραυνῶσαι δὲ τὴν Σεμέλην πρὸ τοῦ τεκεῖν, ὅπως μὴ ἐκ θνητῆς ἀλλ' ἐκ δυοῖν 373 ἀθανάτων ὑπάρξας εὐθὺς ἐκ γενετῆς ἀθάνατος ᾖ. διὰ δὲ τὴν εἰς τὸν Διόνυσον εὐεργεσίαν ἐν τῇ τροφῇ τὰς χάριτας ἀπολαβεῖν τοὺς ἐγχωρίους· ἐπιδοῦναι γὰρ τὴν νῆσον εἰς εὐδαιμονίαν, καὶ ναυτικάς τε δυνάμεις ἀξιολόγους συστήσασθαι καὶ ἀπὸ Ξέρξου πρώτους ἀποστάντας ἐκ τοῦ ναυτικοῦ συγκαταναυμαχῆσαι τὸν βάρβαρον, καὶ τῆς ἐν Πλαταιαῖς παρατάξεως οὐκ ἀσήμως μετασχεῖν. εἶναι δὲ καὶ περὶ τὴν τοῦ οἴνου ἰδιότητα διάφορόν τι παρ' αὐτοῖς καὶ μηνῦον τὴν τοῦ θεοῦ πρὸς τὴν νῆσον οἰκειότητα.

53 Τὴν δὲ νῆσον τὴν Σύμην ὀνομαζομένην τὸ παλαιὸν ἔρημον οὖσαν πρῶτοι κατῴκησαν οἱ μετὰ Τρίοπος ἀφικόμενοι, ὧν ἡγεῖτο Χθόνιος ὁ Ποσειδῶνος καὶ Σύμης, ἀφ' ἧς ἡ νῆσος ἔτυχε ταύτης τῆς προσηγορίας. ὕστερον δὲ αὐτῆς ἐβασίλευσε Νιρεὺς ὁ Χαρόπου καὶ Ἀγλαΐας, κάλλει διαφέρων, ὃς καὶ ἐπὶ Τροίαν μετὰ Ἀγαμέμνονος ἐστράτευσε, τῆς τε νήσου δυναστεύων καὶ τῆς Κνιδίας

ἀπειλοῦντα] ἀπειλεῖται FG 27. ἀπολείψει] ἀπολείψῃ D αὐτῷ AB(D)E(N), caeteri αὐτοῦ 29. Δρίος AE, Δριὸς D, Δρυὸς B, Poggius hic et 371. 88., caeteri Ἄριος 31. ἐγενήθη ABCDN, caeteri ἐγένετο 33. τὸν θεὸν om. AE 35. Διονυσιάδα] Nysiadam Poggius 40. Φιλίᾳ] Φυλίᾳ D 41. Κορωνίδι] Καρωνείᾳ ABD Κλείδῃ ABE, Κλείδει D, Κλεΐδι G(N)V Poggius Wesselingii, meus Cliedi, Κλεΐδι Q, caeteri Κλίδῃ

373. 43. δυοῖν] δυεῖν D 48. ἐκ] ἀπὸ ABD 49. Πλαταιαῖς] Παλαιαῖς C ἀσήμως] ἀσημείως N 52. οἰκειότητα] ἰδιότητα GQV 55. Χθόνιος] Cithonius Poggius 57. αὐτῆς ἐβασίλευσε ACDEN, caeteri ἐβασίλευσε ταύτης Νιρεὺς] Νήρευς N Poggius Χαρόπου] Χάροπος FGQ, Καροποῦ N 58. καὶ asterisco notavit Stephanus, om. V



μέρους κυριεύων. μετὰ δὲ τοὺς Τρωικοὺς χρόνους κατέσχον τὴν νῆσον Κᾶρες, καθ' ὃν καιρὸν ἐθαλαττοκράτουν. ὕστερον δὲ αὐχμῶν γενομένων ἔφυγον ἐκ τῆς νήσου, καὶ κατῴκησαν τὸ καλούμενον Οὐράνιον. ἡ δὲ Σύμη διέμεινεν ἔρημος ἕως ὁ στόλος ὁ Λακεδαιμονίων καὶ Ἀργείων παρέβαλεν εἰς τούτους τοὺς τόπους· ἔπειτα κατῳκίσθη πάλιν τόνδε τὸν τρόπον. τῶν μετὰ Ἱππότου τις μετασχὼν τῆς ἀποικίας ὄνομα Ναῦσος ἀναλαβὼν τοὺς καθυστερήσαντας τῆς κληροδοσίας ἔρημον οὖσαν τὴν Σύμην κατῴκησε· καί τισιν ἑτέροις ὕστερον καταπλεύσασιν, ὧν ἦν Ξοῦθος ἡγεμών, μεταδοὺς τῆς πολιτείας καὶ χώρας κοινῇ τὴν νῆσον κατῴκησε. φασὶ δὲ τῆς ἀποικίας ταύτης μετασχεῖν τούς τε Κνιδίους καὶ Ῥοδίους.

Κάλυδναν δὲ καὶ Νίσυρον τὸ μὲν ἀρχαῖον Κᾶρες 54 κατῴκησαν, μετὰ δὲ ταῦτα Θετταλὸς ὁ Ἡρακλέους ἀμφοτέρας τὰς νήσους κατεκτήσατο. διόπερ Ἄντιφός τε καὶ Φείδιππος οἱ Κῴων βασιλεῖς στρατεύοντες εἰς Ἴλιον ἦρχον τῶν πλεόντων ἐκ τῶν προειρημένων νήσων. κατὰ δὲ τὸν ἐκ Τροίας ἀπόπλουν τέτταρες τῶν Ἀγαμέμνονος νεῶν ἐξέπεσον περὶ Κάλυδναν, καὶ τοῖς ἐγχωρίοις καταμιγέντες κατῴκησαν. οἱ δὲ τὴν Νίσυρον τὸ παλαιὸν 374 οἰκήσαντες ὑπὸ σεισμῶν διεφθάρησαν· ὕστερον δὲ Κῷοι, καθάπερ τὴν Κάλυδναν, ταύτην κατῴκησαν· μετὰ δὲ ταῦτα φθορᾶς ἀνθρώπων ἐν τῇ νήσῳ γενομένης οἱ Ῥόδιοι ἀποίκους εἰς αὐτὴν ἔστειλαν. τὴν δὲ Κάρπαθον πρῶτοι μὲν ᾤκησαν τῶν μετὰ Μίνω τινὲς συστρατευσαμένων, καθ' ὃν χρόνον ἐθαλαττοκράτησε πρῶτος τῶν Ἑλλήνων. ὕστερον δὲ πολλαῖς γενεαῖς Ἴοκλος ὁ Δημολέοντος, Ἀργεῖος ὢν τὸ γένος, κατά τι λόγιον ἀποικίαν ἀπέστειλεν εἰς τὴν Κάρπαθον.

Τὴν δὲ νῆσον τὴν ὀνομαζομένην Ῥόδον πρῶτοι 55 κατῴκησαν οἱ προσαγορευόμενοι Τελχῖνες· οὗτοι δ' ἦσαν

60. μέρους] μέρος A 67. Ναῦσος] Αὖσος FGQ 69. τὴν Σύμην A(DN) Poggius, caeteri τὴν νῆσον Σύμην 71. κοινῇ] κοινεῖ F 74. Νίσυρον] Νίσυξον F 76. Ἄντιφός] Ἄντιφρός N, Amphitus Poggius 77. καὶ Φείδιππος AE, caeteri Φίλιππος, Phippus Poggius 78. Ἴλιον] Ἴλον A ἦρχον BDE, navigantium duces fuere Poggius, caeteri ὑπῆρχον, unde ἐπῆρχον duci posse animadvertit Wesselingius πλεόντων] παλαιῶν FG 79. τέτταρες D, caeteri τέσσαρες |82. διεφθάρησαν ABDE, caeteri ἐφθάρησαν

374. 83. ὕστερον — κατῴκησαν om. ADE Poggius 85. ἀποίκους] ἐποίκους ABDFG αὐτὴν ABCE, caeteri ταύτην ἔστειλαν] ἀπέστειλαν D 86. Μίνω] Μίνωος AE, Μίλω N 87. συστρατευσαμένων BCDEG, caeteri συστρατευσάντων 90. ἀπέστειλεν] deduxit (ἔστειλεν) Poggius

υἱοὶ μὲν Θαλάττης, ὡς ὁ μῦθος παραδέδωκε, μυθολογοῦνται δὲ μετὰ Καφείρας τῆς Ὠκεανοῦ θυγατρὸς ἐκθρέψαι Ποσειδῶνα, Ῥέας αὐτοῖς παρακαταθεμένης τὸ βρέφος. γενέσθαι δ' αὐτοὺς καὶ τεχνῶν τινων εὑρετὰς καὶ ἄλλα τῶν εἰς τὸν βίον χρησίμων τοῖς ἀνθρώποις εἰσηγήσασθαι. ἀγάλματά τε θεῶν πρῶτοι κατασκευάσαι λέγονται, καί τινα τῶν ἀρχαίων ἀφιδρυμάτων ἀπ' ἐκείνων ἐπωνομάσθαι· παρὰ μὲν γὰρ Λινδίοις Ἀπόλλωνα Τελχίνιον προσαγορευθῆναι, παρὰ δὲ Ἰαλυσίοις Ἥραν καὶ νύμφας Τελχινίας, παρὰ δὲ Καμειρεῦσιν Ἥραν Τελχινίαν. λέγονται δ' οὗτοι καὶ γόητες γεγονέναι καὶ παράγειν ὅτε βούλοιντο νέφη τε καὶ ὄμβρους καὶ χαλάζας, ὁμοίως δὲ καὶ χιόνα ἐφέλκεσθαι. ταῦτα δὲ καθάπερ καὶ τοὺς μάγους ποιεῖν ἱστοροῦσιν. ἀλλάττειν δὲ καὶ τὰς ἰδίας μορφάς, καὶ εἶναι φθονεροὺς ἐν τῇ διδασκαλίᾳ τῶν τεχνῶν. Ποσειδῶνα δὲ ἀνδρωθέντα ἐρασθῆναι τῆς τῶν Τελχίνων ἀδελφῆς Ἁλίας, καὶ μιχθέντα ταύτῃ γεννῆσαι παῖδας ἓξ μὲν ἄῤῥενας, μίαν δὲ θυγατέρα Ῥόδον, ἀφ' ἧς τὴν νῆσον ὀνομασθῆναι. γενέσθαι δὲ κατὰ τὸν καιρὸν τοῦτον ἐν τοῖς πρὸς ἕω μέρεσι τῆς νήσου τοὺς κληθέντας γίγαντας· ὅτε δὴ καὶ Ζεὺς λέγεται καταπεπολεμηκὼς Τιτᾶνας ἐρασθῆναι μιᾶς τῶν νυμφῶν Ἱμαλίας ὀνομαζομένης, καὶ τρεῖς ἐξ αὐτῆς τεκνῶσαι παῖδας, Σπαρταῖον, Κρόνιον, Κύτον. κατὰ δὲ τὴν τούτων ἡλικίαν φασὶν Ἀφροδίτην ἐκ Κυθήρων κομιζομένην εἰς Κύπρον καὶ προσορμιζομένην τῇ νήσῳ κωλυθῆναι ὑπὸ τῶν Ποσειδῶνος υἱῶν, ὄντων ὑπερηφάνων καὶ ὑβριστῶν· τῆς δὲ θεοῦ διὰ τὴν ὀργὴν ἐμβαλούσης αὐτοῖς μανίαν μιγῆναι αὐτοὺς βίᾳ τῇ μητρὶ καὶ πολλὰ κακὰ δρᾶν τοὺς ἐγχωρίους. Ποσειδῶνα δὲ τὸ γεγονὸς αἰσθόμενον τοὺς υἱοὺς κρύψαι κατὰ γῆς διὰ τὴν πεπραγμένην αἰσχύνην,

93. *Θαλάττης* D, caeteri *Θαλάσσης* 94. *Καφείρας*] *Καφίρνας* ABDE, *Chalfurna* Poggius, *Καμείρας* Lobeckius De bello Eleus. I. p. 8. 97. *ἄλλα* AE, caeteri *ἄλλων*, quod om. G, asterisco notavit Stephanus *τῶν εἰς τὸν βίον χρησίμων τοῖς ἀνθρώποις εἰσηγ.*] *τῶν χρησίμων εἰς τὸν βίον εἰσηγ. τῶν ἀνθρώπων* E, *τῶν χρησίμων εἰς τὸν βίον τῶν ἀνθρώπων εἰσηγ.* D, *τῶν εἰς τὸν βίον χρησίμων εἰσηγ. τῶν ἀνθρώπων* ABC, *utilia permulta in usum hominum deducta* Poggius 99. *ἀφιδρ.*] *ἐφιδρ.* F 100. *ἐπωνομάσθαι*] *ἐπωνομάσαι* FG *γὰρ* om. AD 2. *Καμειρεῦσιν*] *Καμιρεῦσιν* D 4. *βούλοιντο*] *βούλονται* FG 6. *ἀλλάττειν*] *ἀλλάττεσθαι* ABDE 9. *Ἁλίας* om. DN 10. *ταύτῃ* om. B DE 11. *ὀνομασθῆναι* AB(D)E, *ὀνομάσθαι* CNQ, caeteri *ὀνομάσαι* 13. *λέγεται* servarunt (D)E(N) Poggius 14. *Τιτᾶνας*] *τινὰς* FG *ἐρασθῆναι*] *ἠράσθη* FG 16. *Σπαρταῖον*] *Παρταῖον* FGQ *Κρόνιον*] *Saturnum* Poggius 20. *διὰ τὴν ὀργὴν* om. FGM, asterisco notavit Stephanus



375 ους κληθῆναι προσηῴους δαίμονας· Ἁλίαν δὲ ῥίψασαν ἑαυτὴν εἰς τὴν θάλατταν Λευκοθέαν ὀνομασθῆναι καὶ τιμῆς ἀθανάτου τυχεῖν παρὰ τοῖς ἐγχωρίοις. χρόνῳ δ' 56 ὕστερον προαισθομένους τοὺς Τελχῖνας τὸν μέλλοντα γίνεσθαι κατακλυσμὸν ἐκλιπεῖν τὴν νῆσον καὶ διασπαρῆναι. Λύκον δ' ἐκ τούτων παραγενόμενον εἰς τὴν Λυκίαν Ἀπόλλωνος Λυκίου ἱερὸν ἱδρύσασθαι παρὰ τὸν Ξάνθον ποταμόν. τοῦ δὲ κατακλυσμοῦ γενομένου τοὺς μὲν ἄλλους διαφθαρῆναι, τῆς δὲ νήσου διὰ τὴν ἐπομβρίαν ἐπιπολασάντων τῶν ὑγρῶν λιμνάσαι τοὺς ἐπιπέδους τόπους· ὀλίγους δ' εἰς τὰ μετέωρα τῆς νήσου συμφυγόντας διασωθῆναι, ἐν οἷς ὑπάρχειν καὶ τοὺς Διὸς παῖδας. Ἥλιον δὲ κατὰ μὲν τὸν μῦθον ἐρασθέντα τῆς Ῥόδου τήν τε νῆσον ἀπ' αὐτῆς ὀνομάσαι Ῥόδον καὶ τὸ ἐπιπολάζον ὕδωρ ἀφανίσαι· ὁ δ' ἀληθὴς λόγος ὅτι κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν τῆς νήσου πηλώδους οὔσης ἔτι καὶ μαλακῆς τὸν Ἥλιον ἀναξηράναντα τὴν πολλὴν ὑγρότητα ζωογονῆσαι τὴν γῆν, καὶ γενέσθαι τοὺς κληθέντας ἀπ' αὐτοῦ Ἡλιάδας ἑπτὰ τὸν ἀριθμὸν καὶ τοὺς λαοὺς ὁμοίως αὐτόχθονας. ἀκολούθως δὲ τούτοις νομισθῆναι τὴν νῆσον ἱερὰν Ἡλίου καὶ τοὺς μετὰ ταῦτα γενομένους Ῥοδίους διατελέσαι περιττότερον τῶν ἄλλων θεῶν τιμῶντας τὸν Ἥλιον ὡς ἀρχηγὸν τοῦ γένους αὐτῶν. εἶναι δὲ τοὺς ἑπτὰ υἱοὺς Ὄχιμον, Κέρκαφον, Μάκαρα, Ἀκτῖνα, Τενάγην, Τριόπαν, Κάνδαλον, θυγατέρα δὲ μίαν, Ἠλεκτρυώνην, ἣν ἔτι παρθένον οὖσαν μεταλλάξαι τὸν βίον καὶ τιμῶν τυχεῖν παρὰ Ῥοδίοις ἡρωικῶν. ἀνδρωθεῖσι δὲ τοῖς Ἡλιάδαις εἰπεῖν τὸν Ἥλιον, οἵτινες ἂν Ἀθηνᾷ θύσωσι πρῶτοι, παρ' ἑαυτοῖς ἕξουσι τὴν θεόν· τὸ δ' αὐτὸ διασαφῆσαι λέγεται τοῖς τὴν Ἀττικὴν κατοικοῦσι. διὸ καί φασι τοὺς μὲν Ἡλιάδας διὰ τὴν σπουδὴν ἐπιλαθο-

24. *προσηῴους*] *προσήωας* FG, *προσηκώους* N

375. 26. *θάλατταν*] *θάλασσαν* omnes 29. *γίνεσθαι*] *γίγνεσθαι* D 31. *Λυκίαν*] *Λιβύην* F, G correctus in marg., *Λιμίαν* N 34. *ἐπιπολασάντων* AB(D)E, caeteri *ἐπὶ πολλὰ τῶν* *τῶν* addidit Reiskius 36. *οἷς*] *αἷς* F 44. *τοὺς λαοὺς ὁμοίως αὐτόχθονας*] *τοὺς ἄλλους ὁ. αὐτόχθονας* E, *τοὺς* (om. DQ) *ἄλλους ὁ. λαοὺς αὐτόχθονας* ABC(D)G(N)Q, *cum alii praeterea indigetes populi insulam inhabitarent* Poggius 47. *τιμῶντας*] *τιμᾶν* AE 48. *Ὄχιμον*] *Ὀχῖνον* F, *Σχῖνον* G correctus in marg. 49. *Τριόπαν*] *Τρίωπα* B, *Τρίοπα* D 50. *Κ.* ABD Poggius, caeteri *καὶ Κ.* *Ἠλεκτρυώνην*] *Ἠλεκτρυόνην* omnes 51. *ἣν ἔτι*] *ἔτι δὲ* AD *τὸν βίον* servarunt ABD: *functa est vita* Poggius 52. *ἀνδρωθεῖσι*] *ἀνδρειωθεῖσι* AB 53. *οἵτινες*] *ὅτι οἵτινες* Eichstadius *οἵτινες ἂν Ἀθηνᾷ*] *ἐάν τινες Ἀθηναῖοι* ABD 55. *διασαφῆσαι λέγεται*] *λέγεται διασαφῆσαι γῆν* N

μένους ἐνεγκεῖν πῦρ [καὶ] ἐπιθεῖναι [τότε] τὰ θύματα, τὸν δὲ τότε βασιλεύοντα τῶν Ἀθηναίων Κέκροπα ἐπὶ τοῦ πυρὸς θῦσαι ὕστερον. διόπερ φασὶ διαμένειν μέχρι τοῦ νῦν τὸ κατὰ τὴν θυσίαν ἴδιον ἐν τῇ Ῥόδῳ καὶ τὴν θεὸν ἐν αὐτῇ καθιδρῦσθαι. περὶ μὲν οὖν τῶν ἀρχαιολογουμένων παρὰ Ῥοδίοις οὕτω τινὲς μυθολογοῦσιν· ἐν οἷς ἐστι καὶ Ζήνων ὁ τὰ περὶ ταύτης συνταξάμενος.

57 οἱ δ' Ἡλιάδαι διάφοροι γενηθέντες τῶν ἄλλων ἐν παιδείᾳ διήνεγκαν καὶ μάλιστ' ἐν ἀστρολογίᾳ. εἰσηγήσαντο 376 δὲ καὶ περὶ τῆς ναυτιλίας πολλὰ καὶ τὰ περὶ τὰς ὥρας διέταξαν. εὐφυέστατος δὲ γενόμενος Τενάγης ὑπὸ τῶν ἀδελφῶν διὰ φθόνον ἀνῃρέθη· γνωσθείσης δὲ τῆς ἐπιβουλῆς οἱ μετασχόντες τοῦ φόνου πάντες ἔφυγον. τούτων δὲ Μάκαρ μὲν εἰς Λέσβον ἀφίκετο, Κάνδαλος δὲ εἰς τὴν Κῶ· Ἀκτὶς δ' εἰς Αἴγυπτον ἀπάρας ἔκτισε τὴν Ἡλιούπολιν ὀνομαζομένην, ἀπὸ τοῦ πατρὸς θέμενος τὴν προσηγορίαν· οἱ δ' Αἰγύπτιοι ἔμαθον παρ' αὐτοῦ τὰ περὶ τὴν ἀστρολογίαν θεωρήματα. ὕστερον δὲ παρὰ τοῖς Ἕλλησι γενομένου κατακλυσμοῦ, καὶ διὰ τὴν ἐπομβρίαν τῶν πλείστων ἀνθρώπων ἀπολομένων, ὁμοίως τούτοις καὶ τὰ διὰ τῶν γραμμάτων ὑπομνήματα συνέβη φθαρῆναι. δι' ἣν αἰτίαν οἱ Αἰγύπτιοι καιρὸν εὔθετον λαβόντες ἐξιδιοποιήσαντο τὰ περὶ τὴν ἀστρολογίαν, καὶ τῶν Ἑλλήνων διὰ τὴν ἄγνοιαν μηκέτι τῶν γραμμάτων ἀντιποιουμένων ἐνίσχυσεν ὡς αὐτοὶ πρῶτοι τὴν τῶν ἄστρων εὕρεσιν ἐποιήσαντο. ὁμοίως δὲ καὶ Ἀθηναῖοι κτίσαντες ἐν Αἰγύπτῳ πόλιν τὴν ὀνομαζομένην Σάϊν τῆς ὁμοίας ἔτυχον ἀγνοίας διὰ τὸν κατακλυσμόν. δι' ἃς αἰτίας πολλαῖς ὕστερον γενεαῖς Κάδμος ὁ Ἀγήνορος ἐκ τῆς Φοινίκης πρῶτος ὑπελήφθη κομίσαι γράμματα εἰς τὴν

57. καὶ ἐπιθεῖναι (ἐπιθῆναι pr. C, ἐπιτεθῆναι NQ) τότε] ἐπιθεῖναι Eichstadius: Poggius *ab Heliadibus omisso propter festinationem igne immolata hostia* θύματα] προθύματα Eichstadius: nam ἄπυρα fuerunt Rhodiorum sacra, teste Schol. Pindari Ol. 7. 86. et aliis 61. οὖν om. F 65. γενηθέντες CDE, γεννηθέντες ABQ, caeteri γεγονότες 66. παιδείᾳ ABC(D)EG(N)Q, caeteri παιδείας ἀστρολογίᾳ] ἀστρολογίαις N

376. 68. ὥρας] χώρας vertit Poggius *situm terrae* 72. ἀφίκετο om. AD 78. ἀπολομένων] ἀπολλομένων D 79. φθαρῆναι] διαφθαρῆναι AE 81. τὴν ἀστρολογίαν] τῆς ἀστρολογίας ABCEGNQ et D Wesselingii 83. ἐνίσχυσεν Stephanus: libri ἐνίσχυσαν: *accidit ut crederentur* Poggius 84. ὁμοίως] ὡς FG Ἀθηναῖοι] οἱ Ἀθηναῖοι E 85. Σάϊν] Σαΐ B et D Wessel., Σαΐ D Bipont., *urbs nomine Sai* Poggius 87. ἐκ τῆς Φοινίκης asterisco notavit Stephanus, om. Poggius V 88. ὑπελήφθη] ὑπελείφθη D



Ἑλλάδα· καὶ ἀπ' ἐκείνου τὸ λοιπὸν οἱ Ἕλληνες ἔδοξαν ἀεί τι προσευρίσκειν περὶ τῶν γραμμάτων, κοινῆς τινος ἀγνοίας κατεχούσης τοὺς Ἕλληνας. Τριόπας δὲ πλεύσας εἰς τὴν Καρίαν κατέσχεν ἀκρωτήριον τὸ ἀπ' ἐκείνου Τριόπιον κληθέν. οἱ δὲ λοιποὶ τοῦ Ἡλίου παῖδες διὰ τὸ μὴ μετασχεῖν τοῦ φόνου κατέμειναν ἐν τῇ Ῥόδῳ, καὶ κατῴκησαν ἐν τῇ Ἰαλυσίᾳ κτίσαντες πόλιν Ἀχαΐαν. ὧν ὁ πρεσβύτερος Ὄχιμος βασιλεύων ἔγημε μίαν τῶν ἐγχωρίων νυμφῶν Ἡγητορίαν, ἐξ ἧς ἐγέννησε θυγατέρα Κυδίππην τὴν μετὰ ταῦτα Κυρβίαν μετονομασθεῖσαν· ἣν γήμας Κέρκαφος ὁ ἀδελφὸς διεδέξατο τὴν βασιλείαν. μετὰ δὲ τὴν τούτου τελευτὴν διεδέξαντο τὴν ἀρχὴν [οἱ] υἱοὶ τρεῖς, Λίνδος, Ἰάλυσος, Κάμειρος. ἐπὶ δὲ τούτων γενομένης μεγάλης πλημμυρίδος ἐπικλυσθεῖσα ἡ Κύρβη ἔρημος ἐγένετο, αὐτοὶ δὲ διείλοντο τὴν χώραν, καὶ ἕκαστος ἑαυτοῦ πόλιν ὁμώνυμον ἔκτισε.

58 κατὰ δὲ τούτους 377 τοὺς χρόνους Δαναὸς ἔφυγεν ἐξ Αἰγύπτου μετὰ τῶν θυγατέρων· καταπλεύσας δὲ τῆς Ῥοδίας εἰς Λίνδον καὶ προσδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων, ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερὸν καὶ τὸ ἄγαλμα τῆς θεοῦ καθιέρωσε. τῶν δὲ τοῦ Δαναοῦ θυγατέρων τρεῖς ἐτελεύτησαν κατὰ τὴν ἐπιδημίαν τὴν ἐν τῇ Λίνδῳ, αἱ δ' ἄλλαι μετὰ τοῦ πατρὸς Δαναοῦ εἰς Ἄργος ἐξέπλευσαν. μικρὸν δ' ὕστερον τούτων τῶν χρόνων Κάδμος ὁ Ἀγήνορος ἀπεσταλμένος ὑπὸ τοῦ βασιλέως κατὰ ζήτησιν τῆς Εὐρώπης κατέπλευσεν εἰς τὴν Ῥοδίαν· κεχειμασμένος δ' ἰσχυρῶς κατὰ τὸν πλοῦν καὶ πεποιημένος εὐχὰς ἱδρύσασθαι Ποσειδῶνος ἱερόν, διασωθεὶς ἱδρύσατο κατὰ τὴν νῆσον τοῦ θεοῦ τούτου τέμενος καὶ τῶν Φοινίκων ἀπέλιπέ τινας τοὺς ἐπιμελησομένους. οὗτοι δὲ καταμιγέντες Ἰαλυσίοις διετέλεσαν συμπολιτευόμενοι τούτοις· ἐξ ὧν φασι τοὺς ἱερεῖς κατὰ γένος διαδέχεσθαι τὰς ἱερωσύνας. ὁ δ' οὖν Κάδμος καὶ τὴν Λινδίαν Ἀθηνᾶν ἐτίμησεν ἀναθήμασιν, ἐν οἷς

91. Τριόπας] Τρίωψ B 95. Ἰαλυσίᾳ] Ἰλυσίᾳ ABDN Poggius 99. Κυρβίαν] Κύβειαν CQ, Κύρειαν FGQ: Κύρβην Palmerius, qui τὴν — μετονομασθεῖσαν post (96.) Ἀχαΐαν reponit ὁ omisit D 1. οἱ omisit D 2. Ἰάλυσος] Ἴλυσος ABDN Poggius Κάμειρος] Καμίρος A, Κάβειρος M 3. Κύρβη] Κύρβης ABDN, Κύρβις C 4. διείλοντο] διείλαντο AE 5. ἔκτισε] ἔκτισαν B

377. 7. τῆς Ῥοδίας] *Cypri* Poggius 9. τὸ ἄγαλμα] *statuam ingentem* Poggius καθιέρωσε] καθιερώσας F, caeteri καθιέρωσεν 10. τῶν δὲ — 13. τούτων] ἐπὶ δὲ τούτων EN Poggius, „ἐπὶ δὲ τούτων *habet et hic* A" Wessel. τρεῖς — 13. ὕστερον om. D 19. ἐπιμελησομένους] ἐπιλησομένους FG 20. Ἰαλυσίοις] Ἰλυσίοις ABDN

ἦν χαλκοῦς λέβης ἀξιόλογος κατεσκευασμένος εἰς τὸν ἀρχαῖον ῥυθμόν· οὗτος δ' εἶχεν ἐπιγραφὴν Φοινικικοῖς γράμμασιν, ἅ φασι πρῶτον ἐκ Φοινίκης εἰς τὴν Ἑλλάδα κομισθῆναι. μετὰ δὲ ταῦτα τῆς Ῥοδίας γῆς ἀνείσης ὄφεις ὑπερμεγέθεις συνέβη πολλοὺς τῶν ἐγχωρίων ὑπὸ τῶν ὄφεων διαφθαρῆναι. διόπερ οἱ περιλειφθέντες ἔπεμψαν εἰς Δῆλον τοὺς ἐπερωτήσοντας τὸν θεὸν περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς. τοῦ δ' Ἀπόλλωνος προςτάξαντος αὐτοῖς παραλαβεῖν Φόρβαντα μετὰ τῶν συνακολουθούντων αὐτῷ, καὶ μετὰ τούτων κατοικεῖν τὴν Ῥόδον· οὗτος δ' ἦν υἱὸς μὲν Λαπίθου, διέτριβε δὲ περὶ Θετταλίαν μετὰ πλειόνων ζητῶν χώραν εἰς κατοίκησιν· τῶν δὲ Ῥοδίων μεταπεμψαμένων αὐτὸν κατὰ τὴν μαντείαν καὶ μεταδόντων τῆς χώρας, ὁ μὲν Φόρβας ἀνεῖλε τοὺς ὄφεις, καὶ τὴν νῆσον ἐλευθερώσας τοῦ φόβου κατῴκησεν ἐν τῇ Ῥοδίᾳ· γενόμενος δὲ καὶ τἄλλα ἀνὴρ ἀγαθὸς ἔσχε τι-
59 μὰς ἡρωικὰς μετὰ τὴν τελευτήν. ὕστερον δὲ τούτων Ἀλθαιμένης ὁ Κατρέως υἱὸς τοῦ Κρητῶν βασιλέως περὶ τινων χρηστηριαζόμενος ἔλαβε χρησμὸν ὅτι πεπρωμένον ἐστὶν αὐτῷ τοῦ πατρὸς αὐτόχειρα γενέσθαι. βουλόμενος οὖν τοῦτο τὸ μύσος ἐκφυγεῖν ἑκουσίως ἔφυγεν ἐκ τῆς Κρήτης μετὰ τῶν βουλομένων συναπᾶραι. πλειόνων ὄν-
των. οὗτος μὲν οὖν κατέπλευσε τῆς Ῥοδίας εἰς Κάμει- 378
ρον· ἐπὶ δ' ὄρους Ἀταβύρου Διὸς ἱερὸν ἱδρύσατο τοῦ προςαγορευομένου Ἀταβυρίου, ὅπερ ἔτι καὶ νῦν τιμᾶται διαφερόντως, κείμενον ἐπί τινος ὑψηλῆς ἄκρας, ἀφ' ἧς ἔστιν ἀφορᾶν τὴν Κρήτην. ὁ μὲν οὖν Ἀλθαιμένης μετὰ τῶν συνακολουθησάντων κατῴκησεν ἐν τῇ Καμείρῳ τιμώμενος ὑπὸ τῶν ἐγχωρίων· ὁ δὲ πατὴρ αὐτοῦ Κατρεύς, ἔρημος ὢν ἀῤῥένων παίδων καὶ διαφερόντως ἀγαπῶν τὸν Ἀλθαιμένην, ἔπλευσεν εἰς Ῥόδον, φιλοτιμούμενος εὑρεῖν τὸν υἱὸν καὶ ἀπαγαγεῖν εἰς Κρήτην. τῆς δὲ κατὰ τὸ πεπρωμένον ἀνάγκης ἐπισχυούσης, ὁ μὲν Κατρεὺς

23. χαλκοῦς om. CFG, asterisco notavit Stephanus 25. Φοινικικοῖς Ios. Scaliger: libri Φοινικοῖς, *Phoeniceis* Poggius 26. κομισθῆναι CFGM, caeteri addunt τὰ καλούμενα Φοινικικά, quae asterisco notavit Stephanus 27. μετὰ δὲ ταῦτα τῆς Ῥοδίας] τῆς δὲ Ῥοδίας AEN, et μετὰ ταῦτα om. Poggius ὑπερμεγέθεις om. AEN Poggius 28. συνέβη — 29. διαφθαρῆναι] διαφθαρῆναι πολλούς AN 31. προςτάξαντος] τάξαντος FG 34. διέτριβε] διατρίβων ABDEN 37. Φόρβας] Φόρβος N

378. 47. Κάμειρον] Κάβειρον FGM semper Ἀταβύρου B (D)F Poggius Wess., *Acabyrum* meus, Ἀταβυρίου C, caeteri Ἀταμύρου 48. Ἀταβυρίου B(D)M, Ταβυρίου C, caeteri Ἀταμυρίου 49. ὅπερ] διόπερ ABDN 53. 57. Κατρεὺς] Καρεὺς N 57. ἐπισχυούσης ABDEGN, ἐπισχύσης Q, caeteri ἐνισχυούσης



ἀπέβη μετά τινων ἐπὶ τὴν Ῥοδίαν νυκτός, καὶ γενομένης συμπλοκῆς καὶ μάχης πρὸς τοὺς ἐγχωρίους ὁ Ἀλθαιμένης ἐκβοηθῶν ἠκόντισε λόγχῃ καὶ δι' ἄγνοιαν παίσας ἀπέκτεινε τὸν πατέρα. γνωσθείσης δὲ τῆς πράξεως, ὁ μὲν Ἀλθαιμένης οὐ δυνάμενος φέρειν τὸ μέγεθος τῆς συμφορᾶς τὰς μὲν ἀπαντήσεις καὶ ὁμιλίας τῶν ἀνθρώπων παρέκαμπτε, διδοὺς δ' ἑαυτὸν εἰς τὰς ἐρημίας ἠλᾶτο μόνος καὶ διὰ τὴν λύπην ἐτελεύτησεν· ὕστερον δὲ κατά τινα χρησμὸν τιμὰς ἔσχε παρὰ Ῥοδίοις ἡρωικάς. βραχὺ δὲ πρὸ τῶν Τρωικῶν Τληπόλεμος ὁ Ἡρακλέους φεύγων διὰ τὸν Λικυμνίου θάνατον, ὃν ἀκουσίως ἦν ἀνῃρηκώς, ἔφυγεν ἐξ Ἄργους ἑκουσίως· χρησμὸν δὲ λαβὼν ὑπὲρ ἀποικίας μετά τινων λαῶν κατέπλευσεν εἰς τὴν Ῥόδον, καὶ προςδεχθεὶς ὑπὸ τῶν ἐγχωρίων αὐτοῦ κατῴκησε. γενόμενος δὲ βασιλεὺς πάσης τῆς νήσου τήν τε χώραν ἐπ' ἴσης κατεκληρούχησε καὶ τἄλλα διετέλεσεν ἄρχων ἐπιεικῶς. τὸ δὲ τελευταῖον μετ' Ἀγαμέμνονος στρατεύων εἰς Ἴλιον τῆς μὲν Ῥόδου τὴν ἡγεμονίαν παρέδωκε Βούτᾳ τῷ ἐξ Ἄργους αὐτῷ μετασχόντι τῆς φυγῆς, αὐτὸς δ' ἐπιφανὴς ἐν τῷ πολέμῳ γενόμενος ἐτελεύτησεν ἐν τῇ Τρῳάδι.

Ἐπεὶ δὲ ταῖς Ῥοδίων πράξεσι τῆς κατὰ τὴν ἀντι- 60
πέραν Χεῤῥονήσου ἔνια συμπεπλέχθαι συμβέβηκεν, οὐκ ἀνοίκειον ἡγοῦμαι περὶ αὐτῶν διελθεῖν. ἡ Χεῤῥόνησος τοίνυν τὸ παλαιόν, ὡς μέν τινές φασιν, ἀπὸ τῆς φύσεως τοῦ τόπου ὄντος ἰσθμώδους ταύτης ἔτυχε τῆς προςηγορίας· ὡς δέ τινες ἀναγεγράφασιν, ἀπὸ τοῦ δυναστεύσαντος τῶν τόπων ὄνομα Χεῤῥονήσου προςηγόρευται. οὐ πολλῷ δ' ὕστερον τῆς τούτου δυναστείας λέγεται πέντε Κούρητας ἐκ Κρήτης εἰς αὐτὴν περαιωθῆναι· τούτους δ' ἀπογόνους γεγονέναι τῶν ὑποδεξαμένων Δία παρὰ τῆς μητρὸς Ῥέας καὶ θρεψάντων ἐν τοῖς κατὰ τὴν Κρήτην Ἰδαίοις ὄρεσι. στόλῳ δ' ἀξιολόγῳ πλεύσαντας εἰς τὴν Χεῤῥόνησον τοὺς μὲν κατοικοῦντας αὐτὴν
379 Κᾶρας ἐκβαλεῖν, αὐτοὺς δὲ κατοικήσαντας τὴν μὲν χώραν εἰς πέντε μέρη διελεῖν καὶ πόλιν ἕκαστον κτίσαι θέμενον ἀφ' ἑαυτοῦ τὴν προςηγορίαν. οὐ πολὺ δὲ τούτων κατόπιν Ἴναχον τὸν Ἀργείων βασιλέα ἀφανισθείσης

61. Ἀλθαιμένης] Ἀλθεμένης A 64. δ' ἑαυτὸν ACDEN, caeteri δὲ αὐτὸν ἠλᾶτο] ἤλατο D 68. ἐξ Ἄργους] εἰς Ἄργος FG, post ἑκουσίως ponit D 70. κατέπλευσεν] ἀπέπλευσεν N 75. Βούτᾳ] *Buti* Poggius 78. Τρῳάδι] τῷ τῆς Τροίας τόπῳ FGMQ 79. ἀντιπέραν] ἀντιπέρα BD 80. Χεῤῥονήσου] Χεῤῥόνησον D 82. τῆς φ. τοῦ τ.] τοῦ τ. τῆς φ. D 87. ἐκ Κρήτης om. AEGN, asterisco notavit Stephanus 90. πλεύσαντας] πλεύσαντες ABDN

τῆς θυγατρὸς Ἰοῦς ἐξαποστεῖλαι Κύρνον ἕνα τῶν ἡγεμονικῶν ἀνδρῶν, δόντα αὐτῷ στόλον ἀξιόλογον, καὶ προστάξαι ζητεῖν ἐν παντὶ τόπῳ τὴν Ἰώ, καὶ μὴ ἐπανελθεῖν, ἐὰν μὴ ταύτης ἐγκρατὴς γένηται. ὁ δὲ Κύρνος ἐπὶ πολλὰ τῆς οἰκουμένης μέρη πλανηθεὶς καὶ μὴ δυνάμενος εὑρεῖν ταύτην, κατέπλευσε τῆς Καρίας εἰς τὴν προειρημένην Χεῤῥόνησον· ἀπογνοὺς δὲ τὴν εἰς οἶκον ἀνακομιδὴν κατῴκησεν ἐν τῇ Χεῤῥονήσῳ, καὶ τὰ μὲν πείσας τὰ δ' ἀναγκάσας ἐβασίλευσε μέρους τῆς χώρας καὶ πόλιν ἔκτισεν ὁμώνυμον ἑαυτῷ Κύρνον· πολιτευόμενος δὲ δημοτικῶς μεγάλης ἀποδοχῆς ἐτύγχανε παρὰ τοῖς
61 συμπολιτευομένοις. μετὰ δὲ ταῦτα Τριόπαν, ἕνα τῶν Ἡλίου καὶ Ῥόδου παίδων, φεύγοντα τὸν Τενάγεω τοῦ ἀδελφοῦ φόνον εἰς τὴν Χεῤῥόνησον ἀφικέσθαι. ἐνταῦθα δὲ καθαρθέντα τοῦ φόνου ὑπὸ Μελισσέως τοῦ βασιλέως εἰς τὴν Θετταλίαν πλεῦσαι ἐπὶ συμμαχίαν τοῖς Δευκαλίωνος παισί, καὶ συνεκβαλεῖν ἐκ τῆς Θετταλίας τοὺς Πελασγούς, καὶ μερίσασθαι τὸ καλούμενον Δώτιον πεδίον. ἐνταῦθα δὲ τὸ τέμενος τῆς Δήμητρος ἐκκόψαντα τῇ μὲν ὕλῃ καταχρήσασθαι πρὸς βασιλείων κατασκευήν· δι' ἣν αἰτίαν ὑπὸ τῶν ἐγχωρίων μισηθέντα φυγεῖν ἐκ Θετταλίας, καὶ καταπλεῦσαι μετὰ τῶν συμπλευσάντων λαῶν εἰς τὴν Κνιδίαν· ἐν ᾗ κτίσαι τὸ καλούμενον ἀπ' αὐτοῦ Τριόπιον. ἐντεῦθεν δ' ὁρμώμενον τήν τε Χεῤῥόνησον κατακτήσασθαι καὶ τῆς ὁμόρου Καρίας πολλήν. περὶ δὲ τοῦ γένους τοῦ Τριόπα πολλοὶ τῶν συγγραφέων καὶ ποιητῶν διαπεφωνήκασιν· οἱ μὲν γὰρ ἀναγράφουσιν αὐτὸν υἱὸν εἶναι Κανάκης τῆς Αἰόλου καὶ Ποσειδῶνος, οἱ δὲ Λαπίθου τοῦ Ἀπόλλωνος καὶ Στίλβης τῆς Πηνειοῦ.

62 Ἔστι δ' ἐν Καστάβῳ τῆς Χεῤῥονήσου ἱερὸν ἅγιον Ἡμιθέας, ἧς τὴν περιπέτειαν οὐκ ἄξιον παραλιπεῖν. πολλοὶ μὲν οὖν καὶ ποικίλοι λόγοι περὶ αὐτῆς παραδέδονται· τὸν δ' ἐπικρατοῦντα καὶ συμφωνούμενον παρὰ

379. 97. δόντα] δόντος ADN, δ' ὄντ. (sic notatum) C 100. τῆς οἰκ. μέρη] μέρη τῆς οἰκ. D 1. κατέπλευσε] καταπλεῦσαι ABDN Καρίας] Ἰκαρίας BN 8. Τριόπαν] Τρίοπαν D 9. τὸν ante φόνον ponit F Τενάγεω BD, Τεναγεῶτα C, caeteri Τενάγου 10. τὴν om. D 11. τοῦ φόνου] τὸν φόνον DF Μελισσέως] Μελιττέως scribendum videtur 14. Δώτιον] Δότειον AEGQ, Δώτειον D, Doteum Poggius 15. Δήμητρος] Δημήτρας AD 16. καταχρήσασθαι] καταχρῆσθαι ABDEN 19. ἀπ'] ἐπὶ F 22. Τριόπα] Τρίοπος B, Τρίοπα D πολλοὶ] πολὺ A 24. Κανάκης] Κανάχης DN 25. Στίλβης Wesselingius: libri Στίβης 28. μὲν om. D καὶ ποικίλοι λόγοι] λόγοι καὶ ποικίλοι AC αὐτῆς] ταύτης DN



τοῖς ἐγχωρίοις διέξιμεν. Σταφύλου γὰρ καὶ Χρυσοθέμιδός φασι γενέσθαι τρεῖς θυγατέρας Μολπαδίαν καὶ Ῥοιὼ καὶ Παρθένον ὄνομα. καὶ τῇ μὲν Ῥοιοῖ τὸν Ἀπόλλωνα μιγέντα ἔγκυον ποιῆσαι· τὸν δὲ πατέρα αὐτῆς ὡς ὑπ' ἀνθρώπου τῆς φθορᾶς γεγενημένης ὀργισθῆναι, καὶ διὰ
380 τοῦτο τὴν θυγατέρα εἰς λάρνακα συγκλείσαντα βαλεῖν εἰς τὴν θάλατταν. προσενεχθείσης δὲ τῆς λάρνακος τῇ Δήλῳ τεκεῖν ἄῤῥενα, καὶ προσαγορεῦσαι τὸ παιδίον Ἄνιον. τὴν δὲ Ῥοιὼ παραδόξως σωθεῖσαν ἀναθεῖναι τὸ βρέφος ἐπὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος, καὶ ἐπεύξασθαι τῷ θεῷ, εἰ ἔστιν ἐξ ἐκείνου, σώζειν αὐτό. τὸν δ' Ἀπόλλωνα μυθολογοῦσι τότε μὲν κρύψαι τὸ παιδίον, ὕστερον δὲ φροντίσαντα τῆς τροφῆς διδάξαι τὴν μαντικήν, καί τινας αὐτῷ περιτιθέναι μεγάλας τιμάς. τὰς δὲ τῆς φθαρείσης ἀδελφὰς Μολπαδίαν καὶ Παρθένον φυλαττούσας τὸν τοῦ πατρὸς οἶνον, προσφάτως κατ' ἀνθρώπους εὑρημένον, εἰς ὕπνον κατενεχθῆναι· καθ' ὃν δὴ καιρὸν τὰς τρεφομένας παρ' αὐτοῖς ὗς εἰςελθεῖν, καὶ τόν τε ἔχοντα τὸν οἶνον κέραμον συντρῖψαι καὶ τὸν οἶνον διαφθεῖραι. τὰς δὲ παρθένους μαθούσας τὸ γεγονός, καὶ φοβηθείσας τὸ ἀπότομον τοῦ πατρός, φυγεῖν ἐπὶ τὸν αἰγιαλὸν καὶ ἀπό τινων πετρῶν ὑψηλῶν ἑαυτὰς ῥῖψαι. Ἀπόλλωνα δὲ διὰ τὴν οἰκειότητα τὴν πρὸς τὴν ἀδελφὴν ὑπολαβόντα τὰς κόρας εἰς τὰς ἐν Χεῤῥονήσῳ πόλεις καταστῆσαι· καὶ τὴν μὲν ὀνομαζομένην Παρθένον ἐν Βουβαστῷ τῆς Χεῤῥονήσου τιμὰς ἔχειν καὶ τέμενος, Μολπαδίαν δὲ εἰς Κάσταβον ἐλθοῦσαν διὰ τὴν ἀπὸ τοῦ θεοῦ γενομένην ἐπιφάνειαν Ἡμιθέαν ὠνομάσθαι καὶ τιμᾶσθαι παρὰ πᾶσι τοῖς ἐν Χεῤῥονήσῳ. ἐν δὲ ταῖς θυσίαις αὐτῆς διὰ τὸ συμβὰν περὶ τὸν οἶνον πάθος τὰς μὲν σπονδὰς μελικράτῳ ποιοῦσι, τὸν δ' ἁψάμενον ἢ φαγόντα ὑὸς οὐ
νόμιμον προσελθεῖν πρὸς τὸ τέμενος. ἐν δὲ τοῖς ὕστερον 63
χρόνοις ἐπὶ τοσοῦτον ἔλαβε τὸ ἱερὸν αὔξησιν τῆς Ἡμι-

30. διέξιμεν] διέξειμεν D Χρυσοθέμιδος] Χρυσοθέου B, Chrysosteodae Poggius Wesselingii, meus Chrisotheode 31. Μολπαδίαν] Μαλασαδίαν FG, Μαλπαδίαν M 32. Ῥοιώ] Ῥοιῶ DF G Παρθένον] Partheniam Poggius et infra
380. 36. θάλατταν D, caeteri θάλασσαν δὲ τῆς om. D 38. Ῥοιώ] Ῥοιῶ DF σωθεῖσαν] σωθῆναι F 41. τότε μὲν om. FG Poggius 42. παιδίον] πεδίον D φροντίσαντα] φρονήσαντα F 43. τινας] τινα D 46. ὕπνον] ὕπνους F 47. καιρὸν ABDEN, caeteri χρόνον 48. τὸν οἶνον] οἶνον C 51. ἐπὶ] περὶ A 53. τὴν πρὸς τὴν ἀδελφὴν om. FM 55. post Παρθένον inserunt ἐποίησε CDF, delet G 56. Μολπαδίαν] Μαλπαδίαν CF 58. τιμᾶσθαι] τιμᾷ B 60. συμβὰν] συμβαίνειν FG 62. πρὸς om. AN 65. Ἡμιθέας] Ἡμιθέου F

θέας ὥςτε μὴ μόνον παρὰ τοῖς ἐγχωρίοις καὶ τοῖς περιοίκοις τιμᾶσθαι διαφερόντως, ἀλλὰ καὶ τοὺς μακρὰν οἰκοῦντας εἰς αὐτὸ φιλοτίμως φοιτᾶν, καὶ θυσίαις τε μεγαλοπρεπέσι καὶ ἀναθήμασιν ἀξιολόγοις τιμᾶν, τὸ δὲ μέγιστον, Πέρσας ἡγουμένους τῆς Ἀσίας καὶ πάντα τὰ τῶν Ἑλλήνων ἱερὰ συλῶντας μόνου τοῦ τῆς Ἡμιθέας τεμένους ἀποσχέσθαι, τούς τε λῃστὰς τοὺς πάντα διαρπάζοντας μόνον τοῦτο ἀφεῖναι παντελῶς ἄσυλον, καίπερ ἀτείχιστον ὑπάρχον καὶ ἀκίνδυνον ἔχον τὴν ἁρπαγήν. αἰτίαν δὲ τῆς ἐπὶ πλεῖον αὐξήσεως φέρουσι τὴν κοινὴν εἰς ἀνθρώπους εὐεργεσίαν· τοῖς τε γὰρ κάμνουσι κατὰ τοὺς ὕπνους ἐφισταμένην φανερῶς διδόναι τὴν θεραπείαν 381 καὶ πολλοὺς τοῖς ἀπεγνωσμένοις πάθεσι συνεχομένους περιτυχόντας ὑγιασθῆναι· πρὸς δὲ τούτοις τὸ περὶ τὰς δυςτοκούσας τῶν γυναικῶν τῆς ἐν ταῖς ὠδῖσι ταλαιπωρίας καὶ κινδύνων ἀπαλλάττειν τὴν θεόν. διὸ καὶ πολλῶν ἐκ παλαιῶν χρόνων σεσωσμένων πεπλήρωται τὸ τέμενος ἀναθημάτων. καὶ ταῦτα οὔθ᾽ ὑπὸ φυλάκων οὔθ᾽ ὑπὸ τείχους ὀχυροῦ φυλαττόμενα ἀλλ᾽ ὑπὸ τῆς συνήθους δεισιδαιμονίας. περὶ μὲν οὖν Ῥόδου καὶ Χεῤῥονήσου ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι.

64 Περὶ δὲ τῆς Κρήτης νῦν διέξιμεν. οἱ μὲν γὰρ τὴν Κρήτην κατοικοῦντές φασιν ἀρχαιοτάτους παρ᾽ αὐτοῖς γενέσθαι τοὺς ὀνομαζομένους Ἐτεοκρῆτας αὐτόχθονας, ὧν τὸν βασιλέα Κρῆτα καλούμενον πλεῖστα καὶ μέγιστα κατὰ τὴν νῆσον εὑρεῖν τὰ δυνάμενα τὸν κοινὸν τῶν ἀνθρώπων βίον ὠφελῆσαι. καὶ τῶν θεῶν δὲ τοὺς πλείστους μυθολογοῦσι παρ᾽ ἑαυτοῖς γεγονέναι τοὺς διὰ τὰς κοινὰς εὐεργεσίας τυχόντας ἀθανάτων τιμῶν· περὶ ὧν ἡμεῖς ἐν κεφαλαίοις τὰ παραδεδομένα διέξιμεν ἀκολούθως τοῖς ἐνδοξοτάτοις τῶν τὰς Κρητικὰς πράξεις συνταξαμένων. πρῶτοι τοίνυν τῶν εἰς μνήμην παραδεδομένων ᾤκησαν τῆς Κρήτης περὶ τὴν Ἴδην οἱ προςαγορευθέντες Ἰδαῖοι Δάκτυλοι. τούτους δ᾽ οἱ μὲν ἑκατὸν τὸν ἀριθμὸν γεγονέναι παραδεδώκασιν, οἱ δὲ δέκα φασὶν

66. καὶ] ἀλλὰ καὶ N 69. ἀξιολόγοις] ἀξιολόγως F 72. τοὺς πάντα] τὰ πάντα AEN 74. ἔχον] ἔχοντα D

381. 78. συνεχομένους om. CF, asterisco notavit Stephanus 79. τὸ περὶ] haec inutilia 84. φυλαττόμενα] immo φυλάττεται 85. Χεῤῥονήσου] Χερσονήσου A 87. τῆς om. A διέξιμεν] διέξειμεν D 88. παρ᾽ αὐτοῖς om. CF Poggius, post γενέσθαι ponit D 90. τὸν CF, caeteri τὸν μὲν 92. ὠφελῆσαι] ὀφελῆσαι D 93. γεγονέναι] γενέσθαι DN 95. διέξιμεν] διέξειμεν D 98. τῆς Κρήτης om. EFGM Ἴδην] Ἴδον FG 99. δ᾽ οἱ om. C 100. τὸν om. A



ὑπάρχοντας τυχεῖν ταύτης τῆς προςηγορίας, τοῖς ἐν ταῖς χερσὶ δακτύλοις ὄντας ἰσαρίθμους. ἔνιοι δ᾽ ἱστοροῦσιν, ὧν ἐστι καὶ Ἔφορος, τοὺς Ἰδαίους Δακτύλους γενέσθαι μὲν κατὰ τὴν Ἴδην τὴν ἐν Φρυγίᾳ, διαβῆναι δὲ μετὰ Μίνωος εἰς τὴν Εὐρώπην· ὑπάρξαντας δὲ γόητας ἐπιτηδεῦσαι τάς τε ἐπῳδὰς καὶ τελετὰς καὶ μυστήρια, καὶ περὶ Σαμοθρᾴκην διατρίψαντας οὐ μετρίως ἐν τούτοις ἐκπλήττειν τοὺς ἐγχωρίους· καθ᾽ ὃν δὴ χρόνον καὶ τὸν Ὀρφέα, φύσει διαφόρῳ κεχορηγημένον πρὸς ποίησιν καὶ μελῳδίαν, μαθητὴν γενέσθαι τούτων, καὶ πρῶτον εἰς τοὺς Ἕλληνας ἐξενεγκεῖν τελετὰς καὶ μυστήρια. οἱ δ᾽ οὖν κατὰ τὴν Κρήτην Ἰδαῖοι Δάκτυλοι παραδέδονται τήν τε τοῦ πυρὸς χρῆσιν καὶ τὴν τοῦ χαλκοῦ καὶ σιδήρου φύσιν ἐξευρεῖν τῆς Ἀπτεραίων χώρας περὶ τὸν καλούμενον Βερέκυνθον καὶ τὴν ἐργασίαν δι᾽ ἧς κατασκευάζεται· 382 δόξαντας δὲ μεγάλων ἀγαθῶν ἀρχηγοὺς γεγενῆσθαι τῷ γένει τῶν ἀνθρώπων τιμῶν τυχεῖν ἀθανάτων. ἱστοροῦσι δ᾽ αὐτῶν ἕνα μὲν προςαγορευθῆναι Ἡρακλέα, δόξῃ δὲ διενεγκόντα θεῖναι τὸν ἀγῶνα τὸν τῶν Ὀλυμπίων· τοὺς δὲ μεταγενεστέρους ἀνθρώπους διὰ τὴν ὁμωνυμίαν δοκεῖν τὸν ἐξ Ἀλκμήνης συστήσασθαι τὴν τῶν Ὀλυμπίων θέσιν. σημεῖα δὲ τούτων φασὶ διαμένειν τὸ πολλὰς τῶν γυναικῶν ἔτι καὶ νῦν λαμβάνειν ἐπῳδὰς ἀπὸ τούτου τοῦ θεοῦ καὶ περιάμματα ποιεῖν, ὡς γεγονότος αὐτοῦ γόητος καὶ τὰ περὶ τὰς τελετὰς ἐπιτετηδευκότος· ἃ δὴ πλεῖστον κεχωρίσθαι τῆς Ἡρακλέους συνηθείας τοῦ γεγονότος ἐξ Ἀλκμήνης.

65 μετὰ δὲ τοὺς Ἰδαίους Δακτύλους ἱστοροῦσι γενέσθαι Κούρητας ἐννέα. τούτους δ᾽ οἱ μὲν μυθολογοῦσι γεγονέναι γηγενεῖς, οἱ δ᾽ ἀπογόνους τῶν Ἰδαίων Δακτύλων. κατοικεῖν δ᾽ αὐτοὺς τῶν ὀρῶν τοὺς συνδένδρους καὶ φαραγγώδεις τόπους καὶ τὸ σύνολον τοὺς ἔχοντας σκέπην καὶ ὑπόδυσιν φυσικήν, διὰ τὸ μήπω κατασκευὰς οἰκιῶν εὑρῆσθαι. διενεγκόντας δ᾽ αὐτοὺς

3. ὧν — Ἔφορος om. FM, asterisco notat Stephanus 5. Μίνωος] Μύγδονος BCD, Μυγδώνος FG, Mygdono Poggius 12. κατὰ τὴν Κρήτην om. AN 14. Ἀπτεραίων CFG, Ἀντισαπτερέων AEN, ἀντὶ σαπτερέων D, caeteri Ἀντισαπτεραίων: τῆς — χώρας om. Poggius

382. 17. τιμῶν om. C 18. αὐτῶν] αὐτὸν N 19. τὸν τῶν CD, caeteri τῶν 21. συστήσασθαι τὴν τῶν Ὀ. θέσιν (D)FG, τὴν τῶν Ὀ. εὑρεῖν θέσιν AENQ, caeteri συστήσασθαι τῶν τὴν Ο. θέσιν 22. σημεῖα δὲ τούτων φασὶ ACDEG, caeteri φασὶ δὲ σημεῖα τούτων 23. τὸ πολλὰς] τὸ παλαιὸν πολλὰς ABDGN Poggius 25. ἐπιτετηδευκότος] ἐπιτετηδευκότας B 32. τόπους om. AN 33. οἰκιῶν] οἰκειῶν C 34. διενεγκόντας ABDEN, caeteri διενέγκαντας

συνέσει πολλὰ τῶν κοινῇ χρησίμων καταδεῖξαι· τάς τε γὰρ ποίμνας τῶν προβάτων τούτους ἀθροῖσαι πρώτους καὶ τὰ γένη τῶν ἄλλων βοσκημάτων ἐξημερῶσαι καὶ τὰ περὶ τὰς μελιττουργίας καταδεῖξαι. ὁμοίως δὲ καὶ τὰ περὶ τὴν τοξικὴν καὶ τὰς κυνηγίας εἰςηγήσασθαι, καὶ τῆς πρὸς ἀλλήλους κοινῆς ὁμιλίας καὶ συμβιώσεως ἔτι δ' ὁμονοίας καί τινος εὐταξίας ἀρχηγοὺς γενέσθαι. εὑρεῖν δὲ καὶ ξίφη καὶ κράνη καὶ τὰς ἐνοπλίους ὀρχήσεις, δι' ὧν ποιοῦντας μεγάλους ψόφους ἀπατᾶν τὸν Κρόνον. φασὶ δ' αὐτοὺς τὸν Δία λάθρᾳ τοῦ πατρὸς Κρόνου παραδούσης Ῥέας τῆς μητρὸς ὑποδέξασθαι καὶ θρέψαι· περὶ οὗ τὰ κατὰ μέρος μέλλοντας ἡμᾶς δηλοῦν ἀναγκαῖον ἀναλαβεῖν μικρὸν ἀνωτέρω τὴν διήγησιν.

66 Μυθολογοῦσι γὰρ οἱ Κρῆτες γενέσθαι κατὰ τὴν τῶν Κουρήτων ἡλικίαν τοὺς καλουμένους Τιτᾶνας. τούτους δὲ τῆς Κνωσίας χώρας ἔχειν τὴν οἴκησιν ὅπουπερ ἔτι καὶ νῦν δείκνυται θεμέλια Ῥέας οἰκόπεδα καὶ κυπαρίττων ἄλσος ἐκ παλαιοῦ χρόνου ἀνειμένον. ὑπάρξαι δὲ τὸν ἀριθμὸν ἓξ μὲν ἄνδρας, πέντε δὲ γυναῖκας, ὡς μέν τινες μυθολογοῦσιν, Οὐρανοῦ καὶ Γῆς ὄντας, ὡς δέ τινές φασιν, ἔκ τινος τῶν Κουρήτων καὶ μητρὸς Τιταίας, 383 ἀφ' ἧς αὐτοὺς ταύτης τετευχέναι τῆς προςηγορίας. ἄῤῥενας μὲν οὖν γενέσθαι τόν τε Κρόνον καὶ Ὑπερίονα καὶ Κοῖον ἔτι δὲ Ἰαπετὸν καὶ Κρεῖον καὶ τὸ τελευταῖον Ὠκεανόν, ἀδελφὰς δὲ τούτων τήν τε Ῥέαν καὶ Θέμιν καὶ Μνημοσύνην ἔτι δὲ Φοίβην καὶ Τηθύν. ὧν ἕκαστόν τινων εὑρετὴν γενέσθαι τοῖς ἀνθρώποις, καὶ διὰ τὴν εἰς ἅπαντας εὐεργεσίαν τυχεῖν τιμῶν καὶ μνήμης ἀενάου. τὸν μὲν οὖν Κρόνον ὄντα πρεσβύτατον βασιλέα γενέσθαι, καὶ τοὺς καθ' ἑαυτὸν ἀνθρώπους ἐξ ἀγρίου διαίτης εἰς βίον ἥμερον μεταστῆσαι, καὶ διὰ τοῦτο ἀποδοχῆς μεγάλης τυχόντα πολλοὺς ἐπελθεῖν τῆς οἰκουμένης τόπους. εἰςηγήσασθαι δ' αὐτὸν ἅπασι τήν τε δικαιοσύνην καὶ τὴν ἁπλότητα τῆς ψυχῆς. διὸ καὶ τοὺς ἐπὶ Κρόνου γενομένους ἀνθρώπους παραδεδόσθαι τοῖς μεταγενεστέροις εὐήθεις καὶ ἀκάκους παντελῶς ἔτι δ' εὐδαίμονας γεγονότας. δυναστεῦσαι δ' αὐτὸν μάλιστα τῶν πρὸς ἑσπέραν τόπων καὶ μεγίστης ἀξιωθῆναι τιμῆς. διὸ καὶ μέχρι τῶν νεωτέρων χρόνων παρὰ Ῥωμαίοις καὶ Καρχηδονίοις, ὅτε ἦν ἡ πόλις αὕτη, ἔτι δὲ καὶ τοῖς ἄλλοις τοῖς πλησιοχώροις ἔθνεσιν ἐπιφανεῖς ἑορτὰς καὶ θυσίας γενέσθαι τούτῳ τῷ θεῷ καὶ πολλοὺς τόπους ἐπωνύμους αὐτοῦ γενέσθαι. διὰ δὲ τὴν ὑπερβολὴν τῆς εὐνομίας ἀδίκημα μὲν μηδὲν ὅλως ὑπὸ μηδενὸς συντελεῖσθαι, πάντας δὲ τοὺς ὑπὸ τὴν ἡγεμονίαν τούτου τεταγμένους μακάριον βίον ἐζηκέναι, πάσης ἡδονῆς ἀνεμποδίστως ἀπολαύοντας. περὶ δὲ τούτων καὶ τὸν ποιητὴν Ἡσίοδον ἐπιμαρτυρεῖν ἐν τοῖςδε τοῖς ἔπεσιν·

οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν,
ὥςτε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων.
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργα νέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν,
ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.

περὶ μὲν οὖν Κρόνου τοιαῦτα μυθολογοῦσιν.

Ὑπερίονα δέ φασι τοῦ τε ἡλίου τὴν κίνησιν καὶ σε- 67
384 λήνης καὶ τῶν ἄλλων ἄστρων ἔτι δὲ τὰς ὥρας τὰς συν-
τελουμένας ὑπὸ τούτων πρῶτον ἐξ ἐπιμελείας καὶ παρα-
τηρήσεως κατανοήσαντα τοῖς ἄλλοις εἰς γνῶσιν παρα-

37. μελιττουργίας] μελισσουργίας omnes 43. ἀπατᾶν ABD, caeteri ἐξαπατᾶν 45. Ῥέας C, caeteri τῆς Ῥέας 46. ἡμᾶς] ἡμῖν F 50. Κνωσίας CD, Gnosia Poggius, caeteri Κνωσσίας 51. καὶ κυπ.] κυπ. CF κυπαρίττων] κυπαρίσσων omnes 52. παλαιοῦ χρόνου ABCDEN, caeteri παλαιῶν χρόνων

383. 56. τετευχέναι] τετυχηκέναι ABN 57. ἄῤῥενας] ἄρσενας omnes Ὑπερίονα] Ὑπερίωνα D 58. Κοῖον] Κόϊον D, Conis Poggius Κρεῖον] Κρειὸν D, Creius Poggius, caeteri Κριὸν τὸ] τὸν B, om. CF, asterisco notat Stephanus 60. ὧν] οἷς N 62. ἀενάου D, caeteri ἀεννάου 66. τῆς οἰ. τόπους] τόπους τῆς οἰ. D

70. παντελῶς om. FM, asterisco notavit Stephanus 74. ἔτι δὲ καὶ] ἔτι δὲ D 77. αὐτοῦ] αὐτῷ CFG 83. οὐρανῷ ἐμβ.] οὐρανὸς ἐβ. D 84. δ' ἔζωον,] δ' ἔζων ὃς D, ζώεσκον CFGMQ 85. ἄτερ τε] ἄτερ γε ABD πόνων — δειλὸν] κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο Νούσων τ' ἀργαλέων (αἵ τ' ἀνδράσι πῆμα φέρουσι addit B) καὶ ἀπήμονες (om. B.), οὐδὲ μέλεσσι BCDFGMQ 86. αἰεὶ] ἀεὶ D 87. ἁπάντων] ἐόντες BCDGMQ 88. ὡς] ὡς θ' D δεδμημένοι om. D ἐσθλὰ δὲ (ἐσθλά τε N) πάντα] ἄλλα τε πολλὰ BCDG, ἄλλα πάντα M 89. ἔην] ἐπῆν D δ' ἔφερε] τ' ἔφερεν D ζείδωρος] ζείδορος D 90. πολλόν τε καὶ] πολλῶν τε D ἐθελημοὶ] ἐπὶ γαίῃ BCDGM 91. ἥσυχοι] εὔφρονες BCDGM ἔργα νέμοντο] ἔργα νεύμοντο N, ἔργα ἐνέμοντο C, ἄρ' ἐνέμοντο GM, ἔργ' ἐνέμοντο BD ἐσθλοῖσι omnes 92. ἀφνειοὶ — θεοῖσι om. N, asterisco notavit Stephanus 93. τοιαῦτα ACDE, *huiuscemodi* Poggius, caeteri ταῦτα 94. τοῦ] τὸν F

384. 95. ἄστρων] ἀστέρων BDN 97. κατανοήσαντα] ἐπικατανοήσαντα ABDEN

δοῦναι, καὶ διὰ τοῦτο αὐτὸν πατέρα τούτων ὀνομασθῆναι, καθαπερεὶ γεγεννηκότα τὴν τούτων θεωρίαν καὶ φύσιν. καὶ Κοίου μὲν καὶ Φοίβης Λητὼ γενέσθαι, Ἰαπετοῦ δὲ Προμηθέα τὸν παραδεδομένον μὲν ὑπό τινων μυθογράφων ὅτι τὸ πῦρ κλέψας παρὰ τῶν θεῶν ἔδωκε τοῖς ἀνθρώποις, πρὸς ἀλήθειαν δ' εὑρετὴν γενόμενον τῶν πυρείων, ἐξ ὧν ἐκκαίεται τὸ πῦρ. τῶν δὲ Τιτανίδων φασὶ Μνημοσύνην λογισμοὺς εὑρεῖν καὶ τὰς τῶν ὀνομάτων θέσεις ἑκάστῳ τῶν ὄντων τάξαι, δι' ὧν καὶ δηλοῦμεν ἕκαστα καὶ πρὸς ἀλλήλους ὁμιλοῦμεν· ἅ τινες τὸν Ἑρμῆν φασιν εἰςηγήσασθαι. προςάπτουσι δὲ τῇ θεῷ ταύτῃ καὶ τὰ πρὸς ἀνανέωσιν καὶ μνήμην γινόμενα παρὰ τοῖς ἀνθρώποις, ἀφ' ὧν δὴ καὶ τῆς προςηγορίας τυχεῖν αὐτὴν ταύτης. Θέμιν δὲ μυθολογοῦσι μαντείας καὶ θυσίας καὶ θεσμοὺς τοὺς περὶ τῶν θεῶν πρώτην εἰςηγήσασθαι καὶ τὰ περὶ τὴν εὐνομίαν καὶ εἰρήνην καταδεῖξαι. διὸ καὶ θεσμοφύλακας καὶ θεσμοθέτας ὀνομάζεσθαι τοὺς τὰ περὶ τοὺς θεοὺς ὅσια καὶ τοὺς τῶν ἀνθρώπων νόμους διαφυλάττοντας· καὶ τὸν Ἀπόλλω καθ' ὃν δὴ χρόνον τοὺς χρησμοὺς διδόναι μέλλει θεμιστεύειν λέγομεν ἀπὸ τοῦ τὴν Θέμιν εὑρέτριαν γεγονέναι τῶν χρησμῶν. οὗτοι μὲν οὖν οἱ θεοὶ πολλὰ τὸν ἀνθρώπινον βίον εὐεργετήσαντες οὐ μόνον ἀθανάτων τιμῶν ἠξιώθησαν, ἀλλὰ καὶ πρῶτοι τὸν Ὄλυμπον ἐνομίσθησαν οἰκεῖν μετὰ τὴν ἐξ ἀνθρώπων μετάστασιν.

68 Κρόνου δὲ καὶ Ῥέας λέγεται γενέσθαι τήν τε Ἑστίαν καὶ Δήμητραν καὶ Ἥραν ἔτι δὲ Δία καὶ Ποσειδῶνα καὶ Ἅιδην. τούτων δὲ λέγεται τὴν μὲν Ἑστίαν τὴν τῶν οἰκιῶν κατασκευὴν εὑρεῖν, καὶ διὰ τὴν εὐεργεσίαν ταύτην παρὰ πᾶσι σχεδὸν ἀνθρώποις ἐν πάσαις οἰκίαις καθιδρυθῆναι τιμῶν καὶ θυσιῶν τυγχάνουσαν· Δήμητραν δέ, τοῦ σίτου φυομένου μὲν ὡς ἔτυχε μετὰ τῆς ἄλλης βοτάνης, ἀγνοουμένου δὲ παρ' ἀνθρώποις, πρώτην συγκομίσαι καὶ τὴν κατεργασίαν αὐτοῦ καὶ φυλακὴν ἐπινοῆσαι καὶ σπείρειν καταδεῖξαι. εὑρεῖν μὲν οὖν αὐτὴν 385 τὸν σῖτον πρὸ τοῦ γεννῆσαι τὴν θυγατέρα Περσεφόνην, μετὰ δὲ τὴν ταύτης γένεσιν καὶ τὴν ὑπὸ Πλούτωνος

100. *Κοίου*] *Κίνου* F, *κείνου* G, *Saturno* Poggius *Λητὼ*] *Ἀητοῦν* C, *Ἀντοῦν* FG 3. *δ'* post *πρὸς* ponunt AD 4. *ἐκκαίεται*] *ἐκκαίεσθαι* N 16. *Ἀπόλλω* ABDN, caeteri *Ἀπόλλωνα* 17. *μέλλει*] *μέλλειν* BD 18. *γεγονέναι*] *γενέσθαι* AN 25. *Δήμητραν*] *Δημήτραν* D, caeteri *Δήμητρα* 28. *πάσαις*] malim *ταῖς* 29. *Δήμητραν*] *Δημήτραν* D, *Δήμητρα* B 32. *καὶ φυλακὴν* om. FM, asterisco notavit Stephanus

385. 34. *Περσεφόνην*] *Φερσεφόνην* DE



ἁρπαγὴν ἐμπρῆσαι πάντα τὸν καρπὸν διά τε τὴν ἔχθραν τὴν πρὸς τὸν Δία καὶ τὴν ἐπὶ τῇ θυγατρὶ λύπην. μετὰ δὲ τὴν εὕρεσιν τῆς Περσεφόνης διαλλαγῆναί τε τῷ Διὶ καὶ τῷ Τριπτολέμῳ ἀποδοῦναι τὸν τοῦ σίτου σπόρον, ᾧ συντάξαι πᾶσιν ἀνθρώποις μεταδοῦναι τῆς τε δωρεᾶς καὶ τὰ περὶ τὴν ἐργασίαν τοῦ σπόρου διδάξαι. λέγουσι δέ τινες ὅτι καὶ νόμους εἰςηγήσατο, καθ' οὓς ἀλλήλοις τὸ δίκαιον διδόναι συνειθίσθησαν ἄνθρωποι, καὶ τὴν παραδοῦσαν αὐτοῖς θεὰν ἀπὸ τούτων θεσμοφόρον προςηγόρευσαν. μεγίστων γὰρ ἀνθρώποις ἀγαθῶν αἰτίαν γενομένην ἐπιφανεστάτων τυχεῖν τιμῶν καὶ θυσιῶν ἔτι δ' ἑορτῶν καὶ πανηγύρεων μεγαλοπρεπῶν οὐ παρ' Ἕλλησι μόνον ἀλλὰ καὶ παρὰ πᾶσι σχεδὸν τοῖς βαρβάροις, ὅσοι τῆς τροφῆς ταύτης ἐκοινώνησαν.

Ἀμφιςβητοῦσι δὲ περὶ τῆς εὑρέσεως τοῦ καρποῦ 69
τούτου πολλοί, τὴν θεὸν φάμενοι παρ' ἑαυτοῖς πρώτοις ὀφθῆναι καὶ τὴν τούτου φύσιν τε καὶ χρῆσιν καταδεῖξαι. Αἰγύπτιοι μὲν γὰρ λέγουσι τήν τε Δήμητραν καὶ τὴν Ἶσιν τὴν αὐτὴν εἶναι, καὶ εἰς Αἴγυπτον ἐνεγκεῖν πρώτην τὸ σπέρμα, ἀρδεύοντος μὲν εὐκαίρως τὰ πεδία τοῦ Νείλου ποταμοῦ, ταῖς δ' ὥραις ἄριστα τῆς χώρας ταύτης κεκραμένης. τοὺς δὲ Ἀθηναίους, καίπερ ἀποφαινομένους τὴν εὕρεσιν τοῦ καρποῦ τούτου γεγενημένην παρ' αὐτοῖς, ὅμως μαρτυρεῖν αὐτὸν ἑτέρωθεν κεκομισμένον εἰς τὴν Ἀττικήν· τὸν γὰρ τόπον τὸν ἐξ ἀρχῆς δεξάμενον τὴν δωρεὰν ταύτην Ἐλευσῖνα προςαγορεύειν ἀπὸ τοῦ παρ' ἑτέρων ἐλθεῖν τὸ σπέρμα τοῦ σίτου κομισθέν. οἱ δὲ Σικελιῶται, νῆσον ἱερὰν Δήμητρος καὶ Κόρης οἰκοῦντες, εἰκὸς εἶναί φασι τὴν δωρεὰν ταύτην πρώτοις τοῖς τὴν προςφιλεστάτην χώραν νεμομένοις δοθῆναι. ἄτοπον μὲν γὰρ ὑπάρχειν εὐκαρποτάτην αὐτὴν ὡς ἰδίαν

37. *τῇ* om. A 38. *Περσεφόνης*] *Φερσεφόνης* DE 39. *ἀποδοῦναι* ABDEGNQ, caeteri *δοῦναι* 43. *συνειθίσθησαν*] *συνηθίσθησαν* C 44. *αὐτοῖς*] *αὐτοὺς* ABEN *θεσμοφόρον* post *θεὰν* ponit D 45. *μεγίστων*] *μέγιστον* C, *μεγίστην* FG *ἀνθρώποις ἀγαθῶν*] invertit D 47. *δ'*] *τε* D *μεγαλοπρεπῶν* ABDEGNQ, caeteri *μεγαλοπρεπεστάτων* 52. *ἑαυτοῖς*] *αὐτοῖς* D 54. *Δήμητραν*] *Δημήτραν* D 55. *πρώτην* om. FGM, post *σπέρμα* ponit C, asterisco notavit Stephanus *τὸ σπέρμα* om. AN 56. *ἀρδεύοντος*] *ἀρδεύοντα* A 58. *κεκραμένης*] *κεκραμέναις* N 63. *τὸ σπέρμα τοῦ σίτου κομισθέντος*] *τὸν τὸ σπέρμα τοῦ σίτου κομισθέντος* (DN?), *τὸν τὸ σπέρμα τοῦ σίτου κομίσαντα* M, quantum ex annotatione Wesselingii colligitur, *τὸν κομίσαντα τὸ σπέρμα τοῦ σίτου* idem secundum varietatem scripturae, *τὸ σπέρμα τοῦ σίτου κομίσαντα* Q, *τὸ σπέρμα τοῦ σίτου κομίσαντας* C: *eo quod ab aliis id semen ad eam oram sit asportatum* Poggius: scripsi *κομισθέν* 64. *Δήμητρος*] *Δημῆτρος* D

ποιῆσαι, τῆς δ' εὐεργεσίας ὡς μηδὲν προσηκούσῃ μηδ' ἐσχάτῃ μεταδοῦναι, καὶ ταῦτ' ἐν αὐτῇ τὴν οἴκησιν ἐχουσαν, εἴπερ καὶ τῆς Κόρης τὴν ἁρπαγὴν ἐν τῇ νήσῳ ταύτῃ γεγονέναι συμπεφώνηται. εἶναι δὲ καὶ τὴν χώραν 386 οἰκειοτάτην τούτοις τοῖς καρποῖς, ἐν ᾗ καὶ τὸν ποιητὴν λέγειν,

ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται,
πυροὶ καὶ κριθαί.

περὶ μὲν οὖν Δήμητρος τοιαῦτα μυθολογοῦσι.

Τῶν δ' ἄλλων θεῶν τῶν ἐκ Κρόνου καὶ Ῥέας γενομένων φασὶν οἱ Κρῆτες Ποσειδῶνα μὲν πρῶτον χρήσασθαι ταῖς κατὰ θάλατταν ἐργασίαις, καὶ στόλους συστήσασθαι, παραδόντος αὐτῷ τὴν ἡγεμονίαν ταύτην τοῦ Κρόνου. διὸ καὶ παραδίδοσθαι τοῖς ἐπιγινομένοις τοῦτον κύριον ὑπάρχειν τῶν κατὰ θάλατταν πραττομένων καὶ θυσίαις ὑπὸ τῶν ναυτιλλομένων τιμᾶσθαι. προσάπτουσι δ' αὐτῷ καὶ τὸ τοὺς ἵππους δαμάσαι πρῶτον καὶ τὴν ἐπιστήμην καταδεῖξαι τὴν περὶ τὴν ἱππικήν, ἀφ' ἧς ἵππειον αὐτὸν ὠνομάσθαι. τὸν δ' ᾍδην λέγεται τὰ περὶ τὰς ταφὰς καὶ τὰς ἐκφορὰς καὶ τιμὰς τῶν τεθνεώτων καταδεῖξαι, τὸν πρὸ τοῦ χρόνον μηδεμιᾶς οὔσης ἐπιμελείας περὶ αὐτούς. διὸ καὶ τῶν τετελευτηκότων ὁ θεὸς οὗτος παρείληπται κυριεύειν, ἀπονεμηθείσης τὸ παλαιὸν αὐτῷ τῆς τούτων ἀρχῆς καὶ φροντίδος.

70 Περὶ δὲ τῆς τοῦ Διὸς γενέσεώς τε καὶ βασιλείας διαφωνεῖται· καί τινες μέν φασιν αὐτὸν μετὰ τὴν ἐξ ἀνθρώπων τοῦ Κρόνου μετάστασιν εἰς θεοὺς διαδέξασθαι τὴν βασιλείαν οὐ βίᾳ κατισχύσαντα τὸν πατέρα, νομίμως δὲ καὶ δικαίως ἀξιωθέντα ταύτης τῆς τιμῆς· τινὲς δὲ μυθολογοῦσι τῷ Κρόνῳ γενέσθαι λόγιον περὶ τῆς τοῦ Διὸς γενέσεως, ὅτι παραιρήσεται τὴν βασιλείαν αὐτοῦ βιαίως ὁ γεννηθεὶς παῖς. διόπερ τὸν μὲν Κρόνον τὰ γεννώμενα παιδία πλεονάκις ἀφανίζειν, τὴν δὲ Ῥέαν ἀγανακτήσασαν, καὶ μὴ δυναμένην μεταθεῖναι τὴν προαίρεσιν τἀνδρός, τὸν Δία τεκοῦσαν ἐν τῇ προσαγορευο-

68. προσηκούσῃ F, caeteri προσηκούσης μηδ' om. Poggius, et patet sententiam evertere 70. εἴπερ] ἤπερ D τὴν DFG, caeteri praemittunt ταύτης, quod asterisco notavit Stephanus, neglexit etiam Poggius

386. 72. τὸν om. F 76. μυθολογοῦσι] μυθολογεῖται CGQ 79. θάλατταν D, caeteri θάλασσαν στόλους] τὸ λοιπὸν G 82. θάλατταν ABDF, caeteri θάλασσαν 83. αὐτῷ] αὐτὸ D 85. ἵππειον] ἵππιον ADE 86. ᾍδην] Ἀΐδη D, Δίκτην F 97. Διὸς] θεοῦ F, notavit Stephanus 98. παραιρήσεται ABDEGN, caeteri παρελεῖται 100. πλεονάκις] πολλάκις BF 2. προσαγορευομένῃ ABC(D)EG(N), caeteri προειρημένῃ



μένῃ Δίκτῃ κλέψαι καὶ δοῦναι λάθρᾳ τοῖς Κούρησιν ἐκθρέψαι τοῖς κατοικοῦσι πλησίον ὄρους τῆς Ἴδης. τούτους δ' ἀπενέγκαντας εἴς τι ἄντρον παραδοῦναι ταῖς νύμφαις, παρακελευσαμένους τὴν πᾶσαν ἐπιμέλειαν αὐτοῦ ποιεῖσθαι. αὗται δὲ μέλι καὶ γάλα μίσγουσαι τὸ παιδίον ἔθρεψαν καὶ τῆς αἰγὸς τῆς ὀνομαζομένης Ἀμαλθείας τὸν μαστὸν εἰς διατροφὴν παρείχοντο. σημεῖα δὲ πολλὰ μέχρι τοῦ νῦν διαμένειν τῆς γενέσεως καὶ διατροφῆς τοῦ θεοῦ τούτου κατὰ τὴν νῆσον. φερομένου μὲν γὰρ ὑπὸ τῶν Κουρήτων αὐτοῦ νηπίου φασὶν ἀποπεσεῖν τὸν ὀμφαλὸν περὶ τὸν ποταμὸν τὸν καλούμενον Τρίτωνα, καὶ τὸ χωρίον τε τοῦτο τὸ καθιερωθὲν ἀπὸ τοῦ τότε συμβάντος Ὀμφαλὸν προσαγορευθῆναι καὶ τὸ περικείμενον πεδίον ὁμοίως Ὀμφάλειον· κατὰ δὲ τὴν Ἴδην, ἐν ᾗ συνέβη τραφῆναι τὸν θεόν, τό τε ἄντρον ἐν ᾧ τὴν δίαιταν εἶχε καθιέρωται καὶ οἱ περὶ αὐτὸ λειμῶνες ὁμοίως 387 ἀνεῖνται περὶ τὴν ἀκρώρειαν ὄντες. τὸ δὲ πάντων παραδοξότατον καὶ μυθολογούμενον περὶ τῶν μελιττῶν οὐκ ἄξιον παραλιπεῖν. τὸν γὰρ θεόν φασιν ἀθάνατον μνήμην τῆς πρὸς αὐτὰς οἰκειότητος διαφυλάξαι βουλόμενον ἀλλάξαι μὲν τὴν χρόαν αὐτῶν καὶ ποιῆσαι χαλκῷ χρυσοειδεῖ παραπλησίαν· τοῦ τόπου δ' ὄντος ὑψηλοῦ καθ' ὑπερβολήν, καὶ πνευμάτων τε μεγάλων ἐν αὐτῷ γινομένων καὶ χιόνος πολλῆς πιπτούσης, ἀνεπαισθήτους αὐτὰς καὶ ἀπαθεῖς ποιῆσαι, δυσχειμερωτάτους τόπους νεμομένας. τῇ θρεψάσῃ δ' αἰγὶ τιμάς τέ τινας ἄλλας ἀπονεῖμαι καὶ τὴν ἐπωνυμίαν ἀπ' αὐτῆς λαβεῖν, αἰγίοχον ἐπονομασθέντα. ἀνδρωθέντα δ' αὐτόν φασι πρῶτον πόλιν κτίσαι περὶ τὴν Δίκταν, ὅπου καὶ τὴν γένεσιν αὐτοῦ γενέσθαι μυθολογοῦσιν· ἧς ἐκλειφθείσης ἐν τοῖς ὕστερον χρόνοις διαμένειν ἔτι καὶ νῦν ἔρματα τῶν θεμελίων.

71 Διενέγκαι δὲ τὸν θεὸν τοῦτον ἁπάντων ἀνδρείᾳ καὶ συνέσει καὶ δικαιοσύνῃ καὶ ταῖς ἄλλαις ἁπάσαις ἀρεταῖς.

Δίκτῃ CFG, caeteri Ἴδῃ 6. ποιεῖσθαι ABDEN, caeteri ποιήσασθαι 8. Ἀμαλθείας B(DN), caeteri Ἀμαλθαίας 10. διαμένειν] διαμένει F διατροφῆς] τροφῆς C 13. Τρίτωνα] Τρίτον ACDEN 14. τε τοῦτο] libri δὲ τοῦτο: *ex qua et ora illa — Omphalia — et propinquus ager* Poggius τὸ deleverim 18. αὐτὸ(N) Meursius, αὐτῷ C, caeteri αὐτὸν λειμῶνες AC(D) Poggius, caeteri λιμένες

387. 19. πάντων] παράπαν ABN 22. αὐτὰς AB(DN) Poggius, caeteri αὐτοὺς 24. χρυσοειδεῖ] χρυσοειδῆ D τοῦ] καὶ τοῦ D 27. δυσχ.] εἰς τοὺς δυσχ. ABDE 30. ἀνδρωθέντα δ' αὐτόν φασι] φασὶ δ' αὐτὸν AEN 31. περὶ ABC(D) E(N)Q, caeteri παρὰ περὶ τὴν Δίκταν] *in Ida* Poggius 35. τοῦτον] τούτων D καὶ σ. καὶ δ. om. ADN

διὸ καὶ παραλαβόντα τὴν βασιλείαν παρὰ τοῦ Κρόνου πλεῖστα καὶ μέγιστα τὸν ἀνθρώπινον βίον εὐεργετῆσαι. πρῶτον μὲν γὰρ ἁπάντων καταδεῖξαι περὶ τῶν ἀδικημάτων τὸ δίκαιον ἀλλήλοις διδόναι τοὺς ἀνθρώπους καὶ τοῦ βίᾳ τι πράττειν ἀποστῆναι, κρίσει δὲ καὶ δικαστηρίῳ τὰς ἀμφιςβητήσεις διαλύειν. καθόλου δὲ τὰ περί τε τῆς εὐνομίας καὶ τῆς εἰρήνης προςαναπληρῶσαι, τοὺς μὲν ἀγαθοὺς πείθοντα, τοὺς δὲ φαύλους τῇ τιμωρίᾳ καὶ τῷ φόβῳ καταπληττόμενον. ἐπελθεῖν δ' αὐτὸν καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν τοὺς μὲν λῃστὰς καὶ ἀσεβεῖς ἀναιροῦντα, τὴν δ' ἰσότητα καὶ τὴν δημοκρατίαν εἰςηγούμενον· ὅτε δή φασιν αὐτὸν καὶ τοὺς γίγαντας ἀνελεῖν, ἐν μὲν Κρήτῃ τοὺς περὶ Μύλινον, κατὰ δὲ τὴν Φρυγίαν τοὺς περὶ Τυφῶνα. πρὸ δὲ τῆς μάχης τῆς πρὸς τοὺς γίγαντας τοὺς ἐν Κρήτῃ λέγεται τὸν Δία θῦσαι ἡλίῳ καὶ οὐρανῷ καὶ γῇ· ἐπὶ δὲ τῶν ἱερῶν ἁπάντων φανῆναι τὰ παρὰ τούτων ἐπικριθέντα, πρῶτον ἐπισημαίνεται κράτος καὶ ἀπόστασις ἀπὸ τῶν πολεμίων πρὸς αὐτούς· ἀκόλουθον δὲ τούτοις γενέσθαι τοῦ πολέμου τὸ τέλος. αὐτομολῆσαι μὲν γὰρ ἐκ τῶν πολεμίων Μουσαῖον, καὶ τυχεῖν ὡρισμένων τιμῶν· κατακοπῆναι δ' ὑπὸ τῶν θεῶν ἅπαντας τοὺς ἀντιταξαμένους. συστῆναι δὲ καὶ ἄλλους πολέμους αὐτῷ πρὸς γίγαντας, τῆς μὲν Μακεδονίας περὶ τὴν Παλλήνην, τῆς δ' Ἰταλίας κατὰ τὸ πεδίον ὃ τὸ μὲν παλαιὸν ἀπὸ τοῦ κατακεκαυμένου τόπου Φλεγραῖον ὠνομάζετο, κατὰ δὲ τοὺς ὕστερον χρόνους Κυμαῖον προςηγορεύθη. κολασθῆναι δὲ τοὺς γίγαντας ὑπὸ Διὸς διὰ τὴν εἰς τοὺς ἄλλους ἀνθρώπους παρανομίαν καὶ διὰ τὸ ταῖς τοῦ σώματος ὑπεροχαῖς καὶ ῥώμαις 388 πεποιθότας καταδουλοῦσθαι μὲν τοὺς πλησιοχώρους, ἀπειθεῖν δὲ τοῖς περὶ τοῦ δικαίου τιθεμένοις νόμοις, πόλεμον δ' ἐκφέρειν πρὸς τοὺς διὰ τὰς κοινὰς εὐεργε-

38. εὐεργετῆσαι ABC(D)EG(N)Q, caeteri ὠφελῆσαι 41. ἀποστῆναι Schaeferus et Poppo: libri ἀποστῆσαι 42. δικαστηρίῳ] δικαστήριον F 46. ἅπασαν] πᾶσαν AD 50. Τυφῶνα] Τύφωνα D 51. τοὺς γίγαντας τοὺς ἐν Κρήτῃ] τοὺς ἐν Κρήτῃ γίγαντας ADEN 52. ἡλίῳ (D)E(N), caeteri anteponunt βοῦν, quod asterisco notavit Stephanus 53. παρὰ] περὶ BCDF ἐπικριθέντα] παρακριθέντα N correctus in margine [54. πρῶτον] ἃ CFQ, quod si verum est, mox ἐπισημαίνειν — ἀπόστασιν scribendum partim cum Wesselingio 61. μὲν om. D 62. ὠνομάζετο] ὀνομάζεται FM 63. Κυμαῖον] Κύμαιον D, Κύκαλον E προςηγορεύθη] προςηγόρευον ABDEN, cognominarunt Poggius omisso antea ὠνομάζετο

388. 67. τοὺς] τὰς F ἀπειθεῖν] πείθειν CFG 68. ἐκφέρειν] ἐμφέρειν AE



σίας ὑπὸ πάντων θεοὺς νομιζομένους. τὸν δ' οὖν Δία λέγουσι μὴ μόνον ἄρδην ἐξ ἀνθρώπων ἀφανίσαι τοὺς ἀσεβεῖς καὶ πονηρούς, ἀλλὰ καὶ τοῖς ἀρίστοις τῶν τε θεῶν καὶ ἡρώων ἔτι δὲ ἀνδρῶν τὰς ἀξίας ἀπονεῖμαι τιμάς. διὰ δὲ τὸ μέγεθος τῶν εὐεργεσιῶν καὶ τὴν ὑπεροχὴν τῆς δυνάμεως συμφώνως αὐτῷ παρὰ πάντων συγκεχωρῆσθαι τήν τε βασιλείαν εἰς τὸν ἀεὶ χρόνον καὶ τὴν οἴκησιν τὴν ἐν Ὀλύμπῳ. καταδειχθῆναι δὲ καὶ θυσίας 72 αὐτῷ συντελεῖν ὑπὲρ τοὺς ἄλλους ἅπαντας, καὶ μετὰ τὴν ἐκ γῆς μετάστασιν εἰς τὸν οὐρανὸν ἐγγενέσθαι δόξας δικαίους ἐν ταῖς τῶν εὖ πεπονθότων ψυχαῖς ὡς ἁπάντων τῶν γινομένων κατὰ οὐρανὸν οὗτος εἴη κύριος, λέγω δὲ ὄμβρων τε καὶ βροντῶν καὶ κεραυνῶν καὶ τῶν ἄλλων τῶν τοιούτων. διόπερ αὐτὸν προςαγορευθῆναι Ζῆνα μὲν ἀπὸ τοῦ δοκεῖν τοῖς ἀνθρώποις αἴτιον εἶναι τοῦ ζῆν, ταῖς ἐκ τοῦ περιέχοντος εὐκρασίαις τοὺς καρποὺς ἀνάγοντα πρὸς τέλος, πατέρα δὲ διὰ τὴν φροντίδα καὶ τὴν εὔνοιαν τὴν εἰς ἅπαντας ἔτι δὲ καὶ τὸ δοκεῖν ὥςπερ ἀρχηγὸν εἶναι τοῦ γένους τῶν ἀνθρώπων, ὕπατον δὲ καὶ βασιλέα διὰ τὴν τῆς ἀρχῆς ὑπεροχήν, εὐβουλέα δὲ καὶ μητιέτην διὰ τὴν ἐν τῷ βουλεύεσθαι καλῶς σύνεσιν. μυθολογοῦσι δὲ καὶ τὴν Ἀθηνᾶν κατὰ τὴν Κρήτην ἐκ Διὸς ἐν ταῖς πηγαῖς τοῦ Τρίτωνος ποταμοῦ γεννηθῆναι· διὸ καὶ Τριτογένειαν ὀνομασθῆναι. ἔστι δὲ καὶ νῦν ἔτι παρὰ τὰς πηγὰς ταύτας ἱερὸν ἅγιον τῆς θεοῦ ταύτης ἐν ᾧ τόπῳ τὴν γένεσιν αὐτῆς ὑπάρξαι μυθολογοῦσι. λέγουσι δὲ καὶ τοὺς γάμους τούς τε Διὸς καὶ τῆς Ἥρας ἐν τῇ Κνωσίων χώρᾳ γενέσθαι κατά τινα τόπον πλησίον τοῦ Θήρηνος ποταμοῦ, καθ' ὃν νῦν ἱερόν ἐστιν, ἐν ᾧ θυσίας κατ' ἐνιαυτὸν ἁγίους ὑπὸ τῶν ἐγχωρίων συντελεῖσθαι, καὶ τοὺς γάμους ἀπομιμεῖσθαι, καθάπερ ἐξ ἀρχῆς γενέσθαι παρεδόθησαν. τοὺς δὲ Διὸς ἐκγόνους φασὶ γενέσθαι θεὰς μὲν Ἀφροδίτην καὶ Χάριτας, πρὸς δὲ ταύταις Ειλείθυιαν καὶ τὴν ταύτης συνερ-

70. τὸν δ' CF, caeteri τὸν 72. τῶν τε] τῶν AD 76. ἀεὶ] αἰεὶ D 78. συντελεῖν] τελεῖν AEN 80. ἐγγενέσθαι] ἐκγενέσθαι C, ἐγγίνεσθαι F 86. τοὺς om. ADN 87. διὰ om. F 88. εἶναι] ἕνα FG 91. βουλεύεσθαι] βούλεσθαι F 92. τὴν om. A 94. ὀνομασθῆναι ABDE, caeteri ἐπονομασθῆναι παρὰ] περὶ BC(D)E(N)Q 97. τοὺς] immo τοῦ: quod praetulerim etiam v. 2. Κνωσίων D, Γνωσίων N, Gnosiae Poggius, caeteri Κνωσσίων 98. Θήρηνος] Θηρινὸς A, Θήρινος D, Θήρονος F, Therino Poggius 100. ἐγχωρίων A(D)EG(N) Poggius, caeteri addunt ἱερέων, quod asterisco notavit Stephanus 2. παρεδόθησαν] παρεδόθη FQ 4. Ειλείθυιαν] Ειλήθυιαν A, D hic et post, Ειλίθυιας hic et 389. 23. C

γὸν Ἄρτεμιν, καὶ τὰς προςαγορευομένας Ὥρας, Εὐνομίαν τε καὶ Δίκην ἔτι δ' Εἰρήνην, [καὶ Ἀθηνᾶν καὶ Μούσας], θεοὺς δὲ Ἥφαιστον καὶ Ἄρην καὶ Ἀπόλλωνα, πρὸς δὲ τούτοις Ἑρμῆν [καὶ Διόνυσον καὶ Ἡρακλέα].
73 τούτων δ' ἑκάστῳ μυθολογοῦσι τὸν Δία τῶν εὑρεθέντων 389
ὑπ' αὐτοῦ καὶ συντελουμένων ἔργων τὰς ἐπιστήμας καὶ τὰς τιμὰς τῆς εὑρέσεως ἀπονεῖμαι, βουλόμενον αἰώνιον αὐτοῖς περιποιῆσαι μνήμην παρὰ πᾶσιν ἀνθρώποις. παραδοθῆναι δὲ τῇ μὲν Ἀφροδίτῃ τήν τε τῶν παρθένων ἡλικίαν, ἐν οἷς χρόνοις δεῖ γαμεῖν αὐτάς, καὶ τὴν ἄλλην ἐπιμέλειαν τὴν ἔτι καὶ νῦν ἐν τοῖς γάμοις γινομένην μετὰ θυσιῶν καὶ σπονδῶν, ἃς ποιοῦσιν ἄνθρωποι τῇ θεῷ ταύτῃ. προθύουσι δὲ πρότερον ἅπαντες τῷ Διὶ τῷ τελείῳ καὶ Ἥρᾳ τελείᾳ διὰ τὸ τούτους ἀρχηγοὺς γεγονέναι καὶ πάντων εὑρετάς, καθότι προείρηται. ταῖς δὲ Χάρισι δοθῆναι τὴν τῆς ὄψεως κόσμησιν καὶ τὸ σχηματίζειν ἕκαστον μέρος τοῦ σώματος πρὸς τὸ βέλτιον καὶ προςηνὲς τοῖς θεωροῦσι, πρὸς δὲ τούτοις τὸ κατάρχειν εὐεργεσίας καὶ πάλιν ἀμείβεσθαι ταῖς προςηκούσαις χάρισι τοὺς εὖ ποιήσαντας. Εἰλείθυιαν δὲ λαβεῖν τὴν περὶ τὰς τικτούσας ἐπιμέλειαν καὶ θεραπείαν τῶν ἐν τῷ τίκτειν κακοπαθουσῶν· διὸ καὶ τὰς ἐν τοῖς τοιούτοις κινδυνευούσας γυναῖκας ἐπικαλεῖσθαι μάλιστα τὴν θεὸν ταύτην. Ἄρτεμιν δέ φασιν εὑρεῖν τὴν τῶν νηπίων παιδίων θεραπείαν καὶ τροφάς τινας ἁρμοζούσας τῇ φύσει τῶν βρεφῶν· ἀφ' ἧς αἰτίας καὶ κουροτρόφον αὐτὴν ὀνομάζεσθαι. τῶν δ' ὀνομαζομένων Ὡρῶν ἑκάστῃ δοθῆναι τὴν ἐπώνυμον τάξιν τε καὶ τοῦ βίου διακόσμησιν ἐπὶ τῇ μεγίστῃ τῶν ἀνθρώπων ὠφελείᾳ· μηδὲν γὰρ εἶναι μᾶλλον δυνάμενον εὐδαίμονα βίον παρασκευάσαι τῆς εὐνομίας καὶ δίκης καὶ εἰρήνης. Ἀθηνᾷ δὲ προςάπτουσι τήν τε τῶν ἐλαιῶν ἡμέρωσιν καὶ φυτείαν παραδοῦναι τοῖς ἀνθρώποις καὶ τὴν τοῦ καρποῦ τούτου κατεργασίαν· πρὸ γὰρ τοῦ γενέσθαι τὴν θεὸν ταύτην ὑπάρξαι μὲν τὸ γένος τοῦτο τῶν δένδρων μετὰ τῆς ἄλλης ἀγρίας ὕλης, τὴν μέντοι γ' ἐπιμέλειαν ταύτης οὐκ εἶναι

6. post *Εἰρήνην* excidisse Minervae et Musarum, post *Ἑρμῆν* Bacchi et Herculis nomina secundum Iensium monuit Wesselingius, ignarus Poggii, quem de suo posuisse *Pacem*, *Palladem*, *Musas*, eo minus credibile quod Bacchum et Herculem omisit *Ἄρην* ABDEN, caeteri *Ἄρεα*

389. 8. *ἑκάστῳ*] *ἕκαστον* N 19. *τὸ* Iensius: libri *τοῦ* 23. *εὖ ποιήσαντας*] *εὐποιήσαντας* omnes 31. *τοῦ βίου*] *βίου* A DN 33. *παρασκευάσαι*] *παρασκευάσειν* A, *παρασκευάζειν* N 34. *Ἀθηνᾷ*] *Ἀθηνᾶν* FGM 35. *προςάπτουσι*] *προςαγορεύουσι* FG, *ἀγορεύουσι* M



καὶ τὴν ἐμπειρίαν τὴν ἔτι καὶ νῦν γινομένην περὶ τούτων· πρὸς δὲ τούτοις τὴν τῆς ἐσθῆτος κατασκευὴν καὶ τὴν τεκτονικὴν τέχνην ἔτι δὲ πολλὰ τῶν ἐν ταῖς ἄλλαις ἐπιστήμαις εἰςηγήσασθαι τοῖς ἀνθρώποις· εὑρεῖν δὲ καὶ τὴν τῶν αὐλῶν κατασκευὴν καὶ τὴν διὰ τούτων συντελουμένην μουσικὴν καὶ τὸ σύνολον πολλὰ τῶν φιλοτέχνων ἔργων, ἀφ' ὧν ἐργάνην αὐτὴν προςαγορεύεσθαι.
ταῖς δὲ Μούσαις δοθῆναι παρὰ τοῦ πατρὸς τὴν τῶν 74
γραμμάτων εὕρεσιν καὶ τὴν τῶν ἐπῶν σύνθεσιν τὴν
390 προςαγορευομένην ποιητικήν. πρὸς δὲ τοὺς λέγοντας ὅτι Σύροι μὲν εὑρεταὶ τῶν γραμμάτων εἰσί, παρὰ δὲ τούτων Φοίνικες μαθόντες τοῖς Ἕλλησι παραδεδώκασιν, οὗτοι δ' εἰσὶν οἱ μετὰ Κάδμου πλεύσαντες εἰς τὴν Εὐρώπην, καὶ διὰ τοῦτο τοὺς Ἕλληνας τὰ γράμματα Φοινίκεια προςαγορεύειν, φασὶ τοὺς Φοίνικας οὐκ ἐξ ἀρχῆς εὑρεῖν, ἀλλὰ τοὺς τύπους τῶν γραμμάτων μεταθεῖναι μόνον· καὶ τῇ γραφῇ ταύτῃ τοὺς πλείστους τῶν ἀνθρώπων χρήσασθαι, καὶ διὰ τοῦτο τυχεῖν τῆς προειρημένης προςηγορίας. Ἥφαιστον δὲ λέγουσιν εὑρετὴν γενέσθαι τῆς περὶ τὸν σίδηρον ἐργασίας ἁπάσης καὶ τῆς περὶ τὸν χαλκὸν καὶ χρυσὸν καὶ ἄργυρον καὶ τῶν ἄλλων ὅσα τὴν ἐκ τοῦ πυρὸς ἐργασίαν ἐπιδέχεται, καὶ τὰς ἄλλας δὲ χρείας τὰς τοῦ πυρὸς ἁπάσας προςεξευρεῖν καὶ παραδοῦναι τοῖς τε τὰς τέχνας ἐργαζομένοις καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις. διόπερ οἵ τε τῶν τεχνῶν τούτων δημιουργοὶ τὰς εὐχὰς καὶ θυσίας τούτῳ τῷ θεῷ μάλιστα ποιοῦσι, καὶ τὸ πῦρ οὗτοί τε καὶ πάντες ἄνθρωποι προςαγορεύουσιν Ἥφαιστον, εἰς μνήμην καὶ τιμὴν ἀθάνατον τιθέμενοι τὴν ἐξ ἀρχῆς τῷ κοινῷ βίῳ δεδομένην εὐεργεσίαν. τὸν Ἄρην δὲ μυθολογοῦσι πρῶτον κατασκευάσαι πανοπλίαν καὶ στρατιώτας καθοπλίσαι καὶ τὴν ἐν ταῖς μάχαις ἐναγώνιον ἐνέργειαν εἰςηγήσασθαι, φονεύοντα τοὺς ἀπειθοῦντας τοῖς θεοῖς. Ἀπόλλωνα δὲ τῆς κιθάρας εὑρετὴν ἀναγορεύουσι καὶ τῆς κατ' αὐτὴν μουσικῆς· ἔτι δὲ τὴν ἰατρικὴν ἐπιστήμην ἐξενεγκεῖν διὰ τῆς μαντικῆς τέχνης γινομένην, δι' ἧς τὸ παλαιὸν συνέβαινε

40. *τὴν ἐμπειρίαν*] *ἐμπειρίαν* A *τὴν* — 41. *τούτοις τὴν* om. F 43. *εἰςηγήσασθαι*] *ἡγήσασθαι* ABD 44. *τῶν* — *τὴν* om. F 46. *ἐργάνην*] *ἐργανὴν* D

390. 50. *Σύροι* — *παρὰ δὲ*] *παρὰ* AN Poggius 53. *Φοινίκεια*] *Φοινίκια* omnes: *Phoeniceae* Poggius 56. *καὶ τῇ*] *καὶ τῇ τε* D 62. *προςεξευρεῖν*] *ἐξευρεῖν* ABEN 63. *τε* om. AD: ego proximum v. 65. abesse malim 64. *διόπερ*] *δι' ἅπερ* D 67. *ἄνθρωποι* DF, caeteri *οἱ ἄνθρωποι* 69. *Ἄρην*] *Ἄρη* C 72. *φονεύοντα*] *φονεύοντας* F

θεραπείας τυγχάνειν τοὺς ἀῤῥωστοῦντας· εὑρετὴν δὲ καὶ τοῦ τόξου γενόμενον διδάξαι τοὺς ἐγχωρίους τὰ περὶ τὴν τοξείαν· ἀφ' ἧς αἰτίας μάλιστα παρὰ τοῖς Κρησὶν ἐξηλῶσθαι τὴν τοξικὴν καὶ τὸ τόξον Κρητικὸν ὀνομασθῆναι. Ἀπόλλωνος δὲ καὶ Κορωνίδος Ἀσκληπιὸν γενηθέντα, καὶ πολλὰ παρὰ τοῦ πατρὸς τῶν εἰς ἰατρικὴν μαθόντα, προςεξευρεῖν τήν τε χειρουργίαν καὶ τὰς τῶν φαρμάκων σκευασίας καὶ ῥιζῶν δυνάμεις, καὶ καθόλου προβιβάσαι τὴν τέχνην ἐπὶ τοσοῦτον ὥςτε ὡς ἀρχηγὸν
75 αὐτῆς καὶ κτίστην τιμᾶσθαι. τῷ δ' Ἑρμῇ προςάπτουσι τὰς
ἐν τοῖς πολέμοις γινομένας ἐπικηρυκείας καὶ διαλλαγὰς καὶ 391
σπονδὰς καὶ τὸ τούτων σύσσημον κηρύκειον, ὃ φορεῖν εἰώθασιν οἱ περὶ τῶν τοιούτων τοὺς λόγους ποιούμενοι καὶ διὰ τούτου τυγχάνοντες παρὰ τοῖς πολεμίοις ἀσφαλείας· ὅθεν δὴ καὶ κοινὸν Ἑρμῆν ὠνομάσθαι, διὰ τὸ τὴν ὠφέλειαν ἀμφοτέροις εἶναι κοινὴν τοῖς ἐν τῷ πολέμῳ τὴν εἰρήνην μεταλαμβάνουσι. φασὶ δ' αὐτὸν καὶ μέτρα καὶ σταθμὰ καὶ τὰ διὰ τῆς ἐμπορίας κέρδη πρῶτον ἐπινοῆσαι καὶ τὸ λάθρα τὰ τῶν ἄλλων σφετερίζεσθαι. παραδεδόσθαι δ' αὐτὸν καὶ κήρυκα τῶν θεῶν ἔτι δ' ἄγγελον ἄριστον διὰ τὸ σαφῶς αὐτὸν ἕκαστα τῶν εἰς ἐντολὴν δοθέντων ἑρμηνεύειν· ἀφ' οὗ καὶ τετευχέναι τῆς προςηγορίας αὐτὸν ταύτης, οὐχ εὑρετὴν τῶν ὀνομάτων καὶ λέξεων γενόμενον, ὥς τινές φασιν, ἀλλὰ τὸ τῆς ἀπαγγελίας ἄρτιον καὶ σαφὲς ἐκπεπονηκότα περιττότερον τῶν ἄλλων. εἰςηγητὴν δ' αὐτὸν καὶ παλαίστρας γενέσθαι, καὶ τὴν ἀπὸ τῆς χελώνης λύραν ἐπινοῆσαι μετὰ τὴν Ἀπόλλωνος πρὸς Μαρσύαν σύγκρισιν, καθ' ἣν λέγεται τὸν Ἀπόλλωνα νικήσαντα καὶ τιμωρίαν ὑπὲρ τὴν ἀξίαν λαβόντα παρὰ τοῦ λειφθέντος μεταμεληθῆναι, καὶ τὰς ἐκ τῆς κιθάρας χορδὰς ἐκρήξαντα μέχρι τινὸς χρόνου τῆς ἐν αὐτῇ μουσικῆς ἀποστῆναι. Διόνυσον δὲ μυθολογοῦσιν εὑρετὴν γενέσθαι τῆς τ' ἀμπέλου καὶ τῆς περὶ ταύτην ἐργασίας ἔτι δ' οἰνοποιίας καὶ τοῦ πολλοὺς τῶν ἐκ τῆς ὀπώρας

78. τοξείαν] τοξίαν F  79. ἐξηλῶσθαι] ἐξηλῶσαι B  80. Κρητικὸν Bochartus: libri Σκυθικὸν  81. γενηθέντα] γεννηθέντα (D)E(N)  82. προςεξευρεῖν] προεξευρεῖν F  85. ὡς om. AEN, asterisco notavit Stephanus  αὐτῆς] αὐτοῖς A

391. 88. ἐπικηρυκείας] ἐπικαρυκείας D, ἐπικηρυκίας C  89. κηρύκειον (N), caeteri κηρυκεῖον  φορεῖν] φέρειν C  91. τούτου] τοῦτο F, τούτων A  95. διὰ ABCDEQ, caeteri ἐκ  98. σαφῶς] καλῶς CFGM  1. ἀπαγγελίας] ἐπαγγελίας BD  2. περιττότερον] περισσότερον omnes  4. ἀπὸ AC(D)EG(N) Poggius, caeteri praemittunt Ἀπόλλωνος, asterisco notatum ab Stephano  10. τῆς τ' (D)F(N), caeteri τῆς  11. τοῦ Reiskius: libri τοὺς



καρπῶν ἀποθησαυρίζεσθαι καὶ τὰς χρείας καὶ τὰς τροφὰς παρέχεσθαι τοῖς ἀνθρώποις ἐπὶ πολὺν χρόνον. τοῦτον δὲ τὸν θεὸν γεγονέναι φασὶν ἐκ Διὸς καὶ Περσεφόνης κατὰ τὴν Κρήτην, ὃν Ὀρφεὺς κατὰ τὰς τελετὰς παρέδωκε διασπώμενον ὑπὸ τῶν Τιτάνων· πλείονας γὰρ Διονύσους συμβαίνει γεγονέναι, περὶ ὧν ἡμεῖς σαφέστερον τὰ κατὰ μέρος ἐν οἰκειοτέροις καιροῖς ἀναγεγράφαμεν. οἱ δ' οὖν Κρῆτες τῆς παρ' αὐτοῖς γενέσεως τοῦ θεοῦ πειρῶνται σημεῖα φέρειν, λέγοντες ὅτι περὶ τὴν Κρήτην δύο νήσους κτίσας ἐπὶ τῶν καλουμένων διδύμων κόλπων Διονυσιάδας ἀφ' ἑαυτοῦ προςηγόρευσεν, ὅπερ μηδαμοῦ τῆς οἰκουμένης αὐτὸν ἑτέρωθι πεποιηκέναι.
76 Ἡρακλέα δὲ μυθολογοῦσιν ἐκ Διὸς γενέσθαι παμπόλλοις ἔτεσι πρότερον τοῦ γεννηθέντος περὶ τὴν Ἀρ-
392 γείαν ἐξ Ἀλκμήνης. τοῦτον δὲ μητρὸς μὲν μὴ παρειληφέναι τίνος ἦν, αὐτὸ δὲ μόνον ὅτι ῥώμῃ σώματος πολὺ τῶν ἁπάντων διενεγκὼν ἐπῆλθε τὴν οἰκουμένην, κολάζων μὲν τοὺς ἀδίκους, ἀναιρῶν δὲ τὰ τὴν χώραν ἀοίκητον ποιοῦντα θηρία· πᾶσι δ' ἀνθρώποις τὴν ἐλευθερίαν περιποιήσας ἀήττητος μὲν ἐγένετο καὶ ἄτρωτος, διὰ δὲ τὰς εὐεργεσίας ἀθανάτου τιμῆς ἔτυχε παρ' ἀνθρώποις. τὸν δ' ἐξ Ἀλκμήνης Ἡρακλέα παντελῶς νεώτερον ὄντα, καὶ ζηλωτὴν γενόμενον τῆς τοῦ παλαιοῦ προαιρέσεως, διὰ τὰς αὐτὰς αἰτίας τυχεῖν τε τῆς ἀθανασίας καὶ χρόνων ἐγγενομένων διὰ τὴν ὁμωνυμίαν δόξαι τὸν αὐτὸν εἶναι, καὶ τὰς τοῦ προτέρου πράξεις εἰς τοῦτον μεταπεσεῖν, ἀγνοούντων τῶν πολλῶν τἀληθές. ὁμολογοῦσι δὲ τοῦ παλαιοτέρου θεοῦ κατὰ τὴν Αἴγυπτον πράξεις τε καὶ τιμὰς ἐπιφανεστάτας διαμένειν καὶ πόλιν ὑπ' ἐκείνου κτισθεῖσαν. Βριτόμαρτιν δὲ τὴν προςαγορευομένην Δίκτυνναν μυθολογοῦσι γενέσθαι μὲν ἐν Καινοῖ τῆς Κρήτης ἐκ Διὸς καὶ Κάρμης τῆς Εὐβούλου τοῦ γεννηθέντος

12. ἀποθησαυρίζεσθαι ABDEN, caeteri ἀποθησαυρίζειν  13. καὶ — παρέχεσθαι om. ADEN Poggius  15. Περσεφόνης] Φερσεφόνης D  19. οἰκειοτέροις] ἑτέροις AEGNQ  ἀναγεγράφαμεν] ἀναγράψομεν CFG  22. Διδύμων om. CFMP, Διδυμένων A  Διονυσιάδας] Dionysiae — vocatae Poggius  26. περὶ τὴν Ἀργείαν om. AEFGN Poggius, asterisco notavit Stephanus

392. 29. διενεγκὼν ABDGN, caeteri διενέγκας  35. ὄντα] ὃν FG  γενόμενον — 36. τυχεῖν] τῆς ἀρετῆς τυχεῖν AEGNQ, om. F  37. τε om. N  40. ὁμολογοῦσι] μυθολογοῦσι BEGNQ  42. κτισθεῖσαν] κτισθῆναι CFGMPQ  Βριτόμαρτιν] Κριτόμαρτιν FM  43. Δίκτυνναν] Δικτύνναν D hic et postea  44. ἐν] ἐκ P  ἐν Καινοῖ τῆς Κρήτης] in Creta Poggius  Κάρμης] Χάρμης EN, Charmide Poggius  45. Εὐβούλου] Eubolo Poggius

ἐκ Δήμητρος· ταύτην δ' εὑρέτιν γενομένην δικτύων τῶν εἰς κυνηγίαν προςαγορευθῆναι Δίκτυνναν. καὶ τὰς μὲν διατριβὰς ποιήσασθαι μετὰ τῆς Ἀρτέμιδος, ἀφ' ἧς αἰτίας ἐνίους δοκεῖν τὴν αὐτὴν εἶναι Δίκτυννάν τε καὶ Ἄρτεμιν, θυσίαις δὲ καὶ ναῶν κατασκευαῖς τετιμῆσθαι παρὰ τοῖς Κρησὶ τὴν θεὸν ταύτην. τοὺς δ' ἱστοροῦντας αὐτὴν ὠνομάσθαι Δίκτυνναν ἀπὸ τοῦ συμφυγεῖν εἰς ἁλιευτικὰ δίκτυα διωκομένην ὑπὸ Μίνω συνουσίας ἕνεκα διημαρτηκέναι τῆς ἀληθείας· οὔτε γὰρ τὴν θεὸν εἰς τοιαύτην ἀσθένειαν ἐλθεῖν πιθανὸν ὑπάρχειν ὥςτε προςδεηθῆναι τῆς παρ' ἀνθρώπων βοηθείας, τοῦ μεγίστου τῶν θεῶν οὖσαν θυγατέρα, οὔτε τῷ Μίνῳ δίκαιον προςάπτειν τοιαύτην ἀσέβειαν, παραδεδομένῳ συμφώνως δικαίαν προαίρεσιν καὶ βίον ἐπαινούμενον ἐξηλωκέναι.

77 Πλοῦτον δὲ γενέσθαι φασὶν ἐν Τριπόλῳ τῆς Κρήτης ἐκ Δήμητρος καὶ Ἰασίωνος, διττῶς ἱστορουμένης αὐτοῦ τῆς γενέσεως. οἱ μὲν γάρ φασι τὴν γῆν σπαρεῖσαν ὑπὸ Ἰασίωνος καὶ τυχοῦσαν ἐπιμελείας τῆς προςηκούσης ἀνεῖναι τοσοῦτο πλῆθος καρπῶν ὥςτε τοὺς ἰδόντας ἴδιον ὄνομα θέσθαι τῷ πλήθει τῶν γενομένων καρπῶν καὶ προςαγορεῦσαι πλοῦτον· διὸ καὶ τοῖς ἐπιγινομένοις παραδόσιμον γενέσθαι τὸ τοὺς πλείω τῶν ἱκανῶν κτησαμέ- 393
νους ἔχειν πλοῦτον. ἔνιοι δὲ μυθολογοῦσιν ἐκ Δήμητρος καὶ Ἰασίωνος γενέσθαι παῖδα Πλοῦτον ὀνομαζόμενον, ὃν πρῶτον ἐπιμέλειαν βίου καὶ χρημάτων ἀθροισμὸν καὶ φυλακὴν εἰςηγήσασθαι, τῶν πρὸ τοῦ πάντων ὀλιγώρως ἐχόντων περὶ τὸ σωρεύειν καὶ τηρεῖν ἐπιμελῶς χρημάτων πλῆθος.

Περὶ μὲν οὖν τῶν θεῶν οἱ Κρῆτες τῶν παρ' αὐτοῖς λεγομένων γεννηθῆναι τοιαῦτα μυθολογοῦσι· τὰς δὲ τιμὰς καὶ θυσίας καὶ τὰς περὶ τὰ μυστήρια τελετὰς ἐκ Κρήτης εἰς τοὺς ἄλλους ἀνθρώπους παραδεδόσθαι

Δήμητρος] Δημήτρας AN, Δημῆτρος D 46. εὑρέτιν] εὑρετὴν CDN, caeteri εὑρετὶν κυνηγίαν] κυνήγια FP 48. μετὰ] κατὰ N 53. ἁλιευτικὰ δίκτυα] ἁλιευτικὴν FGP 54. οὔτε] οὕτω FG 55. πιθανὸν] δυνατὸν ENQ ὑπάρχειν] ὑπάρχει B 56. βοηθείας] βουλείας FG 61. Πλοῦτον] Plutonem Poggius hic et v. 67. 393. 71. Τριπόλῳ (N) Rhodomannus: caeteri Τριπόδῳ 62. Δήμητρος] Δημήτρας AEN Ἰασίωνος] Iason Poggio hic et v. 64. 393. 70. διττῶς] δισσῶς omnes 64. τυχοῦσαν] τυγχάνουσαν ADEN 65. τοσοῦτο DP, caeteri τοσοῦτον 66. ὄνομα θέσθαι] ὀνομάζεσθαι ADN 68. ἐπιγινομένοις] ἐπιγενομένοις EN

393. 70. Δήμητρος] Δημήτρας N 71. ὃν om. ADN 74. τὸ] τοῦ CP 76. γεννηθῆναι] γεγεννῆσθαι ABEN



λέγοντες τοῦτο φέρουσιν, ὡς οἴονται, μέγιστον τεκμήριον· τήν τε γὰρ παρ' Ἀθηναίοις ἐν Ἐλευσῖνι γινομένην τελετήν, ἐπιφανεστάτην σχεδὸν οὖσαν ἁπασῶν, καὶ τὴν ἐν Σαμοθρᾴκῃ καὶ τὴν ἐν Θρᾴκῃ ἐν τοῖς Κίκοσιν, ὅθεν ὁ καταδείξας Ὀρφεὺς ἦν, μυστικῶς παραδίδοσθαι, κατὰ δὲ τὴν Κρήτην ἐν Κνωσῷ νόμιμον ἐξ ἀρχαίων εἶναι φανερῶς τὰς τελετὰς ταύτας πᾶσι παραδίδοσθαι, καὶ τὰ παρὰ τοῖς ἄλλοις ἐν ἀποῤῥήτῳ παραδιδόμενα παρ' αὐτοῖς μηδένα κρύπτειν τῶν βουλομένων τὰ τοιαῦτα γινώσκειν. τῶν γὰρ θεῶν φασι τοὺς πλείστους ἐκ τῆς Κρήτης ὁρμηθέντας ἐπιέναι πολλὰ μέρη τῆς οἰκουμένης, εὐεργετοῦντας τὰ γένη τῶν ἀνθρώπων καὶ μεταδιδόντας ἑκάστοις τῆς ἐκ τῶν ἰδίων εὑρημάτων ὠφελείας. Δήμητραν μὲν γὰρ περαιωθεῖσαν εἰς τὴν Ἀττικὴν ἐκεῖθεν εἰς Σικελίαν ἀπᾶραι, καὶ μετὰ ταῦτ' εἰς Αἴγυπτον· ἐν δὲ τούτοις τοῖς τόποις μάλιστα τὸν τοῦ σίτου καρπὸν παραδοῦσαν καὶ τὰ περὶ τὸν σπόρον διδάξασαν μεγάλων τιμῶν τυχεῖν παρὰ τοῖς εὖ παθοῦσιν. ὁμοίως δ' Ἀφροδίτην ἐνδιατρῖψαι τῆς μὲν Σικελίας περὶ τὸν Ἔρυκα, τῶν δὲ νήσων περὶ Κύθηρα καὶ Πάφον τῆς Κύπρου, τῆς δὲ Ἀσίας περὶ τὴν Συρίαν. διὰ δὲ τὴν ἐπιφάνειαν καὶ τὴν ἐπὶ πλεῖον ἐπιδημίαν αὐτῆς τοὺς ἐγχωρίους ἐξιδιάζεσθαι τὴν θεόν, καλοῦντας Ἀφροδίτην Ἐρυκίνην καὶ Κυθέρειαν καὶ Παφίαν ἔτι δὲ καὶ Συρίαν. ὡςαύτως δὲ τὸν μὲν Ἀπόλλωνα πλεῖστον χρόνον φανῆναι περὶ Δῆλον καὶ Λυκίαν καὶ Δελφούς, τὴν δ' Ἄρτεμιν περὶ τὴν Ἔφεσον καὶ τὸν Πόντον ἔτι δὲ τὴν Περσίδα καὶ τὴν Κρήτην. διόπερ ἀπὸ τῶν τόπων ἢ πράξεων τῶν παρ' ἑκάστοις συντελεσθεισῶν τὸν μὲν Δήλιον καὶ Λύκιον καὶ Πύθιον ὀνομάζεσθαι, τὴν δὲ Ἐφεσίαν καὶ Κρησίαν ἔτι δὲ Ταυροπόλον καὶ Πέρσειαν, ἀμφοτέρων ἐν Κρήτῃ γε-
394 γεννημένων. τιμᾶται δὲ καὶ παρὰ τοῖς Πέρσαις ἡ θεὸς

81. γινομένην] γενομένην D 82. Σ. καὶ τὴν ἐν om. CFGMP, asterisco notavit Stephanus 83. ἐν τοῖς Κίκοσιν om. Poggius ὁ om. AD 84. κατὰ — 86. παραδίδοσθαι om. FG 85. Κνωσῷ] Γνώσῳ N Poggius, caeteri Κνωσσῷ 87. παραδιδόμενα A(D)EM(N)P, caeteri παραδεδομένα 88. μηδένα] οὐδένα B, οὐδὲν A, qui in marg. μηδένα 91. μεταδιδόντας] παραδιδόντας CFP, μεταπαραδίδοντας D 92. Δήμητραν] Δήμητρα B 97. εὖ παθοῦσιν] εὐπαθοῦσιν ed. Wess. (DN) 1. πλεῖον] πλέον AD 3. Κυθέρειαν] Κυθηρίαν D Παφίαν] Παφείαν vel Πάφειαν CDF 8. καὶ Λύκιον om. ADEN Poggius, asterisco notavit Stephanus 9. Κρησίαν] Κρῆσσαν B Poggius Wesselingii 10. Πέρσειαν] Perseam Poggius, caeteri Περσίαν γεγεννημένων Schaeferus: libri γεγενημένων: in Creta nati Poggius

394. 11. δὲ] γὰρ CP

αὔτη διαφερόντως, καὶ μυστήρια ποιοῦσιν οἱ βάρβαροι τὰ παρ' ἑτέροις συντελούμενα μέχρι τῶν νῦν χρόνων Ἀρτέμιδι Περσείᾳ. παραπλήσια δὲ μυθολογοῦσι καὶ περὶ τῶν ἄλλων θεῶν, περὶ ὧν ἡμῖν ἀναγράφειν μακρὸν ἂν εἴη, τοῖς δὲ ἀναγινώσκουσι παντελῶς εὐσύνοπτον.

78 Μετὰ δὲ τὰς τῶν θεῶν γενέσεις ὕστερον πολλαῖς γενεαῖς φασι γενέσθαι κατὰ τὴν Κρήτην ἥρωας οὐκ ὀλίγους, ὧν ὑπάρχειν ἐπιφανεστάτους τοὺς περὶ Μίνω καὶ Ῥαδάμανθυν καὶ Σαρπηδόνα. τούτους γὰρ μυθολογοῦσιν ἐκ Διὸς γεγεννῆσθαι καὶ τῆς Ἀγήνορος Εὐρώπης, ἥν φασιν ἐπὶ ταύρου διακομισθῆναι προνοίᾳ θεῶν εἰς τὴν Κρήτην. Μίνω μὲν οὖν πρεσβύτατον ὄντα βασιλεῦσαι τῆς νήσου, καὶ κτίσαι πόλεις οὐκ ὀλίγας ἐν αὐτῇ, τούτων δ' ἐπιφανεστάτας τρεῖς, Κνωσὸν μὲν ἐν τοῖς πρὸς τὴν Ἀσίαν νεύουσι μέρεσι τῆς νήσου, Φαιστὸν δ' ἐπὶ θαλάττης ἐστραμμένην ἐπὶ μεσημβρίαν, Κυδωνίαν δ' ἐν τοῖς πρὸς ἑσπέραν κεκλιμένοις τόποις καταντικρὺ τῆς Πελοποννήσου. θεῖναι δὲ καὶ νόμους τοῖς Κρησὶν οὐκ ὀλίγους, προςποιούμενον παρὰ Διὸς τοῦ πατρὸς λαμβάνειν συνερχόμενον εἰς λόγους αὐτῷ κατά τι σπήλαιον. κτήσασθαι δὲ καὶ δύναμιν ναυτικὴν μεγάλην, καὶ τῶν τε νήσων τὰς πλείστας καταστρέψασθαι καὶ πρῶτον τῶν Ἑλλήνων θαλαττοκρατῆσαι. μεγάλην δὲ δόξαν περιποιησάμενον ἐπ' ἀνδρείᾳ καὶ δικαιοσύνῃ καταστρέψαι τὸν βίον ἐν Σικελίᾳ κατὰ τὴν ἐπὶ Κώκαλον στρατείαν, περὶ ἧς τὰ κατὰ μέρος ἀνεγράψαμεν ὅτε τὰ περὶ Δαίδαλον ἀνεγράφομεν, δι' ὃν καὶ τὴν στρατείαν συνέβη

79 γενέσθαι. Ῥαδάμανθυν δὲ λέγουσι τάς τε κρίσεις πάντων δικαιοτάτας πεποιῆσθαι καὶ τοῖς λῃσταῖς καὶ ἀσεβέσι καὶ τοῖς ἄλλοις κακούργοις ἀπαραίτητον ἐνηνοχέναι τιμωρίαν. κατακτήσασθαι δὲ καὶ νήσους οὐκ ὀλίγας καὶ τῆς Ἀσίας πολλὴν τῆς παραθαλαττίου χώρας, ἁπάντων ἑκουσίως

13. τὰ παρ' ἑτέροις σ.] σ. παρ' ἑτέροις D 14. Περσείᾳ D, *Persea* Poggius, caeteri Περσίᾳ 15. ἄλλων] ἀνθρώπων GP 16. εὐσύνοπτον] ἀσύνοπτον Schaeferus 20. Μίνω] Μήνω D 21. Ῥαδάμανθυν] Ῥαδάμανθον F καὶ Σαρπηδόνα servavit D 22. γεγεννῆσθαι] γεγενῆσθαι D 23. διακομισθῆναι] κομισθῆναι CFMP 26. Κνωσὸν] Γνώσον N, *Gnosiam* Poggius, caeteri Κνωσσὸν 27. Φαιστὸν] Φαίστον D, Ἥφαιστον N, *Vulcaniam* Poggius 28. ἐπὶ θ. — Κυδωνίαν om. N θαλάττης] θαλάσσης omnes 29. κεκλιμένοις om. ADEN, asterisco notavit Stephanus 30. καὶ om. AEG, asterisco notavit Stephanus 31. παρὰ — συνερχ. om. N Poggius 33. κτίσασθαι] κτήσασθαι N 38. ἀνεγράψαμεν] ἀναγράψομεν CFGP ὅτε] ὅταν C, D Bipont., P, ὅτ' ἂν D Wesselingii 39. Δαίδαλον] Δαιδάλου N ἀνεγράφομεν] ἀναγράφωμεν P 44. ὀλίγας] ὀλίγους F



παραδιδόντων ἑαυτοὺς διὰ τὴν δικαιοσύνην. τὸν δὲ Ῥαδάμανθυν Ἐρυθρῷ μὲν ἑνὶ τῶν ἑαυτοῦ παίδων παραδοῦναι τὴν βασιλείαν τῶν δι' ἐκεῖνον Ἐρυθρῶν ὀνομασθεισῶν, Οἰνοπίωνι δὲ τῷ Ἀριάδνης τῆς Μίνω Χίον ἐγχειρίσαι φασίν, ὃν ἔνιοι μυθολογοῦσι Διονύσου γενό-
395μενον μαθεῖν παρὰ τοῦ πατρὸς τὰ περὶ τὴν οἰνοποιίαν. τῶν δ' ἄλλων τῶν περὶ αὐτὸν ἡγεμόνων ἑκάστῳ νῆσον ἢ πόλιν δωρήσασθαι λέγουσι τὸν Ῥαδάμανθυν, Θόαντι μὲν Λῆμνον, Ἐνυεῖ δὲ Κύρνον, Παμφύλῳ δὲ Πεπάρηθον, Εὐαμβεῖ δὲ Μαρώνειαν, Ἀλκαίῳ δὲ Πάρον, Ἀνίωνι δὲ Δῆλον, Ἀνδρεῖ δὲ τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἄνδρον. διὰ δὲ τὴν ὑπερβολὴν τῆς περὶ αὐτὸν δικαιοσύνης μεμυθολογῆσθαι δικαστὴν αὐτὸν ἀποδεδεῖχθαι καθ' Ἅιδου καὶ διακρίνειν τοὺς εὐσεβεῖς καὶ τοὺς πονηρούς. τετευχέναι δὲ τῆς αὐτῆς τιμῆς καὶ τὸν Μίνω, βεβασιλευκότα νομιμώτατα καὶ μάλιστα δικαιοσύνης πεφροντικότα. τὸν δὲ τρίτον ἀδελφὸν Σαρπηδόνα φασὶ μετὰ δυνάμεως εἰς τὴν Ἀσίαν διαβάντα κατακτήσασθαι τοὺς περὶ Λυκίαν τόπους. Εὔανδρον δὲ γενόμενον υἱὸν αὐτοῦ διαδέξασθαι τὴν ἐν Λυκίᾳ βασιλείαν, καὶ γήμαντα Δηιδάμειαν τὴν Βελλεροφόντου τεκνῶσαι Σαρπηδόνα τὸν ἐπὶ Τροίαν μὲν στρατεύσαντα μετ' Ἀγαμέμνονος, ὑπό τινων δὲ Διὸς υἱὸν ὀνομαζόμενον. Μίνωι δέ φασιν υἱοὺς γενέσθαι Δευκαλίωνά τε καὶ Μόλον· καὶ Δευκαλίωνος μὲν Ἰδομενέα, Μόλου δὲ Μηριόνην ὑπάρξαι. τούτους δὲ ναυσὶν ὀγδοήκοντα στρατεῦσαι μετ' Ἀγαμέμνονος εἰς Ἴλιον, καὶ διασωθέντας εἰς τὴν πατρίδα τελευτῆσαι καὶ ταφῆς ἐπιφανοῦς ἀξιωθῆναι καὶ τιμῶν ἀθανάτων. καὶ τὸν τάφον αὐτῶν ἐν τῇ Κνωσῷ δεικνύουσιν, ἐπιγραφὴν ἔχοντα τοιάνδε,

47. ἑαυτοῦ] αὐτοῦ D 48. ὀνομασθεισῶν BC(D)FP, caeteri ὀνομασθέντων 49. ἐγχειρίσαι] ἐγχειρῆσαι AN 50. Διονύσου] Διόνυσον D

395. 51. τὰ περὶ servarunt BCDP 52. ἡγεμόνων] *filiis* Poggius 53. Λῆμνον] Λίμνον D 54. Ἐνυεῖ Muellerus, ἔνιοι ABD, *Alii* Poggius, caeteri Ἐγνεῖ Κύρνον] Κῦρνον D: Σκῦρον R. Rochettus (*histoire de l'établ. des colonies Grecques* vol. II. p. 157.) Παμφύλῳ ACDE, caeteri Παμφίλῳ: Σταφύλῳ Heynius Εὐαμβεῖ ABCDEGQ, Εὐάμβει (N), *Euandro* Poggius Wesselingii, meus *Euambio*, Εὐάμει caeteri: Εὐάνθει Wesselingius 55. Ἀλκαίῳ δὲ Πάρον om. A 59. εὐσεβεῖς ABDE(N), *bonorum* Poggius, caeteri ἀσεβεῖς 64. Εὔανδρον] Ἀνδρεῖ B 67. μετ'] κατ' Wesselingius: sed fortasse delenda μετ' Ἀγαμέμνονος 68. Μίνωι] Μίνῳ F 69. Μόλον] Μῶλον D pr. 71. ὀγδοήκοντα AG(N)Q, caeteri ἐνενήκοντα 72. Ἴλιον] Ἥλιον F 74. Κνωσῷ] Κνώσῳ D, Γνωσῷ N, *Gnoso* Poggius, caeteri Κνωσσῷ 75. τοιάνδε] τοιαύτην AE

*Κνωσίου Ἰδομενῆος ὅρα τάφον. αὐτὰρ ἐγώ τοι*
*πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.*

τούτους μὲν οὖν ὡς ἥρωας ἐπιφανεῖς τιμῶσιν οἱ Κρῆτες διαφερόντως, θύοντες καὶ κατὰ τοὺς ἐν τοῖς πολέμοις κινδύνους ἐπικαλούμενοι βοηθούς.

80 Τούτων δ' ἡμῖν διευκρινημένων λείπεται περὶ τῶν ἐπιμιχθέντων ἐθνῶν τοῖς Κρησὶ διελθεῖν. ὅτι μὲν οὖν πρῶτοι κατῴκησαν τὴν νῆσον οἱ προσαγορευθέντες μὲν Ἐτεοκρῆτες, δοκοῦντες δ' ὑπάρχειν αὐτόχθονες, προειρήκαμεν. μετὰ δὲ τούτους πολλαῖς γενεαῖς ὕστερον Πελασγοὶ πλανώμενοι διὰ τὰς συνεχεῖς στρατείας καὶ μεταναστάσεις καταντήσαντες εἰς τὴν Κρήτην τῆς νήσου μέρος κατῴκησαν. τρίτον δὲ γένος φασὶ τῶν Δωριέων παραβαλεῖν εἰς τὴν νῆσον ἡγουμένου Τεκτάμου τοῦ Δώρου. τούτου δὲ τοῦ λαοῦ μέρος μὲν πλεῖον ἀθροισθῆναι λέ- 396
γουσιν ἐκ τῶν περὶ τὸν Ὄλυμπον τόπων, τὸ δέ τι μέρος ἐκ τῶν κατὰ τὴν Λακωνικὴν Ἀχαιῶν διὰ τὸ τὴν ἀφορμὴν τὸν Δῶρον ἐκ τῶν περὶ Μαλέαν τόπων ποιήσαι. τέταρτον δὲ γένος συμμιγῆναί φασιν εἰς τὴν Κρήτην μιγάδων βαρβάρων τῶν διὰ τὸν χρόνον ἐξομοιωθέντων τῇ διαλέκτῳ τοῖς ἐγχωρίοις Ἕλλησι. μετὰ δὲ ταῦτα τοὺς περὶ Μίνω καὶ Ῥαδάμανθυν ἰσχύσαντας ὑπὸ μίαν ἀγαγεῖν συντέλειαν τὰ ἔθνη κατὰ τὴν νῆσον. τὸ δὲ τελευταῖον μετὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν Ἀργεῖοι καὶ Λακεδαιμόνιοι πέμποντες ἀποικίας ἄλλας τέ τινας νήσους ἔκτισαν καὶ ταύτης τῆς νήσου κατακτησάμενοι πόλεις τινὰς ᾤκησαν ἐν αὐταῖς· περὶ ὧν τὰ κατὰ μέρος ἐν τοῖς ἰδίοις χρόνοις ἀναγράψομεν. ἐπεὶ δὲ τῶν τὰ Κρητικὰ γεγραφότων οἱ πλεῖστοι διαφωνοῦσι πρὸς ἀλλήλους,

**76.** *Κνωσίου* AD, *Γνωσίου* N Poggius, caeteri *Κνωσσίου* **77.** *πλησίον*] *πλούσιον* F **83.** *Κρησὶ*] *βουσὶν* F *διελθεῖν*] *διατελεῖν* N **88.** *μεταναστάσεις*] *μεταστάσεις* B *καταντήσαντες*] *κατασκήψαντες* CP *τῆς νήσου μέρος*] *μέρος τῆς νήσου* D **90.** *ἡγουμένου Τεκτάμου τοῦ Δώρου* Wesselingius, *τοῦ Τεκταμοῦ* (*Τεκτάμου* N) *ἐκγόνου Δώρου ἡγουμένου* AEN, *ἡγουμένου τοῦ ἐκγόνου τοῦ Τεκτάμου Δώρου* D Bipont., *ἡγουμένου τοῦ ἐκγόνου τοῦ Τευτάμου*, ascripto in marg. *Τεκτάμου*, D Wesselingii, *ἡγουμένου τοῦ Τεκτάμου Δώρου* CFMP et qui *Τευτάμου* G, duce *Doro Tectami nepote* Poggius, caeteri *ἡγουμένου τοῦ Τευτάμου* (*Τεκτάμου* Q) *ἐκγόνου Δώρου*, quorum illud *ἐκγόνου* asterisco notavit Stephanus **91.** *λαοῦ*] *καλοῦ* FG

396. **95.** *περὶ Μαλέαν τόπων*] *περὶ Κάλεσσαν τόπων* B, *περικαλεσάντων* AN: mox malim *ποιεῖσθαι* **97.** *ἐξομ.* A(DN), caeteri *ἐξωμ.* *τῇ διαλέκτῳ* om. AEN, asterisco notat Stephanus **100.** *κατὰ*] *τὰ κατὰ* Wesselingius **3.** *ἔκτισαν*] *ἐκτήσαντο* EN *ταύτης τῆς νήσου* Reiskius: libri *ταύτας τὰς νήσους* **4.** *ᾤκησαν* F, caeteri *ᾤκισαν* **5.** *ἰδίοις* ACDENP, caeteri *οἰκείοις*



οὐ χρὴ θαυμάζειν ἐὰν μὴ πᾶσιν ὁμολογούμενα λέγωμεν. τοῖς γὰρ τὰ πιθανώτερα λέγουσι καὶ μάλιστα πιστευομένοις ἐπηκολουθήσαμεν, ἃ μὲν Ἐπιμενίδῃ τῷ θεολόγῳ προσχόντες ἃ δὲ Δωσιάδῃ καὶ Σωσικράτει καὶ Λαοσθενίδᾳ.

Ἐπεὶ δὲ περὶ Κρήτης ἱκανῶς διήλθομεν, περὶ τῆς Λέσβου νῦν λέγειν ἐπιχειρήσομεν. ταύτην γὰρ τὴν νῆ- 81
σον τὸ παλαιὸν ᾤκησε πλείω γένη, πολλῶν μεταναστάσεων ἐν αὐτῇ γενομένων. ἐρήμου γὰρ οὔσης αὐτῆς πρώτους Πελασγοὺς κατασχεῖν αὐτὴν τοιῷδέ τινι τρόπῳ. Ξάνθος ὁ Τριόπου τῶν ἐξ Ἄργους Πελασγῶν βασιλεύων, καὶ κατασχὼν μέρος τι τῆς Λυκίας χώρας, τὸ μὲν πρῶτον ἐν αὐτῇ κατοικῶν ἐβασίλευε τῶν συνακολουθησάντων Πελασγῶν, ὕστερον δὲ περαιωθεὶς εἰς τὴν Λέσβον οὖσαν ἔρημον τὴν μὲν χώραν τοῖς λαοῖς ἐμέρισε, τὴν δὲ νῆσον ἀπὸ τῶν κατοικούντων αὐτὴν Πελασγίαν ὠνόμασε,
397 τὸ πρὸ τοῦ καλουμένην Ἴσσαν. ὕστερον δὲ γενεαῖς ἑπτὰ γενομένου τοῦ κατὰ Δευκαλίωνα κατακλυσμοῦ, καὶ πολλῶν ἀνθρώπων ἀπολομένων, συνέβη καὶ τὴν Λέσβον διὰ τὴν ἐπομβρίαν ἐρημωθῆναι. μετὰ δὲ ταῦτα Μακαρεὺς εἰς αὐτὴν ἀφικόμενος, καὶ τὸ κάλλος τῆς χώρας κατανοήσας, κατῴκησεν αὐτήν. ἦν δ' ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν, κατοικῶν δ' ἐν Ὠλένῳ τῆς τότε μὲν Ἰάδος νῦν δ' Ἀχαΐας καλουμένης. εἶχε δὲ λαοὺς ἠθροισμένους, τοὺς μὲν Ἴωνας, τοὺς δ' ἐξ ἄλλων ἐθνῶν παντοδαπῶν συνεῤῥυηκότας. καὶ τὸ μὲν πρῶτον τὴν Λέσβον κατῴκησε, μετὰ δὲ ταῦτα ἀεὶ μᾶλλον αὐξόμενος διά τε τὴν ἀρετὴν τῆς νήσου καὶ τὴν ἰδίαν ἐπιείκειάν τε καὶ δικαιοσύνην τὰς σύνεγγυς νήσους κατεκτᾶτο, καὶ διεμέριξε τὴν χώραν ἔρημον οὖσαν. κατὰ δὲ τούτους τοὺς χρόνους Λέσβος ὁ Λαπίθου τοῦ Αἰόλου τοῦ Ἱππότου κατά τι πυθόχρηστον μετ' οἰκητόρων πλεύσας εἰς τὴν προειρημένην νῆσον, καὶ γήμας τὴν θυγατέρα τοῦ Μακαρέως Μήθυμναν, κοινῇ κατῴκησε. γενόμενος δ' ἐπιφανὴς ἀνὴρ τήν τε νῆσον Λέσβον ὠνόμασεν ἀφ' ἑαυτοῦ

**10.** *προσχόντες*] *μέρος σχόντες* ABN **11.** *Δωσιάδῃ*] *Δωσιάδει* FG *Λαοσθενίδᾳ*] Laoschernide Poggius **18.** *βασιλεύων καὶ*] *βασιλεύων* CF **19.** *αὐτῇ* AB(DN)P, caeteri *αὐτῷ* **24.** *Ἴσσαν* (D)E(N) Poggius, caeteri *Ἴσαν*

397. **26.** *ἀπολομένων*] *ἀπολλομένων* D **29.** *κατῴκησεν*] *κατῴκισεν* D, *ᾤκισεν* AEN **30.** *Κρινάκου*] *Κρινάου* E, Cyrenaici Poggius **31.** *καὶ* om. D Wessel., quod negant Bipontini **32.** *Ὠλένῳ*] *Ὀλένῳ* D **34.** *συνεῤῥυηκότας*] *συνεῤῥυκότας* A **37.** *ἰδίαν*] *ἄλλην* ABDEGNQ **39.** *ὁ Λαπίθου τοῦ Αἰόλου*] *ὁ Αἰόλου τοῦ Λαπίθου* CGMPQ **42.** *Μακαρέως*] *Μακάρεως* D hic et 398. 71. **43.** *νῆσον* om. A, D Bipont., N **44.** *Λέσβον* om. D Wesselingii

καὶ τοὺς λαοὺς Λεσβίους προσηγόρευσε. Μακαρεῖ δὲ θυγατέρες ἐγένοντο σὺν ἄλλαις Μυτιλήνη καὶ Μήθυμνα, ἀφ' ὧν αἱ πόλεις ἔσχον τὴν προσηγορίαν. ὁ δὲ Μακαρεὺς ἐπιβαλόμενος τὰς σύνεγγυς νήσους ἰδίας κατασκευάζειν ἐξέπεμψεν ἀποικίαν εἰς πρώτην τὴν Χίον, ἑνὶ τῶν ἑαυτοῦ παίδων παραδοὺς τὴν ἡγεμονίαν· μετὰ δὲ ταῦτα εἰς τὴν Σάμον ἕτερον ἐξέπεμψε τὸν ὀνομαζόμενον Κυδρόλαον, ὃς ἐν ταύτῃ κατοικήσας καὶ τὴν νῆσον κατακληρουχήσας ἐβασίλευσεν αὐτῆς· τρίτην δὲ τὴν Κῶ κα- 398
τοικίσας ἀπέδειξεν αὐτῆς βασιλέα Νέανδρον· ἑξῆς δὲ εἰς τὴν Ῥόδον Λεύκιππον ἐξέπεμψε μετὰ συχνῶν οἰκητόρων, οὓς οἱ τὴν Ῥόδον κατοικοῦντες διὰ τὴν σπάνιν τῶν ἀνδρῶν ἄσμενοι προσεδέξαντο, καὶ κοινῇ τὴν νῆσον ᾤκησαν.

82 Τὴν δ' ἀντιπέραν τῶν νήσων κατ' ἐκείνους τοὺς καιροὺς συνέβη διὰ τὸν κατακλυσμὸν μεγάλας καὶ δεινὰς κατασχεῖν ἀτυχίας. διὰ μὲν γὰρ τὰς ἐπομβρίας ἐπὶ πολλοὺς χρόνους ἐφθαρμένων τῶν καρπῶν σπάνις τε τῶν ἐπιτηδείων ὑπῆρχε καὶ λοιμικὴ κατάστασις ἐπεῖχε τὰς πόλεις διὰ τὴν τοῦ ἀέρος φθοράν. αἱ δὲ νῆσοι διαπνεόμεναι καὶ τὸν ἀέρα παρεχόμεναι τοῖς ἐνοικοῦσιν ὑγιεινόν, ἔτι δὲ τοῖς καρποῖς ἐπιτυγχάνουσαι, μᾶλλον εὐπορίας ἔγεμον, καὶ ταχὺ τοὺς κατοικοῦντας αὐτὰς μακαρίους ἐποίησαν. διὸ καὶ μακάρων ὠνομάσθησαν νῆσοι, τῆς εὐπορίας τῶν ἀγαθῶν αἰτίας γενομένης τῆς προσηγορίας. ἔνιοι δέ φασιν αὐτὰς μακάρων νήσους ὠνομάσθαι ἀπὸ τῶν Μακαρέως καὶ Ἴωνος παίδων τῶν δυναστευσάντων αὐτῶν. καθόλου δὲ αἱ προειρημέναι νῆσοι διήνεγκαν εὐδαιμονίᾳ μάλιστα τῶν σύνεγγυς κειμένων οὐ μόνον κατὰ τοὺς ἀρχαίους χρόνους ἀλλὰ καὶ κατὰ τὴν ἡμετέραν ἡλικίαν. ἀρετῇ γὰρ χώρας καὶ τόπων εὐκαιρίᾳ ἔτι δ' ἀέρων κράσει καλλιστεύουσαι κατὰ λόγον καλοῦν-

45. προσηγόρευσε] ὠνόμασε CF Μακαρεῖ] Μάκαρει D 46. Μυτιλήνη Poggius, Μιτυλίνη D, Μιτύλη FG, caeteri Μιτυλήνη Μήθυμνα] Μίθυμνα D 47. ἐπιβαλόμενος] ἐπιβαλλόμενος D 51. Κυδρόλαον] Κύδρολλον ABDEG Poggius, Κύδρολον et in marg. Κύδριλλον N
398. 53. ἐβασίλευσεν] ἐβασίλευεν BDN Κῶ D, caeteri Κῷ κατοικίσας Iensius: libri κατοικήσας 59. ἀντιπέραν] ἀντίπεραν D 60. τὸν κατακλυσμὸν] τῶν κατακλυσμῶν N 61. τὰς] τῆς AE 62. τῶν κ.] τε τῶν κ. D 63. λοιμικὴ] λυμικὴ C 67. μᾶλλον] immo, opinor, ἀεὶ μᾶλλον 68. Μακάρων] μακαρίων AB, μακάριον N 71. μακάρων] μακαρίων F τῶν servavit A 72. παίδων] ἀπὸ τούτων τῶν παίδων CDP, ἀπὸ τούτων παίδων B τῶν om. D δυναστευσάντων] δυναστευόντων FGP αὐτῶν om. BCDP 73. μάλιστα om. CFGMP, asterisco notat Steph. 76. εὐκαιρίᾳ] εὐκαιρίαις ABDEN



ται καὶ πρὸς ἀλήθειάν εἰσιν εὐδαίμονες. αὐτὸς δ' ὁ Μακαρεὺς ἐν τῇ Λέσβῳ βασιλεύων πρῶτον μὲν νόμον ἔγραψε πολλὰ τῶν κοινῇ συμφερόντων περιέχοντα, ὠνόμασε δὲ αὐτὸν λέοντα, ἀπὸ τῆς τοῦ ζῴου δυνάμεως καὶ ἀλκῆς θέμενος τὴν προσηγορίαν.

Ὕστερον δὲ τῆς κατὰ τὴν Λέσβον ἀποικίας ἱκανοῖς 83
τισι χρόνοις συνέβη τὴν νῆσον τὴν ὀνομαζομένην Τένεδον κατοικισθῆναι τοιῷδέ τινι τρόπῳ. Τέννης ἦν υἱὸς μὲν Κύκνου τοῦ βασιλεύσαντος Κολώνης τῆς ἐν τῇ Τρῳάδι, ἀνὴρ δ' ἐπίσημος δι' ἀρετήν. οὗτος ἀθροίσας οἰκήτορας, καὶ τὴν ὁρμὴν ἐκ τῆς ἀντιπέραν ἠπείρου ποιησάμενος, κατελάβετο νῆσον ἔρημον οὖσαν τὴν ὀνομαζομένην Λεύκοφρυν· κατακληρουχήσας δ' αὐτὴν τοῖς ὑπ' αὐτὸν ταττομένοις, καὶ κτίσας ἐν αὐτῇ πόλιν, ὠνόμασεν ἀφ' ἑαυτοῦ Τένεδον. πολιτευόμενος δὲ καλῶς καὶ πολλὰ τοὺς ἐγχωρίους εὐεργετήσας ζῶν μὲν μεγάλης ἀποδοχῆς ἐτύγχανε, τελευτήσας δ' ἀθανάτων τιμῶν ἠξιώθη. καὶ γὰρ τέμενος αὐτοῦ κατεσκεύασαν καὶ θυσίαις ὡς θεὸν ἐτίμων, ἃς διετέλουν θύοντες μέχρι τῶν νεωτέρων
399 καιρῶν. οὐ παραλειπτέον δ' ἡμῖν περὶ τῶν παρὰ τοῖς Τενεδίοις μυθολογουμένων περὶ τοῦ κτίσαντος τὴν πόλιν Τέννου. Κύκνον γάρ φασι τὸν πατέρα πιστεύσαντα γυναικὸς διαβολαῖς ἀδίκοις τὸν υἱὸν Τέννην εἰς λάρνακα ἐνθέντα καταποντίσαι· ταύτην δὲ ὑπὸ τοῦ κλύδωνος φερομένην προσενεχθῆναι τῇ Τενέδῳ, καὶ τὸν Τέννην παραδόξως σωθέντα θεῶν τινος προνοίᾳ τῆς νήσου βασιλεῦσαι, καὶ γενόμενον ἐπιφανῆ διὰ τὴν δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετὰς τυχεῖν ἀθανάτων τιμῶν. κατὰ δὲ τὰς τῆς μητρυιᾶς διαβολὰς αὐλητοῦ τινος ψευδῶς καταμαρτυρήσαντος, νόμιμον ἔθεντο μηδένα αὐλητὴν εἰς τὸ τέμενος εἰσιέναι. κατὰ δὲ τοὺς Τρωικοὺς χρόνους Ἀχιλλέως τὸν Τέννην ἀνελόντος καθ' ὃν καιρὸν ἐπόρθησαν οἱ Ἕλληνες τὴν Τένεδον, νόμον ἔθεσαν οἱ Τενέδιοι μηδένα ἐξεῖναι ἐν τῷ τεμένει τοῦ κτίστου ὀνομάσαι Ἀχιλλέα. περὶ μὲν οὖν τῆς Τενέδου καὶ τῶν ἐν αὐτῇ τὸ παλαιὸν οἰκησάντων τοιαῦτα μυθολογοῦσιν.

79. νόμον om. AN 80. ὠνόμασε] ὠνομάσαι N 82. τὴν προσηγορίαν] τῆς προσηγορίας F 83. ἀποικίας] ἀποικίαν F 85. κατοικισθῆναι] κατοικησθῆναι AB, κατῳκῆσθαι B (?) 87. ἀθροίσας οἰκήτορας] invertit D 89. οὖσαν servarunt ABDE 90. Λεύκοφρυν] Λευκόφρυν D 91. αὐτὸν] αὐτοῦ N 97. θύοντες] ποιοῦντες N
399. 98. περὶ — μυθολογουμένων om. FG 99. κτίσαντος] κτήσαντος A 1. ἐνθέντα] θέντα DEN 4. θεῶν ABCD E(N), caeteri θεοῦ: deorum ope Poggius 7. τῆς om. FG 13. οὖν om. D

84 Ἐπεὶ δὲ περὶ τῶν ἀξιολογωτάτων νήσων διήλθομεν, περὶ τῶν ἐλαττόνων ἀναγράψομεν. τῶν γὰρ Κυκλάδων νήσων τὸ παλαιὸν ἐρήμων οὐσῶν Μίνως ὁ Διὸς καὶ Εὐρώπης, βασιλεύων τῆς Κρήτης καὶ μεγάλας δυνάμεις ἔχων πεζικάς τε καὶ ναυτικάς, ἐθαλαττοκράτει καὶ πολλὰς ἀποικίας ἀπέστειλεν ἐκ τῆς Κρήτης· τῶν δὲ Κυκλάδων νήσων τὰς πλείους κατῴκισε καὶ τοῖς λαοῖς κατεκληρούχησεν, οὐκ ὀλίγην δὲ καὶ τῆς Ἀσίας τῆς παραθαλαττίου κατέσχε· διόπερ ἐν ταῖς νήσοις ἀλλὰ καὶ κατὰ τὴν Ἀσίαν τὰς ἐπωνυμίας ἔχουσι Κρητῶν λιμένες καὶ Μινῷαι καλούμεναι. ὁ δὲ Μίνως ἐπὶ πολὺ τῇ δυναστείᾳ προσκόπτων, καὶ τὸν ἀδελφὸν Ῥαδάμανθυν ἔχων πάρεδρον τῇ βασιλείᾳ, τούτῳ μὲν ἐφθόνησεν ἐπὶ δικαιοσύνῃ θαυμαζομένῳ· βουλόμενος δ' αὐτὸν ἐκποδὼν ποιήσασθαι εἰς τὰς ἐσχατιὰς τῆς ὑπ' αὐτὸν τεταγμένης χώρας ἐξέπεμψεν. ὁ δὲ Ῥαδάμανθυς διατρίβων εἰς τὰς νήσους τὰς καταντικρὺ τῆς Ἰωνίας καὶ Καρίας κειμένας Ἐρυθρὸν μὲν κτίστην ἐποίησε τῆς ἐπωνύμου πόλεως κατὰ τὴν Ἀσίαν, Οἰνοπίωνα δὲ τὸν Ἀριάδνης τῆς Μίνω υἱὸν κύριον τῆς Χίου κατέστησε. ταῦτα μὲν ουν ἐπράχθη πρὸ τῶν Τρωικῶν. μετὰ δὲ τὴν Τροίας ἅλωσιν Κᾶρες αὐξηθέντες ἐπὶ πλεῖον ἐθαλαττοκράτησαν, καὶ τῶν Κυκλάδων νήσων κρατήσαντες τινὰς μὲν ἰδίᾳ κατέσχον καὶ τοὺς ἐν αὐταῖς κατοικοῦντας Κρῆτας ἐξέβαλον, τινὰς δὲ κοινῇ μετὰ τῶν προενοικούντων Κρητῶν κατῴκησαν. ὕστερον δὲ τῶν Ἑλλήνων αὐξηθέντων συνέβη τὰς πλείους τῶν Κυκλάδων νήσων οἰκισθῆναι καὶ τοὺς βαρβάρους Κᾶρας 400
ἐξ αὐτῶν ἐκπεσεῖν· περὶ ὧν κατὰ μέρος ἐν τοῖς οἰκείοις χρόνοις ἀναγράψομεν.

*Λείπουσιν αἱ ἑξῆς βίβλοι, ἡ ϛ', ἡ ζ', ἡ η', ἡ θ', ἡ ι'.*

16. περὶ — διήλθομεν om., ut videtur, FG 21. ἀπέστειλεν] ἐξαπέστειλεν DP 22. τὰς πλείους CE(N), τὰς πλείους αὐτῶν D, caeteri ἐρήμων οὐσῶν, τὰς πλείους αὐτῶν κατῴκισε] κατῴκησε F 23. λαοῖς] ἄλλοις CFPQ 24. παραθαλαττίου] παραθαλαττίας N κατέσχε] παρέσχεν ..... τέλος N: recentior manus in margine annotavit: *VIII vel IX lineae libri V desunt.* Desinunt in κατέσχε etiam ADEO 26. Μινῷαι] Μίνωαι omnes καλούμεναι] καλοῦνται Rhodomannus 40. ἐξέβαλον — 41. κατῴκησαν om. F τινὰς] τινὲς P 400. 44. κατὰ] immo τὰ κατὰ 45. subscribunt G θεοῦ δῶρον· ἠδὲ Βαρθολομαίου πόνος, B Μιχαῆλος Ἀποστόλης Βυζάντιος μετὰ τὴν ἅλωσιν τῆς αὐτοῦ πατρίδος πενίᾳ συζῶν καὶ τήνδε τὴν βίβλον μισθῷ ἐν Κρήτῃ ἐξέγραψεν. „*De quo utroque calligrapho Montfaucon. Palaeogr. Graec. L. I. 8.*“ Wessel.

---

# DIODORI BIBLIOTHECAE EPITOME.

## LIB. I.

Prooemium operis. historiae momentum ad vitam humanam [1. 2.]. historia universalis ante a nemine scripta. eius idea [3.]. primus eam aggressus Diodorus 30 annorum operam impendit. operis adiumenta, oeconomia et partes tres: 6 libris fabulosa historia usque ad Troiam captam, 11 libris res per orbem gestae ad Alexandri M. obitum, 23 libris usque ad orbem terrarum per Romanos subactum [4.]. chronologica ratio operis [5.]. *Pars prima* mythica incipit. de rerum hominumque ortu disputat [6. 7.]. prima hominum vita rudis et inculta describitur. usus et necessitas docuit linguam, artes, vitae commoda [8.]. quae gens ortu prima fuerit incertum [9.]. *Aegyptiorum historia* incipit. causae cur multis primi homines in Aegypto provenisse videantur [10.]. theologia Aegyptiorum. dii *coelestes.* antiquissimi sol et luna seu Osiris et Isis [11.]. singulis universi partibus deos praefecere singulos Aegyptii: Iovem, Vulcanum, Demetram s. Terram matrem, Oceanen s. Nilum, Minervam [12.]. dii *terrestres* ex parte cognomines: Sol, Saturnus, Rhea, Iuppiter, Iuno, Vulcanus, Vesta, Mercurius. Saturnus genuit Iovem et Iunonem. ex his nati quinque dii: Osiris, Isis, Typhon, Apollo, Venus [13.]. Osiridis et Isidis merita de genere humano [14.]. iidem artium inventoribus favent et agriculturam colunt. inprimis meritus de mortalibus Hermes [15.], qui linguam et literas docuit. idem palaestrae, lyrae, oleae inventor [16.]. Osiris peregrinando omne genus humanum ad vitam cultiorem perducere constituit, Isidi relicto Mercurio tanquam socio et consiliario [17.]. itineris comites filii Anubis et Macedo, tum Pan, Maron, Triptolemus. primum iter in Aethiopiam. ibi Satyrorum gentem assumit [18.]. eo tempore Aegypti pars inundatione mersa. iter per Arabiam ad Indos [19.]. Asiam peragrat totam; per Hellespontum in Europam traiicit, primum in Thraciam. Macedoniae regem reliquit Macedonem,

a quo regio nomen accepit. in Attica agrorum culturam Triptolemo mandat. reversum in patriam eum inter deos retulere Aegyptii [20.]. occisus est a Typhone. caedem ulta Isis. collecta corporis frusta sacerdotibus sepelienda traduntur. eius honori tauros tum Apin tum Mneuin consecrant [21.]. Isis sola regnat: ipsa quoque post obitum divinis culta honoribus. Osiridis pudenda phalli nomine consecrata: haec Graeci etiam in orgiorum sacris venerantur [22.]. ceterum sunt qui Osiridem Thebis ex Semele et Iove natum dicant: huius erroris origo et occasio. Graeci plures Aegyptiorum deos falso suos iactant [23.], ut Herculem; sed Graecorum Hercules multo iunior [24.]. confusa plura deorum nomina. Iam Isidis inventa et facta commemorantur, inprimis ars medica. reperto pharmaco Horum, qui ultimus deorum regnavit, in vitam revocavit et immortalitate donavit [25.]. Immensi annorum numeri et chronologiae ratio redditur: anni quatuor mensium erant, ob id *horae* vel *hori* appellati. In Isidis aetatem cadunt qui Graecis gigantes dicuntur [26.]. Mores in Isidis honorem recepti, ut sororis matrimonium, feminarum imperium. Isidis columnae. Osiridis columnae cum inscriptionibus [27.]. coloniae tunc ex Aegypto deductae in Babyloniam, in Colchidem, Arabiam, Graeciam [28.]. Erechtheus Athenarum rex genere Aegyptius [29.]. Chorographia Aegypti. fines mediterranei [30.]. pars maritima. figura, magnitudo, incolarum urbiumque numerus [31.]. Nili descriptio incipit. cataractae [32.] insulae Nili. Meroe maxima. ostia Nili et fossae [33.]. Delta. eius situs ac proventus varii [34.]. animalia quae Nilus alit: crocodilus, ichneumon, hippopotamus [35.], piscium copia. Nili exundatio [36.]. scriptores de ea recensentur. fontes Nili ignoti, deque iis variorum opiniones [37.]. inundationis causae propositae a Thalete, Herodoto [38.]., Democrito Abderita, Ephoro [39.], philosophis quibusdam Memphi [40.], Oenopida Chio et Agatharchide Cnidio [41.]. Libri primi *pars posterior* [42.]. Victus Aegyptiorum antiquissimus describitur [43.]. regum classes et periodi diversae [44.]. Menas ex hominibus primus rex. Tnephachtus et 52 successores ex eadem familia. Busiris et 8 ex posteris. Thebarum urbs tunc exstructa describitur [45.]. urbis divitiae regumque sepulcra [46.]. Osymandyae monumentum describitur [47. — 49.]. Thebis astrologia inventa annusque primum ad solis cursum accommodatus. Vchoreus Memphin condidit, quae describitur [50.]. Moeris lacum sui nominis exstruendum curavit [51. 52.] Sesoosis (Sesostris) unaque educati sodales. parat expeditionem ad subigendum terrarum orbem [53. 54.]. Aethiopes superat, mare rubrum pervagatur, et primus naves longas exstruit, Asiam totam subiugat. Europam adit: positis in Thracia columnis in patriam redit [55.]. peregrinorum



quos in regnum adduxit sedes et opera [56.]. aggeres Nilo opponit et ex eo novas fossas ducit. murus contra Syros. navis aurea. obelisci et statuae [57.]. superbia erga victos. mors voluntaria. Darii de Sesoosi iudicium [58.]. Sesoosis filius [59.]. Amasis: sub quo Aegyptus Actisani Aethiopum regi subiicitur. praedonum oppidum Rhinocolura ab Actisane constitutum [60.]. recuperant Aegyptii regnum. Mendes sive Marrus labyrinthi auctor [61.]. Ceten sive Proteus tempore belli Troiani regnat. Remphis [62.]. reges ignavi. Nileus. Chemmis. hic pyramidum maximam construxit [63.]. Cephren vel Chabryes pyramidem alteram statuit. Mucerinus tertiam pyramidem condidit. plures pyramides commemorantur [64.]. Bocchoris. Sabaco genere Aethiops poenas capitales abrogat reosque ad opera publica condemnat [65.] dodecarchia. commune inchoant 12 principes mausoleum ad lacus Moeridis ostium. sed Psammetichus assumto ex Caria et Ionia milite solus regnum occupat [66.]. ducenta millia Aegyptiorum militem externum non ferentium deficiunt. rex benignus in exteros, praecipue in Graecos [67.]. Apries bello in Phoenices, Cyprios etc. clarus. Amasis. mox Cambyses Aegyptum Persarum regno subiicit [68.]. Sequuntur Aegyptiorum instituta. obiter Graeci commemorantur qui Aegyptum adierunt [69.]. regum vita, instituta et officia. regum victus [70.]. ipsorum arbitrio et lubidini nihil permissum [71.]. luctus ob mortuum regem. iudicium publicum de regum vita [72.]. *Nomi* et *nomarchae*. incolarum classes: sacerdotes, reges, milites [73.], agricolae, pastores, artifices et opifices [74.]. *Iudiciorum* ratio. dicasterium supremum 30 virorum. praesidis insigne Veritas. litigantes scripto agere oportebat [75.]. causidici non admissi [76.] *Leges* de criminibus [77. 78.]. leges de commerciis [79.]. leges de furto. leges de statu domestico [80.]. literarum studia. astrologiae studium. Chaldaei in Babylonia Aegyptiorum coloni et alumni. palaestram et musicam haud curant Aegyptii [81.]. ars medica [82.]. animalia sacra publice aluntur. eorum caedes mortis poena vindicatur [83.]. Apim, Mneuim, hircum, crocodilum, leonem etc. praecipua cura alunt et venerantur [84. 85.]. causa religiosi bestiarum cultus mythica. causae aliae [86. 87.]. hircus foecundae generationis symbolum. boves rufos immolare licuit. lupi etiam sacri [88.], inprimis autem crocodili. sanctitatis bestiarum aliae probabiles causae [89. 90.]. funerum ritus. corporum mortuorum secandorum et condiendorum ratio [91.]. iudicium publicum de mortuis [92.]. religiosus defunctorum cultus et in maiores verecundia quam vim habuerit ad animum et ad morum sanctitatem [93.]. Aegyptiorum legislatores recensentur: Mneuis, Sasychis, Sesoosis, Bocchoris [94.], Amasis, Darius [95.]. Graeci qui discendi studio in Aegypto peregrinati

sunt. Graecorum mythi de inferis ex Aegypto translati [96.]. rerum aliarum exempla ex Aegypto in Graeciam advectarum [97.]. legumlatores, philosophi et artifices Graecorum ab Aegyptiis sua inventa acceperunt [98.].

## L I B. II.

Repetitio brevis historiae Aegypti. succedit Asia. *Assyriorum* historia. primus rex Ninus: delectos iuvenes armat et cum Ariaeo rege Arabiae societatem init. primo Babyloniam, deinde Armeniam subigit [1.], tum totam Asiam intra Tanain et Nilum imperio subiicere parat. debellatorum populorum recensus [2.]. his peractis urbem ingentem ad Euphratem condere constituit, Ninum appellatam [3.]. Bactrianos deinde bello petit, apud quos Semiramidem uxorem ducit. Semiramidis mirabilis ortus et miraculo servata vita. educatam a Simma pastore regio [4.] Onnes consilii regii princeps primo in matrimonio habuerat. Nini incredibilis contra Bactrianos copiarum numerus, comparatus cum aliorum populorum exercitibus [5.]. primus impetus in Bactra, ubi Oxyartes rex sedem habuit, irritus. in Nini castris aderat Onnes eumque secuta Semiramis, cuius consilio et audacia arx tandem capta est. mulieris et pulchritudinem et virtutem admiratus Ninus cogit maritum ut regi cedat uxorem [6.]. Nino mortuo Semiramis succedit. marito monumentum ponit eiusque opera aemulans Babylonem condere instituit. urbis magnitudo, muri [7.]. pons Euphrati impositus iungit urbem. regiae duae, castella duo, turres, muris impressa animalium simulacra, venationes, portae cum aedibus regiis [8.]. fossa ingens. Beli templum cum specula siderum. deorum statuae, mensa aurea, vasa [9.], horti pensiles [10.]. urbes aliae et emporia multa ad Euphratem et Tigrin constructa. obeliscus ingens in via nobilissima [11.]. immensa bituminis copia. lacus mortifer [12.]. horti in Media apud Bagistanum montem a Semiramide apparati. petris insculptae inscriptiones Syriae. horti alii ad urbem Chaonem, ingentem petram includentes. Semiramidis vaga libido. via per montem Zarcaeum structa. Ecbatanis regiam condit, eoque per montem Orontem aquas ducit [13.]. Semiramidis itinera in Persiam et reliquam Asiam et opera ubique exstructa. iter per Aegyptum in Libyam ad Iovem Ammonem et in Aethiopiam [14.]. obiter Aethiopum sepeliendi ritus describitur [15.]. causae quibus permota Semiramis bellum Indiae intulit. apparatus belli Indici, praesertim elephantorum simulacra [16.]. Indorum regis ab adversa parte apparatus, praecipue 4000 naves ex arundine [17.]. is admonitione et minis reginam nequidquam deterrere studet. prima



navalis pugna, qua Semiramis vicit [18.]. pugna terrestris. Indi iterum in fugam acti. sed Stabrobates rex aciem restituit. regina vulnero accepto vix cum tertia exercitus parte evasit [19.]. ob insidias factas et memor oraculi Iovis Ammonis Ninyae filio regnum tradit. confestim evanuit, ab Assyriis deinde inter deos relata et sub columbae imagine culta. scriptores recensentur qui de Semiramide diversa narrant [20.]. Ninyae et successorum omnium per 30 aetates vita desidiosa. Sardanapallus ultimus. tunc Assyria Medis subiecta [21.]. e tot obscuris regibus Teutamus memorabilis, qui copias ad bellum Troianum misit. harum dux Memnon, a quo Memnonia i. e. aedes regiae Susis exstructae [22.]. Sardanapalli vita luxuriosa [23.]. Arbaces et Belesys defectionis consilia ineunt. insurgentium contra Sardanapallum coactae copiae et socii advocati [24.]. duplici proelio victor Sardanapallus. tertium adeo victor [25.], et interea in propinquo novae copiae e Bactriana missae. sed hae interceptae et ad defectionem illectae. Sardanapallus triplici victoria elatus et novae defectionis ignarus ad pristinam ignaviam se convertit. regii noctu oppressi funduntur [26.], rex in tertium annum obsidione clausus tenetur. Euphrates facta exundatione muri partem diruit. tum rex abiecta spe incendio omnia delet et semet ipsum perimit. Arbaces confestim rex appellatus [27.]. pietatis specimina in amicos exhibet et indulgentiae praecipuae in Belesyn, qui magnam vim auri sub cinere absconditam fraude abstulerat. regni sedes Ecbatana, Nino deleta [28.]. obiter de *Chaldaeis* Babyloniorum sacerdotibus et eruditis. eorum officia et disciplinae recensentur. comparantur cum Graecorum philosophis [29.]. doctrina de mundo, deo, providentia. planetarum et stellarum fixarum systema [30.], et ex iis sumtae praedictiones. 12 stellas extra zodiacum viventibus, 12 stellas mortuis destinatas putant. de luna, terra. chronologia infinita [31.]. Sequitur *Medorum* historia. auctores Herodotus et Ctesias sub examen vocantur. regum successiones usque ad Artaeum [32.]. huius bellum cum Cadusiis [33.]. Artynes, Astibaras. Parthi deficiunt ad Sacas. inde bellum cum Sacis. Sacae mulierum ferocia clari. regina Zarina sapientia et virtute nobilissima. monumentum sepulcrale ei publice consecratum. Aspadas (Astyages) ultimus Medorum rex a Cyro victus: Media Persarum provincia [34.]. *India.* regionis situs et magnitudo [35.]. proventus multiplices et copiosi [36.]. flumina describuntur, inprimis Ganges et Indus [37.]. incolae omnes indigenae. antiquissimae historiae fragmenta: Bacchus eo duxit exercitum, agri, vini culturam, artes, religiones, leges docuit: Indiaeque regnum per 52 annos tenuit [38.]. deinde id Hercules occupavit et pro numero natorum in plura regna divisit [39.]. populi species s. ordines septem: philosophi, agricolae, pastores [40.], artifices,

milites, ephori, senatores [41.]. elephantorum brevis historia. advenarum peculiaris tutela [42.]. *Scytharum* historia. prima eorum sedes ad Araxem perexigua fuit. reges conditores, praesertim Scytha ab Iove genitus. inde orti Pali et Napae, et per hos occupatae terrae. Sacae, Massagetae, Arimaspi [43.]. anarchia, deinde gynaecocratia [44.] et mulierum exercitus; coalescens adeo *Amazonum* natio. Themiscyra Amazonum urbs ad ostia Thermodontis. Amazonum res fortiter gestae et victoriae [45.]. Herculis adversus eas expeditione fractae earum opes. paulatim a vicinis debellatae et exstinctae. Penthesilea ultima Amazonum regina, tempore belli Troiani [46.]. *Hyperborei.* terrae situs ex Hecataeo. Latona ibi nata ideoque Apollinis cultus praecipuus. eximia eorum in Graecos amicitia. luna ipsis proxima. Apollinis epiphania et annus Metonis. imperium est penes Boreadas [47.]. *Arabes.* regionis situs. versus orientem *Nabataei* terram sterilem (Arabiam desertam et petraeam) incolunt, ipsi latrociniis nobiles. petra ingens, lacus bitumen procreans, balsamum stirps indigena [48.]. *Arabia felix.* stirpium fructiferarum et odoriferarum genera [49.]. aurum apyrum s. purum. pecorum abundantia. struthocameli [50.], camelopardales, tragelaphi et bubali [51.]. lapides: crystallus, smaragdus, beryllia. de generatione gemmarum in Arabia per solis calorem philosophumena [52.]. aliae proprietates terrarum orientalium a maiore solis calore [53.]. Arabes scenitae s. pastores versus meridiem. agricolae et mercatores versus Syriam. animalium recensus: praesertim elephanti, cameli varii generis [54.]. *Insulae incognitae in* Oceano meridionali ab *Iambulo* descriptae. Iambulus ab Aethiopibus captus inter devotos ad insulas beatas ablegatur [55.]. incolarum statura, corporis proprietates, lingua gemina. coeli temperies mitis, arborum fructus per totum annum [56.], annona copiosa. literarum studia, maxime astrologia. aetas longissima. scriptura deorsum ducta. vita lege definita [57.]. mulieres communes. animalia plane peculiaria. puerorum ingenia per volucres explorant. natu maximus rex in singulis tribubus. insulae sunt septem [58.]. victus ratio frugalis. dii. terrae proventus et animalia. vestitus. sacrorum et funerum ratio [59.]. Iambuli reditus in Graeciam [60.].

## L I B. III.

Duorum priorum librorum brevis complexio [1.]. sequitur *Aethiopum* historia. hi primi homines fuisse videntur, utpote autochthones solique proximi. primi deos coluerunt, ideoque diis grati et tuti ab externorum populorum imperio [2.]. Aegyptii eorum colonia ab Osiride deducta. leges et ritus iidem. idem scripturae genus, nempe hieroglyphicum. sacra etiam regumque insignia eadem [3.]. obiter de literis Aethiopicis sive hieroglyphicis [4.]. leges singulares: reges e sacerdotibus ac per sacerdotes leguntur: iidem arbitrio suo nihil, omnia e legibus decernunt. mortis poena non infertur, sed nuntiatur. exsilium abominantur [5.]. regi sacerdotes misso nuntio mortem imperant. Ergamenes primus hanc potestatem aspernatus [6.]. regis amici iisdem quibus rex naevis insignes, mors etiam communis [7.]. Aethiopes extra Aethiopiae fines. Aethiopum corpora et ingenia. arma. vestitus. victus [8.]. Aethiopum supra Meroen insulam theologumena. insunt quoque athei. ritus sepeliendi varii. reges creant vel formosissimos vel pastores optimos vel opulentissimos vel fortitudine probatissimos [9.]. de regione fertilissima et amoenissima certant Afri et Aethiopes. elephantum et draconum certamina [10.]. adiungitur recensus scriptorum de rebus Aethiopum [11.]. denique fodinae aurariae in confiniis Aegypti et Aethiopiae describuntur. damnatorum ad metalla ingens numerus et aerumnosa vita. operae in metallis singulae [12. 13.]. auri secernendi et praeparandi reliqua ratio. Aethiopes ad sinum Arabicum in Troglodytica et australes [14.]: ichthyophagi. inculta et horrida eorum vita. piscandi ratio [15.]. e piscibus parati et asservati cibi [16.]. in humido vita continua, concubitus vagus, vox incondita, vita morborum expers, sed brevis [17.]. gens a sinu Arabico remotior his agrestior. apathia incredibilis. non lingua sed manibus colloquitur. cum phocis consortium habet [18.]. habitatio multiplex vel in speluncis vel sub costis balaenarum alga obtectis vel sub congestarum arborum umbraculo vel sub tumulis musci marini. mortuos proiiciunt piscibus [19.]. incolunt nonnulli valles a praeruptis petris et mari inclusas, quamobrem aborigines habentur [20.]. chelonophagi. testudines venandi ratio describitur. carne et testis utuntur. cetophagi [21.]. obiter commemoratur piscandi modus in ora Babyloniae obiecta [22.]. rhizophagi. admodum a leonibus infestantur [23.]. hylophagi et spermatophagi. horum mores agrestes [24.]. venatores. venatus ferarum describitur [25.], inprimis elephantum venatio [26. 27.]. simi et struthophagi. struthionum, quod avium genus est, descriptio [28.]. acridophagi. locustas aucupandi modus et e locustis paratus cibus. gens ipsa pediculorum morbo affligi solita [29.]. his propinqua regio ob magnam phalangiorum et scorpionum vim desolata [30.]. cynamolgi. boum Indicorum venatio per canes [31.]. Troglodytae. mulieres communes, victus a pecore, quod parentum loco est. potus, habitus. circumcidunt genitalia [32.]. species eorum Megabares. peculiaris funerum et proeliorum ratio. infirmi sponte finiunt vitam. his turpe vitae amore teneri. tanta ingeniorum

morumque diversitas e coeli discrimine explicanda [33. 34.]. Sequitur historia animalium: rhinocerotis, sphingis, cynocephali, cepi, tauri sarcophagi, crocottae [35.], serpentium. maximi generis serpentes capiendi et domandi difficultas [36.]. nova capiendae belluae ratio describitur. monstrosi corporis serpens Ptolemaeo oblatus et mansuefactus [37.]. Aethiopum historia finitur. *Sinus Arabici* descriptio, eaque primo generalis. termini longitudinis et latitudinis. deinde sequitur descriptio particularis orae dextrae [38.]. portus et insulae, praesertim serpentaria lapide topazio clara [39.]. ichthyophagorum et Troglodytarum gentes oram accolunt. mare profundum in superficie viride ob algam. navigatio difficilis et periculosa [40.]. ulterior pars orae ac maris deinceps profundissimi et belluarum plenissimi [41.]. ora obiecta Arabiae: Neptunium, palmetum, phocarum insula [42.]. Maranei et Garyndanei, orae accolae, horumque sacra quinquennalia in palmeto. Laeanitarum sinus: accolunt Arabes Nabataei [43.]. Banizomenum sinus: adiacent tres insulae, prominent petrae immensae. Arabes Thamudeni. congeries insularum. peninsula amoenissima cum pulchro portu Charmuthae [44.]. quinque montium promontorium. Arabes Debae. amnis aurifer. Alilaei et Gasandae Arabes, quorum regio aurum nativum profert [45.]. Carbae et Sabaei Arabes, qui Arabiam felicem incolunt. huius regionis suavissimi odores [46.], sed serpentum perniciosorum abundantia. bitumen et barba hirci, contra morbos remedia. Sabae, urbs regia. regum conditio. gens libera et beata, summa auri argentique copia, supellex magnifica. insulae beatae [47.]. singularia in coelo, in ortu siderum ac solis praesertim observata. venti his regionibus familiares [48.]. *Afri* Aegypto proximi: Nasamones, Auschisae, Marmaridae, Macae: horum alii agricolae alii nomades alii latrones. arma et mores [49.]. agrorum proventus. serpentum multae species, praesertim cerastae. vanae species per aera volantes [50.] earumque causae physicae ex aere immoto derivatae [51.]. *Amazones Afrae.* ob summam antiquitatem in dubium vocatae. species erant Gorgones [52.]. Amazonum gynaecocratia. virorum inter eas conditio servilis. ab adustis mammis nomen habent. sedes erat insula Hespera in palude Tritonide, arboribus, pecore, lapidibus pretiosis clara [53.]. hinc profectae arma inferunt: 1) Atlantiis: regina Amazonum tum erat Myrina. 2) Gorgonibus [54.]. Gorgones bello superstites Medusa regnante Perseus perdomuit, sicut et ipsas Amazones Hercules delevit. 3) Africae populis inita cum Horo in Aegypto amicitia. 4) Arabibus. 5) Syris ac Cilicibus. 6) nationibus ad Taurum. urbes occupatas Myrina a copiarum ducibus cognominavit. 7) insulis. 8) subiungunt Samothracen [55.]. *Atlantiorum* historia adiicitur, quos ortus deorum memorabiles et



insignes fecit. Vranus primus rex. is astrologia clarus [56.]. uxores plures habuit. liberi e Titaea Titanes appellati. filiae Basilea et Rhea s. Pandora. ex Basilea et fratre Hyperione suscepti Helius et Selene. post interitum ut dii inter coeli sidera relati [57.]. de Basilea Phrygum mythologumena: natam esse e Maeone et Dindyma et expositum in monte Cybelo: inde appellatam Cybelen et matrem montanam: fistulam, cymbala, tympana etc. invenisse; post vitiatam [58.] furibundam aufugisse, ac cum Marsya comite et amico ad Bacchum et Apollinem pervenisse. Marsyae et Apollinis certamina. Apollinis cum Cybele errores. Cybele ipsa in Phrygia ex oraculi responso pro dea culta [59.]. Vrani filii Atlas et Saturnus regnum inter se dividunt. Atlantis filius Hesperus, filiae 7 Atlantides, singulae illustribus natis clarae [60.] Saturni et Iovis ab eo oriundi mythologia [61.]. Bacchi mythica historia supra commemorata copiose explicatur. physica explicatio. bis natus dicitur ob vitem Deucalionis diluvio exstinctam ac velut renatam [62.]. historica narratio qua tres exstitisse dicuntur. antiquissimus Indus [63.]. alter Iovis et Cereris filius. eius inventa memorantur. tertius est Thebanus Iovis et Semeles filius, ob Iunonis invidiam per abortum natus et in Iovis femore ad maturitatem perductus. baccharum agmina per terrarum orbem ducit [64.]. impii Bacchi contemtores puniuntur, inter quos nobilissimi Pentheus, Myrrhanus, Lycurgus. Charopi praemii loco Thraciae regnum et mysteria tradita. Orpheus mysteriorum praeses. Bacchi reditus cum spoliis [65.]. regiones et urbes commemorantur de Bacchi patria certantes. Afrorum de Baccho narrationes a Graecis scriptoribus servatae [66.]. antiquissimos scriptor Linus, cuius triumque discipulorum, Herculis, Thamyrae, Orphei, literaria notitia exhibetur [67.]. quae Linus de Ammone rege Libyae relata habeat. ex virgine Amalthea casu oblata genuit filium (Bacchum), clam in urbem Nysam translatum, ut tutus esset ab uxoris Rheae insidiis. insulae amoenissimae in qua Nysa sita erat descriptio [68.], praesertim antri [69.], in quo puer custodiebatur ab Aristaeo et Minerva, quae in eadem insula ad amnem Tritonem nata erat. obiter Minervae facinora memorantur, inprimis aegidis monstri caedes, ob quam vindicandam eius mater tellus gigantes peperit, deorum acerrimos hostes. Bacchi prima studia, praecipue vitis cultura [70.]. Rhea noverca ad Titanes revertitur, et Saturno iuncta bellum in Ammonem movet. Ammon superatus in Cretam insulam fugit. sed Bacchus adiunctis Amazonibus et Minerva Titanes debellat. quo facto deus pronuntiatur, cui primo vino libant [71.]. belli socii etiam Sileni erant, qui describuntur. expeditionis militaris reliqua memoranda: in urbe Zabirna campen monstrum horrendum occidit; ubique beneficus, impiis gravis, in ipsos hostes victos, Satur-

num Rheamque, pius ac lenis [72.]. Ammonis oraculum instituit. Aegypto Iovem regem praeficit vinique culturam impertit; similiter reliquas orbis partes artibus suis cultiores reddit. ad immortales abit, quo facto Iuppiter universi mundi rex constitutus est [73.]. denique afferuntur quae Afri de Baccho altero et tertio tradiderint [74.].

## L I B. IV.

Exordium quo historiae antiquae difficultates explicantur. adiungitur libri argumentum. exterorum antiquitati Graecorum antiquissima historia nunc adiungenda. *Bacchi* utpote et antiquissimi et beneficentissimi fabula primo loco enarranda [1.]. Bacchi natales. a Iove et Semele prognatus nymphis in antro Nysae traditur, unde Dionysi nomen habet. vini et zythi inventor. itinera usque in Indiam instituit [2.]. redeunti sacra constituuntur in Graecia: ritus solemnes describuntur [3.]. Bacchus antiquior, Sabazius, Proserpinae filius. reliqua Bacchi referuntur: ingenium forma, comites Musae, Silenus paedagogus et socius, habitus [4.]. Bacchi cognomina eorumque causae. causae redditae cur biformis sit, cur Satyri et Musae in eius comitatu [5.]. *Priapus* Bacchi et Veneris filius. origines cultus vel a propagatione generis humani vel ab Osiridis historia derivandae. Ithyphallus et Tychon sunt cognomina. Hermaphroditi ortus [6.]. *Musae*, earum parentes, numerus, nomina nominumque ratio [7.]. *Hercules*. mythus de eo multa continet impedita et quae fidem excedant, quod rei mythicae proprium est [8.]. immensae vires cum per ipsam portentosam procreationem ei infusae tum per Iunonem, quae mammas inscia ei praebuerat [9.]. in cunis suscepta pericula et perpetrata facinora, quibus Herculis nomen consecutus est, ante Alcaeus nominatus. Thebis educatus ab Ergini tributo et tyrannide urbem liberat, Orchomeniorum Minyarumque oppidum destruit. Eurystheus per invidiam Herculi 12 certamina imponit [10.]. incidit primo in animi aegritudinem et furorem, quo liberatus singulos adit labores. 1) leo in Nemea occisus, 2) hydra Lernaea [11.], 3) aper Erymanthius. tum idem Centauros devicit. caesorum nomina [12.]. 4) cerva aureis cornibus et velocitate insignis capta, 5) aves e Stymphalide palude abactae. 6) Augiae stabulum expurgatum, 7) taurus e Creta in Peloponnesum traductus [13.]. defunctus hoc certamine ludos Olympicos Iovi instituit Hercules. ipse in omni certaminum genere victor a diis deabusque munera accipit. obiter commemorat historicus Nioben primam, Alcmenam vero postremam mortalem fuisse a Iove compressam [14.]. bello a gigantibus in deos moto Hercules diis auxilio venit, et ita coelestium deorum honores consequitur. Prometheum igne rapto bene de genere humano meritum poena liberat. 8) inde Diomedis equas carnivoras rapuit. tunc Iasonis ad Colchos comes fuit [15.]. 9) expeditio ad Amazones ad rapiendam Hippolytae zonam. nomina Amazonum devictarum [16]. 10) iter in Iberiam ad abducendos Geryonis boves. congregatis in Creta insula, quam bestiis purgat, militibus primo in Libyam traiicit, ubi Antaeum in certamine conficit, terramque a feris et tyrannis liberat [17.]. iter convertit in Aegyptum et Busiridem occidit, inde in Libya Hecatompylon condit, post a Carthaginiensibus expugnatam: tandem ad Oceanum Gaditanum columnas statuit. victis Chrysaoris filiis boves abigit. columnae Herculis et fretum ab eo mutatum cum similium operum in Thessalia et Boeotia commemoratione [18.]. transitus in Celticam, ubi Alesiam urbem exstruit, inde per Alpes in Italiam [19.]. Ligurum ager ingratus et duri labores [20.]. Hercules ad Tiberim benigno hospitio exceptus; decimae Herculi votae templumque exstructum. in campum Cumaeum s. Phlegraeum progressus gigantes perdomuit [21.]. Herculis ad lacum Avernum opera. via Heraclea. venator in Dianam impius supplicio affectus. cicadae ob Herculis pietatem deletae. nando Hercules cum bobus in Siciliam traiicit [22.]. thermis Himeraeis et Egestanis recreatus Hercules Erycem certamine vincit et Siciliam praemium reportat, quam unus e posteris, Dorieus, obtinet, et in ea Heracleam exstruit, deinde a Carthaginiensibus dirutam. Syracusis sacra Cereri et Proserpinae instituit. Sicanos infesta acie obvios caedit. ducum nomina [23.]. Leontini et Agyrinaei divinos Herculi honores exhibent. pro his monumenta relicta: lacus sui nominis, Geryonis lucus, fanum Iolai ludis celebratum. tum Hercules boves retro in Italiam agit, Lacinium ob furtum obtruncat, Crotoni monumentum ponit [24.]. Herculis reditus in Epirum. 11) Cerberus ex inferis protractus. ante Hercules sacris Eleusiniis erat initiandus, quae occasionem praebent narrationis de Orpheo [25.]. Hercules apud inferos. 12) rapta Hesperidum aurea mala. diversae de his opiniones [26.]. Atlas et Hesperus, Atlantides et Hesperides describuntur. Hesperides Busiridi raptas Hercules Busiride et raptoribus occisis Atlanti restituit. inter munera Hercules ab Atlante astrologiam accepit, ab ipso Graecis traditam [27.]. interea Amazones ob illata per Herculem damna raptamque Antiopen Graecis bellum intulerant, proelio victae a Theseo [28.]. perfunctus laboribus oraculi iussu sobolem e Thespiadibus procreatam duce Iolao in Sardiniam mittit ab ipsis occupandam. Thespiadum et natorum historia. Sardinia ab Iolao expugnata et deinde exculta [29.] advocatus e Sicilia Daedalus opera in Sardinia exstruit. Iolaus deinde in Graeciam redit. colonia nova in Sicilia. condita

in Sardinia colonia bello nunquam victa [30.]. iam de sobole sollicitus Hercules pro Megara, quam Iolao permittit, Iolen petit. accepta repulsa, Euryti patris equas abigit, huiusque filium Iphitum insequentem de turri praecipitat. tum Hercules expiationis causa Omphalae Maeonum reginae in servitutem traditus, regno a Cercopibus liberato, reginae coniugium consequitur [31.]. deinde reversus in Peloponnesum navibus Troiam petit, iniurias a Laomedonte olim illatas ulturus. proelio commisso Laomedontem occidit regnumque Priamo tradit [32.]. Herculis bellum in Augeam ob recusatam mercedem. Centauro obtruncato in Hippolytae nuptiis primo Tirynthem, deinde Pheneum in Arcadia fugit. Eurytus et Augeas caesi, regnum Phyleo traditur. Tyndareus Sparta pulsus, in regnum restituitur. Auge ab Hercule gravida damnata ut submergeretur, servatur cum filio Telepho [33.]. relicta Peloponneso Hercules Calydonem Aetoliae urbem petit et Deianiram uxorem ducit. apri Calydonii a Meleagro eius fratre confecti historia [34.]. de ipso Calydoniorum agro Hercules bene meruit facto novo Acheloi alveo, unde orta fabula de cornu Amaltheae [35.]. Calydoniorum in bello contra Thesprotos socius Hercules Ephyram vi capit regeque Phyleo occiso ex eius filia Tlepolemum procreat. ob Eurynomum casu ab eo interemtum una cum Deianira fugam capessit. Deianiram per flumen Euenum Nessus Centaurus portat, sagitta transfixus dum eam stupro vitiare conatur, relicto Deianirae philtro. deinde Hercules cum sociis Ceycem Trachiniae regem hospes adit [36.]. Dryopes in Delphos impii ab Hercule sedibus expulsi, eorumque rex Phylas occisus. e Phylantis filia Antiochum progenuit. nati e Deianira. Dryopum expulsorum novae sedes resque gestae. Dorienses ab Hercule contra Lapithas defensi. Cygnus certamine victus. Astydamia subacto Ormenii rege, eius patre, bello capta, e qua Ctesippus natus. Iole etiam rapta occisis fratribus. inde ad promontorium Cenaeum Hercules discedit [37.]. ad celebrandum sacrum vestes solemnes per Licham allatae, quas Deianira amoris in Iolen certior facta philtro tingit per Centaurum oblato. insecutus est Herculis exitialis morbus. eius rogus in Oeta [38.]. Herculi instituta sacra [39.]. *Argonautae.* horum enim Hercules socius erat. Iasonis consilium [40.] et itineris apparatus. itineris socii [41.]. fata in itinere. ad oram Troadis Hesionen devotam Hercules liberat et infestam balaenam conficit. praemii loco accipit is Hesionen et equos regios, quos interea regi custodiendos relinquit [42.]. tempestate agitati diis in Samothrace praeeunte Orpheo vota faciunt. Samothraces dii, Dioscuri. inde in Thraciam progressi duo regis Phinei filios ob novercae criminationes crudelissimo supplicio affectos vindicant [43.]. Phineus repugnans pugna occisus: regnum filiis traditum. eadem fabula ab aliis



aliter narrata. inde in Pontum profecti appellunt ad Chersonesum Tauricam, ignari hic more barbarorum hospites immolari [44.]. huius immanitatis origo simulque res Colchicae narrantur. Aeetes Colchidis, Perses Tauricae rex, fratres. Hecate Persae filia venena invenit, patrem veneno perimit, hospitum immolationem instituit. Aeetae nupta Circen, Medeam et Aegialum peperit. Circe matris artem inhumanam colit. Circaeum [45.]. Medea mitioris ingenii servat appulsos peregrinos. suspecta patri fugit et obviam fit Argonautis. Iason data matrimonii fide ea comite cum sociis vellus aureum occupare parat [46.]. Fabula de Phrixo, aureo vellere apud Colchos in templo Martis servato, eiusque custodibus draconibus aliisque rebus ad id pertinentibus [47.]. caesis custodibus raptoque vellere aureo Argonautae ad naves confugiunt. Aeetes eos persecutus in pugna perit. Argonautarum reditus. Glaucus itineris comes et adiutor [48.]. reversis in Troadem ob Hesionen equosque recusatos pugna ineunda erat cum Laomedonte, quo occiso regnum Priamo traditur. in Samothrace diis Samothracibus vota reddita [49.]. Domi rumor erat Iasonem in Ponto periisse. itaque Pelias exstincta Iasonis stirpe regnum occupaverat. Iason redux iniurias ulcisci parat, usus Medeae consiliis et insidiis [50.]. assumta sagae persona Medea urbem et regiam ingreditur, magica ministeria senectae transformandae in iuvenilem vigorem offert et approbat [51.]. Pelias Medeae fraude occisus. dato signo Argonautae regiam invadunt et recuperant [52.]. Iason in superstitem Peliae familiam benignus; Acasto filio regnum tradit, filias viris principibus collocat. Argonautae novum foedus in futuros casus iungunt et ludos celebrant Iovi Olympio sacros [53.]. Iasonis reliqua historia. nati e Medea 3 filii. Medea repudiata; novum coniugium cum Glauce. ira furens Medea igne et caedibus grassatur, in ipsos filios impia, insuper Herculem vindicem contra Iasonem invocat [54.]. Iasonis mors voluntaria. regni heres Thessalus, superstes Iasonis filius, unde Thessali dicti. Medeae errores, susceptus ab Aegeo filius Medus Medorum rex [55.]. narrationes aliae de Medea et Medo. Argonautarum reditus per aliam viam a nonnullis traditam, adverso Tanai et per aliud flumen in Oceanum, inde vero in mare mediterraneum, eiusque rei opinata vestigia [56.]. *Heraclidae*, Herculis filii. Trachine apud Ceycem regem educati, ab Atheniensibus contra Eurystheum in tutelam recepti [57.]. victo Eurystheo Heraclidae duce Hyllo Peloponnesum et Mycenarum regnum recuperare parant. res singulari certamine diremta. Hyllo caeso Heraclidae ad 50 annos regno et Peloponneso exclusi. eorum reliqua facta [58.]. *Theseus*, Herculis aemulus. eius genus. prima virtutis specimina in Coryneten, Sinin, aprum Crommyonensem, Scironem, Cercyonem, Procrusten.

Athenas petit, ubi ab Aegeo certis signis agnoscitur [59.]. Fabula de Minotauro. praemissa Cretae historia et regum Cretensium recensus. Androgeos Minois filius per insidias ab Aegeo tum Atheniensium rege interemtus [60.] Attica a Minoe propterea bello et fame pressa. oraculo iussi Athenienses poenam dant 7 pueros puellasque quotannis Minotauro proiiciendos. Theseus Ariadnae ope adiutus Minotauro confecto Athenas poena liberat. Ariadne in reditu in insula Naxo a Baccho rapta. dolore correptus Theseus candida vela pro nigris substituere obliviscitur; quibus visis Aegeus vitam finit. succedens Theseus legibus et institutis patriam auget [61.]. Phaedra Thesei coniux Hippolytum privignum impuro amore prosequitur. utriusque interitus. Theseus exul [62.]. Helena per Theseum et Pirithoum rapta. simile ausum in regno Plutonis in Proserpinam. Pirithoi ob id poena [63.]. *Septem ad Thebas.* Laius Thebarum rex et Iocasta. filius Oedipus, quem pater oraculo monitus exposuerat, inscius patrem occidit. sphinx. Iocastae coniugium et regnum praemii loco propositum, si quis eius aenigma solvat. Oedipus solvit, et matrem inscius uxorem ducit, e qua Eteoclem et Polynicen procreat [64.]. Oedipo incluso filii regno potiti. Polynices a fratre regno pulsus ab Adrasto auxilium impetrat. Adrastus et Polynices cum Tydeo et quatuor aliis sociis Thebis bellum inferunt. cadunt omnes praeter Adrastum [65.]. septem ducum filii Epigoni dicti duce Alcmaeone bellum in Thebas renovant. Thebani victi suasu Tiresiae in agrum Tilphossaeum in Boeotia migrant. Thebae ab Epigonis captae. Daphne Tiresiae filia Delphos missa Sibyllae nomen meruit [66.]. Thebani deinde Doriensium terras occupant. obiter Doriensium, Aeolum, Boeotorum origines [67.]. Aeoli progenies Salmoneus et Tyro: horum posteri usque ad Nestorem et bellum Troianum [68.]. *Lapithae* et *Centauri.* genus eorum [69.]. Centaurorum bellum adversus Lapithas horumque reliquiae [70.]. *Aesculapius.* eius parentes, merita de vita hominum. Plutonis de eius arte querelae. filii Machaon et Podalirius [71.]. *Penei* et *Asopi* genus cum posteris [72.]. *Pelopis*, *Tantali*, *Oenomai* historia. Oenomaus oraculo territus Hippodamiae unicae filiae procis certamina proponit cum vitae periculo. Pelops Myrtili auxilio adiutus victor consequitur puellae coniugium. Peloponnesus ab eo nomen habet [73.]. Pelopis pater Tantalus ob opes in ipsos deos superbus apud inferos cruciatibus affectus. Niobe eius filia liberorum numero superbiens orbitate punita. Tantalum regno expulerat Ilus Trois filius [74.]. huius itaque stirps a Teucro repetita et usque ad Priamum deducta adiicitur [75.]. Daedalus statuarius et architectus ingenio et arte praestans. Talum ex sorore nepotem artis aemulum et ministrum habuit novis inventis clarum. hunc Daedalus invidia commotus dolo interemit. capitis damnatus fuga



in Atticam vitam servat [76.]. fuga delatus in Cretam construxit bovis machinam ad explendam Pasiphaae libidinem. Minotaurus inde ortus. labyrinthus. ob Minois iram Daedalus cum Icaro in Siciliam fugit. ab hoc et mare Icarium et insula Icaria nomen habent. fabula de alis e cera factis [77.]. Daedali opera in Sicilia effecta [78.]. bellum ob receptum Daedalum a Minoë Siculis illatum. Daedali mors et monumentum sepulcrale. Cretenses in Sicilia relicti urbem Minoam et Engyum condunt, templumque deabus matribus exstruunt [79.]. dearum matrum cultus describitur. templum sumtibus maximis constructum [80.]. *Aristaeus.* Apolline et Cyrene ortus nymphis traditur nutriendus, a quibus apum, olivarum, lactis culturam accepit. Thebas profectus ex Autonoe Cadmi filia Actaeonem procreavit, deinde a canibus dilaceratum [81.]. in Ceam insulam vectus Aristaeus Graeciam pestilentia liberat. relicta ibi sobole ipse Sardiniam, Siciliam aliasque insulas adit, suisque eas beneficiis cultiores reddit. his divinos honores consecutus [82.]. *Daphnis* et *Eryx.* Eryx Butae et Veneris filius in Sicilia regulus, conditor urbis sui nominis et in eius arce templi Veneris Erycinae, quod post Erycem Aeneas, Siculi, Carthaginienses, Romani, donis et religioso cultu amplissimum reddiderunt [83.]. Daphnis Mercurio et nympha genitus in amoenissima convalle montium Heraeorum; quorum descriptio inseritur. regionis fertilitate et amoenitate invitatus Daphnis, rei pastoritiae cultor, fistulae pastoritiae, carminis pastoritii inventor exstitit. ab irata nympha visu orbatus [84.]. Fabula de *Orione*, qui venatione magnique roboris operibus inclaruit. Acte eius opus. Digreditur historicus in quaestionem an Sicilia olim chersonesus fuerit. Orion inter astra relatus [85.].

## LIB. V.

Prooemio Ephori institutum Diodorus laudat, qui res gestas secundum species descripserit. eius exemplo destinatum esse singularem librum de insulis scribere [1.]. *Sicilia*, a figura Trinacria appellata, ab incolis Sicania, tum Sicilia. ambitus. Cereri et Proserpinae insula merito sacra, utpote in qua primae provenerunt fruges [2.]. regiones amoenissimae, Ennae, in quibus Proserpina rapta; Himerae, quae Minervae; insulae Syracusanae, quae Dianae sedem praebuerit [3.]. Proserpinae ad inferos descensus apud fontem Cyanen. Cereris munera iis qui ipsam benigne exceperunt, primum Siculis, secundum hos Atheniensibus, collata, et ob eam rem instituta festa [4.]. raptus Proserpinae poetarum carminibus celebratus. Carcini poema. alia Cereris

beneficia praeter fruges [5.]. de incolarum Siciliae origine diversae opiniones. Sicani primi erant: successerunt ex Italia Siculi: denique Graecorum coloniae accesserunt, quae linguam moresque Graecos et vitam cultiorem vulgarunt [6.]. *Aeolides.* nomina earum situsque. a Liparo primum, deinde ab Aeolo cultae; unde de huius mytho nonnulla referuntur [7.]. Aeoli sex filiorum nomina regnaque in Italia et Sicilia [8.]. novi insularum coloni, Cnidii, Rhodii [9.]. Liparaeorum civitas in dies florentior facta, ob portus, thermas et aluminis copiam, cuius monopolium habuit [10.]. *Osteodes* s. ossium insula, nominis ratio [11.]. Insulae a meridionali Siciliae parte: *Melite*, *Gaulus*, *Cercina* [12.] Insulae in mari Tyrrheno sitae: *Aethalia*, ferri ferax et mercatura celebris. *Cyrnus* s. Corsica. eius urbes. proventus [13.]. incolarum Cyrni indoles et numerus [14.]. *Sardinia.* deducta in eam ab Iolao colonia. unde incolae Iolaei dicti. insulam natura ipsa ab externo hoste defendit [15.] *Pityusa* a pinuum copia ibi nascentium appellata [16.]. Iberiae obiacentes insulae *Baleares* s. Gymnesiae, harumque numerus, situs, soli natura, incolarum mores. nummi nulli [17.]. ritus in nuptiis, funeribus. arma, exercitationes [18.]. *Insulae in Oceano* s. extra columnas Herculis. insula in alto mari sita, Libyae obiecta, permagna, anonyma; eius summa fertilitas et amoenitas [19.]. olim incognita, sed Phoenicum navigationibus investigata. obiter Gades et Herculi exstructum templum describitur [20.]. Europae obiectae insulae. *Britannia*, incognita usque ad Caium Caesarem. eius situs, magnitudo, incolarum mores, victus [21.]. de stanno in Britannia, eiusque mercatura [22.]. *Basilea*, Scythiae obiecta, succino clara. mythus antiquissimus de Phaethonte et succini origine [23.] Celticae gentes. mythica narratio de Galate Herculis filio, a quo Galatia et Galatae nomen habent [24.]. Galliae multae gentes. flumina [25.]. venti vehementiores Galliam perflant. frigus ingens, ob quod terra neque vinum neque oleum profert. zytho itaque utuntur et vino quod exteri important [26.]. Gallia argenti nihil, auri magnam copiam habet. ornatus ex auro factus [27.]. incolarum ingenia, corporum proceritas, cultus, mores [28.]. e curribus pugnandi mos apud Gallos et bellandi ratio. spoliorum praecipuae species [29.]. Gallorum vestitus armaque [30.]. adspectus Gallorum voxque horrida. bardi. druidae. vates. divinatio ex immolatis hominibus. in sacris et pugnis philosophorum et poetarum usus [31.]. Celtarum et Galatarum differentia. a Romanis autem confusae hae gentes. Gallorum mulieres procerae et feroces, pueri cani. eorum nulli tam feri quam Scythiae finitimi, utpote anthropophagi, sicut Britanni Irin incolentes. Cimmerii postea Cimbri appellati. *Gallo-graeci.* horum feritatis exempla [32.]. *Celtiberi.* sunt



Iberi et Celtae connubiis mixti. eorum arma et tela pugnandique ratio. munditiei studiosi urina corpus dentesque abluunt [33.]. Celtiberorum mores victusque. Vaccaei cultiores. Lusitani ceteris fortiores. horum arma. in bellis ad numerum incedunt et paeanes canunt. latrocinia honestum vitae genus [34.]. res metallica Iberorum. incendio silvarum primum argenti copia provenit. argento, cuius pretium indigenis erat incognitum, Phoenices allecti [35.]. operis metallici ratio apud Iberos [36.] Iberorum metalla cum Atticis comparata. machinae Aegyptiacae ad hauriendas in fodinis aquas, ab Archimede inventae [37.]. servorum in metallis operantium miseria. metalla exhausta a Phoenicibus et Italis. stannum in Iberia inventum. insulae Cassiterides eo abundant. multum e Britannia affertur [38.]. *Ligures.* aspera terra. incolarum mores, studia, arma [39.]. *Tyrrheni* classe praestantes. ab iis mare Italiae obiectum nomen habet. militiam pedestrem excoluere, tubam invenere, lictoribus, sella curuli, toga praetexta primum usi; litterarum studiis dediti prodigiorum disciplinam, vitae cultioris rationem expoliverunt [40.]. Insulae meridionales in Oceano Arabiae. praemissa Arabiae felicis brevis descriptio. insulae tres prae caeteris memorabiles: una sacra thus et myrrham ferens; altera sepulturae destinata. thuris et myrrhae historia [41.]. thuriferae insulae magnitudo, mercatura. tertia insula Panchaea: incolae ex diversis populis collecti, urbs Panara, templum Iovis Triphylii [42.]. agri amoenitas, arborum varietas [43.]. templum et alia loca sacra describuntur [44.]. insulae animalia et urbes. incolarum tres classes: sacerdotes, agricolae, milites. vestitus [45.]. militum usus. sacerdotum habitus. oriundi e Creta sacerdotes. alia insulae memorabilia: metalla, ornamenta diis dicata [46.]. Insulae in mari Aegeo. *Samothrace*, primum Samus appellata e Samo et Thracia colonos accepit. ingens diluvium [47.]. Saon reipublicae conditor. heroes alii. Dardanus, Iasion, Harmonia. hanc Cadmus uxorem duxit, dum Europam investigans insulam transibat [48.]. Cadmi nuptiis dii primum praesentes aderant, laeta munia subeuntes et munera offerentes. Iasion Cereri matrimonio iunctus. adiuncti mythi plures [49.]. *Naxus* insula, olim Strongyle dicta. primi coloni Thraces, quos Butes patria pulsus eo duxerat. mulieres, quarum erat penuria, aliunde raptae. nobilissimae Coronis, Iphimedia, Pancratis. post Buten Agassamenus rex [50.]. Otus et Ephialtes insulae imperio potiuntur, imposito illi Diae nomine. deinde Cares insulam occuparunt, a quorum rege Naxo Naxus est appellata. hic Theseus Ariadnen reliquit Bacchi minis perterritus [51.]. de Baccho in hac insula nutrito, qui cum opibus aliis tum vino praestantissimo insulam auxit [52.]. *Syme* insula. coloni diversis temporibus diversi [53.]. *Calydna* et *Nisyrus*

[54.]. *Rhodus*. eius primi incolae Telchines Neptunum nutriverunt, artes nonnullas invenerunt primique deorum statuas et simulacra fecerunt, magicas artes exercuerunt. Neptunus Haliam duxit, unde cum aliis liberis Rhodus nata, a qua insula nomen habet, mythica alia de Venere, insulae aditu prohibita, Halia a filiis stuprata [55.]. Telchines diluvium praesagientes insula discedunt. Sol Rhodi amore captus insulam servat. Heliadae [56.]. Heliadae astrologiam, artem nauticam aliasque artes excoluere. dissipati literas et artes divulgarunt. Ochimus natu maximus Rhodi principatum obtinuit [57.]. Danai et Cadmi in Rhodo adventus, et ab hoc relicta monumenta literaria. Rhodus serpentibus vastata a Phorbante liberata [58.]. Althaemenes Creta relicta, ut fato destinatam patris Catrei caedem evitaret, in insulam Rhodum concedens, inscius patrem occidit. Tlepolemus Herculis filius Argis profugus Rhodum petit, deinde rex creatus bello Troiano interfuit [59.]. Rhodo obiecta *Chersonesus Cariae.* hanc 5 Curetes e Creta advecti occupant. Cyrnus ab Inacho missus urbem sui nominis exstruit [60.]. Triopas exciso Cereris nemore Thessalia profugus in Cnidiam venit partemque Cariae occupat [61.]. Hemitheae Staphyli filiae fanum in Castabo Chersonesi. mythus de Staphyli tribus filiabus [62.]. templum Hemitheae communi religione servatum et locupletatum. eius deae in homines beneficentia [63.]. *Creta.* antiquissimi incolae Eteocretes. rex Cres. dii in insula nati. Idaei Dactyli horumque artes et inventa. horum discipulus Orpheus, progenies Hercules, ab Alcmenae filio diversus [64.] Curetes rei pastoritiae mellificii pluriumque artium inventores. Iovis educatores [65.]. Titanes. Vrani Terraeque sex filii et quinque filiae. Saturnus [66.]. Hyperion. Coeus et Phoebe, unde nata Latona. Iapetus, cuius filius Prometheus. Mnemosyne. Themis [67.]. Saturni et Rheae progenies. Vesta. Ceres cum Proserpina et Triptolemo [68.]. De frugum inventione mythologumena. Neptunus maris et rei equestris praeses. Pluto inferorum princeps [69.]. Iuppiter: eius nativitas et educatio [70.]. Iovis instituta ad tuendam in humano genere iustitiam. bellum in gigantes [71.]. alia Iovis beneficia et ob haec ei imposita cognomina. eius liberi [72.]. singulis liberis Iuppiter tribuit munia: Veneri virginum curam, Gratiis venustatem tuendam, Lucinae parturientium tutelam, Dianae tenerorum nutritionem, Horis singulis diversa, Minervae olivarum culturam, bonas artes [73.]. Musis commissa literarum studia, Vulcano metallorum fabricatio et ignis, Marti bella et arma, Apollini musica et ars medica. huius filius Aesculapius [74.]. Mercurio mandata foedera, mercaturae negotia, eloquentia, palaestra, Baccho vitis cultura [75.]. Herculis merita. sed hic Alcmenae filio multo antiquior. Britomartis [76.]. Pluto opes tributae.



Cretenses sacrificiorum, rituum sacrorum, mysteriorum auctores [77.]. Heroes in Creta nati iuniores. Minos [78.], Rhadamanthus, Sarpedo [79.]. Coloniae Cretensibus immixtae. Pelasgi. Dores duce Tectamo Dori filio. barbari promiscui. Argivi et Spartani [80.]. Lesbus. primi insulae coloni Pelasgi duce Xantho. inde pro Issa appellata Pelasgia. deinde Macareus eandem sedem legit. post Lesbus Lapithae filius cum novis colonis immigravit insulamque Lesbum appellavit. Lesbo coloniae missae in Chium, Samum, Co, Rhodum [81.]. hae beatorum insulae nuncupatae [82.]. Tenedus. Tennes Cygni filius insulae conditor [83.]. Insulae Cyclades primum a Minoe cultae, tum a Rhadamantho: post a Caribus occupatae, denique a Graecis habitatae [84.].

---

# CORRIGENDA.

P. 46. 84. *ζῦθος* 407. 58. 59. comma tolle post *Κούρητες*, pone post *ἐνιαυτὸν* 442. summa V.

*In annotat.* p. ed. Wess. 20. 50. (N) 41. 4. post Q add. caeteri *ἀδρὰ* 50. dele numerum 58. secundum 51. dele numerum 93. secundum 59. 15. *ρους* — 18. *τάχθαι* 62. 51. Q Poggius 65. 56. pro 57. 75. adde 30. ante *θανάτου* 120. 3. *milia ter* 121. 59. omittens, deleto mox numero 59. 129. 59. pro *Ταυρ.* Tzetzes l. *Σταυροβάτης* Tzetzes Chil. XII. 925. 160. 76. *μὲν*] 195. 63. *τεσσαράκοντα* 200. 86. *ἀνόμοιοι* 204. 46. *τετιθ.* 206. 47. *ἐπιτιθέασι* 215. 100. *τοὺς* non est tangendum 225. 52. *mortalibus* 226. 84. caeteri 227. 36. „quae — Stephanus" in fine annotationis pone 230. 64. omisi 250. 72. C(D) 253. 35. *ἤ* 254. 56. *κοινῆς*] 268. 65. *καὶ* ante *διὰ* 273. 73. post D add. Poggius 285. 12. *ἆθλον* pro *ἄθλον* 308. 17. *προτεθεμένον* pro *προτεθέμενον* 328. 70. *ἀμφοδελὸν* 329. 9. D Poggius 375. 66. *παιδείαις* 392. 50. add. *δὲ* Eichstadius: libri *τε*